ОПИСАНІЕ

ЛИТУРГИЧЕСКИХЪ РУКОПИСЕЙ,

ХРАНЯЩИХСЯ

ВЪ БИБЛІОТЕКАХЪ ПРАВОСЛАВНАГО ВОСТОКА.

ТОМЪ III

(первая половина).

Τυπικά.

Ч. II.

Заслуженнаго Профессора

АЛЕКСѢЯ ДМИТРІЕВСКАГО.



ПЕТРОГРАДЪ.

Типографія В. Ѳ. Киршбаума (отдѣленіе), Новоисаакіевская, 20.

1917.

ОГЛАВЛЕНІЕ.

стр.

стр.

стр.

c) Редакція Синайская:

д) Редакція Трапезунтская:

е) Сербо-Болгарская редакція:

f) Старопечатная венеціанская редакція:

ОТДѢЛЪ ВТОРОЙ.

Типиконы святогорскіе аѳонскіе.

ОТДѢЛЪ ТРЕТІЙ

(дополнительный)

Типиконъ Великой Церкви.

Скорбный листъ.

(Вмѣсто предисловія).

Съ 1886 года по 1898 годъ составителемъ настоящаго «Описанія» совершенъ былъ рядъ научныхъ путешествій на православный Востокъ и въ Западную Европу съ цѣлью въ богатѣйшихъ книгохранилищахъ изучить имѣющіеся тамъ многочисленные литургическіе памятники. Въ его рукахъ, послѣ напряженныхъ многолѣтнихъ поисковъ, оказались весьма цѣнные въ научномъ отношеніи памятники, обнимающіе исторію православнаго богослуженія на пространствѣ съ VII в. по XVII в. Но какъ ни тяжелы были усилія многихъ лѣтъ въ дѣлѣ собиранія этихъ матеріаловъ, они, однако, не могутъ быть поставлены ни въ какую параллель съ тѣми трудностями, какія неожиданно пришлось испытать ихъ собирателю и описывателю, потомъ, при ихъ изданіи въ свѣтъ. Печатаніе собранныхъ матеріаловъ длится вотъ уже свыше 25 лѣтъ, встрѣчая на своемъ пути цѣлый рядъ самыхъ неожиданныхъ и иногда невѣроятныхъ препятствій, такъ что у составителя «Описанія» появляется уже естественное опасеніе не увидать при жизни конца своего обширнаго труда.

Отсутствіе личныхъ средствъ на изданіе собранныхъ многочисленныхъ литургическихъ матеріаловъ побудило издателя ихъ, черезъ Совѣтъ Кіевской Духовной Академіи, ходатайствовать предъ Св. Синодомъ о спеціальной субсидіи на это изданіе въ 3.500 руб. Составленная Совѣтомъ Академіи комиссія для оцѣнки научнаго значенія собранныхъ матеріаловъ, представленныхъ въ Совѣтъ Академіи въ томъ первоначальномъ, не вполнѣ упорядоченномъ видѣ, въ какомъ въ большей части они нако-

плялись у собирателя по мѣрѣ ихъ списыванія съ оригиналовъ въ различныхъ библіотекахъ, отнеслась вполнѣ благосклонно и благожелательно и дала свое заключеніе о нихъ въ положительномъ смыслѣ. Совѣтъ Академіи, не безъ опасеній въ возможность отказа со стороны Св. Синода въ удовлетвореніи своего ходатайства, въ виду значительной денежной цифры на предполагаемое изданіе, не поставилъ никакихъ препятствій, и ходатайство пошло по назначенію. Благодаря, однако, благорасположенію и сочувствію покойнаго оберъ-прокурора Св. Синода К. П. Побѣдоносцева и поддержкѣ нѣкоторыхъ членовъ Учебнаго Комитета при Св. Синодѣ, вопреки всякимъ ожиданіямъ, просимая субсидія была скоро разрѣшена, и деньги 3.500 руб. пересланы въ распоряженіе Совѣта Кіевской Академіи. (Составитель «Описанія» за свой трудъ получалъ 200 оттисковъ каждаго тома, а 200 экземпляровъ изданія Хозяйственное Управленіе при Св. Синодѣ потребовало себѣ въ возмѣщеніе расходовъ на изданіе).

Составлена была Совѣтомъ Академіи уже новая издательская комиссія, которая должна была заключить контрактъ съ типографіей Г. Т. Корчакъ-Новицкаго, купить потребное количество стопъ бумаги, опредѣлить всякіе другіе расходы по изданію и т. д. Комиссія эта своими формальными мелочными требованіями, продиктованными ей, впрочемъ, покойнымъ ректоромъ Академіи епископомъ Сильвестромъ (Малеванскимъ), затормозила дѣло изданія литургическихъ памятниковъ въ самомъ началѣ, предъявивъ къ составителю «Описанія» цѣлый рядъ невыполнимыхъ въ эту пору требованій: опредѣлить, напр., какое количество печатныхъ листовъ войдетъ въ каждый томъ изданія, на сколько томовъ распадется все изданіе, какъ велики будутъ примѣчанія и варіанты къ памятникамъ, въ какомъ объемѣ предполагаются предисловія на русскомъ языкѣ къ каждому тому и т. д. При указанномъ выше состояніи собранныхъ матеріаловъ, дать на всѣ эти запросы, быть можетъ и справедливые съ точки зрѣнія формальныхъ требованій, издателю не представля-

лось никакой возможности. Составитель «Описанія», кромѣ того, находился подъ постояннымъ опасеніемъ возможнаго обнародованія тѣмъ или инымъ изъ ученыхъ Европы или Россіи какого-либо изъ списанныхъ имъ обширныхъ памятниковъ, повтореніе коего въ предполагаемомъ изданіи онъ считалъ бы излишнею роскошью и напрасною тратою денегъ и труда. У издателя, далѣе, не прекращалась интенсивная работа по накопленію въ папкахъ его новыхъ литургическихъ матеріаловъ, которые иногда, совершенно вытѣсняя прежніе матеріалы, требовали для себя предпочтительнаго вниманія по научнымъ соображеніямъ и, такимъ образомъ, раздвигали нерѣдко рамки первоначальнаго предположенія относительно количества печатныхъ листовъ и варіантовъ къ памятникамъ. Наконецъ, при копированіи памятниковъ, за недостаткомъ времени для внимательнаго ихъ сличенія на мѣстахъ, нерѣдко списывались тексты чиновъ и молитвъ сходные или имѣющіе незначительные варіанты, въ томъ предположеніи, что въ спокойной кабинетной работѣ можно будетъ серьезнѣе и внимательнѣе сравнить подобные тексты и на страницы предполагаемыхъ изданій включить изъ нихъ лишь существенные и важные въ научномъ отношеніи варіанты. Количество списанныхъ листовъ, такимъ образомъ, здѣсь ровно не имѣло никакого значенія. Однимъ словомъ, при изданіи литургическихъ памятниковъ, требовались довѣріе и полная свобода дѣйствій для составителя «Описанія», но ихъ-то, очевидно, и не хотѣли признать за нимъ ни формалистъ ректоръ Академіи, ни излишне ревностные исполнители его распоряженій—члены издательской комиссіи, вносившіе на первыхъ порахъ въ живое научное дѣло мертвящій формализмъ и скрупулезный разсчетъ. Благодаря всему этому, имъ удалось до нѣкоторой степени даже испортить капитальное изданіе литургическихъ памятниковъ, нерасчитанное на повтореніе, избравъ для него бумагу весьма недолговѣчной прочности... Какъ бы тамъ ни было, но препирательства между комиссіей и издателемъ, сопро

вождаемыя формальными отписками и предписаніями ректора, внесли въ дѣло изданія памятниковъ на первыхъ порахъ нежелательныя тренія и долго мѣшали начать печатаніе «Описанія».

Со времени передачи матеріаловъ въ типографію Г. Т. Корчакъ-Новицкаго появились новыя затрудненія, надъ устраненіемъ которыхъ пришлось издателю много поработать. Прежде чѣмъ двинуть въ ходъ наборъ греческихъ текстовъ въ типографіи, гдѣ не имѣлось наборщика, знающаго греческій языкъ, издателю приходилось у наборной кассы очень усердному и добросовѣстному наборщику давать продолжительные уроки греческаго алфавита, объяснять разницу въ постановкѣ удареній остраго и тяжелаго въ серединѣ словъ и предъ знаками препинанія, переносъ удареній съ энклитикъ, значеніе густого и тонкаго придыханія, отличіе колона отъ точки и т. д. На все это ушло также не мало времени. Неудивительно, поэтому, что первый томъ «Описанія литургическихъ рукописей», доставившій издателю ученую степень доктора церковной исторіи, появился въ свѣтъ лишь въ 1895 году, т. е. почти черезъ восемь лѣтъ послѣ командировки его на Востокъ въ 1887/88 учебномъ году.

Налаженное дѣло изданія литургическихъ памятниковъ дальше продолжалось нѣкоторое время спокойно и къ 1901 году заканчивался печатаніемъ II томъ «Описанія», заключающій въ себѣ греческіе Евхологіи. Но, и при окончаніи этого тома, возникли совершенно неожиданныя затрудненія со стороны новаго властнаго ректора Кіевской духовной Академіи, епископа Димитрія (Ковальницкаго), скончавшагося въ санѣ архіепископа херсонскаго. Съ приближеніемъ къ концу второго тома, вполнѣ естественно, средства, отпущенныя Св. Синодомъ на изданіе памятниковъ, истощились. Между тѣмъ у издателя къ этому времени накопились новые, цѣнные научные матеріалы, извлеченные имъ частію изъ восточныхъ книгохранилищъ, но большею частію изъ библіотекъ Парижской національной, Грота-Ферратской, Барбериновской,

Ватиканской, Казанатенской, Туринской, Миланской, Венеціанской и императорской Вѣнской. Не желая затягивать на долгое время изданіе и этихъ матеріаловъ, а въ особенности истинное сокровище литургической науки—евхологій 1027 года Парижской національной библіотеки (Coislian) и евхологіевъ библіотекъ Барбериновской и Гротта-Ферратской, коими пользовался съ урѣзками и пропусками, непонятными для нашего времени, знаменитый литургистъ XVI в. Яковъ Гоаръ въ своемъ пресловутомъ Евхологіонѣ, издатель рискнулъ продолжать печатаніе «Описанія» и этихъ памятниковъ въ «Прибавленіи» къ II тому «Описанія». Втайнѣ онъ лелѣялъ надежду, что путемъ новаго ходатайства Совѣта предъ Св. Синодомъ ему удастся получить дополнительно необходимыя средства на окончаніе своего капитальнаго труда, уже достаточно себя зарекомендовавшаго и въ Россіи и даже на Западѣ. Но тутъ благое и безкорыстное намѣреніе издателя встрѣтилось съ несокрушимымъ упорствомъ хотя и умнаго, но властолюбиваго начальника. Ректоръ Академіи епископъ Димитрій едва дозволилъ издателю допечатать Парижскій евхологій 1027 года и потребовалъ немедленно заключить всякую работу по изданію литургическихъ памятниковъ. Когда же издатель возбудилъ потомъ передъ Совѣтомъ Академіи оффиціально вопросъ о новомъ ходатайствѣ предъ Св. Синодомъ относительно ассигнованія средствъ на продолженіе «Описанія литургическихъ рукописей», то епископъ Димитрій постарался черезъ своихъ, преданныхъ ему, друзей, не тѣмъ будь помянуты, изъ среды членовъ Совѣта даже дискредитировать все изданіе и предъ Совѣтомъ Академіи, и предъ оберъ-прокуроромъ Св. Синода К. П. Побѣдоносцевымъ, который на этотъ разъ не только уже отказалъ издателю въ новой субсидіи, но и перемѣнилъ къ нему свои личныя, дотолѣ весьма благосклонныя, отношенія.. Епископъ Димитрій пошелъ еще дальше въ своемъ нерасположеніи къ издателю. Узнавъ, что имъ сверхъ четырехсотъ экземпляровъ, въ какомъ количествѣ должно

было, по опредѣленію Совѣта, печататься изданіе, второй томъ выпускается въ свѣтъ въ пятистахъ экземплярахъ, на счетъ средствъ издателя за бумагу и брошюровку за лишнюю сотню экземпляровъ, не разрѣшилъ выходъ въ свѣтъ послѣднихъ ста оттисковъ. Издатель вынужденъ былъ, спустя нѣкоторое время, пятую сотню экземпляровъ своего «Евхологія» выпустить въ свѣтъ съ новою обложкою, съ фиктивнымъ наименованіемъ: «второе изданіе» и подъ частною цензурою профессора Кіевской Духовной Академіи протоіерея І. Н. Королькова.

Для дальнѣйшаго продолженія изданія литургическихъ памятниковъ приходилось искать иныхъ путей и другихъ средствъ. Благодаря просвѣщенному содѣйствію академика Н. П. Кондакова, по его докладу во второмъ отдѣленіи Академіи Наукъ, издателю было предоставлено право въ двухъ томахъ ея «Сборника» напечатать собранные имъ греческіе и юго-славянскіе литургическіе памятники. Правомъ этимъ издатель, однако, пока не могъ воспользоваться по разнымъ причинамъ, и оно сохраняетъ для него свою силу досел̀ѣ, въ ожиданіи болѣе благопріятнаго времени для подобныхъ изданій.

Благодаря просвѣщенному сочувствію Предсѣдателя Православнаго Палестинскаго Общества князя А. А. Ширинскаго-Шихматова, издателю въ это время представилась неожиданно счастливая возможность напечатать третій томъ «Описанія», заключающій въ себѣ Типиконы, связанные по своему происхожденію съ обителями пр. Саввы Освященнаго близъ Іерусалима, Синая, Св. Аѳонской Горы и св. мученика Евгенія въ Трапезунтѣ, въ одномъ изъ очередныхъ выпусковъ «Православнаго Палестинскаго Сборника». Обрадованный столь благопріятно слагавшимися обстоятельствами для продолженія залежавшагося «Описанія литургическихъ рукописей» и благодарный Совѣту Православнаго Палестинскаго Общества за его благосклонное и благожелательное вниманіе къ научному труду многихъ лѣтъ, издатель въ началѣ 1915 года приступилъ къ печатанію III тома въ одной изъ лучшихъ петро-

градскихъ типографій, имѣющей у себя большое разнообразіе шрифтовъ и наборщика—грека. На сей разъ все сулило скорый успѣхъ изданію, но, къ глубокому прискорбію, и здѣсь пришлось встрѣтиться съ неодолимыми въ настоящее тревожное время препятствіями для завершенія настоящаго труда въ предположенныхъ размѣрахъ. Типографія В. Ѳ. Киршбаума, заваленная посторонними заказами по изданію въ свѣтъ греческихъ памятниковъ, не могла успѣшно вести печатаніе «Описанія литургическихъ рукописей» въ лѣтніе мѣсяцы 1915 и 1916 годовъ и затянула настоящее изданіе до 1917 года, когда непомѣрно повышенныя требованія рабочихъ типографіи и дороговизна бумаги сдѣлали невозможнымъ книгоиздательство. Волею—неволею, въ чаяніи лучшихъ дней для него, приходится на время отказаться отъ продолженія «Описанія». Но, опасаясь, что экономическія затрудненія въ типографіяхъ и въ книгоиздательствѣ вообще могутъ затянуться на очень продолжительное время, съ одной стороны, а съ другой, имѣя въ виду, что основная часть литургическихъ матеріаловъ, относящихся къ Типикону, связанному съ Іерусалимскою обителью пр. Саввы Освященнаго и др., уже отпечатана, и что назрѣвшая въ нашей церковной жизни потребность, въ связи съ основными началами церковнаго устройства, пересмотрѣть и исправить, и дѣйствующій доселѣ въ нашей богослужебной практикѣ Церковный Уставъ или Типиконъ, составитель «Описанія» призналъ благовременнымъ и полезнымъ цѣнный, ученому міру въ большей части невѣдомый, литургическій матеріалъ пустить въ научное обращеніе въ своемъ не вполнѣ законченномъ видѣ.

Весьма цѣнные новые матеріалы для исторіи Типикона Великой константинопольской Церкви и ктиторскихъ Типиконовъ, начатые печатаніемъ въ третьемъ отдѣлѣ настоящаго тома, вмѣстѣ съ предполагаемымъ обширнымъ предисловіемъ и необходимыми указателями къ двумъ томамъ «Τυπικά», приходится пока отложить на

неопредѣленное и, быть можетъ, даже отдаленное время, до второго выпуска этого тома. Увидятъ-ли Божій свѣтъ, при жизни автора «Описанія», матеріалы, относящіеся къ греческому евхологію, особенно собранные въ библіотекахъ римскихъ—Барбериновской и Грота-Ферратской, надъ которыми трудился великій литургистъ XVI в., монахъ ордена предикаторовъ Яковъ Гоаръ, посильный критическій разборъ «Евхологія» коего предполагается сдѣлать въ предисловіи къ четвертому тому «Описанія», и будутъ ли обнародованы матеріалы для юго-славянскаго евхологія, собранные въ библіотекахъ Синая, Аѳона и другихъ мѣстъ, изъ коихъ нѣкоторые погибли нынѣ уже въ огнѣ,—все это вѣдомо единому Богу. Составитель «Описанія», съ любовію и усердіемъ трудившійся надъ собираніемъ этихъ матеріаловъ, почитаетъ долгомъ изъ глубины благодарнаго сердца Ему первѣе всего воздать за все честь и благодареніе, а Совѣту Православнаго Палестинскаго Общества и его Предсѣдателю князю А. А. Ширинскому-Шихматову низкій поклонъ за просвѣщенное содѣйствіе въ изданіи настоящаго тома, который посвящается прабабкѣ всѣхъ Академій—трехсотлѣтней Кіевской Духовной Академіи и ея семидесятипятилѣтней внучкѣ—Казанской Духовной Академіи. Послѣдней издатель обязанъ, какъ питомецъ, и первыми шагами своей ученой дѣятельности, а первой, какъ многолѣтній соработникъ на нивѣ богословской науки и воспитанія многихъ поколѣній русскихъ богослововъ.

20 Іюня 1917 года.

Петроградъ.

ОТДѢЛЪ ПЕРВЫЙ.

Типиконы обители преподобнаго Саввы Освященнаго близъ Іерусалима.

а) Редакція Іерусалимская.

I. № 1094. Σὺν Θεῷ Τυπικὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας, τῆς τελουμένης ἔν τε τῇ εὐαγεῖ λαύρᾳ τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα καὶ τοῖς κατὰ τὰ Ἱεροσόλυμα λοιποῖς μοναστηρίοις, περιέχον ἀνελλιπῶς τὴν διάταξιν τοῦ ὅλου χρόνου. Ркп. Синайской библ. въ 16-ю долю листа, писана крупнымъ разгонистымъ почеркомъ XII—XIII в., 86 листовъ.

Чина малой вечерни нѣтъ.

Μετὰ τὸ δῦναι τὸν ἥλιον μικρόν, ἀπέρχεται ὁ κανδηλάπτης, καὶ ποιήσας μετάνοιαν τῷ καθηγουμένῳ, ἀπέρχεται καὶ κρούει τὰς βαρείας ἀργά, καὶ κατελθὼν ἅπτει τὰς κανδήλας καὶ ποιήσας θυμιατόν, ἀπέρχεται καὶ σημαίνει τὸ σιδηροῦν, εἶτα τὸ μέγα, καὶ ὑποστρέψας βάλλει μετάνοιαν τῷ ὀφείλοντι ἱερεῖ τελέσαι τὴν ἀκολουθίαν. Ὁ δὲ ἱερεύς, βαλὼν μετάνοιαν τῷ ἡγουμένῳ ἢ εἰς τὸν θρόνον αὐτοῦ καὶ εὐλογηθείς, ὑποστρέφει καὶ ποιήσας μετανοίας γ' ἔμπροσθεν τῶν ἁγίων θυρῶν καὶ εἰς τοὺς χοροὺς πρὸς μίαν, πάντων τῶν ἀδελφῶν καθημένων, εἰσέρχεται εἰς τὸ θυσιαστήριον. Καὶ λαβὼν τὸ θυμιατόν, ἵσταται ἐνώπιον τῆς ἁγίας τραπέζης, καὶ βαλὼν θυμίαμα, λέγει καθ' ἑαυτὸν τὴν εὐχὴν τοῦ θυμιάματος. Θυμιάσας δὲ σταυροειδῶς τὴν ἁγίαν τράπεζαν καὶ ὅλον τὸ ἅγιον θυσιαστήριον κατὰ τάξιν, ἐξέρχεται διὰ τῶν ἁγίων θυρῶν· καὶ ὁ κανδηλάπτης τὸ Κελεύσατε, κρατῶν τῇ χειρὶ τὴν λαμπάδα. Ὁ δὲ ἱερεὺς θυμιᾷ σταυροειδῶς ἐκ τρίτου ἔμπροσθεν τῶν ἁγίων θυρῶν καὶ ἀπέρχεται καὶ θυμιᾷ πρῶτον τὸν ἡγούμενον, εἶτα τοὺς ἀδελ-

φοὺς κατὰ τάξιν, τῶν λαμπάδων αὐτοῦ προπορευομένων, καὶ ἐξελθὼν εἰς τὴν νάρθηκα, κἀκεῖσε θυμιάσας κατὰ τάξιν, ὑποστρέφει καί, γενόμενος ἔνδον τῶν βασιλικῶν πυλῶν, χαράττει μετὰ τοῦ θυμιατοῦ σταυρὸν καὶ ἐκφωνήσας μεγάλως τὸ Κύριε, εὐλόγησον, εἰσέρχεται εἰς τὸ ἅγιον βῆμα, καί, στὰς ἔμπροσθεν τοῦ ἱλαστηρίου, λέγει· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ. . . Καὶ ἀρχόμεθα τοῦ Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ τῷ βασιλεῖ καὶ **Θεῷ** ἡμῶν. Καὶ δευτεροῦμεν αὐτό. Εἶθ' οὕτως· Δεῦτε προσκυνήσωμεν καὶ πλεῖον οὐδέν. Ἄρχεται ὁ ἐκκλησιάρχης. . . Далѣе вырвано 6 листиковъ.

[**л. 2**). Окончаніе статьи о чтеніи Псалтири. — Χρὴ εἰδέναι, ὅτι ἐν πάσαις ταῖς ἀγρυπνίαις οὐκ ἔστι πρὸ τῆς ἑσπέρας στιχολογία. ψάλλομεν δὲ μικρὸν ἑσπερινὸν ἐν τῇ νάρθηκι καὶ εἰσερχόμεθα εἰς τὴν τράπεζαν, καὶ πάλιν μετὰ τὴν ἀγρυπνίαν ἐν τῷ λυχνικῷ οὐ στιχολογοῦμεν διὰ τὸν κόπον τῆς ἀγρυπνίας, ψάλλομεν δὲ καθ' ἑαυτὸν τὸ τοιοῦτον, καθὼς ὁ κανδηλάπτης.

Πῶς δεῖ σημαίνειν ἐν τοῖς ἑσπερινοῖς.

Πρὸ τοῦ λυχνικοῦ μικρὸν ταχύτερον κρούει τὸ σιδηροῦν καὶ ψάλλουσιν οἱ ἀδελφοὶ ἐν τοῖς κελλίοις αὐτῶν τὴν θ' ὥραν μετὰ τοῦ μεσωρίου, εἶθ' οὕτως σημαίνει τὸ μέγα καὶ συναγόμεθα ἐν τῇ ἐκκλησίᾳ, καὶ εὐλογήσαντος τοῦ ἱερέως, εἰ μέν ἐστιν Ἀλληλούια, ἀρχόμεθα τοῦ Τρισαγίου καὶ ποιοῦμεν μετανοίας γ', ἱστάμενοι ἀνὰ μέσον τῆς ἐκκλησίας ἐπὶ τῶν ψιαθίων στοιχιδόν, ἐν τῷ ἅμα κλίνοντες πάντες τὸ γόνυ καὶ ἀνιστάμενοι. Μετὰ δὲ τὸ Πάτερ ἡμῶν, ἐκφωνεῖ ὁ ἱερεύς· Ὅτι σοῦ ἐστι, καὶ ἀνταποκρινόμεθα τὸ Ἀμήν, τὸ Κύριε ἐλέησον ιβ', Δεῦτε προσκυνήσωμεν γ', μετανοίας γ', καὶ ἀρχόμεθα τὸ Εὐλόγει ἡ ψυχή μου. Μετὰ τὸ τέλος τοῦ ψαλμοῦ, Ἀ λ λ η λ ο ύ ι α, Ἀ λ λ η λ ο ύ ι α γ', μετανοίας γ', καὶ εὐθὺς στιχολογία. Ἐν ἑκάστῳ δὲ ἀντιφώνῳ εἰς τὸ Ἀλληλούια ποιοῦμεν μετανοίας γ'. Ἀντὶ τοῦ Προκειμένου ψάλλομεν Ἀλληλούια, εἰς ἦχον πλ. β', στίχους δὲ λέγομεν τῇ μὲν β' καὶ τῇ γ'. Κύριε, μὴ τῷ θυμῷ σου, τῇ δὲ δ' καὶ τῇ παρασκευῇ· Καὶ προσκυνεῖται τῷ ὑποποδίῳ, τῇ δὲ ε'. Καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης. Εἶτα λέγει ὁ ψάλλων καθημέραν καὶ ἕτερον στίχον· Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Καὶ οἱ ἀδελφοὶ γεγωνότερον φωνοῦσι πάλιν τὸ Ἀλληλούια, καὶ ὁ ψάλλων αὖθις τὸ ἀκροτελεύτιον καὶ τελεῖον. Ποιεῖ δὲ μετάνοιαν ἔμπροσθεν τῶν ἁγίων θυρῶν, καὶ ὑποστρέψας ὄπισθεν, ποιεῖ καὶ ἑτέραν μετάνοιαν τοῖς ἀδελφοῖς καὶ οὕτως ἀπέρχεται εἰς τὸ στασείδι αὐτοῦ. Δεῖ δὲ εἰδέναι, ὅτι πάντοτε εἰς τὸ Κύριε ἐκέκραξα θυμιᾷ, κρατοῦμεν δὲ

στίχους ς' καὶ δευτεροῦμεν τὰ τρία στιχηρὰ τοῦ Μηναίου, εἰ δὲ εἰσιν ἕξ, λέγομεν πρὸς μίαν. Ἐὰν δὲ τύχωσιν ς' ἰδιόμελα, ψάλλομεν αὐτά, εἰς τὸ Δόξα ἑνουμένων τῶν δύο χορῶν. Εἰς τὸν στίχον δὲ ψάλλομεν ἐν τῷ μέσῳ τὰ στιχηρὰ τῆς Ὀκτωήχου. Δόξα καὶ νῦν, θεοτοκίον, εἰς τὸ Καταξίωσον μετανοίας γ'. Μετὰ τὸ Νῦν ἀπολύεις εἰς τὸ τρισσῶς μετανοίας γ', μετὰ τὸ Πάτερ ἡμῶν, ἐκφωνεῖ ὁ ἱερεύς· Ὅτι σοῦ ἐστί. Καὶ ἀρχόμεθα ἡμεῖς τοῦ τροπαρίου· Θεοτόκε παρθένε, μετάνοιαν α', Δόξα, Βαπτιστὰ τοῦ Χριστοῦ, μετάνοιαν α', Καὶ νῦν, Πρεσβεύσατε ὑπὲρ ἡμῶν, μετάνοιαν α', Ὑπὸ τὴν σὴν εὐσπλαγχνίαν, μετάνοιαν οὐ ποιοῦμεν, Κύριε ἐλέησον μ', καὶ ἐπεύχεται ὁ ἱερεὺς καὶ ποιοῦμεν μετανοίας γ' μεγάλας καὶ ἑτέρας ιβ' μικράς, εἶθ' οὕτως Τρισάγιον, μετανοίας γ', τὸ Πάτερ ἡμῶν, τὸ Κύριε ἐλέησον ιβ', ἡ εὐχὴ καὶ ἀπόλυσις. Αὕτη ἡ ἀκολουθία γίνεται ἐν τοῖς ἑσπερινοῖς τοῦ ὅλου ἐνιαυτοῦ ὅτε ψάλλεται Ἀλληλούια.

[л. 3). Περὶ τῆς ἑωθινῆς δοξολογίας τοῦ ὅλου ἐνιαυτοῦ, ὅτε ψάλλεται Ἀλληλούια.

[л. 5). Περὶ τῆς θείας λειτουργίας.

Εἰς δὲ τὴν λειτουργίαν τὰ Τυπικά, καὶ εἰ μὲν ἐστί τινος τῶν ἐπισήμων ἁγίων, ἀντὶ τῶν μακαρισμῶν ψάλλομεν ἐκ τῶν κανόνων τῶν ἑορταζομένων ἁγίων τῇ δευτέρᾳ ἡμέρᾳ, ᾠδαὶ α' καὶ ς', τῇ τρίτῃ, ᾠδαὶ γ' καὶ ς' καὶ καθεξῆς ὁμοίως, εἰ δ' οὐκ ἔστιν ἑορτή, ψάλλομεν τῆς Ὀκτωήχου, τῇ δὲ κυριακῇ ἀναστάσιμον· ψάλλει δὲ ὁ μνημονευθεὶς μοναχὸς καὶ τὸ προκείμενον, λέγει καὶ τὸν ἀπόστολον, καὶ εἰ μὲν γινώσκει ψαλτικὰ ψάλλει καὶ τὸ ἀλληλουάριον καὶ ποιεῖ μετάνοιαν ἔμπροσθεν τῶν ἁγίων θυρῶν, καὶ πρὸς τοὺς ἀδελφοὺς ἑτέρας. Εἰ δ' οὐκ ἐπίσταται τάσσει ὁ ἐκκλησιάρχης ἕτερον καὶ ποιοῦσιν ἀμφότεροι τὰς β' μετανοίας.

Здѣсь же говорится о покровеніи главъ, о кажденіи священникомъ, о пѣніи непорочныхъ въ субботу, о пѣніи псалмовъ 49, 149 и 150, о благоповеденіи хоровъ, о стояніи въ нарөенксѣ ради молитвы, о начальныхъ хорахъ и о чтеніи канононовъ на полунощницѣ.

[л 7). Περὶ τῆς μ' πρὸ τῆς Χριστοῦ γεννήσεως.

Εἰδέναι δεῖ, ὅτι τῇ ἁγίᾳ μ' πρὸ τῆς Χριστοῦ γεννήσεως, ὅτε τύχῃ Ἀλληλούια, ποιοῦμεν τὰς συνήθεις μετανοίας ἔν τε τῷ ἑσπερινῷ καὶ τῷ ὄρθρῳ κατὰ τὸν τύπον τῆς ἁγίας μ' μεγάλης, ποιοῦμεν δὲ καὶ τὰς ἐννάτας, τὰς δὲ ὥρας ψάλλομεν ἄνευ στιχολογίας καὶ ἀναγνώσεως.

Τῇ δὲ γ' ὥρᾳ ἡ τάξις διετάχθη τῇ μεγάλῃ μ', καὶ οὕτως ὀφείλει γίνεσθαι ἀπαραλλάκτως χωρὶς τῆς στιχολογίας, καὶ μετὰ τὴν ιβ' εὐχήν, ἤγουν μετάνοιαν λέγομεν· Δέσποτα Θεὲ Πάτερ παντοκράτορ, Δεῦτε προσκυνήσωμεν γ', μετανοίας γ' καὶ ἀπαρχόμεθα τοῦ κθ' ψαλμοῦ, εἶθ' οὕτως τοῦ λα', ἔπειτα τοῦ ξ', μετανοίας γ'. Μετὰ δὲ τὸ Πάτερ ἡμῶν, τροπάριον· Ὁ Θεὸς τῶν πατέρων ἡμῶν, Δόξα, Οἱ μάρτυρές σου, Κύριε, Καὶ νῦν, Τεῖχος ἀκαταμάχητον, Κύριε ἐλέησον μ', καὶ λέγει στίχον, μετανοίας γ' μεγάλας, καὶ εὐθὺς συνάπτομεν καὶ τὴν ϛ' ὥραν. Δεῦτε προσκυνήσωμεν γ', μετανοίας γ' καὶ ψάλλομεν αὐτήν, ὡς διετάχθη ἐν τῇ μεγάλῃ τεσσαρακοστῇ ἄνευ στιχολογίας, ποιοῦντες καὶ τὰς συνήθεις μετανοίας. Μετὰ δὲ τὴν ιβ' μετάνοιαν πάλιν εὐχήν· Δέσποτα Θεὲ Πάτερ παντοκράτορ, Δεῦτε προσκυνήσωμεν γ', μετανοίας γ' καὶ ἀρχόμεθα τοῦ νε' ψαλμοῦ, εἶθ' οὕτως τὸν νϛ', εἶτα τὸν ξθ', τὸ Τρισάγιον, μετανοίας γ'. Μετὰ δὲ τὸ Πάτερ ἡμῶν τροπάριον. Σῶσον, Κύριε, τὸν λαόν σου, Δόξα, Τῆς ἐρήμου πολίτης, Καὶ νῦν, Τῇ πρεσβείᾳ, Κύριε, τὸ Κύριε ἐλέησον μ', μετανοίας γ', ἐπισυνάπτομεν δὲ καὶ τὴν θ' ὥραν, τρισσῶς μετανοίος γ', μετὰ τὸ Πάτερ ἡμῶν τὸ Κύριε ἐλέησον ιβ', Δεῦτε προσκυνήσωμεν γ', μετανοίας γ' καὶ ψάλλομεν αὐτήν, ὡς διεταξάμεθα τῇ μεγάλῃ μ', μετὰ τὴν ιβ' μετάνοιαν εὐχήν· Δέσποτα Θεέ ... Ἐπισυνάπτομεν δὲ καὶ τὸ μεσώριον τῆς θ' ὥρας. Δεῦτε προσκυνήσωμεν γ', ψαλμὸς ρβ', ψαλμὸς ρλζ', ψαλμὸς ρλθ' καὶ μετὰ τούτους τὸν ν', Τρισάγιον, μετανοίας γ', μετὰ τὸ Πάτερ ἡμῶν, τροπάριον· Ὄμματι εὐσπλαγχνίας, Κύριε, Δόξα, Ὡς ἡ πόρνη προσπίπτω σοι, Καὶ νῦν, Χαριστήριον οἶκον χρεωστικῶς, τὸ Κύριε ἐλέησον μ', μετανοίας γ'. Καὶ μεθιστάμενοι τῶν ψιαθίων ἀπαρχόμεθα τῶν τυπικῶν, τοὺς μακαρισμοὺς τῆς ἡμέρας εἰς τὴν Ὀκτώηχον, πρὸς τὸν ἐνεστῶτα ἦχον, ἀναγινώσκεται ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας, καὶ πάλιν ἀπερχόμενοι ἐν τοῖς ψιαθίοις ἡμῶν, λέγομεν τὸ Μνήσθητι ἡμῶν, Κύριε, χύμα, μετανοίας γ', Χορὸς ὁ ἐπουράνιος, Δόξα, Χορὸς ἁγίων ἀγγέλων, Καὶ νῦν, Πιστεύω εἰς ἕνα Θεόν, εἶτα τὸ Ἄνες ἄφες. Μετὰ δὲ τὸ Πάτερ ἡμῶν, λέγει κοντάκιον, ἦχος β'. Τὴν ἐν πρεσβείαις, Δόξα, Μετὰ τῶν ἁγίων ἀνάπαυσον, Καὶ νῦν, Προστασία τῶν χριστιανῶν, τὸ Κύριε ἐλέησον μ', εἶθ' οὕτως· Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον, ἐκ τρίτου, μετανοίας γ', εἶτα τὸν λγ' ψαλμόν. Μετὰ δὲ τὴν τούτου συμπλήρωσιν τελείαν ἀπόλυσιν. Ἀπερχομένων δὲ ἡμῶν ἐν τοῖς κελλίοις ἡμῶν καὶ μικρὸν ἀδειαζόντων, κρούει τὸ μέγα καὶ συναγόμεθα ἐν τῇ ἐκκλησίᾳ, καὶ εἰ

μέν ἐστιν Ἀλληλούια, γίνεται ἀκολουθία τοῦ ἑσπερινοῦ, ὡς προγέγραπται, εἰ δὲ Θεὸς Κύριος γίνεται ἑορτάσιμος.

О началѣ службъ, когда поется «Богъ Господь», см. ниже въ описаніи Пантократорскаго Типикона.

Ἰστέον, ὅτι τὰ μεσώρια τῆς γ' ὥρας καὶ τῆς ϛ' πάντοτε ἐν τῇ ἐκκλησίᾳ ψάλλονται, τῆς δὲ α' ὥρας τὸ μεσώριον ἐν τοῖς κελλίοις ψάλλομεν αὐτό, τῆς δὲ θ' ὥρας, ὅταν ἔχωμεν Ἀλληλούια, ψάλλεται ἐν τῇ ἐκκλησίᾳ, ὅταν δὲ Θεὸς Κύριος ψάλλομεν καὶ αὐτὸ ἐν τῷ κελλίῳ ἡμῶν. Ἡ δὲ ἀκολουθία τοῦ μεσωρίου τῆς α' ὥρας γίνεται οὕτως· Τρισάγιον, τὸ Πάτερ ἡμῶν, Δεῦτε προσκυνήσωμεν γ', μετανοίας γ' καὶ ἀπαρχόμεθα τοῦ με' ψαλμοῦ· Ὁ Θεὸς ἡμῶν καταφυγή, ψαλμὸς ϙα', ψαλμὸς ϟβ', εἶτα ν' ψαλμός, Ἐλέησόν με ὁ Θεός, Τρισάγιον, τὸ Πάτερ ἡμῶν, τροπάριον, Ταῖς τῶν δακρύων, Δόξα, τοῦ κατὰ τὴν ἡμέραν ἁγίου Καὶ νῦν, θεοτοκίον, τὸ Κύριε ἐλέησον μ' καὶ ἀπόλυσις.

Замѣчанія объ екклисіархѣ, о чтеніи Толковаго евангелія, о литургіяхъ, о чтеніи утреннихъ евангелій, о раздачѣ воды послѣ трапезы и о пѣніи Богородичнаго канона см. Тип. XIII в. библ. лавры пр. Аѳанасія Аѳонскаго. № 98 Ω'.

[л. 10 об.) Σύναψις τῶν δώδεκα μηνῶν τοῦ ἐνιαυτοῦ ἀπὸ Σεπτεμβρίου μηνὸς μέχρι τῆς τοῦ Αὐγούστου συμπληρώσεως.

[л. 20). Κυριακῇ μετὰ τὴν ὕψωσιν ἀναγινώσκεται τὸ Συνοδικὸν τῆς ϛ' συνόδου καὶ μνήμη τοῦ ἁγίου Συμεὼν τοῦ κατὰ σάρκα συγγενοῦς τοῦ Κυρίου.

[л. 21). Δεῖ εἰδέναι ὅτι ἀπὸ ταύτης τῆς ἁγίας κυριακῆς μετὰ τὴν ὕψωσιν ἀρχόμεθα ψάλλειν εἰς τὸν ὄρθρον καθίσματα γ' καὶ εἰς τὸ λυχνικὸν τὰ Πρὸς Κύριον καὶ εἰς τὴν ἀγρυπνίαν τὸν πολυέλαιον.

Недостаетъ листовъ, содержащихъ въ себѣ службы отъ 1 Ноября до 26 Декабря и съ 7 Января по 7 Февраля. Нѣкоторыя особенности въ службѣ праздника Благовѣщенія отмѣчены нами въ примѣчаніяхъ къ Описанію Типикона XIII в. лавры пр. Аѳанасія Аѳонскаго № 98 Ω'.

5 Іюля положено праздновать, вмѣстѣ съ преподобнымъ отцемъ Лампадою и матерью Симеона Столпника Мароою, память Аѳанасія Аѳонскаго. Службы ему нѣтъ.

1 Августа память братьевъ Маккавеевъ. Δεῖ εἰδέναι, ὅτι μετὰ τὸ πληρῶσαι τὴν ἀκολουθίαν τοῦ ὄρθρου, ποιοῦμεν προσκύνησιν τῶν τιμίων ξύλων κατὰ τὴν τάξιν τῆς τρίτης κυριακῆς τῶν νηστειῶν.

[л. 64 об.). Δεῖ εἰδέναι, ὅτι παράδοσιν ἔχομεν, ἵνα κατὰ τὴν κοίμησιν τῆς Ὑπεραγίας Θεοτόκου ἐσθίωμεν σταφυλάς· εὐλογοῦνται δὲ παρὰ τοῦ ἱερέως ἐν τῇ ἐκκλησίᾳ μετὰ τοῦ κατακλαστοῦ παρ' αὐτοῦ διδομένου. Ὁ δέ γε φωραθησόμενος ἀδελφὸς πρὸ τῆς τοιαύτης ἑορτῆς σταφυλὰς ἐσθίων τῆς παρακοῆς ἕξει τὸ ἐπιτίμιον, μὴ ἀπογεύσασθαι σταφυλῆς παρ' ὅλον τὸν Αὔγουστον μῆνα, ὡς τῶν ἐντολῶν τοὺς θεσμοὺς παραβάς, ὡς ἂν οὕτω μεταμάθῃ ἀσμενίζειν αὐτοῖς. Ἡ αὐτὴ δὲ παρατήρησις κρατήσει πάντως καὶ ἐπὶ τοῖς ἐργαζομένοις ἀδελφοῖς ἀμπελῶνας, εἰ φωραθεῖεν ἐπὶ τῇ παρούσῃ ἐντολῇ παραβαίνοντες. Σταφυλὰς δὲ μετὰ τὴν ἑορτὴν τρὶς τῆς ἑβδομάδος ὀφείλουσι προτίθεσθαι καὶ τρίτον αὐτῶν ἐσθίειν τοὺς ἀδελφούς. Τὸ αὐτὸ γίνεσθαι καὶ ἐπὶ τῶν σύκων καὶ τῶν λοιπῶν ὀπωρῶν, κατὰ τοὺς καιροὺς δηλονότι τούτων. Ταῦτα δὲ λέγομεν ἐκτὸς τῶν ἀπὸ σικυηλάτων χορηγουμένων· ἐσθίειν γὰρ ταῦτα καθ' ἑκάστην συγχωροῦμεν τοὺς ἀδελφοὺς Слич. ркп. Савв. библ. л. 194.

[л. 66). Ἀκολουθία τῆς ἁγίας τεσσαρακοστῆς.

Δεῖ γινώσκειν, ὅτι τὴν ἑβδομάδα τῆς ἀπόκρεω, Ἀλληλούια οὐ ψάλλομεν· ἐκκόπτομεν δὲ καὶ τὸ ἓν κάθισμα ἀπὸ τοῦ ὄρθρου, καὶ ψάλλομεν αὐτὸ εἰς τὸν ἑσπερινὸν ἀντὶ τῶν Πρὸς Κύριον. Ὡσαύτως δὲ ποιοῦμεν καὶ ἐν τῇ ἑβδομάδι τῆς τυροφάγου [1]). Ἰστέον, ὅτι τὴν ἀκολουθίαν τῶν λαγχανόντων ἁγίων τῷ σαββάτῳ καὶ τῇ κυριακῇ τῆς ἀπόκρεω ψάλλομεν ἐν τοῖς παρελθοῦσιν ἀποδείπνοις (л. 67).

Въ службѣ пятницы мясопустной поется канонъ ποίημα τοῦ κυρίου Θεοδώρου (л. 67).

Ἰστέον [2]), ὅτι ἐν Παλαιστίνῃ οὐ παρελάβομεν ὑπὸ τῶν πατέρων τῶν ἁγίων ποιεῖν τῇ τετράδι καὶ τῇ παρασκευῇ τῆς τυροφάγου λειτουργίαν τελείαν οὔτε προηγιασμένων. Ἐν δὲ ταῖς δυσὶ ταύταις ἡμέραις ψάλλομεν Ἀλληλούια, ποιοῦντες καὶ τὰς συνήθεις μετανοίας ἐν τῷ ὄρθρῳ, εἰς τὰς ὥρας καὶ εἰς τὸν ἑσπερινόν. Μετὰ δὲ τὴν ἀπόλυσιν εἰσερχόμεθα ἐν τῇ τραπέζῃ καὶ ἐσθίομεν καὶ τυρὸν καὶ ὠά, εὐχαριστοῦντες τῷ Θεῷ, μεταλαμβάνομεν δὲ καὶ οἶνον, ὡς ἔθος ἐστίν.

Χρὴ εἰδέναι, ὅτι τῇ τετράδι τῆς τυρινῆς εἰς τὸν ὄρθρον ἀναγινώσκομεν τὸν περὶ νηστείας λόγον τοῦ Μεγάλου Βασιλείου, οὗ ἡ ἀρχή· Πα-

---

[1]) Ркп. Синайск. библ. № 1096: τῇ δὲ τετράδι καὶ παρασκευῇ ψάλλομεν ἀλληλούια καὶ ἐκτελοῦμεν κατὰ τὸν παρακολουθήσαντα τύπον. [2]) Тоже въ ркп. № 1096.

ρακαλεῖτε, φησίν, οἱ ἱερεῖς τὸν λαόν· ὁμοίως καὶ τῇ παρασκευῇ ἀναγινώσκωμεν ἕτερον λόγον τὸν περὶ νηστείας· Σαλπίσατε, φησίν, ἐν νεομηνίᾳ.

Δεῖ γινώσκειν, ὅτι κατὰ παρασκευὴν εἰς τὸ λυχνικόν, ἐὰν θέλῃ γενέσθαι προηγιασμένων, κρατοῦσι στίχους η', ἀπὸ τοῦ Ἐκ βαθέων ἐκέκραξα καὶ δευτεροῦμεν τὸ ἰδιόμελον τῆς ἡμέρας, εἶτα τοῦ κατὰ τὴν ἡμέραν ἁγίου τὰ γ' προσόμοια, καὶ τὰ γ' μαρτυρικὰ τῆς Ὀκτωήχου, Δόξα μαρτυρικὸν τοῦ ἤχου, Καὶ νῦν θεοτοκίον τὸ α', εἴσοδος καὶ ἡ ἀκολουθία τῶν προηγιασμένων. Εἰ δὲ τύχοι παρασκευὴ καὶ οὐ γίνεται προηγιασμένων, ἱστῶμεν στίχους ς' καὶ ψάλλομεν τοῦ Μηναίου τὰ γ', καὶ γ' μαρτυρικά, Δόξα καὶ νῦν θεοτοκίον τὸ α', εἰς τὸν στίχον δευτεροῦμεν τὸ ἰδιόμελον τῆς ἡμέρας καὶ μαρτυρικὸν εἰς τὸν αὐτὸν ἦχον, Δόξα, νέον ἰδιόμελον ἐκ τοῦ κυρίου Ἰωάννου, Καὶ νῦν, θεοτοκίον. Δεῖ γινώσκειν, ὅτι τελεῖται οὕτως ἡ ἀκολουθία τοῦ λυχνικοῦ καθ' ἑκάστην παρασκευὴν ἀπὸ τῆς παρασκευῆς τῆς β' ἑβδομάδος μέχρι τῆς πέμπτης ἑβδομάδος (**л. 68**).

Ἰστέον καὶ τοῦτο, ὅτι καθ' ἑκάστην κυριακήν, ἤγουν ἀπὸ τῆς τυροφάγου μέχρι τῆς πέμπτης κυριακῆς τῶν νηστειῶν, ἑσπέρᾳ εἰς τὸ Κύριε ἐκέκραξα ψάλλομεν εἰς τὸν κατὰ τὴν ἡμέραν ἦχον, ἱστῶμεν δὲ στίχους ιβ' ἀπὸ τοῦ Πρόσχες τὴν δέησιν, καὶ λέγομεν κατανυκτικὰ δ' τῆς Ὀκτωήχου καὶ εἰς τὸ Τριῴδιον τὰ προσόμοια τοῦ κυρίου Ἰωσὴφ τοῦ ποιητοῦ β', καὶ τοῦ κυρίου Θεοδώρου τοῦ Στουδίτου α', καὶ δευτεροῦμεν αὐτό, καὶ τοῦ κατὰ τὴν ἡμέραν ἁγίου γ' καὶ δευτεροῦμεν τὸ α', Δόξα καὶ νῦν, θεοτοκίον, εἰς τὸν στίχον τὸ ἰδιόμελον τῆς ἡμέρας καὶ δευτεροῦμεν αὐτὸ κατὰ τὸν τύπον, μαρτυρικὸν εἰς τὸν αὐτὸν ἦχον, Δόξα καὶ νῦν, θεοτοκίον. Οὕτως οὖν γίνεται ἡ ἀκολουθία τῶν κυριακῶν, ὡς προγέγραπται (**л. 69**).

Отъ недѣли сыропустной до 20 Сентября поліелей не поется (**л. 70**).

О молитвѣ «Господи и Владыко живота» не говорится на вечерни сыропустной недѣли, а лишь замѣчается, что ποιοῦμεν μετανοίας γ' μεγάλας καὶ ἀπερχόμεθα, καὶ προσκυνήσας ἀσπαζόμενος τὰς ἁγίας εἰκόνας ἄρχεται ὁ προεστὼς τὸ Δόξα σοι, ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν δόξα σοι (**л. 70 об.**).

[л. 71). Ἀρχὴ σὺν Θεῷ τῆς ἁγίας ἑβδομάδος τῆς ἁγίας μ'.

Τῇ δευτέρᾳ τῆς πρώτης ἑβρομάδος εἰς τὸν ὄρθρον σημαίνει βρα-

δύτερον διὰ τὴν ἑσπερινὴν παράκλησιν καὶ κατὰ τὸν τύπον [1]) συναγόμεθα πάντες ἐν τῇ ἐκκλησίᾳ, εἶθ' οὕτως ἀνίσταται ὁ ἱερεὺς [2]) καὶ βαλὼν τῷ προεστῶτι μετάνοιαν, εἰσέρχεται εἰς τὸ ἅγιον βῆμα, καὶ λαβὼν τὸν θυμιατόν, ἵσταται κατενώπιον τῆς ἁγίας τραπέζης καὶ θυμιῶν σταυροειδῶς λέγει· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε. Καὶ ἀποκρινομένων ἡμῶν [3]) τὸ Ἀμήν, ψάλλεται [4]) τὸ Τρισάγιον· μετάνοιαν [5]) δὲ οὐ ποιοῦμεν. Μετὰ δὲ τὸ Πάτερ ἡμῶν ἐκφωνεῖ ὁ ἱερεύς [6])· Ὅτι σοῦ ἐστί. Καὶ μετὰ τὸ Ἀμὴν τὸ Κύριε ἐλέησον ιβ', καὶ εὐθὺς τὸ Δόξα ἐν ὑψίστοις Θεῷ ἄνευ μετανοιῶν, εἶτα τὸ ἑξάψαλμον [7]) μετὰ πάσης προσοχῆς καὶ φόβου [8]) Θεοῦ, ὡς αὐτῷ συλλαλοῦντες ἀοράτως καὶ δυσωποῦντες αὐτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν [9]). Ὁ διάκονος συναπτήν, ὁ ἱερεὺς τὴν ἐκφώνησιν, εἶτα ψάλλει τὸ Ἀλληλούια εἰς τὸν ἦχον ὁ ταχθεὶς μοναχός, καὶ ἡμεῖς τὰ Τριαδικὰ τοῦ ἤχου ἢ τὰ γ' πρὸς μίαν ἢ τὸ ἓν τρισσῶς, ὡς δοκεῖ τῷ προεστῶτι. Κανοναρχοῦνται δὲ ἐν τῷ ἀναλογίῳ καὶ ψάλλονται μεγαλοφώνως καὶ μετὰ μέλους ἀργῶς. Εἶτα στιχολογεῖ τὸ Ἀλληλούια τοῦ ἦχου. Κατὰ δὲ τὸ ἀντίφωνον, εἰς τὸ Ἀλληλούια ποιοῦμεν γ' μετανοίας ἐξ ἰσότητος [10]), λέγει δὲ εἰς τὸ α' κάθισμα, καθίσματα τῆς Ὀκτωήχου [11]) καὶ ἀναγινώσκει εἰς τὴν Κλίμακα. Εἰς δὲ τὸ β' κάθισμα [12]) τοῦ κυρίου Ἰωσὴφ καὶ εἰς τὸ γ' [13]) τοῦ κυρίου Θεοδώρου, καὶ πάλιν [14]) ἀναγινώσκει ὁμοίως, ὁ ν', ἡ συνήθης εὐχή [15]), καὶ λέγει ὁ ἱερεὺς τὴν ἐκφώνησιν, καὶ ἀρχόμεθα· Τῷ Κυρίῳ ᾄσωμεν εἰς τὸν ἦχον τοῦ Τριῳδίου, κρατοῦμεν δὲ στίχους ις' [16]) καὶ ποιοῦμεν τὰ δ' τροπάρια τοῦ κυρίου Ἰωσήφ, ς' μετὰ τοῦ εἱρμοῦ [17])

---

[1]) Ркп. Синайск. библ. № 1096 χθεσινῆς ἑσπέρας. [2]) ὁ ἑβδομαδάριος [3]) καὶ λέγομεν ἡμεῖς [4]) ψάλλομεν [5]) χωρὶς μετανοιῶν παρὰ τοῦ ἡγουμένου ἢ ἐκκλησιάρχου ἢ παρ' ἀμφοτέρων, ὡς δοκεῖ τῷ προεστῶτι [6]) ἀπὸ τοῦ βήματος [7]) ἀργῶς [8]) Этихъ словъ до конца замѣчанія нѣтъ [9]) ὁ δὲ ἱερεὺς θυμιᾷ κατὰ τὸν τύπον, καὶ μετὰ τὸν μεσασμὸν ἑξάψαλμον, λέγει τὰς συνήθεις εὐχὰς ἔμπροσθεν τῶν ἁγίων θυρῶν, καὶ εἰς τὴν πλήρωσιν τοῦ ἑξαψάλμου τὴν συναπτὴν καὶ τὴν ἐκφώνησιν, εἶτα ὁ ταχθεὶς μοναχὸς ψάλλει τὸ Ἀλληλούια εἰς ἦχον τῆς Ὀκτωήχου, στίχοι· Ἐπὶ τῆς γῆς ἀληθείας, Πρόσθες κακὰ τοῖς, Οὕτως ἐγενήθημεν καὶ ψάλλομεν ἓν τριαδικὸν ἐκ τρίτου, τῇ β', τῇ γ' καὶ τῇ δ'. τῇ δὲ πέμπτῃ καὶ παρασκευῇ ψάλλομεν, τὰ τρία πρὸς α', ἀργῶς δὲ μεγαλοφώνως καὶ μετὰ μέλους· κανοναρχοῦνται δὲ ἐν τῷ ἀναλογίῳ, ἐκεῖνος δὲ βάλλει μετάνοιαν· εἶτα στιχολογοῦμεν τὸ πρῶτον Ἀλληλούια [10]) ἐξ ἴσου ἱστάμενοι στοιχηδὸν εἰς τὸ πρῶτον [11]) β' ἤγουν ὁ μέλλων ἀναγινώσκειν α' καὶ ἡμεῖς τὸ ἕτερον, κανοναρχοῦντος αὐτοῦ ἱσταμένου ἐν τῷ ἀναλογίῳ, Δόξα καὶ νῦν, ἐκεῖνος, ἡμεῖς θεοτοκίον, ἀνάγνωσις εἰς τὴν Κλίμακα ἢ εἰς τὸν ἅγιον Ἐφραίμ. Δεῖ γινώσκειν, ὅτι ἐν πάσῃ τῇ ἁγίᾳ μ' οὐ πλέον τῶν τριῶν φύλλων ἀναγινώσκομεν, ἔν τε τῷ ὄρθρῳ καὶ ταῖς ὥραις [12]) λέγει τοῦ Τριῳδίου τὸ α' τοῦ κυρίου [13]) λέγει τοῦ Τριῳδίου τὸ β' [14]) καὶ ἀνάγνωσις [15]) παρὰ τοῦ ἱερέως [16]) ἱστῶμεν ιδ' καὶ ψάλλομεν μετὰ προσοχῆς καὶ κατανύξεως, ποιοῦντες τὰ δ' τροπάρια . [17]) Нѣтъ

καὶ [1]) η′ τοῦ Θεοδώρου, ὡσαύτως χωρὶς τοῦ εἱρμοῦ, δευτεροῦντες τὸ ἓν τροπάριον, εἶτα τοῦ κατὰ τὴν ἡμέραν ἁγίου εἰς τὸ Μηναῖον. Καὶ οὕτω ποιοῦμεν ὅλην τὴν ἁγίαν μ′. Ἀπὸ γ′ ᾠδῆς κάθισμα τοῦ Μηναίου καὶ αὖθις ἀνάγνωσμα εἰς τὴν Κλίμακα [2]), ἀπὸ δὲ ς′ ᾠδῆς κάθισμα μαρτυρικὸν τοῦ ἤχου καὶ ἀναγινώσκει τὸ Συναξάριον [3]), εἰς τοὺς αἴνους στιχηρὰ οὐ ψάλλομεν. Μετὰ δὲ τὸ εἰπεῖν· Σοὶ δόξα πρέπει, Κύριε, ἀπερχόμεθα οἱ β′ χοροὶ ἐν τῇ ψιαθίῳ καὶ ἱστάμενοι ἐν ἰσότητι, ἀρχόμεθα τοῦ Δόξα ἐν ὑψίστοις Θεῷ, πραείᾳ καὶ ἴσῃ τῇ φωνῇ, πάντες ποιοῦντες καὶ μετανοίας γ′. Καὶ λέγει ὁ ἱερεὺς τὰς αἰτήσεις. Μετὰ δὲ τὴν ἐκφώνησιν ψάλλομεν τὸ ἴδιον τῆς ἡμέρας [4]) καὶ δευτεροῦμεν αὐτό· λέγεται καὶ μαρτυρικὸν εἰς τὸν ἦχον, Δόξα [5]) καὶ νῦν, θεοτοκίον, εἶτα Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι **(л. 72)** ἐκ τρίτου [6]) ἄνευ μετανοίας, τὸ Τρισάγιον, μετανοίας γ′. Μετὰ δὲ τὸ Πάτερ ἡμῶν ἐκφωνεῖ ὁ ἱερεύς· Ὅτι Σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἀποκρινόμεθα [7]) τὸ Ἀμήν, τὸ Κύριε ἐλέησον μ′ καὶ ἐπεύχεται ὁ ἱερεύς· Ὁ ὢν εὐλογητὸς [Θεὸς ἡμῶν, εἶτα [8]) ἱστάμεθα μικρόν, εὐχόμενοι καθ' ἑαυτοὺς ἐν τῷ ἰδίῳ λογισμῷ τὴν εὐχὴν ταύτην [9])· Κύριε καὶ Δέσποτα, τῆς ζωῆς μου... Εἶθ' οὕτως ἐπίσης πάντες τὸ γόνυ κλίνοντες, τὴν εὐχὴν λέγομεν ἐν ταῖς γ′ μεγάλαις μετανοίαις, προηγουμένου τοῦ προεστῶτος ἢ τοῦ ἐκκλησιάρχου. Μετὰ δὲ ταύτας μετανοίας ιβ′ ἀργοὺς διὰ τὸ ἰσάζειν πάντας, ἐν δὲ τῇ ιβ′ λέγομεν πάλιν τὴν προγραφεῖσαν εὐχὴν κλινόμενοι ὡσαύτως καὶ ἀνιστάμενοι, εἶτα [10]) ἄρχεται ὁ προεστώς· Δεῦτε προσκυνήσωμεν ἐκ γ′, καὶ μετανοίας γ′, καὶ ψάλλομεν τὴν α′ ὥραν τρίψαλμον. Εἰς τὸ πλήρωμα τοῦ τριψάλμου εἰς τὸ Ἀλληλούια μετανοίας γ′. Δεῖ εἰδέναι, ὅτι τὰς δευτεροπαρασκευὰς τῆς ἁγίας μ′ εἰς τὴν α′ ὥραν οὐ στιχολογεῖται, τὰς δὲ λοιπὰς ἡμέρας στιχολογεῖται, ψαλλομένου τοῦ Ἀλληλούια τοῦ καθίσματος εἰς ἦχον πλ. β′ πρὸς τὸ Μακάριος ἀνήρ. Κατὰ δὲ τὰ ἀντίφωνα ποιοῦμεν μετανοίας γ′. Ὅταν δὲ πληρωθῇ τὸ κάθισμα, ψάλλει ὁ ταχθεὶς μοναχὸς εἰς ἦχον πλ. β′ τὸ Πρωῒ εἰσάκουσον τῆς φωνῆς μου. Καὶ ἡμῶν ἀνταποκρινομένων, ὁ αὐτὸς ποιεῖ γονυκλισίαν ἀπὸ γῆς, ὡσαύτως

---

[1]) ε′, τοῦ δὲ κυροῦ Θεοδώρου τὰ ε′. Καὶ εἶτα ψάλλομεν τὸ Μηναῖον [2]) Нѣтъ [3]) εἰς τὸ Συναξάριον, ὡς ἔθος, τοῦ κατὰ τὴν ἡμέραν ἁγίου, ἐξαποστειλάριον, φωταγωγικὸν τοῦ ἤχου, οἱ αἶνοι, Δόξα ἐν ὑψίστοις, μετανοίας γ′, [4]) κατὰ τὸν τύπον δὶς [5]) Δόξα τοῦ ἁγίου εἰς τὸν ἦχον καὶ θεοτοκίον [6]) δὶς [7]) Καὶ μετὰ τὸ Ἀμὴν [8]) Μετὰ δὲ τοῦτο [9]) τοῦ ὁσίου πατρὸς ἡμῶν Ἐφραὶμ [10]) μικρὸν ἀναπνεύσαντες λέγει ἄρξαντος τοῦ προεστῶτος ἢ τοῦ ἐκκλησιάρχου.

καὶ εἰς τοὺς β' λοιποὺς στίχους, στίχος α' Τὰ ῥήματά μου, στίχος β' Ὅτι πρὸς σὲ προσεύξομαι, Δόξα καὶ νῦν, Τί σε καλέσωμεν, μετανοίας γ', εἶθ' οὕτως· Τὰ διαβήματά μου τρίτον μεγαλοφώνως καὶ ἀργῶς, τὸ Πληρωθήτω γ', τὸ Τρισάγιον, μετανοίας γ'. Μετὰ δὲ τὸ Πάτερ ἡμῶν, ἐκφωνοῦντος τοῦ ἱερέως· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, ἡμεῖς ἀνταποκρινόμεθα τὸ Ἀμήν, τὸ Κύριε ἐλέησον μ', ἐπεύχεται ὁ ἱερεύς· Ὁ Θεός, οἰκτείρησον ἡμᾶς, καὶ ποιοῦμεν μετανοίας γ' μεγάλας, λέγοντες καὶ τὴν εὐχήν, καθὼς προγέγραπται. Εἶθ' οὕτως ποιοῦμεν καὶ τὰς ιβ' καὶ ἐν τῇ ιβ' μετανοίᾳ, ποιοῦμεν, ὡς εἴρηται, καὶ μικρὸν ἡσυχάσαντες, ἀρχόμεθα τοῦ πρώτου τοῦ Τρισαγίου, ποιοῦμεν μετανοίας γ', καὶ ἀπερχόμεθα καὶ ἀσπαζόμεθα τὰς ἁγίας εἰκόνας. Μετὰ δὲ τὸ Πάτερ ἡμῶν, τὸ Κύριε ἐλέησον ιβ', τὸ Δόξα σοι ὁ Θεὸς ἡ ἐλπὶς ἡμῶν, εὐχὴ καὶ ἀπόλυσις. Οὗτος ὁ τύπος γίνεται κατὰ πᾶσαν τὴν μ' ἐν τῷ ὄρθρῳ καὶ τῇ α' ὥρᾳ.

Ἀκολουθία τῆς γ' ὥρας. Ὥρα γ' κρούει τὰ γ' ὁ κανδηλάπτης καὶ συναγόμεθα ἐν τῇ ἐκκλησίᾳ, ποιοῦντος καθ' ἑνὸς ἡμῶν (л. 73) ἔμπροσθεν τῶν ἁγίων θυρῶν μετανοίας γ', καὶ ἀσπαζόμεθα τὰς εἰκόνας, εἶτα ἑτέραν μετάνοιαν μίαν, ὁμοίως εἰς τοὺς χοροὺς πρὸς μίαν, καὶ εὐλογήσαντος τοῦ ἱερέως, ἀρχόμεθα τοῦ Τρισαγίου καὶ μετανοίας γ'. Μετὰ τὸ Πάτερ ἡμῶν, ἐκφωνοῦντος τοῦ ἱερέως· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, λέγει τὸ Ἀμήν, τὸ Κύριε ἐλέησον ιβ', εἶτα Δεῦτε προσκυνήσωμεν, μετανοίας γ', καὶ ψάλλομεν τὸν ἕνα ψαλμὸν τὸν ν' Ἐλέησόν με, ὁ Θεός [1]). Οὕτως γὰρ ψάλλομεν τὰς ὥρας εἰς τὴν ἁγίαν λαύραν μονόψαλμον, ὅταν στιχολογοῦμεν. Εἰς δὲ τὸ πλήρωμα τοῦ ν' Ἀλληλούια γ', καὶ μετανοίας γ', καὶ ἀρχόμεθα τῆς στιχολογίας εἰς ἦχον πλ. β', ἤγουν τοῦ β' καθίσματος τὸ Ἀλληλούια. Κατὰ δὲ τὰ ἀντίφωνα μετανοίας γ', μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ καθίσματος ἄρχεται [2]) ὁ ταχθεὶς μοναχὸς τροπάριον [3]) εἰς πλ. β'· Κύριε, ὁ τὸ πανάγιόν σου Πνεῦμα [4]). Καὶ ἡμῶν ἀντιφωνούντων [5]), ὁ αὐτὸς ποιεῖ μετάνοιαν ἀπὸ γῆς ὡσαύτως [6]) καὶ εἰς τοὺς λοιποὺς στίχους, στίχος α'· Καρδίαν καθαράν, στίχος β'· Μὴ ἀποῤῥίψῃς με, Δόξα καὶ νῦν [7]), καὶ λέγει θεοτοκίον· Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, μετανοίας γ'. καὶ εὐθὺς [8]) ἀναγινώσκει εἰς τὸ Πατερικόν. Μετὰ δὲ τὴν

---

[1]) Въ ркп. 1095 всѣ три псалма [2]) Ркп. № 1096 ψάλλει [3]) Нѣтъ [4]) ἀργῶς καὶ μεγαλοφώνως [5]) ὁμοίως τὸ αὐτὸ [6]) Нѣтъ [7]) ἐκεῖνος, ἡμεῖς. Θεοτόκε [8]) καθήμεθα καὶ γίνεται ἀνάγνωσις εἰς τὸ Πατερικὸν (Замѣтка о будителѣ).

ἀνάγνωσιν, Κύριος ὁ Θεὸς εὐλογητός [1]), τὸ τρισάγιον καὶ μετανοίας γ'. Μετὰ δὲ τὸ Τρισάγιον ἐκφωνεῖ ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία [2]), τροπάριον, ἦχος πλ. β' Βασιλεῦ οὐράνιε, τὸ Κύριε ἐλέησον. Καὶ ἐπευχομένου τοῦ ἱερέως, ποιοῦμεν [3]) μετανοίας [4]) γ' μεγάλας, λεγομένης καὶ τῆς προγεγραμμένης εὐχῆς, εἶτα καὶ τὰς ἑτέρας ιβ' μετανοίας ἀργῶς διὰ τὸ ἰσάζειν πάντας [5]), καί, εὐχομένων ἡμῶν μεθ' ἡσυχίας μικρόν, ἄρχεται ὁ προεστὼς τῆς εὐχῆς· Δέσποτα Θεὲ Πάτερ παντοκράτορ. Ὁ δὲ κανδηλάπτης, βαλὼν τὴν συνήθη μετάνοιαν τῷ προεστῶτι, ἀπέρχεται καὶ σημαίνει [6]) τὴν ς' καὶ εὐθὺς συνάπτομεν καὶ τὴν ς', οὐ λέγεται δὲ Τρισάγιον, ἀλλὰ Δεῦτε προσκυνήσωμεν γ', μετανοίας γ', ψαλλόντων ἡμῶν τὸ Ὁ κατοικῶν. Γίνονται εἰς τὸ πλήρωμα τοῦ ψαλμοῦ εἰς τὸ Ἀλληλούια μετάνοιαι γ', καὶ ἀρχόμεθα [7]) τῆς στιχολογίας εἰς ἦχον β' τοῦ α' [8]) καθίσματος τῶν ἀλληλουαρίων· ὁ δὲ ταχθεὶς μοναχὸς ψάλλει τροπάριον εἰς ἦχον β'· Ὁ ἐν ἕκτῃ ἡμέρᾳ [9]), στίχος α Ἐνώτισαι, ὁ Θεός, τὴν προσευχήν, στίχος β'· Ἐγὼ [10]) πρὸς τὸν Θεόν, ποιῶν καὶ τὰς μετανοίας, ὡς προγέγραπται, Δόξα καὶ νῦν, Ὅτι οὐκ ἔχομεν παῤῥησίαν γ' [11]). Δεῖ γινώσκειν, ὅτι εἰς τὴν λαύραν τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα εἰς τὴν α' ὥραν λέγομεν προφητείαν, διὰ τὸ μὴ πάντας συνάγεσθαι εἰς τὰς γ' ἢ εἰς τὰς ς' ὥρας. Εἶτα μετὰ τὸ ψαλεῖν τὸ θεοτοκίον καὶ ποιῆσαι τὰς μετανοίας, ψάλλει τὸ τροπάριον τῆς προφητείας ὁ ταχθεὶς μοναχός, ὁ διενεργήσας τὴν ἀκολουθίαν τοῦ ὄρθρου. Μετὰ τοῦτο ἡμεῖς, εἶθ' οὕτως δοξάζει, καὶ λέγει τὸ πλήρωμα τοῦ αὐτοῦ τροπάριον, καὶ πάλιν ἀρχόμενοι πληροῦμεν αὐτό, ἔπειτα τὸ ἐνόρδινον προκείμενον, εἶτα ἡ προφητεία, καὶ πάλιν προκείμενον, ἀνάγνωσις εἰς τὸ Γεροντικόν. Μετὰ ταῦτα δὲ Ταχὺ **(л. 74)** προκατελαβέτωσαν, τὸ Τρισάγιον, μετανοίας γ', μετὰ δὲ τὸ Πάτερ ἡμῶν ἐκφωνεῖ ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βα-

---

[1]) δὶς χωρὶς μετανοιῶν [2]) Καὶ μετὰ τὸ Ἀμήν, Κύριε ἐλέησον μ', καὶ ἐπευχομένου τοῦ ἱερέως [3]) βάλλομεν [4]) ἀργῶς [5]) Εἶτα μικρὸν ἀναπνεύσαντες ἄρχεται ὁ προεστώς· Δεῦτε προσκυνήσωμεν γ', μετανοίας γ', ὁ δὲ κανδηλάπτης [6]) κρούει ς' καὶ τὸ σίδηρον καὶ ψάλλομεν Ὁ κατοικῶν ἐν βοηθείᾳ, εἰς τὸ Ἀλληλούια [7]) Нѣтъ [8]) τοῦ γ' καθίσματος τὰ ἀλληλουάρια εἶτα ψάλλει ὁ ταχθεὶς μοναχὸς ἦχος β' [9]) ποιῶν τὰς μετανοίας, ὡς εἴρηται [10]) Στίχους β'· Ἑσπέρας καὶ πρωὶ [11]) μετανοίας γ' καὶ ἀνάγνωσις εἰς το αὐτὸ Πατερικόν, καὶ μετὰ ταῦτα. Ταχὺ προκαταλαβέτωσαν δὶς χωρὶς μετανοιῶν, ἡ ἐκφώνησις, τὸ Κύριε ἐλέησον μ', ἡ εὐχὴ καὶ αἱ μετάνοιαι, ὡς προγέγραπται, καὶ τὸ τελευταῖον Τρισάγιον μετὰ τῶν γ' μετανοιῶν, τὸ Κύριε ἐλέησον ιβ' καὶ ἀπολυόμεθα. Οὕτως καὶ ὁ τύπος τάξις κ. τ. λ.

σιλεία, τροπάριον ἦχος β' Σωτηρίαν εἰργάσω, Δόξα, Τὴν ἄχραντον εἰκόνα σου, Καὶ νῦν Θεοτόκε μὴ παρίδῃς με, τὸ Κύριε ἐλέησον μ', καὶ λεγομένης εὐχῆς ὑπὸ τοῦ ἱερέως βάλλομεν τὰς μεγάλας μετανοίας, εὐχόμενοι καθ' ἑαυτούς, καὶ ἄρχεται ὁ προεστὼς τοῦ Τρισαγίου, μετανοίας γ' καὶ ἀπερχόμεθα καὶ ἀσπαζόμεθα τὰς ἁγίας εἰκόνας. Μετὰ δὲ τὸ Πάτερ ἡμῶν, τὸ Κύριε ἐλέησον ιβ', τὸ Δόξα σοι, ὁ Θεός, ἡ ἐλπίς, ἡμῶν ἡ εὐχὴ καὶ ἀπόλυσις. Οὗτος ὁ τύπος καὶ ἡ τάξις ὀφείλει γίνεσθαι κατὰ πᾶσαν τὴν ἁγίαν μ' ἐν ταῖς τριτοέκταις [1]).

Ἀκολουθία τῆς θ' ὥρας [2]). Ὥρα θ' κρούει ὁ κανδηλάπτης τὰ θ' καὶ συναγόμεθα ἐν τῇ ἐκκλησίᾳ [3]), καὶ εὐλογήσαντος τοῦ ἱερέως, ἀρχόμεθα τοῦ Τρισαγίου, μετανοίας γ', μετὰ δὲ τὸ Πάτερ ἡμῶν, ἐκφώνησις· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, τὸ Ἀμήν, τὸ Κύριε ἐλέησον ιβ', Δεῦτε προσκυνήσωμεν γ', μετανοίας γ' καὶ ψάλλομεν τὸν ψαλμόν· Κλῖνον, Κύριε, τὸ οὖς σου, εἰς δὲ τὸ τέλος τοῦ ψαλμοῦ εἰς τὸ Ἀλληλούια μετανοίας γ' καὶ ἀρχόμεθα τῆς στιχολογίας εἰς ἦχον πλ. δ' καὶ λέγει τὸ Ἀλληλούια τοῦ α' καθίσματος [4]), καθ' ἕκαστον δὲ ἀντίφωνον μετανοίας γ', εἰς δὲ τὸ πλήρωμα τοῦ καθίσματος ἄρχεται ὁ ταχθεὶς μοναχὸς τροπάριον, ἦχος πλ. δ' Ὁ ἐν τῇ θ' ὥρᾳ δι' ἡμᾶς στίχος α', Ἐγγισάτω ἡ δέησίς μου, στίχος β' Εἰσέλθοι τὸ ἀξίωμά μου, ποιεῖ δὲ καὶ μετανοίας, καθὼς προγέγραπται, Δόξα καὶ νῦν, Ὁ δι' ἡμᾶς γεννηθείς, μετανοίας γ', ἀνάγνωσις εἰς τὸ Πατερικόν. Μετὰ δὲ ταῦτα· Μὴ δὴ παρηδῴης [5]), τὸ Τρισάγιον, μετανοίας γ' [6]), τὸ Πάτερ ἡμῶν, ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν [7]), τροπάριον ἦχος πλ. δ' Βλέπων ὁ λῃστὴς καὶ θεοτοκίον· Τὸν ἀμνὸν καὶ ποιμένα, τὸ Κύριε ἐλέησον β', ὁ ἱερεὺς τὴν εὐχήν, καὶ ποιοῦμεν τὰς γ' μετανοίας τὰς μεγάλας, εὐχόμενοι καθ' ἑαυτοὺς τὴν προγεγραμμένην εὐχήν, εἶθ' οὕτως ἱστάμεθα κατὰ τάξιν εἰς τοὺς χορούς, καὶ ἄρχεται ᾧ ἁρμόζει ἐνάρξασθαι εἰς ἦχον πλ. δ'· Μνήσθητι ἡμῶν, Κύριε [8]), καὶ ψάλλομεν τοὺς μακαρισμοὺς εἰς τὸν αὐτὸν ἦχον [9]), Δόξα καὶ νῦν, εἶθ' οὕτως ἑνούμενοι οἱ β' χοροὶ [10])

---

[1]) πλὴν τῆς ἀναγνώσεως· εἰς γὰρ τὴν πρώτην ἑβδομάδα καὶ μόνην ἀνα γινώσκομεν εἰς τὴν ς' ὥραν [2]) τῶν μακαρισμῶν καὶ τοῦ ψυχικοῦ [3]) καὶ βάλλοντος τοῦ ἱερέως κατὰ τὸν τύπον μετάνοιαν τῷ προεστῶτι καὶ εὐλογήσαντος ἀρχόμεθα [4]) τὸ τροπάριον, ἦχος πλ. δ' Ὁ ἐν τῇ ἐννάτῃ ὥρᾳ [5]) χωρὶς μετανοίας [6]) ὡς προείρηται [7]) Τὸ Κύριε ἐλέησον μ' καὶ λέγεται ἡ εὐχὴ ὑπὸ τοῦ ἱερέως καὶ ποιοῦμεν μετανοίας γ' ἀργῶς μόνας, καὶ ἱστάμεθα κατὰ τάξιν εἰς τοὺς χοροὺς ἡμῶν, καὶ ἀπάρχεται ὁ ταχθεὶς εἰς ἦχον πλ. δ' Μνήσθητι ἡμῶν, Κύριε [8]) καὶ μεγαλοφώνως [9]) καὶ ῥυθμὸν [10]) ψάλλομεν.

ἐν τῷ ψιαθίῳ λέγομεν γεγωνοτέρᾳ τῇ φωνῇ τὸ Μνήσθητι ἡμῶν, Κύριε, μετάνοιαν μίαν, Μνήσθητι ἡμῶν, ἅγιε, μετάνοιαν μίαν, Μνήσθητι ἡμῶν, Δέσποτα, μετάνοιαν μίαν, Χορὸς ἐπουράνιος [1]), τὸ Πιστεύω εἰς ἕνα Θεόν, τὸ Ἄνες, ἄφες, συγχώρησον, τὸ Πάτερ ἡμῶν, τὸ Κύριε ἐλέησον μ', καὶ λέγει στίχον, καὶ ποιοῦμεν γ' μετανοίας μεγάλας, καὶ τὰς ιβ', εἶθ' οὕτως εὐχόμεθα ἡσύχως, καὶ ἄρχεται ὁ πρωεστώς· Δεῦτε προσκυνήσωμεν ἐκ γ', μετανοίας γ' καὶ ψάλλομεν [2]) τὸν ργ' ψαλμόν.

Ἐξέρχεται ὁ κανδηλάπτης καὶ σημαίνει τὸ μέγα, ὁ δὲ ἱερεὺς λέγει καθ' ἑαυτὸν τὰς εὐχὰς τοῦ λυχνικοῦ. Πληρουμένου δὲ τοῦ ψαλμοῦ, εἰς τὸ Ἀλληλούια, μετανοίας γ', καὶ στιχολογίαν τὰ Πρὸς Κύριον, (л. 75) καὶ λέγομεν τὸ Ἀλληλούια τοῦ πρώτου καθίσματος τοῦ ἐνορδίνου ἤχου· καθ' ἕκαστον δὲ ἀντίφωνον μετανοίας γ', εἶθ' οὕτως τὸ Κύριε ἐκέκραξα εἰς τὸν ἦχον τῶν προσομοίων τοῦ Τριῳδίου. Ἱστῶμεν δὲ στίχους η', καὶ λέγομεν τὰ β' πρὸς μίαν τοῦ κυρίου Ἰωσὴφ καὶ τοῦ κυρίου Θεοδώρου δευτεροῦμεν καὶ τοῦ Μηναίου δ', δευτεροῦντες τὸ α', Δόξα καὶ νῦν, θεοτοκίον προσόμοιον, τὸ Φῶς ἱλαρόν, καὶ προκείμενον, εἶτα Ἡ Γέννησις, εἶθ' οὕτως προκείμενον καὶ ἡ παροιμία, τὸ Καταξίωσον, Κύριε, μετανοίας γ', καὶ ψάλλομεν τὸ ἴδιον στιχηρὸν τῆς ἡμέρας, δευτεροῦντες αὐτὸ καὶ μαρτυρικὸν εἰς τὸν αὐτὸν ἦχον, Δόξα καὶ νῦν, θεοτοκίον [4]), τὸ Νῦν ἀπολύεις, τὸ Τρισάγιον, μετανοίας γ'. Μετὰ δὲ τό, Πάτερ ἡμῶν, λέγει ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία. Καὶ μετὰ τὸ Ἀμήν, Θεοτόκε παρθένε [5]), καὶ μετάνοιαν α', Ὑπὸ τὴν σὴν εὐσπλαγχνίαν, οὗ ποιοῦμεν μετάνοιαν, τὸ Κύριε ἐλέησον μ', ἡσύχῳ φωνῇ, καὶ ἐπεύχεται ὁ ἱερεύς· Ὁ Θεὸς οἰκτείρησον ἡμᾶς. Καὶ μετὰ τὸ Ἀμὴν ποιοῦμεν μετανοίας μεγάλας γ', λέγει καὶ τὴν προγεγραμμένην εὐχήν, εἶτα τὰς ιβ', καὶ ἐν ταῖς ιβ' εὐχόμεθα τὴν συνήθη εὐχὴν ἡσύχως, καὶ ἄρχεται ὁ προεστὼς τοῦ Τρισαγίου, μετανοίας γ', εἶτα τὸ Πάτερ ἡμῶν, καὶ τὸ Κύριε ἐλέησον, εἶθ' οὕτως· Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον, καὶ λέγει τὸ Εὐλογήσω τὸν Κύριον, μετανοίας γ' [6]) καὶ γί-

[1]) στίχος· Προσέλθετε πρὸς αὐτόν, καὶ πάλιν λέγομεν· Χορὸς ὁ ἐπουράνιος, μετάνοιαν μίαν, Δόξα, Χορὸς ἁγίων ἀγγέλων καὶ ἀρχαγγέλων, μετάνοιαν μίαν, Καὶ νῦν, Πιστεύω [2]) ἑσπερινὸν ὁ δὲ κανδηλάπτης, μεθ' ὃ ἅψῃ τὰς κανδήλας βάλλει μετάνοιαν, καὶ ἀπέρχεται καὶ σημαίνει τὸ μέγα καὶ σίδηρον κατὰ τὸν τύπον ἑσπερινοῦ. Ὁ δὲ ἱερεύς, βαλὼν μετάνοιαν τῷ προεστῶτι, λέγει καθ' ἑαυτὸν τὰς συνήθεις εὐχὰς τοῦ ψυχικοῦ. Μετὰ δὲ τὸν ψαλμὸν Ἀλληλούια μετανοίας γ' καὶ [3]) ὁ ἱερεύς· Πληρώσωμεν τὴν ἑσπερινὴν [4]) καὶ μετὰ τὸ σύνηθες πλήρωμα βάλλει ὁ κανονάρχης μετάνοιαν α' καὶ οἱ χοροὶ ἐν τούτῳ Νῦν ἀπολύεις [5]) ἀργῶς καὶ μεγαλοφώνως [6]) καὶ λαμβάνει τὸ κατάκλαστον καὶ ἐξερχόμεθα εἰς τὴν λιτήν, καὶ τελεσθείσης ἐκεῖσε τῆς ἐκτενῆς κατὰ τὸν τύπον ἀπολύει.

νεται ἀπόλυσις. Αὕτη ἡ ἀκολουθία τοῦ λυχνικοῦ γίνεται, μὴ ὄντων προηγιασμένων. Οὐ γὰρ παρελάβομεν ποιεῖν προηγιασμένων τὴν πρώτην ἑβδομάδα μέχρι τῆς τετράδος διὰ τὸ νηστεύειν πᾶσαν τὴν ἀδελφότητα ἐκ παραδόσεως, οἱ δὲ δυνάμενοι καὶ μέχρι τῆς παρασκευῆς ἐν νηστείᾳ εἰσίν.

Ὅτε δὲ προηγιασμένη γίνεται, ποιεῖ ὁ ἱερεὺς ἐν ἑκάστῳ ἀντιφώνῳ μικρὰν συναπτήν, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ι′ ἀπὸ τοῦ Ἐξάγαγε ἐκ φυλακῆς εἰς τὸν ἦχον τοῦ ἰδιομέλου τῆς ἡμέρας, καὶ δευτεροῦμεν αὐτό, μαρτυρικὸν εἰς τὸν αὐτὸν ἦχον, εἶτα τὸ προσόμοιον τοῦ Τριῳδίου τὰ δ′, καὶ δευτεροῦμεν τοῦ κυρίου Θεοδώρου καὶ τὰ γ′ τοῦ Μηναίου, Δόξα καὶ νῦν, θεοτοκίον [1]) προσόμοιον, εἶτα γίνεται εἴσοδος μετὰ κηροῦ καὶ θυμιαμοῦ, τὸ Φῶς ἱλαρὸν, ἀναγινώσκει, ἡ Γένεσις, τὸ προκείμενον, καὶ εὐθὺς ἀνίσταται [2]) ὁ ἱερεὺς καὶ λαμβάνει τὸν θυμιατὸν καὶ κηρὸν εἰς τὴν δεξιὰν αὐτοῦ χεῖρα καὶ ἵσταται κατενώπιον τῆς ἁγίας τραπέζης καὶ λέγει, ποιῶν καὶ τὸν σταυρόν [3])· Φῶς Χριστοῦ φαίνει πᾶσιν, ὁ ψάλτης· Παροιμιῶν τὸ ἀνάγνωσμα, εἶτα [4]) τὸ Κατευθυνθήτω, ὁ στίχος· Κύριε ἐκέκραξα, στίχος β′· Θοῦ, Κύριε, φυλακήν, στίχος γ′· Μὴ ἐκκλίνῃς. Ὅτε δὲ ψάλλει ὁ ψάλτης, ἡμεῖς ἐπὶ γόνυ κείμεθα εὐχόμενοι, ὅτε δὲ ἡμεῖς ἀναστῶμεν, κλίνει αὐτὸς τὸ γόνυ. Πληρουμένων δὲ λέγει ὁ ἱερεὺς τὰς αἰτήσεις [5]), μετανοίας γ′, εἶτα ἀκολουθία τῶν προηγουμένων (л. 76).

Δεῖ εἰδέναι, ὅτι μετὰ τὴν πρόοδον τῶν θείων δώρων, πληρουμένου τοῦ Νῦν αἱ δυνάμεις, ποιοῦμεν μετανοίας γ′· λαμβάνει δὲ καὶ ὁ ἱερεὺς τὰ καλύμματα καὶ σκεπάζει τὴν ἀναφοράν. Ὅτε δὲ πληρώσῃ τὸ Πάτερ ἡμῶν, ἐπαίρει τὴν ἀναφορὰν καὶ ὑψοῖ τὸν ἅγιον ἄρτον, λέγων· Τὰ προηγιασμένα ἅγια τοῖς ἁγίοις [6]). Καὶ μετὰ τὸ Εἷς ἅγιος, ποιοῦμεν μετανοίας γ′, κοινωνικόν· Γεύσασθε καὶ ἴδετε, τὸ Πληρωθήτω, εὐ-

---

[1]) Ркп. Син. библ. № 1096 ὁ δὲ ἱερεὺς μετὰ τὸ θυμιᾶσαι κατὰ τὸν τύπον καὶ ὑποστρέψαι οὐκ εἰσέρχεται εἰς τὸ ἅγιον βῆμα, ἀλλὰ ἀπέρχεται εἰς τὸ διακονικὸν καὶ θυμιᾷ καὶ κρεμᾷ ἐκεῖσε τὸν θυμιατὸν καὶ ἀλλάσσει καὶ εὐτρεπίζει τὰ ἅγια δῶρα. Ἀρξαμένων δὲ ἡμῶν ψάλλειν τὸ θεοτοκίον εἰσοδεύει, κρατῶν τὸν θυμιατόν, μόνον προπορευομένης τῆς λαμπάδος, [2]) ἀνιστάμεθα [3]) Σοφία, ὀρθοί [4]) καὶ μετὰ πλήρωσιν, ὁ ἱερεύς· Εἰρήνη σοφία καί, ψάλλομεν τὸ Κατευθυνθήτω [5]) ὁ ἱερεὺς τὰς αἰτήσεις τῆς ἐκτενῆς, ἡμεῖς δὲ βάλλομεν μετανοίας γ′ [6]) Ἡμεῖς· ἅγιος, ὁ ἱερεύς· Ἔτι δεόμεθα ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ μοναχοῦ πρεσβυτέρου καὶ πάσης τῆς ἐν Χριστῷ ἀδελφότητος ἡμῶν, τὸ Κύριε ἐλέησον ιβ′ καὶ μετανοίας γ′, εἶθ′ οὕτως κατακλᾷ τὰ ἅγια καὶ ἑνοῖ τῷ ἁγίῳ ποτηρίῳ, κοινωνικόν· Γεύσασθε. Ἀντὶ τοῦ Πληρωθήτω λέγει εὐχαριστοῦμέν σοι, Χριστὲ ὁ Θεὸς καὶ Εἴη τὸ ὄνομα τοῦ Κυρίου, οἱ δὲ μεταλαμβάνοντες διακλύονται ὕδωρ.

χὴν ὀπισθάμβωνον, Εἴη τὸ ὄνομα, τὸ Εὐλογήσω τὸν Κύριον καὶ ἀπόλυσις. Μετὰ δὲ τὴν ἀπόλυσιν εἰσερχόμεθα εἰς τὴν τράπεζαν, καὶ ἐσθίομεν ξηροφαγίαν, πίνοντες καὶ θερμὸν μετὰ κυμίνου ἢ ὕδωρ. Τῇ δὲ ε' τῆς ἑβδομάδος τράπεζαν οὐχ ἱστῶμεν, ἀλλὰ νηστεύομεν μέχρι τῆς παρασκευῆς...

Δεῖ εἰδέναι, ὅτι τὰ διακονικὰ τῶν φωτιζομένων καὶ αἱ εὐχαὶ ἀπὸ τῆς δ' τῆς μεσονηστίμου γίνεται.

Ἀκολουθία τῶν ἀποδείπνων.

Χρὴ γινώσκειν, ὅτι εἰς τὴν ἁγίαν λαύραν τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα οὐ ψάλλομεν ἀπόδειπνον ἐν τῇ ἐκκλησίᾳ, ἀλλ' ἐν τοῖς κελλίοις ψάλλομεν αὐτό, οὕτως γὰρ παρελάβομεν· εἰς δὲ τὰ κοινόβια τῆς Παλαιστίνης ψάλλεται τὰ ἀπόδειπνα οὕτως·

Περὶ ὥραν ι' ἀνέρχεται ὁ κανδηλάπτης, καί, βαλὼν μετάνοιαν τῷ προεστῶτι ἀπέρχεται καὶ σημαίνει, καὶ συναγόμεθα πάντες ἐν τῇ ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ καὶ εὐλογήσαντος τοῦ ἱερέως, ἀρχόμεθα τοῦ Τρισαγίου, μετανοίας γ', τὸ Κύριε ἐλέησον ιβ', τὸ Δεῦτε προσκυνήσωμεν γ', μετανοίας γ', καὶ ψάλλομεν τὸν ξθ' ψαλμόν· Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου, εἶθ' οὕτως ἀρχόμεθα τοῦ μεγάλου κανόνος, ποιοῦντες αὐτὸν στάσεις δ'. Ἀπὸ δὲ ϛ' καθίσματα κατανυκτικά. Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ κανόνος, ἀρχόμεθα λέγειν· Ἐν τῷ ἐπικαλεῖσθαί με, καὶ ψάλλομεν τοὺς γ' ψαλμούς. Εἰς δὲ τὸ Ἀλληλούια μετανοίας γ' καὶ ἄρχεται ὁ χορός, ὁ μέλλων ἄρξασθαι τοῦ Μεθ' ἡμῶν ὁ Θεός, ἀνταποκρίνεται δὲ ὁ ἕτερος χορός, καί ψάλλομεν ὅλους τοὺς τοιούτους στίχους μεγαλοφώνως καὶ μετὰ μέλους, ὁμοίως καὶ τὸ Ἡ ἀσώματος φύσις, τὸ δὲ Πιστεύω χθαμαλωτέρᾳ τῇ φωνῇ, εἶτα ὁ ἐναρξάμενος χορός· Παναγία Δέσποινα Θεοτόκε, καὶ βάλλουσιν οἱ ἑτέρου μέρους χοροὶ μετανοίας γ'. Ὅταν δὲ εἴπωμεν τὸ Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, βάλλουσιν οἱ β' χοροὶ μετανοίας γ' ἐπίσης, εἶτα τὸ Τρισάγιον χωρὶς μετανοιῶν. Μετὰ δὲ τὸ Πάτερ ἡμῶν, τροπάριον, ἦχος β'. Φώτισον τοὺς ὀφθαλμούς μου, Δόξα, Ἀντιλήπτωρ τῆς ψυχῆς μου, Καὶ νῦν, Ὅτι οὐκ ἔχομεν παῤῥησίαν. Εἰσὶ δὲ καὶ ἕτερα τροπάρια ψαλλόμενα ἐν τῷ ἀποδείπνῳ, ἦχος πλ. δ'. Τῶν ἀοράτων ἐχθρῶν μου, Δόξα, Ὡς φοβερὰ ἡ κρίσις σου, Καὶ νῦν, Τὴν (л. 77) ἀκαταίσχυντον Θεοτόκε ἐλπίδα σε ἔχων, καὶ ψάλλονται ἡμέρα παρ' ἡμέραν, τὸ Κύριε ἐλέησον μ', καὶ λέγει ὁ ἱερεὺς στίχον. καὶ ἀρχόμεθα· Δέσποτα Θεὲ Πάτερ, Δεῦτε προσκυνήσωμεν γ', καὶ μετανοίας γ', καὶ ψάλλομεν τὸν ν', καὶ τὸν ρα' ψαλμόν, τὸ Κύριε παντοκράτορ, τὸ Τρισάγιον, μετανοίας γ'. Μετὰ δὲ τὸ Πάτερ ἡμῶν τρο-

πάριον, ἦχος β'· Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, Δόξα, Κύριε, ἐλέησον ἡμᾶς ἐπὶ σοί, Καὶ νῦν, Τῆς εὐσπλαγχνίας τὴν πύλην, τὸ Κύριε ἐλέησον μ', καὶ λέγεται στίχος, καὶ ἀρχόμεθα τοῦ ρμβ' ψαλμοῦ· Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, εἶτα τὸ Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ εἰς τὸ τέλος αὐτοῦ Τρισάγιον καὶ μετανοίας γ'. Ἀπὸ δὲ τοῦ Πάτερ ἡμῶν, λέγει ὁ εἷς χορὸς ἀντὶ τροπαρίου, ἤγουν· Κύριε ὁ Θεὸς τῶν δυνάμεων μεθ' ἡμῶν. Καὶ ἀποκρίνεται ὁ ἕτερος χορὸς τὸ αὐτό, Εἶθ' οὕτως λέγει ὁ ἐναρξάμενος χορός· Αἰνεῖτε τὸν Θεόν. Εἶτα ὁ ἕτερος χορὸς τὸ προγεγραμμένον τροπάριον, καὶ οὕτως ὁ πρῶτος χορὸς λέγει τοὺς καταλειφθέντας ἑτέρους στίχους τοῦ ρν' ψαλμοῦ, καὶ ὁ ἕτερος χορὸς ἐν ἑκάστῳ στίχῳ λέγει τὸ προγεγραμμένον τροπάριον. Μετὰ δὲ τὸν πέμπτον στίχον λέγουσιν οἱ β' χοροὶ τὸν α' στίχον· Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, Δόξα, Κύριε, εἰ μὴ τοὺς ἁγίους σου εἴχομεν, Καὶ νῦν, Πολλὰ τὰ πλήθη, καὶ τὰ ὑπόλοιπα θεοτοκία, τὸ Κύριε ἐλέησον μ', καὶ λέγει ὁ ἱερεύς· Ὁ Θεὸς οἰκτείρησον ἡμᾶς, εἰ οὐκ ἐνδημεῖ ἐν τῇ μονῇ ὁ ἡγούμενος, εἰ δὲ ἐνδημεῖ πάντοτε τὴν εὐχὴν τῶν ἀποδείπνων αὐτὸς ποιεῖ, μετανοίας μεγάλας γ' καὶ ἑτέρας ιβ' ἀργῶς διὰ τὸ ἰσάζειν πάντας, εἶθ' οὕτως ἡσυχάζομεν μικρὸν καὶ ἄρχεται ὁ προεστὼς τοῦ Τρισαγίου, μετανοίας γ', τὸ Κύριε ἐλέησον ιβ', καὶ γίνεται ἀπόλυσις τελεία, εἶτα ποιεῖ ὁ προεστὼς μετάνοιαν ἀπὸ γῆς τοῖς ἀδελφοῖς, ἐπιλέγων· Εὐλογήσατε, πατέρες, συγχωρήσατέ μοι τῷ ἁμαρτωλῷ, εἴ τι ἥμαρτον ἐν λόγῳ ἢ ἔργῳ ἢ ἐν ταῖς λοιπαῖς μου αἰσθήσεσι. Καὶ ἀνταποκρίνονται οἱ ἀδελφοί· Ὁ Θεὸς συγχωρήσει σε, πάτερ ἅγιε. Ἄρχονται δὲ καὶ αὐτοὶ ἀπὸ τοῦ ἀριστεροῦ χοροῦ ὁ καθεὶς βάλλειν μετάνοιαν, καὶ τὸν αὐτὸν ἐπιλέγειν λόγον, ἄχρις ἂν οἱ πάντες πληρωθῶσιν. Εἶθ' οὕτως ποιοῦσιν ἅπαντες τῷ πρωεστῶτι μετάνοιαν ἐν τῷ ἅμα καί, λαβόντες παράθεσιν, ἀπέρχονται ἐν τοῖς ἰδίοις κελλίοις. Αὕτη ἡ τάξις τῆς ἀκολουθίας γίνεται καθ' ὅλην τὴν ἁγίαν μ' ἐν τῷ ἀποδείπνῳ. Προσέχειν δὲ δεῖ τὸν ἐκκλησιάρχην, ἵνα ὅτε τὰ ἀπόδειπνα **(л. 78)** ὑπάρχει ἀκμὴν ἡμερῶν, ἤγουν πρὸ τοῦ συνοψιασμοῦ, ἰδού, ὡς προγέγραπται, μίαν ἡμέραν τῶν ἁγίων νηστειῶν ἀκριβῶς ἐξετάσαντες παρεθήκαμεν τῇ ἀγάπῃ ἡμῶν τήν τε ποιότητα καὶ ποσότητα τῆς ψαλμῳδίας, ὡσαύτως καὶ τὰς τυπωθείσας μετανοίας παρὰ τῶν ἁγίων πατέρων, ἃς οὐκ ἔξεστι παραλογίζεσθαί τινα καὶ τὸν ἄγαν νωθέστατον· ποσοῦνται δὲ αἱ ἐν τῇ ἐκκλησίᾳ γινόμεναι μετάνοιαι εἰς τ'.

Δεῖ εἰδέναι, ὅτι παρελάβομεν ἐκ τῶν ἁγίων πατέρων ἐν Παλαιστίνῃ ψάλλειν τὸ ψαλτήριον ἐν τοῖς κελλίοις ἡμῶν, καὶ οἱ μὲν δυνά-

μενοι τελειοῦσιν αὐτὸ ἐν τῷ νυχθημέρῳ, οἱ δὲ β' τῆς ἑβδομάδος, ἕτερος δὲ τρίτον. Μετανοίας δὲ ποιοῦμεν ἕκαστος κατὰ τὴν ἰδίαν δύναμιν, ὡς ὁ προεστὼς τυπώσει. Μεσονυκτικὸν δὲ ψάλλομεν τὸν Ἄμωμον.

Τῇ παρασκευῇ τῆς α' ἑβδομάδος εἰς τὸ λυχνικὸν [1]) οὐ στιχολογοῦμεν, ἀλλὰ εὐθὺς τὸ Κύριε ἐκέκραξα εἰς τὸν ἦχον τοῦ ἁγίου τῆς ἡμέρας καὶ ἱστῶμεν στίχους ι' ἀπὸ τοῦ Ἐξάγαγε καὶ δευτεροῦμεν αὐτὰ καὶ μαρτυρικὸν ἐνόρδινον, ἦχος δ', εἶτα τοῦ ἁγίου Θεοδώρου τοὺς δ', β' τὰ ἰδιόμελα, Δόξα, ἦχος πλ. β' Ὀργάνῳ χρησάμενος ὁ δυσμενής, Καὶ νῦν, θεοτοκίον τὸ α', εἴσοδος, τὰ κατὰ συνήθειαν ἀναγνώσματα καὶ ἡ τῶν προηγουμένων λειτουργία. Διακλυόμεθα [2]) δὲ μετὰ τὴν ἁγίαν μετάληψιν ὕδωρ, ὡσαύτως καὶ τῇ δ', ὁμοίως καὶ καθ' ὅλην τὴν μ'. Μετὰ τὴν ὀπισθάμβωνον εὐχὴν ψάλλομεν τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου εὐχαριστήριον κανόνα, καὶ διδομένου τοῦ κατακλάστου, ἀπερχόμεθα εἰς τὴν τράπεζαν.

[л. 79) Δεῖ γινώσκειν, ὅτι τὰ σάββατα τῆς ἁγίας μ' οὐ ψάλλομεν, Θεὸς Κύριος, ἀλλὰ πάντοτε Ἀλληλούια ἦχος β', τροπάριον· Ἀπόστολοι μάρτυρες καὶ προφῆται, Δόξα, Μνήσθητι Κύριε, Καὶ νῦν, Μῆτερ ἁγία, στιχολογοῦμεν καθίσματα δύο, εἰς τὸ α' κάθισμα λέγει τὰ ἀλληλουάρια τοῦ ἤχου τὰ τελευταῖα, τὸν δὲ ἄμωμον ἄνευ ἀλληλουαρίων, τροπάριον δὲ τοῦ ἀμώμου, τὰ νεκρώσιμα, κανόνες τῆς Θεοτόκου, τοῦ κατὰ τὴν ἡμέραν ἁγίου καὶ τῶν νεκρῶν, ἀπὸ δὲ ϛ' ᾠδῆς καταλιμπάνεται ὁ ἀναπαύσιμος καὶ τῆς Θεοτόκου καὶ εἰσέρχονται τὰ τριῴδια ἢ τετραῴδια διὰ τὸ ἔχειν τροπάριον νεκρῶν, στιχολογοῦμεν δὲ τὴν ζ' ᾠδήν, εἰς τοὺς αἴνους στιχηρὰ μαρτυρικὰ τὰ δ' τοῦ ἤχου καὶ εἰς τὸν στίχον νεκρώσιμον, τὰ προσόμοια. Εἰς τὴν λειτουργίαν ἀκολουθία νεκρώσιμος, ἀπόστολοι β' καὶ εὐαγγέλια β'.

[л. 80 об.) Выносъ креста въ 3 недѣлю описывается такъ: Ὅτε δὲ ἀπαρξόμεθα τῆς δοξολογίας, ἀλλάσσει ὁ ἱερεὺς καὶ λαμβάνει τὸν θυμιατὸν καὶ θυμιᾷ τὴν ἁγίαν τράπεζαν καὶ τὸν τίμιον σταυρόν [3]), εἶθ' οὕτως λαμβάνει αὐτόν, κείμενον ἐν τῷ δίσκῳ μετὰ βλατίου, ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ ἐξέρχεται, προπορευομένων αὐτοῦ λαμπά-

---

[1]) Ркп. Синайск. библ. № 1096 σχολάζουσιν αἱ μετάνοιαι ἀπ' ἀρχῆς καὶ στιχολογίαι διὰ τὴν ἑορτὴν [2]) δὲ οἱ μεταλαμβάνοντες ὕδωρ [3]) Ркп. Синайск. библ. № 1096 ἐπικείμενον ἐν αὐτῇ ἀφ' ἑσπέρας προκομισθέντα ἀπὸ τοῦ σκευοφυλακίου· εἶθ' οὕτως ἐναίρει αὐτὸν μετὰ τοῦ δίσκου καὶ ἐπιθεὶς αὐτὸν ἐν τῇ κεφαλῇ αὐτοῦ ἐξέρχεται ἀπὸ τοῦ διακονικοῦ, προπορευομένων αὐτοῦ β' λαμπάδων.

δων β' καὶ θυμιατοῦ, καὶ ἀπέρχεται εἰς τὰς ὡραίας πύλας. Τελεσθείσης δὲ τῆς δοξολογίας καὶ τοῦ Τρισαγίου, λέγει ὁ ἱερεύς· Σοφία, ὀρθοί, καὶ ἀρχόμεθα τοῦ τροπαρίου· Σῶσον, Κύριε, τὸν λαόν σου, καὶ εἰσοδεύει φέρων τὸν τίμιον σταυρόν, καὶ τίθησιν αὐτὸν ἐν τετραποδίῳ ἔμπροσθεν τῶν ἁγίων θυρῶν, καὶ εὐθέως λέγομεν· Τὸν σταυρόν σου. Καὶ ἄρχεται ὁ προεστὼς καὶ ὁ πρεσβύτερος ἠλλαγμένος βάλλειν μετάνοιαν ἀπὸ τῆς κατενώπιον τοῦ τιμίου σταυροῦ, εἶθ' οὕτως εἰς τοὺς χοροὺς δεξιὰ καὶ ἀριστερά, καὶ εἰσέρχονται οἱ ἀδελφοὶ δύο δύο προσκυνεῖν κατὰ τὴν ταξιν αὐτῶν, ψάλλομεν δὲ στιχηρὰ τοῦ σταυροῦ ἰδιόμελα μέχρι ἂν πληρωθῶσιν οἱ ἀδελφοὶ προσκυνοῦντες, εἶτα γίνεται ἐκτενὴ καὶ ἀπόλυσις.

. . . .

[л. **81**) Τῇ δ' τῆς ε' ἑβδομάδος ἑσπέρας μετὰ τὴν στιχολογίαν τὸ Κύριε ἐκέκραξα εἰς τὸν ἦχον τοῦ ἰδιομέλου στιχηροῦ, καὶ εὐθὺς ἀπὸ τοῦ α' στίχου ἀρχόμεθα τοῦ ἰδίου στιχηροῦ, ἔπειτα λέγομεν τὰ προσόμοια τῆς ἡμέρας τοῦ Τριῳδίου, εἶθ' οὕτως τὰ στιχηρὰ τοῦ μεγάλου κανόνος, ποιοῦντες καθ' ἓν ἕκαστον τροπάριον μετανοίας γ', εἰς δὲ τὴν τράπεζαν πίνομεν καὶ οἶνον ἐσθίομεν καὶ ἔλαιον διὰ τὸν κόπον τῆς ἀγρυπνίας.

Τῇ ε' τῆς πέμπτης ἑβδομάδος εἰς τὸν ὄρθρον Ἀλληλούια τοῦ ἤχου καὶ οὐ στιχολογοῦμεν, ἀλλ' εὐθὺς τὸν ν'· τὸ γὰρ ἕτερον κάθισμα τῇ β' τῆς αὐτῆς ἑβδομάδος, ἑσπερινὴν στιχολογίαν καὶ ἀρχόμεθα τοῦ μεγάλου κανόνος, καθ' ἓν δὲ τροπάριον μετανοίας γ', ἀπὸ γ' ᾠδῆς τὰ τοῦ Τριῳδίου καὶ ἀναγινώσκομεν τὸν βίον τῆς ὁσίας Μαρίας, ποιοῦμεν δὲ αὐτὸν εἰς δόσεις β'. Ἀπὸ ς' ᾠδῆς τὸ κοντάκιον τῆς ἡμέρας. Μετὰ δὲ τὴν ἀνάγνωσιν ψάλλονται οἱ μακαρισμοί, εἶτα ἡ ἑβδομάς, ψάλλεται δὲ τὰ τριῴδια τῆς ἡμέρας, ἃ καὶ προηγοῦνται ἄνευ μετανοιῶν. Συνάπτομεν δὲ καὶ τὴν α' ὥραν μετὰ στιχολογιῶν, εἰ δὲ διὰ τὸν κόπον ἀκηδιῶσιν οἱ ἀδελφοί, στιχολογοῦν τὸ κάθισμα ἑσπέρας τῇ αὐτῇ ἡμέρᾳ, τὸ δὲ λυχνικὸν (л. **82**) σημαίνει ταχύτερον διὰ τὸν κόπον. Γίνεται ἡ θεία λειτουργία τῶν προηγιασμένων καὶ μεταλαμβάνομεν ἅπαντες τῶν θείων μυστηρίων.

Δεῖ εἰδέναι, ὅτι ἐὰν φθάσῃ γενέσθαι ὁ Εὐαγγελισμὸς τῇ παρούσῃ πέμπτῃ ψάλλεται ὁ μέγας κανὼν τῇ γ', ἡ δὲ ἑορτὴ εἰς τὴν τάξιν αὐτοῦ.

Τῷ σαββάτῳ τῆς ε' ἑβδομάδος εἰς τὸ λυχνικὸν μετὰ τὴν συνήθη στιχολογίαν εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους η' καὶ ψάλ-

λομεν τὸ ἴδιον τῆς ἡμέρας β', εἶθ' οὕτως στιχηρὰ προσόμοια τῆς ὑπεραγίας Θεοτόκου, ἦχος πλ. β' πρὸς Ὅλην ἀποθέμενοι, Βουλὴν προαιώνιον, καὶ δευτεροῦμεν αὐτό, Δόξα, καὶ νῦν, ἴδιον, εἰς τὸ αὐτὸν ἦχον Ἀπέστειλας [1]) ἐξ οὐρανοῦ. Ἡ ἀκολουθία τῶν προηγιασμένων.

Δεῖ εἰδέναι, ὅτι εἰς τὴν λαῦραν τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα οὐ παρελάβομεν εἰς τὴν ἡμέραν τοῦ ἀκαθίστου ψάλλειν τοὺς κδ' οἴκους, ἀλλὰ δ'· τὸν πρῶτον, τὸν δεύτερον, τὸν τρίτον καὶ τὸν ὕστερον· Ὦ πανύμνητε Μῆτερ, εἰς δὲ τὴν ἑορτὴν τοῦ Εὐαγγελισμοῦ ψάλλομεν ὅλους. Ἄρτι δὲ εἰς τὸν ὄρθρον σημαίνει, ὡς καθ' ἑκάστην· εἰς τὸ Θεὸς Κύριος τροπάριον, ἦχος πλ. δ' τὸ Προσταχθὲν [2]) μυστικῶς, ἡ συνήθης στιχολογία, τὰ β' καθίσματα, μετὰ τὰ ἀλληλουάρια καθίσματα μαρτυρικά, ὁ ν', κανόνες α' Τῆς ὑπεραγίας Θεοτόκου [3]), ἱστῶμεν στίχους η' [4]) καὶ δευτεροῦμεν τὰ τροπάρια ἕως τῆς ς' ᾠδῆς, καὶ ἔκτοτε ἄρχεται τὰ τετραῴδια, καὶ λέγομεν πρὸς μίαν, ἀναγινώσκομεν δὲ τὸν λόγον τοῦ ἀκαθίστου, ὃν καὶ ποιοῦμεν ἀναγνώσεις γ', ἀπὸ γ' κάθισμα τῆς Θεοτόκου, ἀπὸ ς' τὸ κοντάκιον, ἦχος πλ. δ'· Τῇ ὑπερμάχῳ στρατηγῷ, ψάλλομεν δὲ καὶ οἴκους δ', ὡς προγέγραπται. Εἰ δὲ θέλει ὁ προεστὼς γίνεται ἀγρυπνία καὶ ψάλλονται ὅλοι καὶ εἰς τὴν ἑορτὴν τῆς Θεοτόκου ψάλλονται οἱ δ', ψάλλονται δὲ οὕτως· μετὰ τὴν στιχολογίαν τὸ α' κάθισμα, ψάλλομεν τοὺς ς' οἴκους, καὶ πάλιν τὸ κοντάκιον, εἶτα τὸν ἄμωμον καὶ πάλιν ς', εἰς τὴν ζ' τοὺς ἑτέρους ς', ἐξαποστειλάριον τῆς Θεοτόκου, εἰς τοὺς αἴνους στιχηρὰ προσόμοια τῆς Θεοτόκου [5]), οἷα θέλει, Δόξα καὶ νῦν, ἰδιόμελον, ἦχος β' Εὐαγγελίζεται ὁ Γαβριήλ, δοξολογία μεγάλη καὶ ἀπόλυσις. Εἰς τὴν λειτουργίαν ἀντὶ μακαρισμῶν ἐκ τοῦ κανόνος τῆς Θεοτόκου ᾠδὰς γ' καὶ ς', προκείμενον, ἦχος γ' Μεγαλύνει ἡ ψυχή μου, στίχος· Ὅτι ἐπέβλεψεν, ὁ ἀπόστολος τῆς ἡμέρας καὶ τῆς Θεοτόκου, Εἶχεν ἡ πρώτη σκηνή, Ἀλληλούια, ἦχος πλ. δ' Ἄκουσον θύγατερ, εὐαγγέλιον ὁμοίως τῆς ἡμέρας καὶ τῆς Θεοτόκου Ἀναστᾶσα Μαριάμ, κοινωνικόν· Ποτήριον.

---

[1]) Ркп., № 1096. Τὸ ἀπ' αἰῶνος μυστήριον [2]) Τεῖχος ἀκαταμάχητον τρὶς [3]) Θεοφάνους μοναχοῦ [4]) καὶ τὰ τετραῴδια, εἰς τὴν τάξιν αὐτῶν, προηγεῖται δὲ ὁ κανών, ἀπὸ γ' ᾠδῆς κάθισμα, ἀφ' ς' το κοντάκιον Τῇ ὑπερμάχῳ, οἴκους τὸ πρῶτον καὶ τὸ τελευταῖον, Ὦ πανύμνητε Μῆτερ, ἐξαποστειλάριον τῆς Θεοτόκου. [5]) ἦχος δ' πρὸς τό· Ὡς γενναῖον ἐν μάρτυσι καὶ δευτεροῦμεν τὸ α', Δόξα καὶ νῦν ἰδιόμελον, ἦχος ὁ αὐτὸς Γλῶσσαν ἣν οὐκ ἔγνω, δοξολογία μεγάλη, τὸ τροπάριον καὶ ἀπολύει.

*

Чина омовенія ногъ и вообще литургіи великаго четверга, службъ великой пятницы и начала утрени великой субботы нѣтъ. Эти листы вырваны.

Выносъ Евангелія въ великую субботу описывается такъ: *Δοξολογία μεγάλη, καὶ ἀλλάσσει ὁ ἱερεὺς ὅλην τὴν στολὴν καὶ γίνεται εἴσοδος μετὰ τοῦ εὐαγγελίου, τροπάριον εἰσοδικόν· Ὁ εὐσχήμων Ἰωσήφ. Ὁ ἱερεύς· Πρόσχωμεν, Εἰρήνη πᾶσι, Σοφία, τροπάριον· Ὁ Συνέχων τὰ πέρατα* и т. д.

Литургія въ субботу начинается въ бѣлыхъ ризахъ. Рукопись не имѣетъ конца. Службою литургіи въ великую субботу она и оканчивается.

II. № 1096. Τυπικὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας τῆς ἐν Ἱερουσαλύμοις εὐαγοῦς λαύρας τοῦ ὁσίου θεοφόρου πατρὸς ἡμῶν Σάββα. Ркп. той же библ. [Архимандритъ Антонинъ опредѣляетъ XII—XIII в.] въ 16 долю листа, 185 листовъ, писана четкою скорописью XII в., на пергаминѣ. Конца нѣтъ. Приписка на двухъ выходныхъ листахъ Евангелія отъ Іоанна VIII—IX в. гласитъ: Ἐτοῦτο τὸ Τυπικὸν ἕνεκεν τῶν ἁγίων μαρτύρων Σεργίου καὶ Βάκχου. Приписка весьма старая.

Διάταξις τῆς ἀγρυπνίας.

[л. 1). Μετὰ τὸ δῦναι τὸν ἥλιον ἀπέρχεται ὁ κανδηλάπτης καὶ βάλλει μετάνοιαν τῷ προεστῶτι καὶ ὑπάγει καὶ κρούει τὰς βαρέας σχολαίως, εἶτα τὸ σίδηρον καὶ εἰσέρχεται εἰς τὴν ἐκκλησίαν καὶ ἅπτει τὰς κανδήλας, καί, εὐπρεπίσας τὸν θυμιατόν, ποιεῖ μετανοίας γ′ ἔμπροσθεν τῶν ἁγίων θυρῶν, εἶτα εἰς τοὺς β′ χοροὺς πρὸς μίαν, καὶ ἀπέρχεται καὶ σημαίνει τὸ μέγα, καὶ ὑποστρέψας ἅπτει τὴν λαμπάδα καὶ ἵστησιν αὐτὴν ἐν τῷ τόπῳ τοῦ ἀναλογίου, καὶ ἀπέρχεται καὶ βάλλει μετάνοιαν τῷ μέλλοντι ἑβδομαρεῦσαι ἱερεῖ, ὁ δὲ ταχθεὶς ἑβδομαριεὺς ἱερεύς, συναχθέντων τῶν ἀδελφῶν καὶ τοῦ καθηγουμένου, καὶ καθημένων ἁπάντων ἡσύχως, ἐγείρεται καὶ βάλλει μετάνοιαν τῷ ἡγουμένῳ ἢ εἰς τὸν τόπον αὐτοῦ, ἐὰν οὐκ ἔνδον, καὶ εὐλογηθεὶς παρ᾿ αὐτοῦ, ποιεῖ μετανοίας γ′ ἔμπροσθεν τῶν ἁγίων θυρῶν καὶ εἰς τοὺς χοροὺς πρὸς μίαν, καὶ εἰσελθὼν εἰς τὸ ἅγιον βῆμα, καὶ λαβὼν τὸ θυμιατὸν ἵσταται ἐνώπιον τῆς ἁγίας τραπέζης, ὁ δὲ κρατῶν τὴν λαμπάδα ἵσταται ἐν τῷ τόπῳ τοῦ ἀναλογίου καὶ ἐκφωνεῖ τὸ Κελεύσατε. Καὶ εὐθὺς πάντες ἀνιστάμεθα καὶ ἱστάμεθα ἐν τοῖς στασειδίοις ἡμῶν. Ὁ δὲ ἱερεὺς θυμι-

άσας σταυροειδῶς τὴν ἁγίαν τράπεζαν καὶ ὅλον τὸ ἅγιον βῆμα, ἐξέρχεται διὰ τῶν ἁγίων θυρῶν, καὶ θυμιάσας κἀκεῖσε σταυροειδῶς ἐκ τρίτου, ἀπέρχεται καὶ θυμιᾷ πρῶτον τὸν προεστῶτα, εἶτα τοὺς χοροὺς καὶ τὸν ναὸν κατὰ τὸν τύπον, τῆς λαμπάδος αὐτοῦ προπορευομένης, καὶ ἐξελθὼν εἰς τὸν νάρθηκα θυμιᾷ τὸ ἀριστερὸν μέρος τῆς ἁγίας μάνδρας [1]) καὶ εἰσέρχεται εἰς τὴν θεόκτιστον ἐκκλησίαν τῆς ἁγίας Θεοτόκου, κἀκεῖσε θυμιάσας, ἐξέρχεται καὶ εἰσέρχεται εἰς τὸν ναὸν τοῦ Προδρόμου, καὶ ἐξελθὼν θυμιᾷ τὸν τάφον τοῦ ἁγίου καὶ τὸ δεξιὸν μέρος τῆς ἁγίας μάνδρας, καὶ ἐλθὼν εἰς τὰς ὡραίας πύλας, ποιεῖ σταυρὸν μετὰ τοῦ θυμιατοῦ καὶ εἰσέρχεται εἰς τὴν μεγάλην ἐκκλησίαν, καὶ φθάσας εἰς τὸ μέσον, ποιεῖ καὶ αὖθις σταυρὸν μετὰ τοῦ θυμιατοῦ καὶ λέγει μεγαλοφώνως· Κύριε, εὐλόγησον, ἱσταμένων πάντων. Εἶτα θυμιᾷ πάλιν τὸν προεστῶτα ἢ τὸν τόπον αὐτοῦ καὶ ἀπέρχεται εἰς τὸ διακονικὸν καὶ ἀπ' ἐκεῖσε εἰσέρχεται εἰς τὸ μέγα βῆμα, καὶ θυμιᾷ πάλιν γύρωθεν καὶ ἵσταται ἔμπροσθεν τῆς ἁγίας τραπέζης καὶ σφραγίζει σταυροειδῶς καὶ λέγει μεγαλοφώνως· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ἀδιαιρέτῳ Τριάδι πάντοτε... Καὶ μετὰ τὸ Ἀμὴν ἀρχόμεθα ψάλλειν μεγάλῃ φωνῇ καὶ μετὰ μέλους· Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ τῷ βασιλεῖ ἡμῶν, λέγοντες αὐτὸ ἐκ δευτέρου καὶ πάλιν· Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν, ἅπαξ. Εἶτα πάλιν· Δεῦτε προσκυνήσωμεν καὶ πλεῖον οὐδέν, ἀλλ' εὐθὺς ὁ προεστὼς ἄρχεται γεγωνότερον ἢ ὁ ἐκκλησιάρχης εἰς ἦχον πλ. δ' Εὐλόγει ἡ ψυχή μου ἀργῶς καὶ μετὰ μέλους. Ὁ δὲ ἱερεὺς ἐξελθὼν τοῦ ἁγίου θυσιαστηρίου βάλλει μετάνοιαν μετὰ τοῦ κανδηλάπτου ἐνώπιον τῶν ἁγίων θυρῶν μίαν καὶ εἰς τοὺς χοροὺς πρὸς μίαν καὶ ἀπέρχονται εἰς τὰ στασείδια αὐτῶν. Ὅταν δὲ φθάσωμεν εἰς τό· Ἀνοίξαντός σου τὴν χεῖρα τὰ σύμπαντα, ποιεῖ ὁ ἐκκλησιάρχης μετάνοιαν τῷ ἡγουμένῳ καὶ ὑψοῖ ἐκεῖνος τὸν στίχον, εἰ δὲ οὐκ ἔστιν ὁ ἡγούμενος, ὑψοῖ ὁ ἐκκλησιάρχης. Ψαλλομένου δὲ τοῦ ψαλμοῦ, λέγει ὁ ἱερεὺς τὰς εὐχὰς τοῦ λυχνικοῦ. Πληρωθέντος δὲ τοῦ ψαλμοῦ, γίνεται συναπτὴ μεγάλη ὑπὸ τοῦ ἱερέως... Καὶ εὐθὺς (т. е. послѣ возгласа просительной ектеньи) λιτανεύομεν ἐξερχόμενοι εἰς τὸ θεόκτιστον, ψάλλοντες τὸ δ' μαρτυρικὸν τοῦ ἤχου, Δόξα καὶ νῦν, ψάλλονται τὸ β', καὶ θ' τοῦ

. ...

[1]) Въ ркп. XII в. № 1094 подъ первымъ сентября говорится καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Συμεὼν τοῦ ἐν τῇ μάνδρᾳ, т. е. Στυλίτου, по другимъ Синайскимъ рукописямъ.

ἤχου, καὶ μετὰ τοῦτο ὁ ἱερεύς· Ἔτι καὶ ἔτι. Καὶ ἀπεκεῖσε ἀπερχόμεθα εἰς τὸν ναὸν τοῦ Προδρόμου· ψάλλονται στιχηρά, πλ. β' Προφῆτα κήρυξ Χριστοῦ, Δόξα, θεοτοκίον· Ἁγία παρθένε Μαρία, μείζων ἀγγέλων ἀνεδείχθης, τὸν ποιητὴν γὰρ τῶν ἁπάντων ἐβάστασας ταῖς σαῖς ἀγκάλαις... ψάλλονται δὲ ταῦτα ἀργῶς διὰ τὸ δίδοσθαι ἅγιον ἔλαιον τοῖς ἀδελφοῖς ἀπὸ τῆς ἐπισκέψεως παρὰ τοῦ ἡγουμένου ἢ τοῦ ἱερέως· λαμβάνομεν δὲ τοῦτο ἐν τῇ ἀριστερᾷ παλάμῃ καὶ χριόμεθα διὰ τῆς δεξιᾶς τὸ μέτωπον καὶ τὴν καρδίαν, καὶ μετὰ τὸ λαβεῖν, πάντας λέγει ὁ ἱερεύς· Ἔτι καὶ ἔτι. Καὶ μετὰ τοῦτο ψάλλομεν τὸ στιχηρὸν τοῦ ἁγίου πρὸς τὸν ἦχον τῆς Ὀκτωήχου, ἐξερχόμεθα εἰς τὸν τάφον τοῦ ἁγίου καὶ παριστάμεθα κύκλῳ ἐν τῇ ἁγίᾳ μάνδρᾳ, ὁ δὲ (**л. 4**) ἱερεὺς θυμιᾷ τὸν τάφον τοῦ ἁγίου, εἶτα τὸν ἡγούμενον καὶ καθ' ἑξῆς πᾶσαν τὴν ἀδελφότητα, ἀρξάμενος ἀπὸ τοῦ δεξιοῦ μέρους καὶ κυκλεύσας ἔρχεται ἀπὸ τοῦ ἀριστεροῦ μέρους εἰς τὸν τάφον τοῦ ἁγίου. Πληρωθέντος δὲ τοῦ στιχηροῦ τοῦ ἁγίου λέγει· Δόξα καὶ νῦν, θεοτοκίον τοῦ ἤχου τὸ γ', καὶ μετὰ τὴν συμπλήρωσιν λέγει ὁ ἱερεύς· Ἔτι ἐκτενῶς τοῦ Κυρίου δεηθῶμεν, ἡμεῖς τὸ Κύριε ἐλέησον α', ὁ δὲ ἱερεύς· Ἔτι ὑπὲρ τῶν ὁσίων πατέρων ἡμῶν τῶν ἡγουμένων, καθὼς ἀναγράφονται ἐν τῷ Διπτύχῳ ἀπὸ τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα μέχρι τοῦ τελευταίου, ἡμεῖς δὲ τὸ Κύριε ἐλέησον γ'. Ὁ ἱερεὺς Τῆς παναγίας ἀχράντου ὑπερευλογημένης Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες. Ἡμεῖς· Σοὶ Κύριε. Ὁ δὲ ἱερεὺς τὴν εὐχὴν ταύτην· Σῶσον, ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου... Ἡμεῖς· τὸ Κύριε ἐλέησον ν'. Εἶτα ὁ ἱερεύς· Ἔτι δεόμεθα ὑπὲρ ἀφέσεως ἁμαρτιῶν τοῦ δούλου τοῦ Θεοῦ... μοναχοῦ καὶ πασης τῆς ἐν Χριστῷ ἀδελφότητος ἡμῶν καὶ ὑπὲρ πάσης ψυχῆς χριστιανῶν θλιβομένων... Ἡμεῖς τὸ Κύριε ἐλέησον ν. [**л. 5**) Εἶτα μνημονεύει τῶν βασιλέων καὶ λέγει ἐξ ὀνόματος, οὓς ἔχει κατὰ τὸν τύπον ἐν τῷ διπτύχῳ ζῶντας καὶ τεθνεῶτας φιλοχρίστους, καὶ μετὰ ταῦτα ἐκφώνησις· Ἐπάκουσον ἡμῶν, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν... Εἰρήνη πᾶσι Τὰς κεφαλὰς ἡμῶν... Καὶ κλινόντων ἡμῶν τὸ γόνυ ἐπεύχεται μεγάλῃ φωνῇ· Ὁ ἱερεὺς λέγει οὕτως· Δέσποτα πολυέλεε Κύριε... (на всѣхъ молитвахъ поминается имя Саввы) [**л. 6**) Μετὰ δὲ τὸ Ἀμὴν ψάλλομεν τὸ ἀναστάσιμον τοῦ στίχου καὶ εἰσερχόμεθα ἐν τῷ ναῷ, λέγονται δὲ στίχος α' Ἐξομολογήσομαί, σοι Κύριε, στίχος β' Ἀνάστηθι, Κύριε, ὁ Θεός μου, εἶτα τὰ στιχηρὰ τοῦ ἀλφαβή-

του, καὶ εἰ μὲν λάχοι ἑορτὴ ἁγίου ἑορτασίμου ἢ δεσποτικὸν καὶ ἔχοι ἰδιόμελα καὶ ἄλλον στίχον λέγει· Ὁ Κύριος ἐβασίλευσεν, καὶ ψάλλει τὰ γ′ στιχηρὰ τοῦ ἀλφαβήτου, εἰς δὲ τὸ Δόξα τὸ ἴδιον, Καὶ νῦν, θεοτοκίον πρὸς τὸν ἦχον τοῦ αὐτοῦ ἰδιομέλου, Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ μετὰ τὸ Πάτερ ἡμῶν ἐκφωνεῖ ὁ ἱερεύς· Ὅτι σοῦ ἐστι καὶ εὐθὺς Θεοτόκε Παρθένε, χαῖρε, ἐκ γ′. Ὁ δὲ κανδηλάπτης προτίθησιν ἄρτους κεκομμένους καὶ ψωμὶ ἀκέραιον ἐκ τῶν ἀδελφῶν μετὰ κανισκίου ἐν τῷ ἀναλογίῳ, καὶ πληρωθείσης τῆς ἀκολουθίας ἀπέρχεται ὁ ἱερεὺς καὶ λαβὼν ἐν τῇ ἀριστερᾷ χειρὶ τὸ κανίσκιον, σφραγίζει τῇ δεξιᾷ γ′ καὶ ἐπεύχεται εἰς ἐπήκοον πάντων τὴν εὐχὴν ταύτην· Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ εὐλογήσας τοὺς πέντε ἄρτους... (имя Саввы упоминается). Καὶ μετὰ τὸ Ἀμὴν λέγομεν Εὐλογήσω τὸν Κύριον ἕως· οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ. Αὕτη ἡ εὐχὴ λέγεται καὶ ἐπὶ τῆς ζύμης. Καὶ ὅταν ἐπάρουν οἱ ἀδελφοὶ τὰ ψωμία αὐτῶν ἐν τῷ ἀρτοθεσίῳ, ὁ δὲ ἱερεὺς ἱστάμενος ἐνώπιον τῶν ἁγίων θυρῶν μετὰ τὸ εἰπεῖν τὴν εὐχήν, στραφεὶς ἐπεύχεται οὕτως· Εὐλογία Κυρίου ἐφ' ἡμᾶς καὶ εὐθέως [л. 7) καθήμεθα πάντες καὶ γίνεται ἀνάγνωσις εἰς τὸν Πραξαπόστολον χύμα, εἰ δέ ἐστι δεσποτικὴ ἑορτὴ ἢ ἁγίου, ὡς εἴρηται, καί εἰσι πολλαὶ ἀνάγνωσις τίθεται ἐξ αὐτῶν.

Ἰστέον ὅτι ἀπὸ τοῦ Πάσχα καὶ μέχρι τῶν Ἁγίων πάντων εἰς τὴν αὐτὴν ἀνάγνωσιν αἱ Πράξεις ἀναγινώσκονται, εἰς δὲ τὰς λοιπὰς κυριακὰς τοῦ χρόνου αἱ ζ′ καθολικαὶ καὶ αἱ ιδ′ ἐπιστολαὶ τοῦ ἁγίου Παύλου, καθεσθέντων δὲ ἡμῶν, ὡς εἴρηται, διαδίδωσιν ὁ κανδηλάπτης τὰ κλάσματα τῶν ἄρτων τοῖς ἀδελφοῖς, ἀρξάμενος ἀπὸ τοῦ καθηγουμένου, καὶ μετὰ τὸ πληρῶσαι τοὺς ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ἐξέρχεται εἰς τὴν ἁγίαν μάνδραν καὶ ἐπιδίδωσι κἀκεῖσε τοῖς εὑρισκομένοις ἅπασιν, εἶτα τοῖς ἐν τῇ θεοκτίστῳ καὶ ἐν τῇ τοῦ Προδρόμου. Εἷς δὲ τῶν παραξενοδόχων ὑδροφορεῖ καὶ ἐπιδίδωσι τὸ ὕδωρ μετὰ τοῦ ποτηρίου, ἀρξάμενος καὶ αὐτὸς ἀπὸ τοῦ καθηγουμένου, καὶ μετὰ τὸ συμφθάσαι τὴν διακονίαν ταύτην εἰσελθόντες ἀμφότεροι, βάλλουσι μετάνοιαν ἔμπροσθεν τῶν ἁγίων θυρῶν ἐκ γ′ καὶ εἰς τοὺς χοροὺς πρὸς μίαν καὶ ἐξέρχονται, τὸ δὲ ψωμὶ τῶν εὐλογηθέντων παρὰ τοῦ ἱερέως λαβὼν ὁ αὐτὸς ἑβδομάριος διακλᾷ εἰς μέρη δ′ καὶ τὴν μὲν μίαν μερίδα κρατεῖ αὐτός, τὴν δὲ ἑτέραν λαμβάνει ὁ ὑδροφόρος, τὴν δὲ ἑτέραν ὁ τὸν Πραξαπόστολον ἀναγνοὺς καὶ τὴν ἄλλην ὁ κελλαρίτης, ἣν καὶ φρύξας φυλάττει, ἥτις καὶ ἀποστέλλεται πανταχοῦ εἰς ἴασιν ψυχικῶν παθῶν καὶ σωματικῶν, πινομένη μετὰ τοῦ ὕδατος καὶ μεταλαμβανομένη. Ἀπὸ δὲ τῆς ὥρας ἐκεί-

νης οὐκ ἔχει ἐξουσίαν πίνειν ὕδωρ ὁ τῶν ἀχράντων μυστηρίων μετασχεῖν βουλόμενος. Μετὰ δὲ τὴν ἀνάγνωσιν τοῦ Πραξαποστόλου ἀρχόμεθα τοῦ· Δόξα ἐν ὑψίστοις Θεῷ, ψάλλομεν κοινῶς ἐξάψαλμον, καὶ καθ' ἑξῆς γίνεται ἡ ἀκολουθία τοῦ ὄρθρου, ἤγουν τὸ Θεὸς Κύριος πρὸς τὸν ἦχον τῆς Ὀκτωήχου καὶ τὸ ἀπολυτίκιον τοῦ ἤχου, αἱ στιχολογίαι κατὰ τὸν τύπον.

[л. 8) Ὥρα. Εἰς δὲ τὴν θ' ᾠδὴν θυμιᾷ ὁ ἱερεὺς κατὰ τάξιν. Πρὸ τοῦ ἄρξασθαι δὲ τοῦ εἱρμοῦ, ἤγουν τοῦ Αἰνοῦμεν εὐλογοῦμεν, ἀπερχόμεθα καὶ ποιοῦμεν καθορδίνως πάντες μετάνοιαν ἀπὸ γῆς καὶ εὐθὺς ἀρχόμεθα τὸν εἱρμὸν τῆς θ'. Πληρωθήσης δὲ τῆς θ' ᾠδῆς λέγει ὁ ἱερεύς· Ἔτι, καὶ ψάλλει ὁ ψάλτης τὸ Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν πρὸς τὸν ἦχον καὶ ψάλλομεν τὸ ἐνόρδινον ἐξαποστειλάριον ἀναστάσιμον δὶς καὶ τὸ Θεοτόκε ἅπαξ. Εἶτα· Πᾶσα πνοὴ πρὸς τὸν ἦχον καὶ οἱ αἶνοι· ἱστῶμεν στίχους ἓξ καὶ ψάλλομεν ἀναστάσιμα δ' καὶ ἀνατολικὰ δ', διὰ δὲ τὰ περιττὰ στιχηρὰ λέγομεν στίχους· Ἐξομολογήσομαι καὶ Ἀνάστηθι, εἰς τὸ Δόξα, ἐὰν ᾖ δεσποτικὴ ἑορτὴ ἢ μνήμη ἁγίου ἑορτάσιμος, καταλιμπάνομεν τὸ ἑωθινὸν καὶ ψάλλομεν τὸ τῆς ἑορτῆς. Αὐτὸ δὲ ψάλλομεν εἰς τὸ ἅγιον σπήλαιον. Καὶ νῦν Ὑπερευλογημένη τὸ Τρισάγιον, Ἀναστὰς ἐκ τοῦ μνήματος ἢ Σήμερον σωτηρία. Ὁ ἱερεὺς μετὰ τὰς ἐκτενὰς ἐκφωνεῖ· Ὅτι ἐλεήμων καὶ εἶτα· Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν, Ἀντιλαβοῦ, Τὴν ἡμέραν πᾶσαν, καὶ μετὰ τὴν τελευταίαν ἐκφώνησιν ἄρχεται ὁ ἐκκλησιάρχης, ἦχος πλ. α'. Ὅσιε πάτερ, ἐκκλησίας ἐγένου δόξα καὶ μοναζόντων τὸ καύχημα καὶ πρὸς τὸν Θεὸν ἀμέμπτως ἐπορεύθης καὶ διὰ τοῦτο χοροῖς ἁγίων συναναπαύῃ μάκαρ. Καὶ ψαλλόντων αὐτῶν ἐξερχόμεθα εἰς τὴν νάρθηκα εἰς τὴν κοίμησιν τοῦ ἁγίου, Δόξα καὶ νῦν, θεοτόκιον· Σὲ δυσωποῦμεν. Ὁ δὲ ἱερεὺς θυμιᾷ τὴν κοίμησιν τοῦ ἁγίου καὶ τὸν ἡγούμενον καὶ λέγει· Ἔτι καὶ ἔτι, Ἀντιλαβοῦ, Τῆς Παναγίας, ἐκφώνησις Ὅτι πρέπει, Εἰρήνη πᾶσι καὶ εὐθὺς ψάλλομεν τό· Πρέπει τῷ Ἰωάννῃ ἡ εὐωδία. Καὶ λεγόντων τούτων ἀπερχόμεθα εἰς τὸν ναὸν τοῦ ἁγίου προφήτου Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, Δόξα καὶ νῦν, θεοτοκίον· Δέχου τὰς φωνάς. Εἶτα ποιεῖ ὁ ἱερεὺς ἐκεῖσε τὴν συναπτὴν καὶ ἐξέρχεται ἡ λιτὴ εἰς τὴν Θεόκτιστον καὶ ψάλλομεν ἐκεῖ τὸ δ' ἀναστάσιμον στιχηρὸν τὸ εἰς τοὺς αἴνους τοῦ στίχου, Δόξα καὶ νῦν, θεοτοκίον. Εἶτα ὁ ἱερεύς· Ἔτι καὶ ἔτι, Ἀντιλαβοῦ, Σῶσον ὁ Θεὸς τὸν [л. 9) λαόν σου ἕως τέλους, τὸ Κύριε ἐλέησον ιβ'. Ὁ ἱερεύς· Ἔτι ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν τῶν ἐν ἀσθενείᾳ κατακειμένων ὑπὲρ ὑγείας καὶ σωτηρίας ταχείας βοη-

θείας ἐπισκέψεως καὶ ἰάσεως αὐτῶν τοῦ Κυρίου δεηθῶμεν, τὸ Κύριε ἐλέησον γ΄. Ὁ ἱερεὺς τὴν εὐχήν· Δέσποτα πολυέλεε Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, τῇ πρεσβείᾳ τῆς παναχράντου Σου Θεοτόκου καὶ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Σάββα ἐπίσκεψαι αὐτοὺς ἐν ἐλέει καὶ οἰκτιρμοῖς ἴασαι αὐτοὺς ψυχῇ καὶ σώματι, ἐλεήμων γὰρ Θεὸς ὑπάρχεις καὶ πρέπει σοι ἡ δόξα... Ὁ λαὸς τὸ Ἀμήν. Ὁ ἱερεύς· Σοφία. Ὁ λαὸς Εὐλογεῖτε, ἅγιοι, εὐλογεῖτε. Ὁ ἱερεύς· Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν πάντοτε νῦν καὶ ἀπολύει.

Ἰστέον, ὅτι ἀπὸ τῆς κυριακῆς τῆς ἀπόκρεω καὶ μέχρι τῆς βαϊοφόρου τὸ ἴδιον τῆς κυριακῆς τοῦ ὄρθρου ἅπαξ ψάλλεται ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ καὶ ἅπαξ εἰς τὴν θεόκτιστον. Εἰς τὸ Δόξα ἤγουν μετὰ τὸ εἰπεῖν τὸ δ΄, ὡς εἴρηται, στιχηρὰ ἀναστάσιμα, Καὶ νῦν θεοτοκίον.

Δεῖ δὲ τὸν ἐκκλησιάρχην ἔχειν ἀκρίβειαν εἴς τε τὴν ψαλμῳδίαν καὶ εἰς τὴν ἀνάγνωσιν, ὅπως ἡλίου ἀνίσχοντος γίνηται ἡ ἀπόλυσις· ἀπὸ δὲ τῆς ἀγρυπνίας οὐκ ἔχομεν ἐξουσίαν κοιμηθῆναι πρὸ τῆς θείας λειτουργίας, ἔστω δὲ αὕτη ταχύτερον καὶ τὸ λυχνικὸν βραδύτερον. Ἰστέον δέ, ὅτι οὕτω παρέλαβον ἐν Παλαιστίνῃ ὥστε τὴν ἀγρυπνίαν μόλις ἀπολύειν ἡλίου ἀνατέλλοντος, τοὺς δὲ λοιποὺς ὄρθρους τῆς ἑβδομάδος ἔτι σκοτίας οὔσης.

Всѣхъ всенощныхъ бдѣній воскресныхъ 52. Кромѣ того, всенощное бдѣніе совершалось 8 и 14 Сентября, 21 Ноября, 5 (память Саввы) и 25 Декабря, 6 и 17 (въ память Антонія) Января, 2 и 20 Февраля (избіеніе отцовъ въ лаврѣ Саввы) и 25 Марта, 29 Іюня, 6, 15 и 25 Августа, на вознесеніе. Τῇ δὲ ἁγίᾳ καὶ μεγάλῃ κυριακῇ, ὡς βούλεται ὁ προεστώς.

[л. 10 об.) Περὶ τῆς στιχολογίας т. е. Псалтири, [л. 11) Περὶ τῶν ψαλλομένων κανόνων ἐν τοῖς ὄρθροις καὶ τῆς τούτων τάξεως.

[л. 11 об.) Περὶ τῶν ἁγίων εὐαγγελίων καὶ τῶν ἑρμηνειῶν αὐτῶν πῶς καὶ πότε ἀναγινώσκονται. [л. 12) Περὶ τῶν ἁγίων λειτουργιῶν.

Αἱ δὲ ἅγιαι λειτουργίαι ἐν ταῖς κυριακαῖς τῆς μεγάλης μ΄ καὶ ἐν ταῖς νηστείαις τῶν δεσποτικῶν ἑορτῶν, ὅτε δηλονότι ἐστὶ τοῦ ἁγίου Βασιλείου ἡ λειτουργία, τελοῦνται ὡσαύτως καὶ εἰς τὴν μνήμην αὐτοῦ, ἐν δὲ ταῖς λοιπαῖς ἡμέραις τοῦ ὅλου χρόνου ἡ λειτουργία τελεῖται τοῦ Χρυσοστόμου, ἡ δὲ προηγιασμένη ἐν τῇ μεγάλῃ τεσσαρκοστῇ.

Περὶ τῶν ἑωθινῶν εὐαγγελίων τοῦ Πάσχα.

[л. 13) Περὶ τοῦ σημάντρου καὶ περὶ τῆς ἑσπερινῆς καὶ ὀρθρι-

νῆς ἀκολουθίας τῶν δ' ἡμερῶν τῆς ἑβδομάδος β', γ', δ', ε'. Подъ этою рубрикою изложены чины вечерни и утрени безъ полунощницы и безъ начальныхъ псалмовъ въ чинѣ утрени. Звонъ къ утрени описывается такъ: ἐν δὲ τοῖς ὄρθροις σημαίνει πρῶτον τὰς βαρείας σχολαιότερον, ἕως οὗ πληρώσει τὸν ἄμωμον ἐν ἑνὶ τόπῳ ἱστάμενος καὶ τὸ σίδηρον περιερχόμενος, εἶτα ἅπτει τὰς κανδήλας καὶ ποιεῖ τὸν θυμιατὸν ἐξέρχεται καὶ σημαίνει τὸ μέγα. Шестопсалміе читаетъ игуменъ или екклисіархъ ἢ καὶ ἀμφότεροι, ὡς ἔχει τύπον. Во время шестопсалмія совершается кажденіе.

[л. 17) Περὶ τῶν παρασκευῶν καὶ σαββάτων. Ἐν δὲ ταῖς καθημεριναῖς παρασκευαῖς ὅτε ἐστί· Θεὸς Κύριος ψάλλομεν τὸν πολυέλαιον μετὰ τῶν ἀλληλουαρίων αὐτοῦ εἰς τὸν ἦχον μετὰ μέλους, εἰ δὲ τύχοι Ἀλληλούια ψάλλομεν αὐτὸν χύμα, καθὼς καὶ ἐν τῇ μεγάλῃ τεσσαρακοστῇ· ψάλλομεν αὐτὸν μεσεβδόμαδα μὲν χύμα ἐν δὲ ταῖς παρασκευαῖς εἰς τὴν στιχολογίαν δηλονότι τῆς γ' ὥρας μετὰ μέλους ὁμοίως καὶ τὸ Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ μεσεβδόμαδα μὲν ψάλλομεν χύμα, ἐν δὲ ταῖς παρασκευαῖς μετὰ μέλους ἤγουν ἐν τῇ ϛ' ὥρᾳ, τότε γὰρ στιχολογοῦμεν καθὼς καὶ ἐν ταῖς κοιναῖς παρασκευαῖς, ἐν τοῖς αὐτῶν ὄρθροις ψαλλόντων αὐτῶν μετὰ μέλους. Ὅτε ἐστὶ ὡς εἴρηται Θεὸς Κύριος λέγεται οὕτως· Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, Δόξα τῷ Πατρί. Ὅτε δὲ λέγεται χύμα ψάλλομεν αὐτὸν οὕτω· Δόξα τῷ Πατρί· καὶ ταῦτα μὲν ἐν τοῖς ὄρθροις, ἐν δὲ τοῖς ἑσπερινοῖς τῶν παρασκευῶν σχολάζουσιν αἱ μετάνοιαι, καὶ εἴπερ ἐστὶν Ἀλληλούια ἀπαρχῆς ἔν τε ταῖς κοιναῖς ἡμέραις, καὶ ἐν αὐταῖς ταῖς τεσσαρακοσταῖς πάσαις. Στιχολογοῦμεν δὲ καὶ εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ϛ' καὶ ψάλλομεν τὰ στιχηρὰ τοῦ Μηναίου ἐκ δευτέρου· εἰς τὸ Δόξα ἰδιόμελα, ἐὰν ἔχῃ, εἰ δ' οὐ Δόξα καὶ νῦν, θεοτοκίον, τὸ α' τοῦ ἤχου, εἰς τὸν στίχον τὰ μαρτυρικά, καταλιμπάνεται τὸ α', διότι προψάλλεται εἰς τὸ Δόξα· εἰ οὐκ ἔχει ὡς εἴρηται, ἰδιόμελον λέγομεν τοῦ ἁγίου Σάββα πρὸς τὸν ἦχον· Καὶ νῦν θεοτοκίον, τροπάριον τοῦ ἁγίου τοῦ Μηναίου, ἐκτενὴν καὶ ἀπόλυσις· Εἰς δὲ τοὺς ὄρθρους, ἤγουν τῶν σαββάτων· Θεὸς Κύριος, τὸ τροπάριον τοῦ ἁγίου τοῦ Μηναίου, ἡ συνήθης στιχολογία μετὰ τῶν ἀλληλουαρίων αὐτῶν τοῦ ἤχου, καθίσματα εἰς τὴν πρώτην στιχολογίαν, μαρτυρικὸν β', ἤγουν ὁ ταχθεὶς ἀναγινώσκειν ψάλλει ἐν τῷ ἀναλογίῳ τὸ α' καὶ ἡμεῖς τὸ ἕτερον, κανοναρχοῦντος ἐκείνου ὡς προεγράφη, Δόξα καὶ νῦν ἐκεῖνος, ἡμεῖς δὲ θεοτοκίον. Εἰς δὲ τὸ β' κάθισμα λέγεται ὁμοίως· ὁ θέλων ἀναγινώσκει τὸ γ' μαρτυρικὸν καὶ ἡμεῖς τὸ δ', Δόξα καὶ νῦν, θεοτο-

κίον. Εἶτα ὁ πεντηκοστός, οἱ κανόνες, προηγεῖται δὲ τὸ Μηναῖον, εἶτα τοῦ ἁγίου Σάββα πρὸς τὸν ἦχον τῆς Ὀκτωήχου, ὡς προείρηται, καὶ ὁ νεκρώσιμος. Ἀπὸ γ' ᾠδῆς κάθισμα τοῦ Μηναίου, ἀπὸ ς' τὸ κονδάκιον ἐὰν ἔχῃ, εἰ δ' οὐ μαρτυρικὸν καὶ θεοτοκίον· καταλιμπάνομεν γὰρ τὸ α' ἐν τοῖς καθίσμασι τῆς στιχολογίας καὶ λέγει ἐν τῇ ᾠδῇ ταύτῃ ἐξαποστειλάριον τοῦ Μηναίου, ἐὰν ἔχῃ, εἰ δ' οὐ Ὁ οὐρανὸν τοῖς. Εἰς τοὺς αἴνους στιχηρὰ οὐ ψάλλομεν, εἰ μή που τύχῃ δεσποτικὴ ἑορτὴ ἢ ἑορτασίμου ἁγίου μνήμη. Εἰς τὸν στίχον τὰ γ' μαρτυρικά, τὸ γὰρ α' καταλιμπάνεται διὰ τὸ προψάλλεσθαι· εἰς τὸ Δόξα, εἰ μὲν ἔνι ἰδιόμελα, εἰ δ' οὐ τοῦ ἁγίου Σάββα τοῦ ἤχου, Καὶ νῦν θεοτοκίον· Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι, δίς, τὸ Τρισάγιον, τὸ τροπάριον τοῦ ἁγίου, ἐκτενὴν καὶ ἀπόλυσις. Εἰς τὴν λειτουργίαν τυπικὰ ἐν τοῖς μακαρισμοῖς καὶ νεκρώσιμα καὶ τοῦ ἁγίου τοῦ Μηναίου· εἴ ἐστιν ἑορτάσιμος, ἀπόστολον, Ἀλληλούια καὶ εὐαγγέλιον τῆς ἡμέρας καὶ τοῦ Μηναίου, κοινωνικὸν ὁμοίως καὶ τοῦ ἁγίου καὶ νεκρώσιμον. Οὕτως τελεῖται ἡ ἀκολουθία ἐν τοῖς σάββασι, ὅτε δηλονότι ψάλλομεν Θεὸς Κύριος, εἰ δὲ τύχοι δεσποτικὴ ἑορτή, ψάλλομεν τὰ τῆς ἑορτῆς. Ὅτε δηλονότι ἀλληλουάριον ἀρχόμεθα ἐν τοῖς λυχνικοῖς τῶν παρασκευῶν, Δεῦτε προσκυνήσωμεν γ', Τρισάγιον· ἐν γὰρ τοῖς τῶν παρασκευῶν ἑσπερινοῖς οὐ λέγομέν ποτε, κἂν ἔστιν Ἀλληλούια, οὔτε μετανοίας βάλλομεν, ὡς προγέγραπται, ἀλλ' οὐδὲ ἐν τῇ μεγάλῃ μ', οὐδὲ τὸ προκείμενον, ἀλλ' οὐδὲ τῆς παρασκευῆς, ὥσπερ οὐδὲ τῆς κυριακῆς κἂν ἔστιν Ἀλληλούια, πλὴν ἐν τῇ κυριακῇ. Ἑσπέρας, ὅτε ἐστὶν Ἀλληλούια ἀρχόμεθα βάλλειν μετανοίας ἀπὸ τοῦ Καταξίωσον Κύριε κατὰ τὴν τάξιν, ὡς προείρηται. Τέως δὲ ἐν τοῖς ἑσπερινοῖς τῶν παρασκευῶν, ὅτε οὐκ ἔστιν ἑορτὴ μετὰ τὸν ψαλμὸν ἡ στιχολογία, τὸ Κύριε ἐκέκραξα πρὸς τὸν ἦχον τοῦ Μηναίου, τὰ στιχηρὰ πρὸς ἅπαξ, εἶτα τὰ τρία μαρτυρικὰ τῆς Ὀκτωήχου. Δόξα καὶ νῦν θεοτοκίον τὸ α' τοῦ ἤχου μαρτυρικόν, εἶτα τὰ β' νεκρώσιμα τοῦ Δαμασκηνοῦ, στίχος Μακάριοι, οὓς ἐξελέξω καὶ Αἱ ψυχαὶ αὐτῶν, Δόξα τοῦ ἁγίου Σάββα τοῦ ἤχου Καὶ νῦν θεοτοκίον, τροπάριον ἦχος β' Ἀπόστολοι μάρτυρες, Δόξα Μνήσθητι Κύριε, Καὶ νῦν, Μήτηρ ἁγία τοῦ ἀφράστου. Εἰς τὸν ὄρθρον Ἀλληλούια ἦχος β' αἱ τὰ αὐτοῦ τροπάρια· ἡ στιχολογία, ἤγουν τὸ α' κάθισμα μετὰ τῶν ἀλληλουαρίων τοῦ γ' ἀντιφώνου τοῦ ἤχου, κάθισμα λέγει ὁ ταχθεὶς ἀναγινώσκειν, ὡς προείρηται, τὸ δεύτερον μαρτυρικόν, καὶ ἡμεῖς τὸ γ', εἶτα λέγει· Θαυμαστὸς ὁ Θεὸς καὶ ἡμεῖς τοῦ στίχου τὸ μαρτυρικὸν καὶ πάλιν ἐκεῖνος· Μακάριοι οὕς, καὶ ἡμεῖς τὸ νεκρώσιμον τοῦ αὐτοῦ ἤχου, Δόξα καὶ νῦν, θεο-

τοκίον, εἶτα ἡ ἀνάγνωσις καὶ μετὰ ταῦτα ἡ β′ στιχολογία. Ἄρχεται δὲ οὕτως· Εὐλογητὸς εἶ, Κύριε, δεδοξασμένος, καὶ ψάλλομεν τὸν ἄμωμον χωρὶς ἀλληλουαρίων. Ποιοῦμεν δὲ αὐτὸν στάσεις β′ καὶ μετὰ τὴν πλήρωσιν ψάλλομεν τὰ νεκρώσιμα τροπάρια μετὰ τοῦ Εὐλογητὸς εἶ Κύριε, ὁ δὲ ἱερεὺς ποιεῖ μικρὰν συναπτήν, μνημονεύει τῶν κροκοιμηθέντων καὶ λέγει τὸ Κύριε ἐλέησον μ′. Μετὰ δὲ τὴν ἐκφώνησιν κάθισμα, ἀναπαύσιμα ἦχος πλ. α′ Ἀνάπαυσον Σωτὴρ ἡμῶν, Δόξα καὶ νῦν, θεοτοκίον καὶ ἀνάγνωσις, εἶτα ὁ πεντηκοστὸς καὶ οἱ κανόνες τοῦ Μηναίου πρῶτον, εἶτα τοῦ ἁγίου Σάββα καὶ ὁ νεκρώσιμος. Ἀπὸ γ′ ᾠδῆς κάθισμα τοῦ μηναίου, ἀπὸ ς′ τὸ νεκρώσιμον κοντάκιον· Μετὰ τῶν ἁγίων καὶ ὁ οἶκος αὐτοῦ, τὸ φωταγωγικόν, ἐξαποστειλάριον τοῦ ἤχου, εἰς τοὺς αἴνους τὰ τέσσαρα μαρτυρικά, Δόξα τοῦ ἁγίου Σάββα Καὶ νῦν θεοτοκίον. Εἰς τὸν στίχον τὰ προσόμοια νεκρώσιμα τοῦ κυροῦ Θεοφάνους τοῦ ἤχου καὶ ἡ λοιπὴ ἀκολουθία καὶ ἀπόλυσις. Εἰς τὴν λειτουργίαν ἀκολουθία τῆς ἡμέρας καὶ νεκρώσιμος. Οὕτως γίνεται ἡ ἀκολουθία ἐν τοῖς σάββασιν, ὅτε δηλονότι ἐστὶν Ἀλληλούια.

[л. **20**). Объ отсутствіи стихологій наканунѣ воскресныхъ дней, о памятяхъ важнѣйшихъ святыхъ и великихъ праздниковъ. Каждое всенощное бдѣніе предваряется малою вечернею въ притворѣ.

[л. **20** об.). Объ опредѣленномъ чтецѣ и о томъ, какъ онъ ведетъ себя во время богослуженія, т. е. произнесенія прокимновъ, аллилуаріевъ, чтеній ветхозавѣтныхъ и апостола.

[л. **21**) Объ открoвеніи главъ на литургіи.

— О поведеніи хоровъ во время службы.

[л. **21** об.). О начальномъ хорѣ на вечерни и на часахъ.

[л. **22**). Не поютъ на всенощныхъ «Утверди Боже».

— Никогда не поется Аллилуія наканунѣ воскресеній.

— Объ екклисіархѣ и епистимонархѣ и о будителѣ.

[л. **23**).

Μὴν Σεπτέμβριος,

ἔχων ἡμέρας λ′. ἡ ἡμέρα ἔχει ὥρας ιβ′. καὶ ἡ νὺξ ὥρας ιβ′.

Ἀρχὴ τῆς ἰνδίκτου, ἤτοι τοῦ νέου ἔτους, καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Συμεὼν τοῦ Στυλίτου.

β'. Τοῦ ἁγίου μάρτυρος Μάμαντος καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ νηστευτοῦ, πατριάρχου Κωνσταντινουπόλεως.

γ'. Τοῦ ἁγίου ἱερομάρτυρος Ἀνθίμου, ἐπισκόπου Νικομηδείας, καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοκτίστου, τοῦ συνασκητοῦ τοῦ μεγάλου Εὐθυμίου.

δ'. Τοῦ ἁγίου καὶ μεγάλου προφήτου Μωυσέως, καὶ τοῦ ἁγίου ἱερομάρτυρος Βαβύλα καὶ τῶν τέκνων αὐτοῦ.

Ἀκολουθία τοῦ Μηναίου καὶ τῆς Ὀκτωήχου, ἐὰν ἔχῃ καὶ ἀκολουθία προφήτου. Ἀναγινώσκομεν μετὰ τὸ προκείμενον προφητείας τὸ πρῶτον τῆς Ἐξόδου· Εἶπεν ὁ Κύριος πρὸς Μωησῆν, καταβάς, τὸ δεύτερον τῆς Ἐξόδου· Εἶπεν ὁ Κύριος πρὸς τὸν Μωησῆν, ἀνάβηθι πρός με, καὶ τὸ τρίτον τῆς Ἐξόδου· Ἐλάλησεν Κύριος πρὸς Μωσῆν, ἐνώπιον... [л. 25).

ε'. Τοῦ ἁγίου προφήτου Ζαχαρίου, τοῦ πατρὸς τοῦ Προδρόμου καὶ τοῦ ἁγίου Κυρίλλου, ἐπισκόπου Γορτύνης.

ς'. Ἡ μνήμη τοῦ γεγονότος θαύματος ἐν Κολοσσαῖς, ἤτοι ἐν Χώναις παρὰ τοῦ ἀρχαγγέλου Μιχαήλ, καὶ τοῦ ἁγίου μάρτυρος Εὐδοξίου, τοῦ ἐν Μελετινῇ, καὶ τῶν σὺν αὐτῷ ἀθλησάντων.

ζ'. Προεόρτιον τῆς γεννήσεως τῆς ὑπεραγίας Θεοτόκου, καὶ τοῦ ἁγίου μάρτυρος Σώζοντος.

η'. Τὸ γενέσιον τῆς ἁγίας Θεοτόκου (ἀγρυπνία).

θ'. Τῶν ἁγίων καὶ δικαίων, Ἰωακεὶμ καὶ Ἄννης.

ι'. Τῶν ἁγίων μαρτύρων Μηνοδώρας, Μητροδώρας καὶ Νυμφοδώρας, καὶ τοῦ ἁγίου Ἰουλιανοῦ Ἀγκύρας.

ια'. Τῆς ὁσίας μητρὸς ἡμῶν Θεοδώρας τῆς ἐν Ἀλεξανδρείᾳ.

ιβ'. Τοῦ ἁγίου ἱερομάρτυρος Αὐτονόμου.

ιγ'. Τὰ ἐγκαίνια τῆς ἁγίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν Ἀναστάσεως καὶ τοῦ ἁγίου ἱερομάρτυρος Κορνηλίου τοῦ ἑκατοντάρχου· προεόρτια τῆς ὑψώσεως τοῦ τιμίου Σταυροῦ.

ιδ'. Ἡ ὕψωσις τοῦ τιμίου Σταυροῦ † Εἰ τύχοι ἐν Κυριακῇ ἀναστάσιμα οὐ ψάλλεται, ἡ δὲ στιχολογία γίνεται κατὰ τὸν τύπον τῆς ἀγρυπνίας.

О выносѣ креста за малою вечернею наканунѣ Воздвиженія не говорится. На утрени крестъ выносится такъ: Ψαλλόντων τῶν ἀδελφῶν τὸ Δόξα ἐν ὑψίστοις Θεῷ, ἀλλάσσει ὁ ἱερεὺς τὴν λευκὴν στολὴν καὶ αἴρει τὸν τίμιον σταυρὸν μετὰ τοῦ δίσκου ἐπὶ τῆς

κεφαλῆς αὐτοῦ ἀπὸ τοῦ διακονικοῦ, καὶ ἐκφέρει μετὰ θυμιατοῦ καὶ λαμπάδων, καὶ τοῦ Τρισαγίου ψαλλομένου, εἰσοδεύει καὶ τίθησιν αὐτὸν ἐν τῷ τετραποδίῳ, προευτρεπισμένῳ ὄντι ἔμπροσθεν τῶν ἁγίων θυρῶν, καὶ θυμιᾷ σταυροειδῶς καὶ ψάλλομεν τὸ Σῶσον, Κύριε, τὸν λαόν σου, βάλλει μετανοίας γ' καὶ λαβὼν τὸν τίμιον σταυρὸν μετὰ βασιλικῶν κλάδων ἵσταται κατὰ ἀνατολὰς καὶ ἐκφωνεῖ· Ἐλέησον ἡμᾶς ὁ Θεός...Затѣмъ обрывается рукопись. ἐπὶ τὸ νότιον μέρος, πρὸς δυσμάς, ἐπὶ τὸ βόρειον μέρος и снова κατὰ ἀνατολάς... πληρωθείσης δὲ ταύτης τίθησι τὸ τίμιον ξύλον ἐν τῷ δίσκῳ καὶ ψαλλόντων ἡμῶν Σῶσον, Κυριε, τὸν λαόν σου καὶ τὸν Σταυρόν σου ὁ ἀσπασμὸς ὑπὸ πάντων τῶν ἀδελφῶν (л. **31**, **22**).

На полѣ замѣчанія: Ἡ κοίμησις τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου καὶ διοριζόμεθα [л. **3** об.) Μηνὶ Σεπτεμβρίῳ ιε' ἐκοιμήθη ὁ ὅσιος πατὴρ ἡμῶν Μελέτιος καὶ κτήτωρ τῆς μονῆς τοῦ Σεργίου [л. **32** об.)

ιε'. Τοῦ ἁγίου μεγαλομάρτυρος Νικήτα καὶ μεθεόρτια τοῦ Σταυροῦ, ἐν ᾗ καὶ ἀποδίδεται ἡ ἑορτή.

ις'. Τῆς ἁγίας μεγαλομάρτυρος Εὐφημίας τῆς πανευφήμου.

ιζ'. Τῆς ἁγίας Σοφίας καὶ τῶν τέκνων αὐτῆς, Πίστεως, Ἐλπίδος καὶ Ἀγάπης. Ἔστι καὶ ἡ μνήμη τοῦ ἁγίου Φιλοθέου.

ιη'. Τοῦ ἁγίου ἀποστόλου Συμεὼν τοῦ συγγενοῦς τοῦ Κυρίου καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐμενίου, ἐπισκόπου Κρήτης.

ιθ'. Τῶν ἁγίων μαρτύρων Τροφίμου, Σαββατίου καὶ Δορυμέδοντος καὶ τῆς μάρτυρος Σωσάνης.

κ'. Τοῦ ἁγίου μεγαλομάρτυρος Εὐσταθίου, καὶ τῆς συνοδίας αὐτοῦ.

κα'. Τοῦ ἁγίου ἱερομάρτυρος καὶ ἀποστόλου Κοδράτου, τοῦ ἐν τῇ Μαγνησίᾳ, τοῦ ἁγίου προφήτου Ἰωνᾶ καὶ τοῦ ὁσίου Ἰωνᾶ τοῦ πρεσβυτέρου, πατρὸς Θεοφάνους τοῦ ποιητοῦ.

κβ'. Τοῦ ἁγίου ἱερομάρτυρος Φωκᾶ.

κγ'. Ἡ σύλληψις τοῦ ἁγίου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου.

κδ'. Τῆς ἁγίας πρωτομάρτυρος καὶ ἰσαποστόλου Θέκλης.

κε'. Τῆς ὁσίας μητρὸς ἡμῶν Εὐφροσύνης τῆς ἐν Ἀλεξανδρείᾳ καὶ τῶν ἁγίων μαρτύρων Παύλου καὶ Γάσπης. Ἀλληλούϊα.

κς'. Ἡ μετάστασις τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου.

κζ'. Τοῦ ἁγίου μάρτυρος Καλλιστράτου καὶ τῆς συνοδίας αὐτοῦ. Ἀλληλούια.

κη'. Τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Χαρίτωνος.

κθ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Κυριακοῦ τοῦ ἀναχωρητοῦ.

λ'. Τοῦ ἁγίου ἱερομάρτυρος Γρηγορίου τῆς μεγάλης Ἀρμενίας.

Μὴν Ὀκτώμβριος,

ἔχων ἡμέρας λα'. ἡ ἡμέρα ἔχει ὥρας ια' καὶ ἡ νὺξ ιγ'.

Τῇ α'. Τοῦ ἁγίου ἀποστόλου Ἀνανίου καὶ τοῦ ὁσίου Ῥωμανοῦ τοῦ μελῳδοῦ.

β'. Τοῦ ἁγίου ἱερομάρτυρος Κυπριανοῦ καὶ Ἰουστίνης.

γ'. Τοῦ ἁγίου ἱερομάρτυρος Διονυσίου τοῦ Ἀρεοπαγίτου.

δ'. Τοῦ ἁγίου Ἱεροθέου. Ἀλληλούια.

ε'. Τῆς ἁγίας μάρτυρος Χαριτίνης. Ἀλληλούια.

ς'. Τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου Θωμᾶ.

ζ'. Τῶν ἁγίων μαρτύρων Σεργίου καὶ Βάκχου.

η'. Τῆς ὁσίας μητρὸς ἡμῶν Πελαγίας τῆς ἐν Ἀντιοχείᾳ.

θ'. Τοῦ ἁγίου ἀποστόλου Ἰακώβου τοῦ Ἀλφαίου.

ι'. Τῶν ἁγίων μαρτύρων Εὐλαμπίου καὶ Εὐλαμπίας. Ἀλληλούϊα.

ια'. Τοῦ ἁγίου ἀποστόλου Φιλίππου ἑνὸς τῶν ζ' διακόνων καὶ τοῦ ἁγίου Θεοφάνους τοῦ ποιητοῦ καὶ ὁμολογητοῦ.

ιβ'. Τῶν ἁγίων μαρτύρων, Πρόβου, Ταράχου καὶ Ἀνδρονίκου καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Νικαίας Θεοφάνους, τοῦ ποιητοῦ καὶ ἁγιοσαββαΐτου.

ιγ'. Τῶν ἁγίων μαρτύρων Κάρπου καὶ Παπύλου. Ἀλληλούια.

ιδ'. Τῶν ἁγίων μαρτύρων Ναζαρίου, Γερβασίου, Προτασίου καὶ Κελσίου.

ιε'. Τοῦ ἁγίου μάρτυρος Λουκιανοῦ, πρεσβυτέρου Ἀντιοχείας καὶ τοῦ ἁγίου Κοσμᾶ, ποιητοῦ τοῦ ἁγιοπολίτου.

ις'. Τοῦ ἁγίου μεγαλομάρτυρος Λογγίνου τοῦ ἑκατοντάρχου.

ιζ'. Τοῦ ἁγίου προφήτου Ὠσηέ. Ἀλληλούια.

ιη'. Τοῦ ἁγίου ἀποστόλου καὶ Εὐαγγελιστοῦ Λουκᾶ.

ιθ'. Τοῦ ἁγίου προφήτου Ἰωὴλ καὶ τοῦ ἁγίου μάρτυρος Οὐάρου. Ἀλληλούια.

κ'. Τοῦ ἁγίου μεγαλομάρτυρος Ἀρτεμίου.

κα'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος τοῦ μεγάλου.

κβ'. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀβερκίου, ἐπισκόπου Ἱεραπόλεως, καὶ τῶν ἁγίων ἑπτὰ παίδων τῶν ἐν Ἐφέσῳ.

κγ'. Τοῦ ἁγίου ἀποστόλου Ἰακώβου τοῦ Ἀδελφοθέου.

κδ'. Τῶν ἁγίων μαρτύρων Ἀρέθα καὶ τῶν σὺν αὐτῷ.

κε'. Τῶν ἁγίων μαρτύρων Νοταρίου, Μαρκιανοῦ καὶ Μαρτυρίου. Ἀλληλούια.

На полѣ: Μηνὶ Ὀκτωβρίῳ κε' ἐκοιμήθη ὁ ὅσιος πατὴρ ἡμῶν Νεόφυτος καὶ κτήτωρ τῆς μονῆς τοῦ Σεργίου.

κϛ'. Τοῦ ἁγίου μεγαλομάρτυρος Δημητρίου.

κζ'. Τοῦ ἁγίου μάρτυρος Νέστορος. Ἀλληλούϊα.

κη'. Τοῦ ἁγίου μάρτυρος Τερεντίου καὶ τῶν σὺν αὐτῷ, καὶ τῆς ἁγίας Νεονίλλης καὶ τῶν τέκνων αὐτῆς καὶ τοῦ ὁσίου Στεφάνου, τοῦ ποιητοῦ τοῦ ἁγιοσαββαΐτου.

κθ'. Τῆς ἁγίας ὁσιομάρτυρος Ἀναστασίας τῆς Ῥωμαίας, καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀβραμίου.

λ'. Τῶν ἁγίων μαρτύρων Ζηνοβίου καὶ Ζηνοβίας καὶ τῶν ἁγίων ἀποστόλων Στάχυος, Ἀμπλίου, Οὐρβανοῦ καὶ τῶν λοιπῶν. Ἀλληλούϊα.

λα'. τοῦ ἁγίου Μαρκιανοῦ, ἐπισκόπου Συρακουσῶν καὶ τοῦ ἁγίου μάρτυρος Ἐπιμάχου.

Μὴν Νοέμβριος,

ἔχων ἡμέρας λ'. ἡ ἡμέρα ἔχει ὥρας ι', καὶ ἡ νὺξ ὥρας ιδ'.

Τῇ α'. Τῶν ἁγίων καὶ θαυματουργῶν ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ.

β'. Τῶν ἁγίων μαρτύρων Ἀκινδύνου καὶ τῆς συνοδίας αὐτοῦ Πηγασίου, Ἐλπιδοφόρου καὶ Ἀνεμποδίστου.

γ'. Τῶν ἁγίων μαρτύρων Ἀκεψιμᾶ, Ἰωσὴφ καὶ Ἀειθαλᾶ, καὶ τὰ ἐγκαίνια τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου τοῦ ἐν Λύδοις, ἤτοι ἡ κατάθεσις τοῦ ἁγίου αὐτοῦ λειψάνου.

δ'. Τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἰωαννικίου τοῦ μεγάλου, καὶ τῶν ἁγίων ἱερομαρτύρων Νικάνδρου, ἐπισκόπου Μύρων καὶ Ἑρμαίου πρεσβυτέρου.

ε'. Τῶν ἁγίων ὁσιομαρτύρων Γαλακτίωνος καὶ Ἐπιστήμης. Ἀλληλούια.

ϛ'. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Παύλου τοῦ ὁμολογητοῦ.

ζ'. Τῶν ἁγίων λγ' μαρτύρων, τῶν ἐν Μελιτινῇ μαρτυρησάντων, καὶ Λαζάρου τοῦ ὁμολογητοῦ. Ἀλληλούια.

η'. Ἡ σύναξις τῶν Ἀσωμάτων.

θ'. Τῶν ἁγίων μαρτύρων Ὀνησιφόρου, Πορφυρίου καὶ τῆς ὁσίας Ματρώνης, τῆς ὁσίας Θεοκτίστης τῆς Λεσβίας. Ἀλληλούια.

ι'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Νείλου καὶ τοῦ ὁσίου Θεοδώρου τοῦ Στουδίτου, τῶν ἁγίων ἀποστόλων Ὀλυμπᾶ, Ῥοδίωνος καὶ τῶν λοιπῶν καὶ τοῦ ἁγίου μάρτυρος Ὀρέστου.

ια'. Τῶν ἁγίων μαρτύρων Μηνᾶ, Βίκτωρος καὶ Βικεντίου καὶ τῆς ἁγίας μάρτυρος Στεφανίτιδος.

ιβ'. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ ἐλεήμονος.

ιγ'. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου, ἀρχιεπισκόπου Κων-πόλεως τοῦ Χρυσοστόμου.

ιδ'. Τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου Φιλίππου.

ιε'. Τῶν ἁγίων μαρτύρων καὶ ὁμολογητῶν Γουρία, Σαμωνᾶ καὶ Ἀβίβου.

ις'. Τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ματθαίου.

ιζ'. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ θαυματουργοῦ.

ιη'. Τοῦ ἁγίου μάρτυρος Πλάτωνος καὶ Ῥωμανοῦ. Ἀλληλούϊα.

ιθ'. Τοῦ ἁγίου προφήτου Αὐδίου καὶ τοῦ ἁγίου μάρτυρος Βαρλαάμ. Ἀλληλούια.

κ'. Προεόρτια τῆς ἐν τῷ ναῷ εἰσόδου τῆς ἁγίας Θεοτόκου καὶ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Πρόκλου, πατριάρχου Κωνσταντινουπόλεως, καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Γρηγορίου τοῦ Δεκαπολίτου.

κα'. Ἡ ἐν τῷ ναῷ εἴσοδος τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου.

κβ'. Τοῦ ἁγίου ἀποστόλου Φιλήμονος καὶ τῶν σὺν αὐτῷ.

κγ'. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀμφιλοχίου, ἐπισκόπου Ἰκονίου, καὶ τοῦ ἁγίου Γρηγορίου, ἐπισκόπου Ἀκραγαντίνων.

κδ'. Τῆς ἁγίας ἐνδόξου μεγαλομάρτυρος Αἰκατερίνης καὶ τοῦ ἁγίου μεγαλομάρτυρος Μερκουρίου.

κε'. Τῶν ἁγίων πατέρων ἡμῶν Κλήμεντος Ῥώμης καὶ Πέτρου Ἀλεξανδρείας.

κς'. Τοῦ ὁσίου πατρὸς Ἀλυπίου. Ἀλληλούϊα.

κζ'. Τοῦ ἁγίου μεγαλομάρτυρος Ἰακώβου τοῦ Πέρσου.

κη'. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ὁσιομάρτυρος Στεφάνου τοῦ νέου καὶ τοῦ ἁγίου μάρτυρος Εἰρηνάρχου.

κθ'. Τοῦ ἁγίου μάρτυρος Παραμόνου. Ἀλληλούια.

λ'. Τοῦ ἁγίου καὶ πανευφήμου καὶ πρωτοκλήτου Ἀνδρέου τοῦ ἀποστόλου.

Μὴν Δεκέμβριος,

ἔχων ἡμέρας λα'. ἡ ἡμέρα ἔχει ὥρας θ', καὶ ἡ νὺξ ὥρας ιε'.

α'. Τῇ πρώτῃ Δεκεμβρίου προφήτου Ναούμ. Ἀπὸ ταύτης τῆς ἡμέρας ἀρχόμεθα ψάλλειν προεορτὴν τοῦ ἁγίου Σάββα μέχρι τῆς η' καὶ αὐτῆς, ἤγουν εἰς τὸ Κύριε ἐκέκραξα ψάλλομεν τοῦ κατὰ τὴν ἡμέραν ἁγίου καὶ τοῦ ἁγίου Σάββα, εἰς τὸ Δόξα ἀπὸ τῶν ἰδιομέλων τοῦ ἁγίου, καὶ μετὰ τὸ προκείμενον τῆς Ὀκτωήχου, καὶ εἰς τὸ Δόξα, ἰδιόμελον πρὸς τὸν ἦχον τῆς Ὀκτωήχου, ἀπολυτίκιον, ἦχος πρῶτος· Τῆς ἐρήμου πολίτου. Εἰς τὸν ὄρθρον μετὰ τὴν συνήθη στιχολογίαν οἱ κανόνες τῆς Ὀκτωήχου ἀπὸ β' τροπαρίων καὶ τοῦ κατὰ τὴν ἡμέραν ἁγίου καὶ τοῦ ἁγίου Σάββα, καὶ τὰ καθίσματα διὰ μέσης τῆς στιχολογίας, ἤγουν εἰς τὸ β' κάθισμα τῆς Ὀκτωήχου καὶ τὸ μαρτυρικόν, εἰς δὲ τὸ γ' κάθισμα καὶ ἀπὸ γ' ᾠδῆς τὰ καθίσματα τῶν ἁγίων, καὶ ἀφ' ἕκτης κοντάκιον τοῦ ἁγίου Σάββα. Ἀπὸ τῆς σήμερον ἀναγινώσκομεν καὶ τὸν βίον αὐτοῦ· τὸ κείμενον ἐξαποστειλάριον τοῦ ἁγίου. Εἰς τοὺς αἴνους στιχηρὰ ἐκ τοῦ ἁγίου, εἰς τὸ Δόξα ἰδιόμελον, οἷον θέλει ὁ προεστώς, μετὰ τὸ Δόξα ἐν ὑψίστοις Θεῷ τῆς Ὀκτωήχου καὶ εἰς τὸ Δόξα τοῦ ἁγίου καὶ εἰς τὴν μεθεορτὴν ὁμοίως (л. 53).

β'. Τοῦ ἁγίου προφήτου Ἀββακούμ.

γ'. Τοῦ ἁγίου προφήτου Σωφρονίου.

δ'. Τῆς ἁγίας μάρτυρος Βαρβάρας καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου Δαμασκηνοῦ.

Τῇ ε' τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα. Ἐν τῇ ἁγίᾳ ἡμῶν λαύρᾳ τελεῖται ἀγρυπνία μεγάλη οὕτως· Εἰ μὲν τύχοι κυριακή, στιχολογεῖ, εἰ δὲ οὐ τύχοι, οὐ στιχολογοῦμεν, ἀλλὰ μετὰ τὸν ψαλμὸν τὸ Κύριε ἐκέκραξα πλ. α', ἱστῶμεν στίχους η' καὶ ψάλλομεν στιχηρὰ προσόμοια· Ὅσιε πάτερ, Δόξα ἰδιόμελον πλ. β', τὸ Κατ' εἰκόνα, Καὶ νῦν, θεοτοκίον· Τίς μὴ μακαρίσει σε, εἴσοδος μετὰ τοῦ θυμιατοῦ καὶ δύο λαμπάδων, προκείμενον τῆς ἡμέρας δίστιχον, ἀναγνώσματα ὁσιακά, Εἶτα Καταξίωσον, καὶ ἐξέρχεται ἡ λιτὴ καὶ ψάλλομεν ἰδιόμελον, ἦχος β' Τῶν ὑπὲρ νοῦν ἀγαθῶν, Δόξα καὶ νῦν, θεοτοκίον, καὶ γίνεται ἡ ἐκτενὴ ἐν τῇ θήκῃ τοῦ ἁγίου κατὰ τὴν τάξιν. Ὑποστρέφοντες δὲ ψάλλομεν στιχηρὰ πλ. α' Χαίροις ἀσκητής, α' στίχος· Μακάριος ἀνὴρ ὁ φοβούμενος, στίχος β'· Τίμιος ἐναντίον, Δόξα,

ἦχος πλ. β' Ὅσιε πάτερ, Καὶ νῦν, Θεοτόκε, σὺ ἡ ἄμπελος, ἀπολυτίκιον ἦχος πλ. δ' Ταῖς τῶν δακρύων σου, εἶτα ἡ εὐλόγησις τοῦ ἄρτου καὶ ἡ διάδοσις καὶ τοῦ ὕδατος ἢ οἴνου, ἐὰν εὐποροῦμεν, καὶ εὐθὺς τίθεται ἀνάγνωσις εἰς τὴν Μετάφρασιν ὁ βίος τοῦ ἁγίου. Καὶ μετὰ ταύτην τὸ ἑξάψαλμον, ἡ ἐξ ἔθους στιχολογία τῆς ἡμέρας καὶ ὁ πολυέλαιος, οἱ ἀναβαθμοί, τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου, εἰ μὴ ἐστι κυριακή, προκείμενον ἦχος δ' Τίμιος ἐναντίον, στίχος· Τί ἀνταποδώσω, τὸ Πᾶσα πνοή, εὐαγγέλιον ὁσιακόν, ὁ ν', οἱ κανόνες εἰς ἦχον πλ. δ' δευτεροῦντες δύο τροπάρια ἐκ τοῦ ἑνὸς κανόνος, ἀπὸ γ' ᾠδῆς κοντάκιον, ἦχος α', ἀφ' ἕκτης ἕτερον κοντάκιον πλ. δ' πρὸς τὸ Ἀπ' ἀρχῆς ὡς ἀπὸ βρέφους τῷ Θεῷ, εἰς τὴν θ' ᾠδὴν δίδονται τὰ φωτιλία, τὸ ἐξαποστειλάριον, τὸ Πᾶσα πνοή, εἰς τοὺς αἴνους στιχηρὰ προσόμοια, Δόξα πλ. δ' Τῶν μοναστῶν τά, Καὶ νῦν, θεοτοκίον ἢ ἦχος β πρὸς τὸ Σήμερον ὁ Χριστὸς ἐν Βηθλεέμ. Σήμερον τοῦ Χριστοῦ ὁ ἀσκητὴς ἐνδόξως ἐκδημήσας, σήμερον τῶν πόνων παυσάμενος... Εἶτα δοξολογία μεγάλη, τῷ ἁγίῳ ἀπολυτίκιον, ἡ ἐκτενὴ καὶ στερεοῦμεν, ὡς ἔθος, καὶ εὐθέως ἐξερχόμεθα εἰς τὴν θήκην τοῦ ἁγίου, ψάλλοντες στιχηρὰ ἦχος πλ. δ'· Τοῖς φωτοβόλοις ἐλλαμφθείς, Δόξα καὶ νῦν, θεοτοκίον, ἐκτενὴ καὶ τελεία ἀπόλυσις. Εἰς τὴν λειτουργίαν τυπικὰ ἐκ τῶν κανόνων ᾠδὴ δ', εἰς τὴν εἴσοδον τὸ ἀπολυτίκιον, Δόξα καὶ νῦν, τὸ κοντάκιον, προκείμενον, ἦχος βαρύς· Εὐφρανθήσεται, στίχος· Εἰσάκουσον ὁ Θεός, ὁ ἀπόστολος πρὸς Γαλάτας· Ἀδελφοί, ὁ καρπὸς τοῦ πνεύματος, Ἀλληλούια, ἦχος πλ. δ' Μακάριος ἀνὴρ ὁ φοβούμενος, εὐαγγέλιον κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος· πάντα μοι παρεδόθη, κοινωνικόν· Εἰς μνημόσυνον αἰώνιον [л. 54—54).

ς'. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικολάου, ἐπισκόπου Μύρων τῆς Λυκίας.

ζ'. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀμβροσίου, ἐπισκόπου Μεδιολάνων.

η'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Παταπίου.

θ'. Ἡ σύλληψις τῆς ἁγίας καὶ θεομήτορος Ἄννης.

ι'. Τῶν ἁγίων μαρτύρων Μηνᾶ, Ἑρμογένους καὶ Εὐγράφου.

ια'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Δανιὴλ τοῦ στυλίτου.

ιβ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Σπυρίδωνος.

ιγ'. Τῶν ἁγίων ἐνδόξων τοῦ Χριστοῦ μεγάλων μαρτύρων Εὐστρα-

τίου, Αὐξεντίου, Εὐγενίου, Μαρδαρίου καὶ Ὀρέστου. Κυριακὴ τῶν ἁγίων προπατόρων.

ιδ'. Τῶν ἁγίων μαρτύρων Θύρσου, Λευκίου, Φιλήμονος, Ἀπολλωνίου καὶ Ἀριανοῦ. Ἀλληλούια.

ιε'. Τοῦ ἁγίου μάρτυρος Ἐλευθερίου.

ις'. Τοῦ ἁγίου προφήτου Ἀγγαίου. Ἀλληλούια.

ιζ'. Τοῦ ἁγίου ἐνδόξου προφήτου Δανιὴλ καὶ τῶν ἁγίων τριῶν παίδων.

ιη'. Τοῦ ἁγίου μάρτυρος Σεβαστιανοῦ καὶ τῆς συνοδίας αὐτοῦ. Ἀλληλούια.

ιθ'. Τοῦ ἁγίου μάρτυρος Βονιφατίου. Ἀλληλούια.

Σάββατον πρὸ τῆς Χριστου γεννήσεως. Κυριακὴ τῶν ἁγίων πατέρων.

κ'. Τοῦ ἁγίου ἱερομάρτυρος Ἰγνατίου.

κα'. Τῆς ἁγίας μάρτυρος Ἰουλιανῆς, τῆς ἐν Νικομηδείᾳ μαρτυρησάσης.

κβ'. Τῆς ἁγίας μάρτυρος Ἀναστασίας.

κγ'. Τῶν ἁγίων ι' μαρτύρων τῶν ἐν Κρήτῃ.

κδ'. Τῆς ἁγίας ὁσιομάρτυρος Εὐγενίας.

Въ навечеріе Рождества Христова первый часъ съ обычными псалмами и 12 тропарями присоединялся къ утрени. Обычные псалмы на трехъ слѣдующихъ часахъ съ 12 тропарями вычитывались всѣ вмѣстѣ. Послѣ литургіи καὶ μετὰ τὴν διάδοσιν τοῦ κατακλαστοῦ καὶ τὴν εὐχήν, πολυχρονίζομεν κατὰ τὸν τύπον ἐν τῷ ναῷ, ἀρχόμενοι· Ἡ Παρθένος σήμερον. Καὶ μετὰ τοῦτο ἀπερχόμεθα ἐν τοῖς κελλίοις ἡμῶν καὶ ἐσθίομεν μικρόν, ὡς ὁ καθεὶς βούλεται διὰ τὴν προσδοκωμένην ἀγρυπνίαν, ἰχθύας δὲ οὐκ ἐσθίομεν.

κε'. Ἡ κατὰ σάρκα γέννησις τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Всенощное бдѣніе начинается великимъ повечеріемъ [л. 61). Послѣ утрени πολυχρονίζομεν κατὰ τὸν τύπον [л. 62), καὶ συναγόμεθα πάλιν πάντες (т. е. послѣ вечерни и утрени, если навечеріе въ недѣлю) καὶ παρακράζομεν τὸν ἡγούμενον, εἰ δὲ πολλάκις οὐκ ἔστιν ὁ ἡγούμενος, κυκλοῦμεν τὸν θρόνον αὐτοῦ καὶ ψάλλομεν, ὡς προλέλεκται πρῶτον τὸ Ἡ Παρθένος σήμερον, εἶτα πολυχρονίζομεν ἐκ τρίτου καὶ ἀπολυόμεθα [л. 62 об.).

κς'. Ἡ σύναξις τῆς ὑπεραγίας Θεοτόκου

Κυριακὴ μετὰ τὴν Χριστοῦ γέννησιν.

κζ'. Τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Θεοδώρου, τοῦ γραπτοῦ καὶ ἁγιοσαββαΐτου.

κη'. Τῶν ἁγίων δισμυρίων, τῶν ἐν Νικομηδείᾳ καέντων.

κθ'. Τῶν ἁγίων νηπίων, τῶν ἐν Βηθλεὲμ ὑπὸ Ἡρώδου ἀναιρεθέντων, χιλιάδων ὄντων ιδ', καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Μαρκέλλου, ἀρχιμανδρίτου τῆς μονῆς τῶν ἀκοιμήτων.

λ'. Τῆς ἁγίας μάρτυρος Ἀνυσίας καὶ τοῦ ὁσίου Ζωτικοῦ τοῦ ὀρφανοτρόφου.

λα'. Τῆς ὁσίας μητρὸς ἡμῶν Μελάνης τῆς Ῥωμαίας.

Μὴν Ἰανουάριος,

ἔχων ἡμέρας λα'. ἡ ἡμέρα ἔχει ὥρας ι', καὶ ἡ νὺξ ὥρας ιδ'.

Τῇ α'. Ἡ κατὰ σάρκα περιτομὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ, καὶ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ Μεγάλου.

β'. Προεόρτια τῶν Φώτων, καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Σιλβέστρου, πάπα Ῥώμης.

γ'. Προεόρτια, καὶ τοῦ ἁγίου προφήτου Μαλαχίου.

δ'. Τοῦ ἁγίου μάρτυρος Γορδίου καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοκτίστου.

ε'. Τοῦ ἁγίου μάρτυρος Θεοπέμπτου καὶ Θεωνᾶ, καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Παύλου τοῦ Θηβαίου.

Наканунѣ Богоявленія совершались часы и все прочее по обычному навечерія Рождества Христова. Послѣ литургіи μετὰ δὲ τὴν μετάληψιν τῶν θείων μυστηρίων κατακλαστὸν οὐ δίδοται, οὐδὲ ὁ ψαλμὸς λέγεται, ἀλλὰ δίδονται κηρία τοῖς ἀδελφοῖς, ὁ δὲ ἱερεὺς λέγει· Ὀρθοὶ μεταλαβόντες, εἶτα· Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ ἡμεῖς τὸ Ἀμὴν καὶ ψάλλομεν τροπάρια, ἦχος πλ. δ' Φωνὴ Κυρίου, ἐκ τρίτου. Καὶ τούτου ψαλλομένου, ἐξερχόμεθα εἰς τὸν φωτιστῆρα и далѣе обычный чинъ водоосвященія [л. 69). Послѣ послѣдней молитвы и главопреклоненія λαμβάνει ὁ ἱερεὺς τὸν σταυρὸν ἀπὸ τοῦ βαστάζοντος αὐτὸν καὶ εὐλογεῖ τὰ ὕδατα σταυροειδῶς, κατάγων αὐτὸν ὄρθιον ἐν τῷ ὕδατι καὶ ψάλλων ἦχος α'· Ἐν Ἰορδάνῃ βαπτιζομένου. Καὶ πάντες βαπτιζόμενοι ἐκ τῆς τοῦ ὕδατος ῥαντίσεως καὶ πόσεως, εἰσέρχονται ἐν τῷ ναῷ, ψάλλοντες· Ἐν Ἰορδάνῃ βαπτιζομένου. Εἶτα ὁ ἱερεύς·

Ἐν εἰρήνῃ προέλθωμεν, Τοῦ Κυρίου δεηθῶμεν καὶ λέγει τὴν ὀπισθάμβωνον εὐχήν, εἶτα λέγει τὸν ψαλμόν, καὶ λαμβάνομεν τὸν κατακλαστὸν καὶ πολυχρονίζομεν καὶ ἀπόλυσις. Καὶ ἀπερχόμεθα ἐν τοῖς κελλίοις ἡμῶν καὶ ἐσθίομεν μικρὸν διὰ τὴν ἀγρυπνίαν, πλὴν οὔτε τυροῦ, οὔτε ὠοῦ γευόμεθα... [л. 70).

Послѣ утрени: Οὐ μέντοι ποιοῦμεν πάλιν ἁγιασμόν, ἀλλὰ στερεοῦμεν τοὺς βασιλεῖς καὶ παρακράτους τὸν ἡγούμενον [л. 71 об.).

ϛʹ. Τὰ ἅγια Θεοφάνεια τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

ζʹ. Ἡ σύναξις τοῦ Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου.

ηʹ. Τῆς ἁγίας μάρτυρος Δομνίκης καὶ τοῦ ὁσίου Γεωργίου τοῦ Χοζεβίτου, καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου, τοῦ ἐπισκόπου καὶ ἡσυχαστοῦ τῆς λαύρας τοῦ ἁγίου Σάββα.

θʹ. Τοῦ ἁγίου μάρτυρος Πολυεύκτου.

ιʹ. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου Νύσσης καὶ Δομετιανοῦ, ἐπισκόπου Μελιτινῆς, καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Μαρκιανοῦ, πρεσβυτέρου καὶ οἰκονόμου τῆς Μεγάλης Ἐκκλησίας.

ιαʹ. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδοσίου τοῦ κοινοβιάρχου.

ιβʹ. Τῆς ἁγίας μάρτυρος Τατιανῆς.

ιγʹ. Τῶν ἁγίων μαρτύρων Ἑρμύλου καὶ Στρατονίκου.

ιδʹ. Τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τῶν ἐν Σινᾷ καὶ Ῥαϊθῷ ἀναιρεθέντων. Ἐν ταύτῃ τῇ ἡμέρᾳ ἀποδίδεται ἡ ἑορτή.

ιεʹ. Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Καλυβήτου.

ιϛʹ. Ἡ προσκύνησις τῆς τιμίας ἁλύσεως τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου Πέτρου.

ιζʹ. Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀντωνίου τοῦ μεγάλου.

ιηʹ. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀθανασίου τοῦ μεγάλου καὶ Κυρίλλου Ἀλεξανδρείας.

ιθʹ. Τοῦ ὁσίου πατρὸς ἡμῶν Μακαρίου τοῦ Αἰγυπτίου.

Τῇ κʹ τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐθυμίου τοῦ μεγάλου. Εἰ μὲν θέλει ὁ προεστώς, γίνεται ἀγρυπνία, εἰ δ' οὖν κατὰ τὴν συνήθειαν· παρελάβομεν γὰρ ἐν Παλαιστίνῃ συνάγεσθαι εἰς τὴν μονὴν τοῦ ἁγίου κἀκεῖ ποιεῖν ἀγρυπνίαν καὶ ἑορτάζειν τὸν ἅγιον. Μὴ γινομένης δὲ ἀγρυπνίας ἐν τῇ ἁγίᾳ ἡμῶν λαύρᾳ, ἑσπέρας οὐ στιχολογοῦμεν, ἀλλ' ἱστῶμεν στιχηρὰ προσόμοια ἦχος, αʹ... Служба съ поліелеемъ [л. 77 об.).

κα'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Μαξίμου καὶ Νεοφύτου μάρτυρος.

На полѣ замѣтка. Ἐτυπώθη παρὰ ὁσιωτάτου καθηγουμένου τῆς σεβασμίας μονῆς τοῦ Σεργίου· γινέσθω κατὰ τὴν κα' τοῦ Ἰανουαρίου μηνὸς μνημόσυνα τῶν ἀοιδίμων καὶ ἁγίων κτιτόρων τῆς αὐτῆς μονῆς. [л. 78].

κβ'. Τοῦ ἁγίου ἀποστόλου Τιμοθέου καὶ τοῦ ἁγίου ὁσιομάρτυρος Ἀναστασίου τοῦ Πέρσου.

κγ'. Τοῦ ἁγίου ἱερομάρτυρος Κλήμεντος Ἀγκύρας καὶ Ἀγαθαγγέλου.

κδ'. Τῆς ὁσίας μητρὸς ἡμῶν Ξένης.

κε'. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θεολόγου.

κς'. Τῶν ὁσίων θεοφόρων πατέρων ἡμῶν Ξενοφῶντος καὶ τῆς συνοδίας αὐτοῦ. Ἀλληλούια.

κζ'. Ἡ ἀνακομιδὴ τοῦ τιμίου λειψάνου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

κη'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἐφραὶμ τοῦ Σύρου.

κθ'. Ἡ ἀνακομιδὴ τοῦ τιμίου λειψάνου Ἰγνατίου τοῦ θεοφόρου.

λ'. Τοῦ ἁγίου ἱερομάρτυρος Ἱππολύτου, πάπα Ῥώμης, καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Κυριακοῦ, τοῦ ἀσκητοῦ τῆς λαύρας τοῦ ἁγίου Σάβρα καὶ ὁμολογητοῦ. Ἀλληλούια.

λα'. Τῶν ἁγίων καὶ θαυματουργῶν ἀναργύρων Κύρου καὶ Ἰωάννου.

Μὴν Φεβρουάριος,

ἔχων ἡμέρας κη'. ἡ ἡμέρα ἔχει ὥρας ια' καὶ ἡ νὺξ ὥρας ιγ'.

Τῇ α'. Τοῦ ἁγίου μεγαλομάρτυρος Τρύφωνος καὶ προεόρτια τῆς ὑπαπαντῆς.

β'. Ἡ ὑπαπαντὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

γ'. Τοῦ ἁγίου καὶ δικαίου Συμεὼν τοῦ Θεοδόχου.

δ'. Τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἰσιδώρου τοῦ Πηλουσιώτου.

ε'. Τῆς ἁγίας μάρτυρος Ἀγάθης.

ς'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Βουκόλου.

ζ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Παρθενίου, ἐπισκόπου Λαμψάκου καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Λουκᾶ τοῦ ἐν Ἑλλάδι.

η'. Τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου τοῦ Στρατηλάτου καὶ τοῦ ἁγίου προφήτου Ζαχαρίου.

θ'. Τοῦ ἁγίου μάρτυρος Νικηφόρου.

ι'. Τοῦ ἁγίου ἱερομάρτυρος Χαραλάμπους. Ἀλληλούια.

ια'. Τοῦ ἁγίου ἱερομάρτυρος Βλασίου.

ιβ'. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Μελετίου, ἀρχιεπισκόπου Ἀντιοχείας, καὶ τῶν ἁγίων χιλίων τριῶν μαρτύρων.

ιγ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Μαρτινιανοῦ. Ἀλληλούια.

ιδ'. Τοῦ ἁγίου πατρὸς ἡμῶν Αὐξεντίου. Ἀλληλούια.

ιε'. Τοῦ ἁγίου ἀποστόλου Ὀνησίμου, μαθητοῦ τοῦ ἁγίου ἀποστόλου Παύλου.

ις'. Τοῦ ἁγίου μάρτυρος Παμφίλου καὶ τῶν σὺν αὐτῷ. Ἀλληλούια.

ιζ'. Τοῦ ἁγίου μάρτυρος Θεοδώρου τοῦ Τύρωνος καὶ τῆς ἁγίας Μαριάμνης.

ιη'. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Λέοντος, πάπα Ῥώμης.

ιθ'. Τοῦ ἁγίου ἀποστόλου Ἀρχίππου, τῶν ἁγίων Μαξίμου, Θεοδοσίου καὶ τῶν λοιπῶν.

κ'. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Λέοντος Κατάνης. Ἀλληλούια.

κα'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Τιμοθέου τοῦ ἐν συμβόλοις, καὶ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Εὐσταθίου, ἀρχιεπισκόπου Ἀντιοχείας. Ἀλληλούια.

κβ'. Τῶν λειψάνων τῶν ἁγίων μαρτύρων, τῶν εὑρεθέντων ἐν τοῖς Εὐγενίου. Ἀλληλούια.

κγ'. Τοῦ ἁγίου ἱερομάρτυρος Πολυκάρπου. Ἀλληλούια.

κδ'. Ἡ εὕρεσις τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου.

κε'. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ταρασίου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Ἀλληλούια.

κς'. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Πορφυρίου Γάζης. Ἀλληλούια.

κζ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Προκοπίου ὁμολογητοῦ τοῦ Δεκαπολίτου.

κη'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Βασιλείου τοῦ ὁμολογητοῦ καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀκακίου. Ἀλληλούια.

κθ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Κασσιανοῦ τοῦ Ῥωμαίου. Ἀλληλούια.

Μὴν Μάρτιος,

ἔχων ἡμέρας λα', ἡ ἡμέρα ἔχει ὥρας ιβ' καὶ ἡ νὺξ ὥρας ιβ'.

Τῇ α' τῆς ἁγίας ὁσιομάρτυρος Εὐδοκίας. Ἀλληλούια.

β'. Τοῦ ἁγίου ἱερομάρτυρος Θεοδότου, ἐπισκόπου Κυρήνης τῆς Κύπρου.

γ'. Τῶν ἁγίων μαρτύρων Εὐτροπίου, Κλεονίκου καὶ Βασιλίσκου.

δ'. Τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Γερασίμου, τοῦ ἐν τῷ Ἰορδάνῃ.

ε'. Τοῦ ἁγίου μάρτυρος Κόνωνος.

ς'. Τῶν ἁγίων μβ' μαρτύρων, τῶν ἐν Συρίᾳ τελειωθέντων.

ζ'. Τῶν ἁγίων ἱερομαρτύρων, τῶν ἐν Χερσῶνι ἐπισκοπησάντων Βασιλείου, Ἐφραίμ, Εὐγενίου καὶ τῶν σὺν αὐτοῖς.

η'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοφυλάκτου, ἐπισκόπου Νικομηδείας.

θ'. Τῶν ἁγίων τεσσαράκοντα μαρτύρων, τῶν ἐν Σεβαστείᾳ τῇ λίμνῃ μαρτυρησάντων. Ἐνταῦθα σχολάζουν αἱ μετάνοιαι ἀπ' αὐτῆς τῆς ἐνάρξεως τοῦ ἑσπερινοῦ, πλὴν τῶν τελευταίων γ' μεγάλων μετανοιῶν. Утреня начинается отъ «Слава въ вышнихъ Богу». Евангелія и славословія нѣтъ. Служба обычная постовая. Καταλαβούσης δὲ τῆς γ' ὥρας, κρούει ὁ κανδηλάπτης τὸ σίδηρον, καὶ συνταχθέντες πάντες, ἐξερχόμεθα εἰς τὰ προσκυνήματα λιτανεύοντες, καὶ ψάλλομεν τὰς γ' ὥρας μετὰ τῆς στιχολογίας, εἶτα διαναπαυόμεθα ὀλίγον, ἀναγινώσκομεν τὸ μαρτύριον τῶν ἁγίων, εἶτα ἀπερχόμεθα εἰς ἄλλον προσκύνημα καὶ ψάλλομεν τὴν ς' ὥραν, ὡς καὶ τὴν γ', ὁμοίως καὶ τὴν θ' ἀλλαχοῦ, καὶ μετὰ ταῦτα ὑποστρέφομεν ἐν τῷ νάρθηκι ψάλλομεν κοντάκιον καὶ στιχηρά. Καὶ μετὰ τὸ εἰσελθεῖν εἰς τὸν ναὸν γίνεται ἐκτενή, εἶτα λέγει· Μνήσθητι ἡμῶν, Κύριε, συνήθως καὶ τὰ λοιπά, αἱ τρεῖς μετάνοιαι καὶ ἀπόλυσις. Εἰς δὲ τὰ ἑσπερινὰ οὐ στιχολογοῦμεν, εἰς τὸ Κύριε ἐκέκραξα ἰδιόμελον τῆς ἡμέρας, εἶτα τοῦ Τριῳδίου καὶ τῶν ἁγίων, ἦχος β' Φέροντες τὰ παρόντα γενναίως καὶ τὰ λοιπὰ πρὸς ἅπαξ καὶ τοῦ κατὰ τὴν ἡμέραν ἁγίου, Δόξα, ἦχος πλ. α' Ἀθλοφόροι Χριστοῦ, Καὶ νῦν, θεοτοκίον, εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, τὰ ἀναγνώσματα τῆς ἡμέρας, τὸ Κατευθυνθήτω, καὶ εὐθὺς ὁ ἱερεύς· Σοφία καὶ ψάλλει τὸ προκείμενον τοῦ ἀποστόλου πλ. α' Σύ, Κύριε, φυλάξαις, στίχος· Σῶσόν με, Κύριε, ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, τοιοῦτον ἔχοντες, Ἀλληλούια, ἦχος δ' Ἀλαλάξατε τῷ Κυρίῳ, στίχος β' Ὅτε ἐδοκίμασας ἡμᾶς, εὐαγγέλιον κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος· ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν, κοινωνικόν· Εἰς μνημόσυνον. Αὕτη ἡ ἀκολουθία γίνεται, εἰ τύχοι νηστεία, εἰ ἐν σαββάτῳ ἢ ἐν κυριακῇ γίνεται ἡ ἀκολουθία τῶν ἁγίων καὶ τῆς ἡμέρας. Εἰ δὲ τῇ γ' κυριακῇ τῆς σταυροπροσκυνήσεως τύχοι, ψάλλεται ἡ ἀκολουθία πᾶσα ἀναστάσιμα τοῦ σταυροῦ καὶ τῶν ἁγίων, εἰς τὴν λειτουργίαν προκείμενον τοῦ σταυροῦ, ἀπόστολος τῆς ἡμέρας καὶ τῶν ἁγίων, Ἀλληλούια, στίχος α' τοῦ σταυροῦ καὶ β' τῶν ἁγίων, εὐαγ-

γέλια ἀμφότερα, κοινωνικόν· Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς καὶ τὸ Εἰς μνημόσυνον αἰώνιον [л. 89).

ι'. Τοῦ ἁγίου μάρτυρος Κοδράτου καὶ τῆς συνοδίας αὐτοῦ.

ια'. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Σωφρονίου, πατριάρχου Ἱεροσολύμων.

ιβ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Θεοφάνους τῆς Σεγριανῆς.

ιγ'. Ἡ ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ἁγίου Νικηφόρου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.

ιδ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Βενεδίκτου.

ιε'. Τῶν ἁγίων ἑπτὰ μαρτύρων, Ἀγαπίου καὶ τῶν λοιπῶν.

ιϛ'. Τοῦ ἁγίου μάρτυρος Σαβίνου.

ιζ'. Τοῦ ἁγίου Ἀλεξίου, τοῦ ἀνθρώπου τοῦ Θεοῦ.

ιη'. Τοῦ ἁγίου Κυρίλλου, πατριάρχου Ἱεροσολύμων.

ιθ'. Τῶν ἁγίων μαρτύρων Χρυσάνθου καὶ Δαρείας.

Τῇ κ' τῶν ὁσίων πατέρων ἡμῶν, τῶν ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάββα ἀναιρεθέντων ὑπὸ Περσῶν καὶ Μαύρων. Σχολάζουσιν αἱ μετάνοιαι ἀπ' ἀρχῆς τοῦ ἑσπερινοῦ πλὴν τῶν τελευταίων τριῶν. Ἐν ταύτῃ τῇ ἁγίᾳ λαύρᾳ καὶ μόνῃ, ᾗ ἂν ἡμέραν τύχῃ, ψάλλομεν Θεὸς Κύριος, ἐκτὸς τῆς μεγάλης ἑβδομάδος. Ἐὰν δὲ τότε τύχῃ, προψάλλομεν τὴν ἀκολουθίαν πᾶσαν μεσεβδόμαδα τοῦ ἁγίου Λαζάρου, ἤγουν τῇ δ' ὀψέ, ἀλλὰ καὶ τῷ σαββάτῳ τοῦ ἁγίου Λαζάρου ἢ τῇ κυριακῇ τῶν βαΐων· εἰ τύχοι τῇ δ' ὀψέ, ποιοῦμεν τὴν τοιαύτην ἀκολουθίαν διὰ τὰς μετανοίας, τελεῖται δὲ οὕτως· Ἑσπέρας εἰς τὸ λυχνικὸν στιχολογοῦμεν καὶ ἱστῶμεν εἰς τὸ Κύριε ἐκέκραξα η' καὶ ψάλλομεν τὸ ἰδιόμελον τοῦ Τριῳδίου δὶς καὶ τὰ προσόμοια κατὰ τὸν τύπον, εἶτα τῶν ἁγίων ἐκ δευτέρου· τὸν γὰρ ἅγιον τοῦ Μηναίου τῆς ἡμέρας, ἐν ᾗ ποιοῦμεν δηλονότι τὴν ἀγρυπνίαν, προψάλλομεν Δόξα, ἰδιόμελον ἦχος πλ. δ' Ὅσιοι πατέρες μελετή(σαντες), Καὶ νῦν, θεοτοκίον, ἡ εἴσοδος, τὰ ἀναγνώσματα. τὸ Κατευθυνθήτω καὶ καθεξῆς ἡ λειτουργία τῶν προηγιασμένων. Περὶ δὲ ὥραν α' τῆς νυκτὸς σημαίνει κατὰ τὸν τύπον καὶ συναγόμεθα ἐν τῇ ἐκκλησίᾳ καὶ ψάλλομεν τὰ ἀπόδειπνα μετὰ κατανύξεως καὶ ἡσύχως, ὁ δὲ κανδηλάπτης, ψαλλόντων ἡμῶν ταῦτα, ἐξέρχεται καὶ τίθησι τὸ ἀναλόγιον ἔμπροσθεν τῆς θήκης τοῦ ἁγίου μετὰ σκεπάσματος βλατίου καὶ ἐπιτίθησιν ἐν αὐτῷ τὸ βιβλίον τῶν κεκοιμημένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, ἵστησι καὶ μανουάλια β', ἅπτει καὶ κανδήλαν ἐπάνω τοῦ κοιμητηρίου, ὁμοίως τίθησι καὶ ἀρούλιον μετὰ θυμιαμάτων πολλῶν. Ἡμεῖς

δὲ τελέσαντες τὰ ἀπόδειπνα, ἐξερχόμεθα εἰς τὴν λιτήν, ὡς ἔθος, τοῦ ἱερέως προπορευομένου μετὰ θυμιατοῦ καὶ λαμπάδος· ψάλλονται ἰδιόμελα ἦχος πλ. δ' Ὅσιοι πατέρες, μελετήσαντες ἡμέραν, καὶ ἀπερχόμεθα εἰς τὴν θεόκτιστον ἐκκλησίαν, εἶτα λέγει· Δόξα εἰς τὸν αὐτὸν ἦχον· Τὸν ἰσάγγελον βίον, Καὶ νῦν, θεοτοκίον· Ἁγία Παρθένος Μαρία, καὶ ποιεῖ ὁ ἱερεὺς τὴν συναπτὴν καὶ ἐξερχόμεθα εἰς τὴν θήκην τοῦ ἁγίου, ψάλλονται τοῦ ἁγίου τὸ ἰδιόμελον τοῦ ἤχου, Δόξα καὶ νῦν, θεοτοκίον, ὁ δὲ ἱερεὺς οὐκ ἀπέρχεται εἰς τὴν θήκην τοῦ ἁγίου, ὡς ἔθος ἔχει, ἀλλ' εἰς τὸ ἀναλόγιον. Καὶ πληρωθέντος τοῦ θεοτοκίου καὶ γινομένης στιγμῆς, ἀναπτύσσει τὸ βιβλίον τῶν κεκοιμημένων, κρατῶν κηρίον πτενὸν καὶ ἄρχεται ἐκτενῆς· Τοῦ Κυρίου δεηθῶμεν. Ἡμεῖς τὸ Κύριε ἐλέησον γ'. Ὁ ἱερεύς· Ἔτι ὑπὲρ τῶν ὁσίων πατέρων ἡμῶν, κατὰ τὴν τάξιν τοῦ βιβλίου ἀπ' ἀρχῆς μέχρι τέλους· οὐ μέντοι λέγει καθὲν ὄνομα Τοῦ Κυρίου δεηθῶμεν, ἀλλ' ὅσον δύναται ἀναπνεῦσαι συνάπτει τὰ ὀνόματα, ἅπαξ λέγει τὸ Ἔτι ἐκτενῆς, ὁ δὲ λαὸς ἅπας βάλλει μετανοίας ἀστάτους καὶ ἀμετρήτους· λέγει τὸ Κύριε ἐλέησον οὐ μέντοι ἵστανται εἰς τὰ στασίδια αὐτῶν, ἀλλ' ἕκαστος, ὅπου τύχῃ, καὶ προαιρεῖται ἐν τῇ ἁγίᾳ μάνδρᾳ, ἀγωνιζόμενος καὶ ὑπὲρ δύναμιν εἰς τὸ γονυκλιτεῖν. Πληρωθέντος δὲ τοῦ βιβλίου, λέγει ὁ ἱερεύς· Σῶσον ὁ Θεὸς τὸν λαόν σου, τὸ Ἀντιλαβοῦ, Τῆς παναγίας, Εἰρήνη πᾶσι καὶ λέγει τὴν εὐχήν· Δέσποτα πολυέλεε. Πληρωθείσης δὲ ταύτης, εἰσερχόμεθα ἐν τῷ ναῷ, ψάλλονται προσόμοια τῶν ἁγίων, στίχος· Τίμιος ἐναντίον, στίχος β' Ἐκέκραξαν οἱ δίκαιοι, Δόξα, ἦχος πλ. δ' Μακάριοί ἐστε, ὅσιοι καὶ μάρτυρες, Καὶ νῦν, θεοτοκίον. Εἶτα Τρισάγιον, τὸ ἀπολυτίκιον· Ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ἡ εὐλόγησις τοῦ ἄρτου καὶ τίθεται ἀνάγνωσις· ἡ ἐξήγησις τῶν πατέρων, εἶτα τὸ ἑξάψαλμον, τὸ Θεὸς Κύριος, ἡ στιχολογία κατὰ τὴν τάξιν ταύτην, τὰ καθίσματα τοῦ Τριῳδίου διαμένει, οἱ ἀναβαθμοὶ ἦχος δ' Ἐκ νεότητός μου, προκείμενον· Τίμιος ἐναντίον, στίχος· Τί ἀνταποδώσω, τὸ Πᾶσα πνοή, εὐαγγέλιον· Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς, ὁ ν', οἱ κανόνες· πρῶτον τὰ τριῳδικὰ εἰς τὴν τάξιν αὐτῶν καὶ τῶν ἁγίων, ἦχος πλ. δ', κρατοῦμεν στίχους ς', ἀφ' ἕκτης τὸ κοντάκιον, τὸ ἐξαποστειλάριον, Πᾶσα πνοή, Οἱ αἶνοι, τὸ ἰδιόμελον τοῦ Τριῳδίου καὶ προσόμοιον τῶν ἁγίων, ἦχος πλ. δ'· Τὸν ἰσάγγελον βίον, Δόξα, τὸ μαρτυρικόν, Καὶ νῦν, θεοτοκίον, δοξολογία μεγάλη, τὸ ἀπολυτίκιον, ἐκτενή, αἱ τρεῖς μετάνοιαι καὶ εὐθὺς ἡ α' ὥρα κατὰ τὴν τάξιν αὐτῆς καὶ αἱ τελευταῖαι γ' γονυκλισίαι καὶ ἀπόλυσις. Καὶ ἐξερχόμεθα εἰς τὴν λιτήν, καθὼς καὶ ἐν τῇ ἑορτῇ τῶν ἁγίων μ', οὕτως

ἑορτῆς καὶ μετὰ ταῦτα πάλιν τοῦ Πάσχα, ἦχος πλ. α' Πάσχα ἱερὸν καὶ τὰ λοιπά, εἶτα ὁ ἀσπασμός, ἐκτενὴ καὶ ἀπόλυσις. Λιτὴ δὲ οὐ γίνεται. Εἰς τὴν λειτουργίαν τὰ ἀντίφωνα τοῦ Πάσχα, ἀντὶ τοῦ Τρισαγίου· Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, προκείμενον τοῦ Πάσχα, ἀπόστολοι β', πρῶτον τοῦ Πάσχα καὶ τὰ εὐαγγέλια ὡσαύτως, καὶ καθεξῆς ἡ θεία λειτουργία τοῦ Χρυσοστόμου [л. **99** об., **100**).

Если Благовѣщеніе въ понедѣльникъ, то служба, какъ въ Тип. XIII в. лавры пр. Аѳанасія, но съ особенностію: Καὶ εἴ ἐστιν ἀγρυπνία, γίνεται ἡ εὐλόγησις τοῦ ἄρτου καὶ ἡ λοιπὴ ἀκολουθία, εἰ δ' οὔ, λέγει Χριστὸς κατὰ τὸν τύπον καὶ ἀπόλυσις.

Изложеніе случаевъ оканчивается такъ: Οὗτος ὁ τύπος γίνεται καὶ ἐν ᾗ ἂν ἡμέρᾳ ἑτέρᾳ τύχῃ μετὰ τὸ Πάσχα ὁ Εὐαγγελισμός, ἐὰν δὲ πάρεξ τούτου, ἐν ἄλλῃ κυριακῇ φθάσῃ, πρῶτον ψάλλομεν τὰ τῆς κυριακῆς εἶτα τοῦ Εὐαγγελισμοῦ [л. **101**). Никакого замѣчанія нѣтъ относительно того, какъ составлены эти службы.

κε'. Ὁ Εὐαγγελισμὸς τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου Μαρίας.

κϛ'. Ἡ σύναξις τοῦ ἀρχαγγέλου Γαβριήλ.

κζ'. Τῆς ἁγίας μητρὸς ἡμῶν Ματρώνης τῆς ἐν Θεσσαλονίκῃ.

κη'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Στεφάνου τοῦ θαυματουργοῦ καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος τοῦ νέου. Ἀλληλούια.

κθ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Μάρκου, ἐπισκόπου Ἀρεθουσίων, καὶ Κυρίλλου διακόνου καὶ ἑτέρων πολλῶν, τῶν ἐπὶ Ἰουλιανοῦ τοῦ μισοχρίστου ἀθλησάντων.

λ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου, καθηγητοῦ τοῦ ὄρους Σινᾶ, καὶ συγγραφέως τῆς Κλίμακος.

λα'. Τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Ὑπατίου, ἐπισκόπου Ἀγκύρας.

Μὴν Ἀπρίλιος,

ἔχων ἡμέρας λ', ἡ ἡμέρα ἔχει ὥρας ιγ'. και ἡ νὺξ ὥρας ια'.

Τῇ α'. Τῆς ὁσίας μητρὸς ἡμῶν Μαρίας τῆς Αἰγυπτίας.

На полѣ замѣчено: Μηνὶ Ἀπριλίῳ α' ἐκοιμήθη ὁ ὅσιος πατὴρ κὺρ Νικόδημος καὶ κτίτωρ τῆς μονῆς τοῦ Σεργίου [л. **101**).

Τῇ β' τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Τίτου καὶ

τοῦ ὁσίου πατρὸς ἡμῶν Στεφάνου τοῦ Τριχηνᾶ τοῦ ἁγιοσαββαΐτου [л. 101 об.).

Τῇ γ' τοῦ ὁσίου πατρὸς ἡμῶν Νικηφόρου, ἡγουμένου τοῦ Μιδικίου († 624).

Τῇ δ' τοῦ ὁσίου πατρὸς ἡμῶν Γεωργίου τοῦ ἐν τῷ Μαλεῷ καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωσὴφ τοῦ ποιητοῦ.

Τῇ ε' τῶν ἁγίων μαρτύρων Θεοδούλου καὶ Ἀγαθοπόδου.

ϛ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐτυχίου, πατριάρχου Κωνσταντινουπόλεως.

ζ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Γεωργίου, ἐπισκόπου Μελιτινῆς.

η'. Τῶν ἁγίων ἀποστόλων Ἡρωδίωνος, Ἀγάβου, Ῥούφου, Ἀσυγκρίτου, Φλέγοντος, Ἑρμοῦ καὶ Ἐπαφράτου.

θ'. Τοῦ ἁγίου μάρτυρος Εὐψυχίου.

ι'. Τῶν ἁγίων μαρτύρων Τερεντίου, Πομπηΐου καὶ τῶν σὺν αὐτοῖς.

ια'. Τοῦ ἁγίου ἱερομάρτυρος Ἀντίπα, ἐπισκόπου Περγάμου τῆς Ἀσίας.

ιβ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Βασιλείου τοῦ ὁμολογητοῦ, ἐπισκόπου Παρίου.

ιγ'. Τοῦ ἁγίου μάρτυρος Ἀρτέμωνος.

ιδ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Μαρτίνου, πάπα Ῥώμης.

ιε'. Τῶν ἁγίων ἀποστόλων Ἀριστάρχου, Πούδη καὶ Τροφίμου.

ιϛ'. Τῶν ἁγίων παρθένων μαρτύρων Εἰρήνης, Ἀγάπης και Χιονίας.

ιζ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Συμεὼν τοῦ ἐκ Περσίδος, καὶ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀκακίου Μελητινῆς.

ιη'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου, μαθητοῦ τοῦ ἁγίου Γρηγορίου τοῦ Δεκαπολίτου.

ιθ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Παλαιολαυρίτου.

κ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδώρου τοῦ Τριχηνᾶ

κα'. Τοῦ ἁγίου ἱερομάρτυρος Ἰανουαρίου καὶ τῆς συνοδίας καὶ Θεοδώρου τοῦ ἐν Πέργῃ.

κβ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Θεοδώρου Σικεώτου.

Τῇ κγ' τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου. Εἰ τύχοι τῇ μεγάλῃ ἑβδομάδι ἢ τῇ μεγάλῃ παρασκευῇ, ἢ τῷ μεγάλῳ σαββάτῳ, ἢ τῇ ἑβδο-

μάδι τῆς διακαινησίμου προηγοῦνται τὰ τῆς ἡμέρας εἶτα τοῦ ἁγίου [л. 102 об.).

κδ'. Τοῦ ἁγίου μάρτυρος Σάββα τοῦ Στρατηλάτου.

κε'. Τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Μάρκου.

κς'. Τοῦ ἁγίου ἱερομάρτυρος Βασιλείου, ἐπισκόπου Ἀμασείας.

κζ'. Τοῦ ἁγίου ἱερομάρτυρος Συμεών, τοῦ συγγενοῦς τοῦ Κυρίου.

κη'. Τῶν ἁγίων ἀποστόλων Ἰάσωνος καὶ Σωσιπάτρου ἐκ τῶν ἑβδομήκοντα καὶ τῶν ἁγίων μαρτύρων Μαξίμου, Δάδα καὶ Κιντιλιανοῦ.

κθ'. Τῶν ἁγίων θ' μαρτύρων τῶν ἐν Κυζίκῳ καὶ τοῦ ὁσίου Μέμνονος τοῦ θαυματουργοῦ.

λ'. Τοῦ ἁγίου ἀποστόλου Ἰακώβου, ἀδελφοῦ Ἰωάννου τοῦ Θεολόγου.

Μὴν Μάϊος,

ἔχων ἡμέρας λα', ἡ ἡμέρα ἔχει ὥρας ιδ', καὶ ἡ νὺξ ὥρας ι'.

Τῇ α'. τοῦ ἁγίου προφήτου Ἱερεμίου.

β'. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀθανασίου τοῦ μεγάλου.

γ'. Τῶν ἁγίων μαρτύρων Τιμοθέου καὶ Μαύρας. Ἀλληλούια.

δ'. Τῆς ἁγίας μάρτυρος Πελαγίας. Ἀλληλούια.

ε'. Τῆς ἁγίας μάρτυρος Εἰρήνης. Ἀλληλούια.

ς'. Τοῦ ἁγίου καὶ δικαίου Ἰὼβ τοῦ πολυάθλου.

Ἡ ἀνάμνησις τοῦ σημείου, τοῦ, ἐν τῷ οὐρανῷ φανέντος δι' ἀστέρος, τιμίου σταυροῦ ἐν τῇ ἁγίᾳ πόλει Ἱερουσαλὴμ ἐν τῷ Γολγοθᾷ περὶ ὥραν γ' τῆς ἡμέρας ἐπὶ Κωνσταντίνου βασιλέως, υἱοῦ Κωνσταντίνου τοῦ Μεγάλου. Τῇ αὐτῇ ἡμέρᾳ ἡ μετάθεσις τοῦ λειψάνου τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐθυμίου τοῦ μεγάλου (См. Палом. иг. Даніила. Это писано рукою писца рукописи, но немного выше текста, слѣдовательно, праздникъ новый).

η'. Τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀρσενίου.

θ'. Τοῦ ἁγίου προφήτου Ἠσαΐου καὶ τοῦ ἁγίου μάρτυρος Χριστοφόρου. Ἀλληλούια.

ι'. Τοῦ ἁγίου ἀποστόλου Σίμωνος τοῦ Ζηλωτοῦ.

ια'. Τοῦ ἁγίου μάρτυρος Μωκίου.

ιβ'. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Θεοφάνους, ἀρχιεπισκόπου Κύπρου, καὶ Γερμανοῦ, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.

ιγ'. Τοῦ ἁγίου ἱερομάρτυρος Μεθοδίου, ἐπισκόπου Πατάρων, καὶ τοῦ ἁγίου μάρτυρος Γλυκερίου, τοῦ ὁσίου Γεωργίου τοῦ ἐν Μαλαιῷ καὶ τῆς ὁσίας Γλυκερίας. Ἀλληλούια.

ιδ'. Τοῦ ἁγίου μάρτυρος Ἰσιδώρου τοῦ ἐν τῇ Χίῳ. Ἀλληλούια.

Τῇ ιε' τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Παχωμίου τοῦ μεγάλου. Τροπάριον ἦχος πλ. δ' Ταῖς τῶν δακρύων σου ῥοαῖς, ψάλλομεν στιχηρὰ τοῦ ἁγίου εἰς ἓξ καὶ τὸν κανόνα ὡσαύτως, λέγομεν δὲ καὶ ἰδιόμελα ὁσιακὰ καὶ ἐν τῇ λειτουργίᾳ ὁμοίως. Καὶ μνήμη τῶν ὁσίων ἀββάδων, τῶν ἀναιρεθέντων ἐξ ἀρχῆς ὑπὸ τῶν Περσῶν ἐν τῇ λαύρᾳ τοῦ ἁγίου Σάββα· ἐν ταύτῃ πάλιν τῇ ἡμέρᾳ ἀνῃρέθησαν ἐν τῇ αὐτῇ ἁγίᾳ λαύρᾳ ὑπὸ τῶν Ἰσμαηλιτῶν πατέρες ιε', ὅτε δηλονότι παρεκάθηντο εἰς τὴν ἁγίαν πόλιν οἱ Φράγγοι [л. 107).

Τῇ ις' τοῦ ἁγίου Θεοδώρου τοῦ ἡγιασμένου, τοῦ ἁγίου Κουάρτου καὶ τοῦ ἁγίου πατρὸς Νεαδίου.

ιζ'. Τοῦ ἁγίου ἀποστόλου Ἀνδρονίκου, ἑνὸς τῶν ο', καὶ τῶν σὺν αὐτῷ.

ιη'. Τῶν ἁγίων μαρτύρων Πέτρου, Διονυσίου καὶ τῶν σὺν αὐτοῖς.

ιθ'. Τοῦ ἁγίου ἱερομάρτυρος Πατρικίου, ἐπισκόπου Προύσης. Ἀλληλούια.

κ'. Τοῦ ἁγίου μάρτυρος Θαλελαίου. Ἀλληλούια.

κα'. Τῶν ἁγίων βασιλέων καὶ ἰσαποστόλων Κωνσταντίνου καὶ Ἑλένης.

Относительно литургіи въ день 21 Мая замѣчается: εἰς τὴν λειτουργίαν προκείμενον ἦχος γ'· Ψάλλατε τῷ Θεῷ ἡμῶν, στίχος· Πάντα τὰ ἔθνη, ἀπόστολος πρὸς Γαλάτας· Ἀδελφοί, γνωρίζω ἡμῖν, τὸ εὐαγγέλιον ζήτει κυριακῇ κ'. Εἰ δὲ ἔσω τῆς πεντηκοστῆς φθάσει, λέγεται Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις Ἀγρίππας ὁ βασιλεὺς τῷ Παύλῳ, Ἀλληλούια ἦχος δ'· Μνήσθητι, Κύριε, τοῦ Δαβίδ, εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος, ὁ μὴ εἰσερχόμενος, κοινωνικόν· Εἰς μνημόσυνον [л. 107 об).

κβ'. Τοῦ ἁγίου μάρτυρος Βασιλίσκου. Ἀλληλούϊα.

κγ'. Τοῦ ἁγίου πατρὸς ἡμῶν Μιχαήλ, ἐπισκόπου Συννάδων. Ἀλληλούϊα.

κδ'. Τοῦ ὁσίου Συμεὼν τοῦ θαυματουργοῦ, τοῦ ἐν τῷ θαυμαστῷ ὄρει.

κε'. Ἡ εὕρεσις τῆς τιμίας κεφαλῆς τοῦ Βαπτιστοῦ Ἰωάννου.

κς'. Τοῦ ἁγίου ἀποστόλου Κάρπου, ἑνὸς τῶν ο'.

κζ'. Τοῦ ἁγίου ἱερομάρτυρος Θεράποντος καὶ τοῦ ἁγίου Ἑλλαδίου.

κη'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Νικήτα, ἐπισκόπου Χαλκηδόνος, καὶ τοῦ ἁγίου μάρτυρος Εὐψύχου. Ἀλληλούια.

κθ'. Τῆς ἁγίας μάρτυρος Θεοδοσίας. Ἀλληλούια.

λ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰσαακίου, ἡγουμένου μονῆς τῶν Δαλμάτων, καὶ τοῦ ἁγίου Εὐτυχοῦς, μαθητοῦ τοῦ Θεολόγου. Ἀλληλούια.

λα'. Τοῦ ἁγίου μάρτυρος Ἑρμαίου. Ἀλληλούια.

Μὴν Ἰούνιος,

ἔχων ἡμέρας λ'. ἡ ἡμέρα ἔχει ὥρας ιε', καὶ ἡ νὺξ ὥρας θ'.

Τῇ α'. Τοῦ ἁγίου μάρτυρος Ἰουστίνου τοῦ φιλοσόφου. Ἀλληλούια.

β'. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικηφόρου, πατριάρχου Κωνσταντινουπόλεως καὶ ὁμολογητοῦ. Ἀλληλούια.

γ'. Τοῦ ἁγίου μάρτυρος Λουκιανοῦ. Ἀλληλούια.

δ'. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Μητροφάνους, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Ἀλληλούια.

ε'. Τοῦ ἁγίου ἱερομάρτυρος Δωροθέου, ἐπισκόπου Τύρου, καὶ τοῦ ὁσίου Ἱλαρίωνος, ἡγουμένου τῶν Δαλμάτων τοῦ νέου Ἀλληλούια.

ς'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Βησαρίωνος Ἀλληλούια.

ζ'. Τοῦ ἁγίου μάρτυρος Θεοδότου Ἀγκύρας. Ἀλληλούια.

η'. Τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου τοῦ Στρατηλάτου.

θ'. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κυρίλλου Ἀλεξανδρείας καὶ Ὀρέστου καὶ Διομήδους μαρτύρων.

ι'. Τοῦ ἁγίου ἱερομάρτυρος Τιμοθέου, ἐπισκόπου Προύσης, καὶ τοῦ ἁγίου μάρτυρος Βενιαμίν. Ἀλληλούια.

ια'. Τῶν ἁγίων ἀποστόλων Βαρθολομαίου καὶ Βαρνάβα.

ιβ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Ὀνουφρίου.

ιγ'. Τῆς ἁγίας μάρτυρος Ἀκυλίνης καὶ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Τριφυλλίου, ἐπισκόπου Λευκωσίας τῆς Κύπρου. Ἀλληλούια.

ιδ'. Τοῦ ἁγίου προφήτου Ἐλισσαίου καὶ Μεθοδίου, ἐπισκόπου Κωνσταντινουπόλεως.

ιε'. Τοῦ ἁγίου προφήτου Ἀμώς. Ἀλληλούια.

ις'. Τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Τύχωνος, ἐπισκόπου Ἀμαθούντων τῆς Κύπρου. Ἀλληλούια.

ιζ'. Τῶν ἁγίων μαρτύρων Μανουήλ, Σαβὲλ καὶ Ἰσμαήλ. Ἀλληλούια.

ιη'. Τοῦ ἁγίου μάρτυρος Λεοντίου. Ἀλληλούια.

ιθ'. Τοῦ ἁγίου ἀποστόλου Ἰούδα, ἀδελφοῦ τοῦ Κυρίου.

κ'. Τῶν ἁγίων μαρτύρων Ἰνά, Ῥιμὰ καὶ Πιννά καὶ τοῦ ἁγίου μάρτυρος Ζωσιμᾶ. Ἀλληλούια.

κα'. Τοῦ ἁγίου μάρτυρος Ἰουλιανοῦ τοῦ Ταρσέως. Ἀλληλούια.

κβ'. Τοῦ ἁγίου ἱερομάρτυρος Εὐσεβίου, ἐπισκόπου Σαμοσάτων. Ἀλληλούια.

κγ'. Τῆς ἁγίας μάρτυρος Ἀγριππίνης. Ἀλληλούια.

κδ'. Τὸ γενέσιον τοῦ τιμίου ἐνδόξου Προδρόμου.

Въ службѣ 24 Іюня послѣ причастня сдѣлано замѣчаніе о пѣсненной къ нему прибавкѣ: χαχαβύασα [л. 111).

κε'. Τῆς ἁγίας ὁσιομάρτυρος Φεβρωνίας. Ἀλληλούια.

κς'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Δαυίδ, τοῦ ἐν Θεσσαλονίκῃ. Ἀλληλούια.

κζ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Σαμψὼν τοῦ ξενοδόχου.

κη'. Ἡ ἀνακομιδὴ τῶν λειψάνων Κύρου καὶ Ἰωάννου, ἰατρῶν καὶ μαρτύρων.

κθ'. Τῶν ἁγίων καὶ κορυφαίων ἀποστόλων Πέτρου καὶ Παύλου.

λ'. Τῶν ἁγίων καὶ πανευφήμων ιβ' ἀποστόλων.

Μὴν Ἰούλιος,

ἔχων ἡμέρας λα'. ἡ ἡμέρα ἔχει ὥρας ιδ', καὶ ἡ νὺξ ὥρας ι'.

Τῇ α'. Τῶν ἁγίων καὶ θαυματουργῶν ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, τῶν ἐν τῇ Ῥώμῃ μαρτυρησάντων.

β'. Τὰ καταθέσια τῆς τιμίας ἐσθῆτος, τῆς ἐν Βλαχέρναις ὑπεραγίας Θεοτόκου.

γ'. Τοῦ ἁγίου μάρτυρος Ὑακίνθου. Ἀλληλούια.

δ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀνδρέου, ἀρχιεπισκόπου Κρήτης Ἱεροσολυμίτου.

ε'. Τῆς ὁσίας Μάρθας, μητρὸς τοῦ ἁγίου ὁσίου πατρὸς ἡμῶν Συμεὼν τοῦ θαυματουργοῦ, καὶ τοῦ ἁγίου μεγαλομάρτυρος Ἀστίου.

На полѣ два замѣчанія: Μηνὶ Ἰουλίῳ ε' ἐκοιμήθη ὁ ὅσιος

πατὴρ ἡμῶν κὺρ Τίτος καὶ κτήτωρ τῆς μονῆς τοῦ Σεργίου и 2) Μηνὶ Ἰουλίῳ ζ' ἐκοιμήθη ὁ ὅσιος πατὴρ ἡμῶν Ἰωάννης καὶ κτήτωρ τῆς ἁγίας μονῆς ἡμῶν τοῦ Σεργίου (л. **113** об.).

ϛ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Σισώη τοῦ μεγάλου.

ζ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Θωμᾶ, τοῦ ἐν τῷ Μαλαιῷ, καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀκακίου, τοῦ ἐν Κλίμακι. Ἀλληλούια.

η'. Τοῦ ἁγίου μεγαλομάρτυρος Προκοπίου.

θ'. Τοῦ ἁγίου ἱερομάρτυρος Παγκρατίου, ἐπισκόπου Ταυρομενίας

ι'. Τῶν ἁγίων με' μαρτύρων, τῶν ἐν Νικοπόλει. Ἀλληλούια.

ια'. Τῆς ἁγίας καὶ πανευφήμου μάρτυρος Εὐφημίας ἤτοι τοῦ ὅρου τῶν πατέρων.

ιβ'. Τῶν ἁγίων μαρτύρων Πρόκλου καὶ Ἱλαρίωνος. Ἀλληλούια.

ιγ'. Τοῦ ἁγίου ἀποστόλου Ἀκύλα.

ιδ'. Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωσὴφ Θεσσαλονίκης. Ἀλληλούϊα.

ιδ'. Τῶν ἁγίων μαρτύρων Κηρύκου καὶ Ἰουλίττης.

ιϛ'. Τοῦ ἁγίου ἱερομάρτυρος Ἀθηνογένους καὶ τῶν σὺν αὐτῷ καὶ τοῦ ἁγίου Πέτρου Κρήτης. Ἀλληλούια.

ιζ'. Τῆς ἁγίας Μαρίνης, μάρτυρος.

ιη'. Τοῦ ἁγίου μάρτυρος Αἰμιλιανοῦ. Ἀλληλούια.

Τῇ ιθ' τῆς ἁγίας Μακρίνης, ἀδελφῆς τοῦ Μεγάλου Βασιλείου, καὶ τῶν ὁσίων πατέρων ἡμῶν Θεοδώρου τοῦ Ἐδεσσηνοῦ καὶ Μιχαήλ, ἀνεψιοῦ αὐτοῦ, τῶν ἀπὸ τῆς λαύρας τοῦ ἁγίου Σάββα. Ὁ Θεὸς τῶν πατέρων [л. **115** об.).

κ'. Τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου Ἠλιοῦ.

κα'. Τῶν ὁσίων πατέρων ἡμῶν Ἰωάννου καὶ Συμεών, τοῦ διὰ Χριστὸν σαλοῦ, καὶ τοῦ ἁγίου προφήτου Ἰεζεκιήλ.

κβ'. Τῆς ἁγίας μυροφόρου Μαρίας τῆς Μαγδαληνῆς.

κγ'. Τοῦ ἁγίου ἱερομάρτυρος Φωκᾶ καὶ τοῦ ἁγίου μάρτυρος Ἀπολλωνίου.

κδ'. Τῆς ἁγίας μάρτυρος Χριστίνης.

κε'. Ἡ κοίμησις τῆς ἁγίας Ἄννης, τῆς μητρὸς τῆς Θεοτόκου, καὶ μνήμη τῶν ἁγίων γυναικῶν Ὀλυμπιάδος καὶ Εὐπραξίας.

κϛ'. Τοῦ ἁγίου ἱερομάρτυρος Ἑρμολάου καὶ τῶν σὺν αὐτῷ καὶ Ἰωάννου παλαιολαυρίτου. Ἀλληλούια.

κζ'. Τοῦ ἁγίου μεγαλομάρτυρος Παντελεήμονος.

κη'. Τῶν ἁγίων ἀποστόλων Προχόρου, Νικάνορος καὶ Παρμενᾶ.

κθ'. Τοῦ ἁγίου μάρτυρος Καλλινίκου. Ἀλληλούια.

λ'. Τῶν ἁγίων ἀποστόλων Σίλα, Σιλβανοῦ, Κρήσκεντος, Ἐπαινετοῦ καὶ Ἀνδρονίκου.

λα'. Τοῦ ἁγίου καὶ δικαίου Εὐδοκίμου.

О предпразднествѣ кресту не упоминается.

Μὴν Αὔγουστος,

ἔχων ἡμέρας λα', ἡ ἡμέρα ἔχει ὥρας ιγ' καὶ ἡ νὺξ ὥρας ια'.

Τῇ α'. Τῶν ἁγίων ζ' μαρτύρων Μακκαβαίων, τῆς μητρὸς καὶ τοῦ διδασκάλου αὐτῶν.

Нѣтъ замѣчаній о выносѣ креста 1-го Августа и о водоосвященіи въ этотъ день. Служба обычная даже безъ великаго славословія.

β'. Ἡ ἀνακομιδὴ τοῦ λειψάνου Στεφάνου, πρωτομάρτυρος καὶ ἀρχιδιακόνου.

γ'. Τῶν ὁσίων Ἰσαακίου Δαλμάτου καὶ Φαύστου.

δ'. Τῆς ἁγίας ὁσιομάρτυρος Εὐδοκίας καὶ τῶν ζ' παίδων, τῶν ἐν Ἐφέσῳ, καὶ Ἰωάννου παλαιολαυρίτου. Ἀλληλούια.

ε'. Προεόρτια τῆς Μεταμορφώσεως καὶ τοῦ ἁγίου μάρτυρος Εὐσιγνίου.

ς' Ἡ Μεταμόρφωσις τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Τῇ ζ' τοῦ ὁσιομάρτηρος Δομετίου. Ἡ ἀκολουθία τῆς ἑορτῆς καὶ τοῦ ἁγίου. Εἰς τὸ λυχνικὸν εἰς τὸ Κύριε ἐκέκραξα ἦχος α' ἱστῶμεν ς' καὶ ψάλλομεν γ' τῆς ἑορτῆς καὶ τρία τοῦ ἁγίου, Δόξα καὶ νῦν ἦχος πλ. β' Πρότυπον τὴν ἀνάστασιν, προκείμενον ἦχος βαρύς· Τίς Θεὸς μέγας, καὶ οἱ στίχοι αὐτοῦ, εἰς τὸν στίχον τῆς ἑορτῆς ἦχος δ' Πρὸ τοῦ σταυροῦ σου, Κύριε, Δόξα καὶ νῦν πλ. β' Πέτρον καὶ Ἰωάννην καὶ Ἰάκωβον. Εἰς τὸν ὄρθρον τὰ συνήθη, εἰς τοὺς αἴνους προσόμοια τῆς ἑορτῆς, Καὶ νῦν ἰδιόμελον, δοξολογία μεγάλη καὶ ἀπόλυσις.

Δεῖ εἰδέναι, ὅτι οὕτως ἐστὶ τύπος τῆς ἁγίας λαύρας ἐν ταῖς δεσποτικαῖς ἑορταῖς· εἰς τὴν δευτέραν ἡμέραν ἀπὸ τῆς ἑορτῆς δηλονότι ψάλλομεν, ὡς καὶ ἐν τῇ ἑορτῇ, τὴν πᾶσαν ἀκολουθίαν, ὡς εἴρηται, καὶ εἰς τὴν λειτουργίαν τυπικὰ καὶ ἐκ τῶν κανόνων, προκείμενον· Ὡς ἐμεγαλύνθη, στίχος· Εὐλόγει ἡ ψυχή μου, ὁ ἀπόστολος τῶν προφητῶν· Ἀδελφοί, ὑπόδειγμα λάβετε, Ἀλληλούια ἦχος δ' Μωσῆς καὶ Ἀαρών, εὐαγγέλιον τῆς ἑορτῆς τοῦ ὄρθρου. Εἰ δὲ

τύχοι ἐν σαββάτῳ ἢ κυριακῇ, λέγομεν τὰ τῆς ἡμέρας καὶ οὐχὶ τὰ τῆς ἑορτῆς, κοινωνικόν· Ἐν τῷ φωτὶ τῆς δόξης σου [л. **120** об.).

η'. Τοῦ ἁγίου Αἰμιλιανοῦ, ἐπισκόπου Κυζίκου.

θ'. Τοῦ ἁγίου ἀποστόλου Ματθαίου.

ι'. Τοῦ ἁγίου μάρτυρος καὶ ἀρχιδιακόνου Λαυρεντίου.

ια'. Τοῦ ἁγίου ἱερομάρτυρος Εὔπλου.

ιβ'. Τῶν ἁγίων μαρτύρων Φωτίου καὶ Ἀνικήτου.

ιγ'. Τοῦ ὁσίου Μαξίμου τοῦ ὁμολογητοῦ.

ιδ'. Προεόρτια τῆς κοιμήσεως τῆς ὑπεραγίας Θεοτόκου καὶ τοῦ προφήτου Μιχαίου.

ιε'. Ἡ κοίμησις τῆς Δεσποίνης ἡμῶν Θεοτόκου.

На Успеніе за всенощнымъ бдѣніемъ послѣ πολυέλαιον ὁ ἄμωμος, καὶ ψάλλομεν κάθισμα ἦχος· Ἀναβόησον... Ἐν ταύτῃ τῇ ἡμέρᾳ τρώγομεν σταφυλάς, ἑορτάζομεν δὲ ἡμέρας θ' [л. **123**).

ις'. Τοῦ ἁγίου μάρτυρος Διομήδους. Ἡ ἀκολουθία τῆς ἑορτῆς καὶ τοῦ ἁγίου, προκείμενον τῆς ἡμέρας, εἰς τὸν στίχον τῆς ἑορτῆς προσόμια, Δόξα καὶ νῦν, ἦχος β' Ἡ παναμώμητος νύμφη. Εἰς τὸν ὄρθρον συνήθης ἀκολουθία, οἱ κανόνες τῆς ἑορτῆς καὶ τοῦ ἁγίου καὶ τὰ λοιπὰ οὕτως· εἰς τοὺς αἴνους προσόμοια τῆς ἑορτῆς, εἰς τὸ Δόξα καὶ νῦν ἦχος β' Συντρέχει χορὸς τῶν ἀποστόλων, δοξολογία μεγάλη καὶ ἀπόλυσις. Εἰς τὴν λειτουργίαν τυπικὰ καὶ ἐκ τοῦ κανόνος ᾠδή, προκείμενον ἦχος πλ. δ' Μεγαλύνει ἡ ψυχή μου, στίχος· Ὅτι ἐπέβλεψεν, ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, εἶχεν ἡ πρώτη σκηνή, Ἀλληλούια πλ. δ' Ἄκουσον, θύγατερ, εὐαγγέλιον κατὰ Λουκᾶν· Τῷ καιρῷ ἐκείνῳ ἀναστᾶσα. Εἰ δὲ τύχοι σαββάτῳ, λέγει καὶ τοῦ σαββάτου, εἰ δὲ τύχοι κυριακῇ, λέγει τῆς κυριακῆς μόνης, κοινωνικόν· Ποτήριον σωτηρίου [л. **123**) Праздника нерукотвореннаго образа нѣтъ.

ιζ'. Τοῦ ἁγίου μάρτυρος Μύρωνος.

ιη'. Τῶν ἁγίων μαρτύρων Φλώρου καὶ Λαύρου.

ιθ'. Τοῦ ἁγίου μάρτυρος Ἀνδρέου τοῦ Στρατηλάτου καὶ τῶν σὺν αὐτῷ δισχιλίων φϟγ'.

κ'. Τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου Σαμουήλ.

κα'. Τοῦ ἁγίου ἀποστόλου Θαδδαίου.

κβ'. Τοῦ ἁγίου μάρτυρος Ἀγαθονίκου.

Τῇ κυριακῇ. Τοῦ ἁγίου μάρτυρος Εὐτυχοῦς, μαθητοῦ τοῦ Θεολόγου. Ἐν ταύτῃ τῇ ἡμέρᾳ ἀποδίδεται ἡ ἑορτή, καὶ γίνεται ἡ ἀκολουθία

ἀπαραλλάκτως, ὡς καὶ ἐν τῇ ἑορτῇ, ἔν τε τῷ ἑσπερινῷ καὶ τῷ ὄρθρῳ καὶ τῇ λειτουργίᾳ, προψάλλομεν δὲ καὶ τὸν ἅγιον.

κδ΄. Ἡ κατάθεσις τοῦ λειψάνου τοῦ ἁγίου ἀποστόλου Βαρθολομαίου.

κε΄. Τοῦ ἁγίου ἀποστόλου Τίτου.

κς΄. Τῶν ἁγίων μαρτύρων Ἀδριανοῦ καὶ Ναταλίας. Ἀλληλούια.

κζ΄. Τοῦ ὁσίου πατρὸς ἡμῶν Ποιμένος.

κη΄. Τοῦ ὁσίου πατρὸς ἡμῶν Μωσέως τοῦ Αἰθίοπος.

κθ΄. Ἡ ἀποτομὴ τοῦ ἁγίου ἐνδόξου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου.

λ΄. Τῶν ὁσίων πατριαρχῶν Ἀλεξάνδρου, Ἰωάννου καὶ Παύλου τοῦ νέου καὶ τοῦ ὁσίου Φύλακος.

λα΄. Τὰ καταθέσια τῆς τιμίας ζώνης τῆς ὑπεραγίας Θεοτόκου ἐν τοῖς Χαλκοπρατείοις

[л. 126) Ἀκολουθία τοῦ νιπτῆρος.

[л. 129 об.) Ἐπιστολὴ ἀδελφοῦ πρὸς γέροντα.

[л. 130 об.) Εὐσύνοπτος εἴδησις τῆς ἀποκρίσεως περὶ τῶν ἐρωτηθέντων ὑποθέσεων.

[л. 145) Τύπος καὶ παράδοσις καὶ νόμος τῆς σεβασμίας λαύρας τοῦ ἁγίου Σάββα. Напечатана эта статья А. Дмитріевскимъ въ «Описаніи литургич. ркп., хранящихся въ библіотекахъ православнаго Востока», т. I, Τυπικά стр. 222.

[л. 147) Ἀρχὴ σὺν Θεῷ τῆς ἁγίας τεσσαρακοστῆς.

О пѣніи «Покаянія отверзи ми двери» не говорится во всѣхъ предуготовительныхъ недѣляхъ. Δεῖ γινώσκειν, ὅτι τὴν ἑβδομάδα ταύτην τῆς ἀπόκρεω и т. д. см. Тип. XIII в. лавры пр. Саввы Освященнаго стр. 6 и варіанты.

Въ субботу мясопустную μνήμην ἐπιτελοῦμεν πάντων τῶν ἀπ' αἰῶνος κεκοιμημένων ὀρθοδόξων πατέρων καὶ ἀδελφῶν ἡμῶν. Καὶ μετὰ τὴν συνήθη στιχολογίαν εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ς' καὶ ψάλλομεν στιχηρὰ τοῦ Τριῳδίου πλ. δ' πρὸς τὸ Ἐν Ἐδέμ. Τῶν ἀπ' αἰῶνος σήμερον. Δόξα πλ. δ' Δεῦτε ἅπαντες πιστοί, Καὶ νῦν, θεοτοκίον τὸ α' τῆς Ὀκτωήχου, τὸ προκείμενον, εἰς τὸν στίχον τὰ ἰδιόμελα νεκρώσιμα τοῦ ἤχου, λέγει καὶ στίχους· Μακάριοι, οὓς ἐξελέξω καὶ Αἱ ψυχαὶ αὐτῶν, Δόξα καὶ νῦν, θεοτοκίον τοῦ ἤχου τὸ α' τῆς Ὀκτωήχου, ἀπολυτίκιον πλ. δ' Ὁ βυθοῖς σοφίας. Εἰς τὸν ὄρθρον Ἀλληλούια καὶ ἀπολυτίκιον τὸ

αὐτό, εἰς τὸ α' κάθισμα τῆς στιχολογίας λέγει τὰ τελευταῖα 'Αλληλούια τοῦ ἤχου καὶ ψάλλομεν κάθισμα τοῦ Τριῳδίου, εἴ ἐστιν ἢ νεκρώσιμον τοῦ ἤχου, ἀναγινώσκομεν δὲ ἢ τοῦ Δαμασκηνοῦ περὶ τῶν κεκοιμημένων, ἢ τοῦ Χρυσοστόμου, ἢ τοῦ Κρήτης, εἶτα ψάλλομεν τὸν Ἄμωμον χωρὶς 'Αλληλούια, λέγονται· Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με, εἰς β' στάσεις, καὶ τὰ νεκρώσιμα τροπάρια μετὰ τὸ Εὐλογητὸς εἶ, Κύριε, κατὰ τὸν τύπον καὶ τὴν στάσιν αὐτῶν· καὶ μετὰ τὴν συμπλήρωσιν ποιεῖ ὁ ἱερεὺς συναπτὴν καὶ μνημονεύει ὑπὲρ τῶν προαπελθόντων πατέρων καὶ ἀδελφῶν ἡμῶν, κάθισμα ἦχος πλ. α' 'Ανάπαυσον Σωτὴρ ἡμῶν, εἶτα ὁ ν' καὶ ὁ κανὼν τοῦ Τριῳδίου μόνον, ἦχος πλ. δ', ἱστῶμεν η', ἀπὸ γ' ᾠδῆς κάθισμα τοῦ Τριῳδίου, ἀπὸ ς' τὸ ἀναπαύσιμον κοντάκιον, καὶ ἀναγινώσκονται καὶ ὅλοι οἱ οἶκοι, ἐξαποστειλάριον· Ὁ καὶ νεκρῶν δὶς καὶ τὸ θεοτοκίον· εἰς τοὺς αἴνους ἱστῶμεν δ' καὶ ψάλλομεν τὰ στιχηρὰ τῆς ἑσπέρας, δευτεροῦντες τὸ α' Δόξα ὅμοιον· Δεῦτε ἅπαντες πιστοί, Καὶ νῦν θεοτοκίον, εἰς τὸν στίχον τὰ ἀναπαύσιμα τοῦ ἤχου, τὰ προσόμοια, 'Αγαθὸν τὸ ἐξομολογεῖσθαι δὶς κατὰ τὸν τύπον, τὸ Τρισάγιον, τὸ ἀπολυτίκιον, ἐκτενὴ καὶ ἀπόλυσις [л. **149**).

Τῇ κυριακῇ τῆς ἀπόκρεω, ἤγουν τῆς φοβερᾶς καὶ δευτέρας παρουσίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. Σημαίνει ἑσπέρας ἡ συνήθης ἀκολουθία τῆς ἀγρυπνίας, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν ι' καὶ ψάλλομεν ὁμοίως ἀναστάσιμα καὶ τὰ ἀνατολικὰ καὶ τὰ τῆς ἡμέρας κατὰ τάξιν, Δόξα ἰδιόμελον πλ. β' Ὢ ποία ὥρα τότε. Καὶ νῦν, τὸ πρῶτον θεοτοκίον τοῦ κατὰ τὸ ἴδιον ἤχου, τὸ προκείμενον καὶ ἡ λιτή· ἰδιόμελον ἦχος βαρύς· Τὰς τοῦ Κυρίου γνόντες ἐντολάς, Δόξα πλ. δ' Δανιὴλ προφήτης, Καὶ νῦν θεοτοκίον εἰς τὴν ὑποστροφὴν τοῦ στίχου, καὶ τὰ κατὰ ἀλφάβητον, Δόξα πλ. δ' Ὅταν τίθωνται θρόνοι, Καὶ νῦν θεοτοκίον καὶ ἡ λοιπὴ ἀκολουθία. Εἰς τὸν ὄρθρον αἱ συνήθεις στιχολογίαι καὶ ὁ ἄμωμος μετὰ τοῦ πολυελαίου· ἀναγινώσκομεν δὲ καὶ τὸν περὶ φιλοπτωχίας λόγον τοῦ Θεολόγου εἰς στάσεις γ' καὶ τοῦ ἁγίου 'Εφραίμ, οἱ ἀναβαθμοί, τὸ εὐαγγέλιον, ὁ ν', οἱ β' ἀναστάσιμοι κανόνες καὶ τῆς Θεοτόκου καὶ τῆς ἡμέρας, ἀπὸ γ' ᾠδῆς κάθισμα τοῦ Τριῳδίου, ἀπὸ ἕκτης τὸ κοντάκιον, τὰ ἐξαποστειλάρια, εἰς τοὺς αἴνους τὰ ἀναστάσιμα προσόμοια τοῦ Τριῳδίου ἢ τὰ ἀνατολικά, εἰς τὸ Δόξα τὸ ἴδιον τῆς ἡμέρας· ψάλλομεν δὲ αὐτὸ ἅπαξ, κατὰ τὸν τύπον τῆς ἁγίας λαύρας, διὰ τὸ ψάλλεσθαι καὶ πάλιν ἐν τῇ λιτῇ ἔξω. Μετὰ τὸ ἀναστάσιμον τοῦ στίχου· τὰ γὰρ ἑωθινὰ καταλιμπάνονται καὶ τοῦτο ἀντ' αὐτῶν λογίζεται, Καὶ νῦν, Ὑπερευλογημένη καὶ ἡ λοιπὴ ἀκολουθία καὶ

ἡ λιτή. Ὅταν δὲ εἰσερχώμεθα εἰς τὴν θεόκτιστον ἐκκλησίαν, ψάλλομεν στιχηρὰ τοῦ στίχου, εἶτα Δόξα καὶ ψάλλομεν τὸ ἰδιόμελον τῆς ἡμέρας, ὡς εἴρηται, τὸ Προκαθάρωμεν ἑαυτοὺς καὶ ἡ λοιπὴ ἀκολουθία καὶ ἡ ἀπόλυσις. Εἰς τὴν λειτουργίαν τὰ τυπικά, μακαρισμοὶ ἀναστάσιμοι καὶ ἀπὸ τοῦ κανόνος τῆς ἡμέρας, προκείμενον ἦχος γ′ Μέγας ὁ Κύριος ἡμῶν καὶ στίχος· Αἰνεῖτε τὸν Κύριον, ὁ ἀπόστολος πρὸς Κορινθίους α′· Ἀδελφοί, βρῶμα, Ἀλληλούια πλ. δ′ Δεῦτε ἀγαλλιασώμεθα, στίχος· Προφθάσωμεν, τὸ εὐαγγέλιον κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος, ὅταν ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου, κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον καὶ Ἀγαλλιάσασθε [л. **150**).

Въ воскресенье сыропустное послѣ обычной вечерни литія. Καὶ ἐξερχόμεθα λιτανεύοντες, ὡς ἔθος, εἰς τὴν τοῦ ἁγίου θήκην. Οὗτος ὁ τύπος ὀφείλει γίνεσθαι κατὰ πᾶσαν κυριακὴν εἰς τὸ λυχνικὸν μέχρι τῆς ε′ κυριακῆς τῶν νηστειῶν· ὀφείλομεν δὲ ἐν τῷ τέλει τῆς ἀπολύσεως βάλλειν μετανοίας καὶ αἰτεῖσθαι παρ' ἀλλήλων συγχώρησιν [л. **153**).

Чинъ утрени см. въ Тип. в. XIII библ. лавры пр. Саввы Освященаго въ варіантахъ стр. 8, а часы первый и остальные совершаются такъ: Εἶτα μικρὸν ἀναπνεύσαντες (послѣ поклоновъ), λέγει, ἄρξαντος τοῦ προεστῶτος ἢ τοῦ ἐκκλησιάρχου· Δεῦτε προσκυνήσωμεν γ′ καὶ μετανοίας γ′, καὶ ψάλλομεν τὴν πρώτην ὥραν τρίψαλμον, διότι οὐ στιχολογοῦμεν· ὅταν δὲ στιχολογοῦμεν, ἤγουν εἰς τὰς λοιπὰς ἡμέρας καὶ ὥρας, μονόψαλμον ψάλλομεν καὶ τὴν α′ ὥραν καὶ τὰς λοιπάς. Εἰς τὸ Ἀλληλούια, μετανοίας γ′ καὶ ψάλλει ὁ ταχθεὶς μοναχὸς ἦχος πλ. α′ Τὸ πρωῒ εἰσάκουσον, ἀργῶς καὶ μετὰ μέλους, καὶ ἡμεῖς ὡσαύτως· ἐκεῖνος δὲ βάλλει μετάνοιαν ἔμπροσθεν τῶν ἁγίων θυρῶν, ἡμεῖς δὲ οὔ, ὁμοίως ποιεῖ καὶ εἰς τοὺς δύο λοιποὺς στίχους, στίχος α′· Τὰ βήματά μου, στίχος β′. Ὅτι πρὸς σέ, Δόξα καὶ νῦν ἐκεῖνος καὶ μετάνοιαν, ἡμεῖς δέ· Τί σε καλέσωμεν, μετανοίας γ′ κἀκεῖνος σὺν ἡμῖν. Καὶ εὐθὺς τὸ τροπάριον τῆς προφητείας ὁ ψάλτης, εἶτα ἡμεῖς τὸ αὐτό, Δόξα καὶ νῦν ἐκεῖνος, καὶ ἡμεῖς πάλιν τὸ αὐτὸ τροπάριον ἱστάμενοι, λέγοντος τοῦ ψάλτου· Ψαλμὸς τῷ Δαβὶδ α′, εἶτα καθήσαντες ψάλλομεν τὸ προκείμενον τῆς προφητείας, καὶ μετὰ τὸ τέλος τὸ β′ προκείμενον, εἶτα Τὰ διαβήματά μου γ′ μεγαλοφώνως καὶ ἀργῶς χωρὶς μετανοιῶν, Λύτρωσαί με ἀπὸ συκοφαντίας, ἅπαξ, Τὸ πρόσωπόν σου ἐπίφανον, ἅπαξ, Πληρωθήτω τὸ στόμα μου γ′. Εἶτα τὸ Τρισάγιον, μετανοίας γ′, μετὰ δὲ τὸ Πάτερ ἡμῶν

ἐκφωνεῖ ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καί, μετὰ τὸ Ἀμήν, Κύριε ἐλέησον μ΄. Ὁ δὲ ἱερεύς· Ὁ Θεὸς οἰκτειρῆσαι, καὶ εὐθὺς αἱ τρεῖς μετάνοιαι ἀργῶς καὶ αἱ ιβ΄, καὶ μικρὸν σταθέντες τὸ τελευταῖον Τρισάγιον, μετανοίας γ΄, τὸ Κύριε ἐλέησον ιβ΄ καὶ λέγει· Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι καὶ νῦν, Κύριε εὐλόγησον καὶ εὐχή, καὶ λιτανεύοντες, ὡς ἔθος, ἐξερχόμεθα, καί, τελέσαντος τοῦ ἱερέως εἰς τὴν θήκην τοῦ ἁγίου τὴν ἐκτενήν, ἀπολυόμεθα.

Ψάλλομεν δὲ τὰ μεσώρια ἐν τοῖς ἰδίοις κελλίοις καὶ τὸ Ψαλτήριον, ἄγοντες ἡσυχίαν πολλήν. Οὗτος ὁ τύπος γίνεται κατὰ πᾶσαν β΄ τῆς ἁγίας μ΄, ἔν τε τῷ ὄρθρῳ καὶ τῇ πρώτῃ ὥρᾳ [л. **156**).

Δεῖ εἰδέναι, ὅτι τὰς δευτέρας πάσας τῆς ἁγίας μ΄ εἰς τὴν α΄ ὥραν οὐ στιχολογοῦμεν, τὰς δὲ λοιπὰς ἡμέρας στιχολογοῦμεν, ψάλλοντες τὰ ἀλληλουάρια τοῦ α΄ ἀντιφώνου εἰς πλ. β΄ ἦχον, καὶ ὅτε στιχολογοῦμεν, ποιοῦμεν καὶ κατὰ ἀντίφωνον μετανοίας γ΄ [л. **156** об.).

Ἡ ἀκολουθία τῆς γ΄ ὥρας καὶ τῆς ἕκτης· ἐν τούτῳ γὰρ ψάλλονται. Κατὰ τὴν γ΄ ὥραν κρούει ὁ κανδηλάπτης τὰς βαρέας γ΄, εἶτα τὸ σίδηρον πλειστάκις καὶ συναγόμεθα ἐν τῇ ἐκκλησίᾳ, ποιοῦντος ἑκάστου ἡμῶν ἐν τοῖς τετυπωμένοις ἁγίοις προσκύνημα ἀνὰ μετανοίας γ΄· εὐλογήσαντος δὲ τοῦ ἱερέως, ψάλλομεν τὸ Τρισάγιον καὶ ποιοῦμεν μετανοίας γ΄. Μετὰ δὲ τὸ Πάτερ ἡμῶν ἐκφωνεῖ ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ εἰπόντος τὸ Ἀμήν, λέγει τὸ Κύριε ἐλέησον ιβ΄, εἶτα· Δεῦτε προσκυνήσωμεν, μετανοίας γ΄ καὶ λέγει τὸ Ἐλέησόν με, ὁ Θεός, μόνον· καὶ γὰρ μονόψαλμον ψάλλομεν τὰς ὥρας, ὡς προείρηται, εἰς δὲ τὸ τέλος, εἰς τὸ Ἀλληλούια μετανοίας γ΄ καὶ ἀρχόμεθα τῆς στιχολογίας εἰς ἦχον πλ. β΄ и далѣе часы см. въ ркп. XII в. № 1094 Син. библ. въ варіантахъ стр. 9—12. Часы съ чтеніями изъ Патерика, но безъ молитвъ въ концѣ и безъ тропарей по Отче нашъ. «Пріидите поклонимся» начинаетъ всегда настоятель. Во время чтеній сидимъ. Чтеній паремій нѣтъ. Вечерня совершается обычно, лишь въ концѣ положено *κατάκλαστον*.

Въ чинѣ преждеосвященной литургіи описывается отлично отъ обычнаго порядка лишь конецъ литургіи послѣ возгласа: «Святая святымъ» см. Типик. XII в. № 1094 варіанты стр. 14—15.

Τὰ δὲ ἀπόδειπνα ἐξ ἀρχαίου τύπου ψάλλομεν ἐν τοῖς κελλίοις ἡμῶν, ὧν ἡ ἀκολουθία ἐστὶν οὕτως. Μετὰ τὴν συμπλήρωσιν τοῦ ἑξαψάλμου, τοῦ Μεθ' ἡμῶν ὁ Θεὸς καὶ τῶν λοιπῶν, λέγει τὴν εὐχὴν

ταύτην· Δέσποτα Θεὲ παντοκράτορ, εἶτα· Δεῦτε προσκυνήσωμεν, Ἐλέησόν με, ὁ Θεός, καὶ τὸν ρα΄ ψαλμόν· Κύριε, εἰσάκουσον καὶ τὴν εὐχὴν τοῦ Μανασῆ· Κύριε παντοκράτορ, τὸ Τρισάγιον, τροπάρια· Ἐλέησον ἡμᾶς, Δόξα, Κύριε ἐλέησον, εἶτα τὸν ξθ΄ ψαλμόν· Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες, καὶ τὸν ρμβ΄· Κύριε εἰσάκουσον τῆς προσευχῆς, εἶτα· Δόξα ἐν ὑψίστοις· ψάλλομεν δὲ καὶ κανόνα ἱκετήριον τῆς ὑπεραγίας Θεοτόκου, τὸ Τρισάγιον, καὶ ἀντὶ τροπαρίων λέγει· Κύριε τῶν δυνάμεων μεθ' ἡμῶν, εἶτα στίχος· Αἰνεῖτε τὸν Θεὸν καὶ πάλιν τὸ προγεγραμμένον τροπάριον, καὶ οὕτω λέγει τοὺς λοιποὺς στίχους τοῦ ρν΄ ψαλμοῦ, καὶ ἐφ' ἑνὶ ἑκάστῳ στίχῳ τὸ προγεγραμμένον τροπάριον, καὶ μετὰ τὴν πλήρωσιν τούτων, Δόξα, Κύριε, εἰ μὴ ἁγίους σου εἴχομεν, Καὶ νῦν, Πολλὰ τὰ πλήθη καὶ τὰ λοιπὰ θεοτοκία, τὸ Κύριε ἐλέησον μ΄ καὶ ποιοῦμεν στίχον, καὶ μετὰ ταῦτα ψάλλομεν καὶ τὴν λοιπὴν ἡμῶν ἀκολουθίαν, καθὼς ἔχει τύπον ὁ καθεὶς καὶ βούλεται, ἤγουν ἐν τῷ ἰδίῳ κελλίῳ.

Ὀφείλουσι δὲ οἱ ἀδελφοί, ἡμέρας ἔτι οὔσης, ψάλλειν τὰ ἀπόδειπνα καθ' ὅλον τὸν ἐνιαυτόν, ἵνα, μικρόν τι διαναπαυσάμενοι, μετὰ προσοχῆς ἀναστῶμεν ἔν τε τῷ μεσανυκτικῷ καὶ τῇ λοιπῇ ἀκολουθίᾳ τοῦ ὄρθρου. Εἰ δὲ ὅπως δήποτε ψάλλομεν κοινῶς, μετὰ συμπλήρωσιν τῆς γεγραμμένης ἀκολουθίας, λέγει τὸ τελευταῖον Τρισάγιον, βάλλομεν καὶ τὰς μετανοίας, κατὰ τὸν τύπον, τὰς γ΄ μεγάλας καὶ τὰς ιβ΄, τὸ Κύριε ἐλέησον ιβ΄, καὶ γίνεται τελεία ἀπόλυσις. Λέγομεν δὲ πρὸ τῆς ἀπολύσεως καὶ τὴν εὐχὴν τοῦ Μεγάλου Βασιλείου τὸ Κύριε, Κύριε, ὁ ρυσάμενος, εἶτα ποιεῖ ὁ προεστὼς μετάνοιαν, ἐπιλέγων· Εὐλογήσατε, πατέρες, συγχωρήσατέ μοι τῷ ἁμαρτωλῷ, εἴ τι ἥμαρτον ἐν λόγῳ, ἐν ἔργῳ καὶ κατὰ διάνοιαν, καὶ ἀνταποκρίνονται οἱ ἀδελφοὶ πάντες· Ὁ Θεὸς συγχωρήσει σοι. Καὶ ἄρχονται καὶ αὐτοὶ ἀπὸ τοῦ δεξιοῦ μέρους βάλλειν ὁ καθεὶς μετάνοιαν, λέγοντες τὸν αὐτὸν λόγον, ἕως οὗ πληρωθῶσι πάντες, καὶ βάλλουσι πάντες ὁμοῦ μετάνοιαν τῷ προεστῶτι, ἐπιλέγοντες τὸ Εὐλόγησον. Κἀκεῖνος ἐκφωνεῖ· Ὁ Θεὸς συγχωρήσει πάντας. Εἶτα λέγει κἀκεῖνος· Συγχωρήσατε καὶ ἐμοὶ τῷ ἁμαρτωλῷ, καὶ λέγουσι πάντες ὁμοῦ κοινῶς· Ὁ Θεὸς συγχωρήσει σοι. Καὶ ἀπερχόμεθα ἐν τοῖς κελλίοις ἡμῶν, ἀγωνιζόμενος ἕκαστος κατὰ δύναμιν καὶ βουλήν, ὅπως εὕρωμεν ἔλεος ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ἐν ᾗ ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ ὁ ἐλεήμων Κριτὴς καὶ δίκαιος [л. **161**).

Τροπάρια, ψαλλόμενα μετὰ τὴν πλήρωσιν τοῦ ἑξαψάλμου τῶν ἀποδείπνων· ἦχος β΄. Φώτισον τοὺς ὀφθαλμούς μου, Χριστὲ ὁ Θεός, Δόξα

Ἀντιλήπτωρ τῆς ψυχῆς μου, Καὶ νῦν, θεοτοκίον· Ὅτι οὐκ ἔχομεν παῤῥησίαν. Ἄλλα τροπάρια ἦχος πλ. γ'· Τῶν αοράτων ἐχθρῶν μου, στίχος· Ἐπίβλεψον, εἰσάκουσόν μου, Ὡς φοβερὰ ἡ κρίσις σου, Δόξα, Δάκρυά μοι δός, ὁ Θεός, Καὶ νῦν, Τὴν ἀκαταίσχυντον, Θεοτόκε, ἐλπίδα σου. Ψάλλονται δὲ ἡμέραν παρ' ἡμέραν. Ἰδοὺ ἀκριβῶς ἐξετάσαντες, παρεθέμεθα τῇ ἀγάπῃ ὑμῶν τήν τε ποιότητα καὶ ποσότητα τῆς ψαλμῳδίας τῆς ἁγίας μ', ὡσαύτως καὶ τὰς τυπωθείσας μετανοίας παρὰ τῶν ἁγίων πατέρων, ἃς οὐκ ἔξεστί τινα παραλογίζεσθαι, καὶ τὸν ἄγαν νωθέστατον· ποσοῦνται δὲ αἱ ἐν τῇ ἐκκλησίᾳ γενόμεναι μετάνοιαι τοῦ νυχθημέρου τ' [л. 163).

Παρελάβομεν δὲ οὕτως ἄνωθεν· οἱ μὲν δυνάμενοι τελειοῦσι τὸ Ψαλτήριον τὸ νυχθημερινόν, οἱ δὲ δὶς τῆς ἑβδομάδος, οἱ δὲ τρίς· μετανοίας δὲ ποιοῦσιν ἕκαστος κατὰ τὴν ἰδίαν δύναμιν, ἢ ὡς ὁ προεστὼς τυπώσει· μεσονυκτικὸν δὲ ψάλλομεν τὸ Ἄμωμον, λέγομεν καὶ τὰ τροπάρια ταῦτα· Ἐξεγερθέντες τοῦ ὕπνου, Τῆς κλίνης καὶ τοῦ ὕπνου, στίχος· Ἐν ταῖς νυξὶν ἐπάρατε, Δάκρυά μοι δός, ὁ Θεός, Δόξα καὶ νῦν, Ἰδοὺ ὁ νυμφίος ἔρχεται, τὸ Κύριε ἐλέησον γ' καὶ μετανοίας γ', εὐχὴ Μανασῆ· Κύριε παντοκράτορ, ἡ εὐχὴ Ἐζεκίου· Ἐγὼ εἶπα ἐν τῷ ὕψει, εἶτα ὁ πεντηκοστός, τὸ Πιστεύω εἰς ἕνα Θεόν, Τρισάγιον, Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς καὶ τὰ λοιπά, τὸ Κύριε ἐλέησον μ' καὶ ἀπόλυσις, εἶτα ὄρθρος καὶ ἡ τούτου ἀκολουθία, ὡς προγέγραπται [л. 163).

Въ 1 воскресенье на Господи воззвахъ 12 стиховъ.

Въ субботу 2 недѣли служба заупокойная.

Κυριακῇ τρίτῃ τῶν ἁγίων νηστειῶν. Δεῖ δὲ εἰδέναι, ὅτι ἀφ' ἑσπέρας ἀπέρχεται ὁ ἐκκλησιάρχης ἐν τῷ σκευοφυλακίῳ καὶ λαμβάνει τὸ τίμιον ξύλον, καὶ εἰσφέρει αὐτὸ ἐν τῇ ἁγίᾳ τραπέζῃ, καὶ ἅπτει δι' ὅλης τῆς νυκτὸς κηρίον [л. 166).

Τῇ δ' ἑσπέρας (4 недѣли) τῆς αὐτῆς ἑβδομάδος στιχολογοῦμεν τὰ Πρὸς Κύριον, εἰς τὸ Κύριε ἐκέκραξα κρατοῦμεν τοὺς στίχους ἀπ' ἀρχῆς διὰ τὰ τροπάρια τοῦ μεγάλου κανόνος καὶ ψάλλομεν τὸ ἰδιόμελον τῆς ἡμέρας δίς, τὰ γ' προσόμοια τοῦ Τριῳδίου, δευτεροῦντες τὸ τοῦ Στουδίτου, κατὰ τὸν τύπον, εἶτα τὰ κδ' τροπάρια ἔνθεν κἀκεῖθεν πρὸς ἅπαξ, καὶ βάλλομεν καθ' ἓν ἕκαστον τροπάριον μετανοίας γ', εἰς τὸ Δόξα τὸ μαρτυρικόν, Καὶ νῦν, θεοτοκίον, εἴσοδος, καὶ γίνεται ἡ ἀκολουθία τῶν προηγουμένων, ὡς εἰώθασιν.

Τῇ δὲ ε′ εἰς τὸν ὄρθρον ἐγειρόμεθα ταχύτερον, εἰς τὸ Ἀλληλούια λέγομεν τὰ τριαδικὰ καὶ εὐθὺς τὸν ν′, καὶ ψάλλομεν τὸν μέγαν κανόνα. Καθ' ἓν τροπάριον βάλλομεν οἱ χοροὶ ἔνθεν κἀκεῖθεν ἀνὰ μετανοίας γ′, ψάλλει· λέγομεν δὲ ταῦτα πρὸς ἕνα, ἀπὸ γ′ ᾠδῆς καθίσματα καὶ ἀναγινώσκομεν ἐκ τοῦ βίου τῆς ὁσίας Μαρίας τῆς Αἰγυπτίας, στάσεις β′, ἀπὸ ς′ τὸ κοντάκιον τῆς ὁσίας, καὶ γίνεται ἡ β′ ἀνάγνωσις, ἐν αἷς δὲ ᾠδαῖς ψάλλομεν τὸ τριῴδιον, προηγεῖται χωρὶς μετανοιῶν, ἐξαποστειλάριον, τὸ φωταγωγικόν, εἰς τὸν αἶνον τὰ ἕτερα τροπάρια τοῦ μεγάλου κανόνος μετὰ μετανοιῶν καὶ αὐτά, εἰς τὸν στίχον τὸ ἰδιόμελον καὶ τὸ μαρτυρικόν, Δόξα καὶ νῦν, θεοτοκίον· Δέσποινα, πρόσδεξαι· τὸ γὰρ ἰδιόμελον πλ. δ′ ἐστί, συνάπτομεν καὶ τὴν α′ ὥραν, στιχολογοῦμεν καὶ τὸ ἐνόρθινον κάθισμα. Τῇ δὲ αὐτῇ ἡμέρᾳ ἡ πᾶσα ἀκολουθία τελεῖται διὰ τὸν κόπον ταχύτερον. Ἐὰν δὲ φθάσῃ ὁ Εὐαγγελισμὸς τῇ παρούσῃ ἡμέρᾳ, ψάλλομεν τὸν μέγα κανόνα τῇ γ′, ἡ δὲ ἑορτὴ γίνεται εἰς τὴν ἡμέραν αὐτῆς [л. **168** об., **169**).

Службу акаѳиста см. въ Типик. XII в. въ прим. № 1094 стр. 19.

Въ субботу пр. Лазаря пѣли «Воскресеніе Христово», но воскресныхъ тропарей «Ангельскій соборъ» нѣтъ.

Въ вербное воскресеніе пѣли поліелей καὶ ὁ Ἄμωμος χορὸς τῶν ἀναστασίμων τροπαρίων. По 6 пѣсни канона раздавались ваіа, а на 9 пѣсни свѣчи.

О чтеніи евангелій на утрени въ первые три дня страстной седмицы не говорится.

Въ понедѣльникъ на утрени: Μετὰ δὲ τὴν α′ ᾠδὴν τὸ κοντάκιον, ἐξαποστειλάριον ἦχος πλ. δ′ Τὸν νυμφῶνά σου βλέπω, ἐκ τρίτου· ψάλλεται δὲ ἐν τῷ μέσῳ, εἰς τὸν αὐτὸν στιχηρὸν ἰδιόμελον τῆς ἡμέρας. Εἰδέναι δὲ δεῖ, ὅτι διὰ τὸ εἶναι τὰ στιχηρὰ πολλά, τὰ ἡμίση λέγει εἰς τοὺς αἴνους ἐκ δευτέρου, καὶ τὰ λοιπὰ εἰς τὸν στίχον, στιχηρὰ πρὸς ἅπαξ [л. **172** об.).

Περὶ δὲ ὥραν γ′ τῆς αὐτῆς ἁγίας β′, κρούσαντος τοῦ κανδηλάπτου τὰ συνήθη γ′, συναγόμεθα ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ καὶ ψάλλομεν τὴν τρίτην ὥραν μετὰ τῆς στιχολογίας αὐτῆς, ποιοῦμεν καὶ τὰς συνήθεις μετανοίας. Μετὰ δὲ τὸ προκείμενον τῆς τρίτης ὥρας καὶ τὸ Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινὴ μόνον, προευτρεπισθέντος τοῦ ἀναλογίου μετὰ βλατίου καὶ ἐπιτιθέντος ἐν αὐτῷ τετραευαγγελίου, καὶ πάντων ἱστα-

μένων ἀσκέπων, γίνεται ἀνάγνωσις εἰς τὸ τετραευαγγέλιον παρὰ τοῦ ἡγουμένου ἢ παρὰ ἱερέως. Ἀναγινώσκονται σύντομα, ἁπτουσῶν καὶ λαμπάδων δύο μετὰ θυμιατοῦ, εἶτα Κύριος ὁ Θεός, εὐλογητὸς καὶ ἡ λοιπὴ ἀκολουθία [л. 173).

Εἰδέναι δὲ χρή, ὅτι τὸ κατὰ Ματθαῖον εὐαγγέλιον ἀναγινώσκει τῇ γ′ ὥρᾳ καὶ τῇ ς′ μέχρι τῆς ἀκολουθίας τῶν ἁγίων παθῶν, τὸ δὲ κατὰ Μάρκον τῇ θ′ ὥρᾳ τῆς αὐτῆς ἡμέρας ὁμοίως μέχρι τῶν ἁγίων παθῶν [л. 173 об.). Во вторникъ εἰς δὲ τὴν τριθέκτην καὶ ἐννάτην ὥραν ἀναγινώσκομεν τὸ κατὰ Λουκᾶν εὐαγγέλιον εἰς στάσεις γ′, ὁμοίως μέχρι τῶν ἁγίων παθῶν [л. 174) и въ среду ἐν δὲ ταῖς δυσὶ ταύταις ὥραις ἀναγινώσκομεν τὸ κατὰ Ἰωάννην εὐαγγέλιον ἄχρι τῆς διαθήκης [л. 174 об.).

На утрени въ великій четвергъ предъ окончаніемъ ея— πρὸ τῆς ἀπολύσεως, προκείμενον ἦχος δ′· Ὁ Θεός, εἰς τὴν βοήθειάν μου πρόσχες, στίχος· Αἰσχυνθήτω, προφητεία Ζαχαρίου· Τάδε λέγει Κύριος· λήψομαι τὴν ῥάβδον, προκείμενον ἦχος πλ. α′ Σύ, Κύριε, φυλάξαις ἡμᾶς, στίχος· Σῶσον, Κύριε, τὸ Κύριε ἐλέησον μ′ καὶ ἀρχόμεθα ψάλλειν τὴν πρώτην ὥραν· Δεῦτε προσκυνήσωμεν γ′, ψάλλομεν· Δόξα, τὸ τροπάριον· Σταυρωθέντός σου, Χριστέ, Καὶ νῦν, Τί σε καλέσωμεν. Καὶ μετὰ τοῦτο τὰ στιχηρά· Σήμερον τοῦ ναοῦ, δίς, στίχος· Ἵνα τί ἐφρύαξαν, στίχος β′· Παρέστησαν οἱ βασιλεῖς, Ὡς πρόβατον ἐπὶ σφαγήν, Δόξα, Τοῖς συλλαβοῦσι, Καὶ νῦν τὸ αὐτό, εἶτα τὰ ἀναγνώσματα, προκείμενον πλ. δ′ Ἀναστάντες μοι μάρτυρες, στίχος· Δίκασον, Κύριε, τοὺς ἀδικοῦντας, προφητεία Ζαχαρίου· Τάδε λέγει Κύριος, καταισχυνθήτω, ὁ ἀπόστολος πρὸς Γαλάτας· Ἀδελφοί, ἐμοὶ μὴ γένοιτο, καὶ πάλιν προφητεία Ἡσαΐου· Τάδε λέγει Κύριος, οὐαὶ τῇ ψυχῇ αὐτῶν, καὶ πάλιν ἀπόστολος πρὸς Φιλιππησίους· Ἀδελφοί, τοῦτο φρονείσθω, προκείμενον ἦχος πλ. δ′ Ὅτι ἐγὼ εἰς μάστιγας, στίχος· Κύριε, μὴ τῷ θυμῷ, εἶτα εὐαγγέλιον κατὰ Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ, πρωΐας γενομένης, συμβούλιον, καὶ μετὰ τοῦτο· Τὰ διαβήματά μου καὶ ἡ λοιπὴ ἀκολουθία καὶ ἀπόλυσις.

Περὶ δὲ ὥραν ζ′ σημαίνει τὸ μικρὸν καὶ συναγόμεθα ἐν τῇ ἐκκλησίᾳ καὶ ψάλλομεν ἐν τῷ νάρθηκι τὴν γ′ ὥραν τρίψαλμον, Δόξα, Κύριε, κατέκρινάν σε Ἰουδαῖοι θανάτῳ, Καὶ νῦν, Θεοτόκε, σὺ εἶ ἄμπελος καὶ εὐθὺς τὰ τρία τροπάρια. Μετὰ δὲ ταῦτα προκείμενον ἦχος πλ. δ′ τῆς προφητείας· Ὅτι ἐγὼ εἰς μάστιγας, στίχος· Κύριε, ὁ Θεὸς τῆς σωτηρίας μου, προφητεία Ἡσαΐου· Κύριος δίδωσί μοι, ζήτει τῇ μεγάλῃ

ε' ἑσπέρας, ὁ ἀπόστολος πρὸς Ῥωμαίους· Ἀδελφοί, ἔτι Χριστός, ζήτει κυριακῇ γ', μετὰ τὴν ν', ἑτέρα προφητεία Ἀμώς· Τάδε λέγει Κύριος· ἐν τῇ ἡμέρᾳ ἐκείνῃ δώσει ὁ ἥλιος, καὶ πάλιν ἕτερος ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, ὁ λόγος ὁ τοῦ σταυροῦ, προκείμενον ἦχος δ' Διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ, στίχος· Ὁ Θεός, ὁ Θεός μου, πρόσχες, εὐαγγέλιον κατὰ Μᾶρκον· Τῷ καιρῷ ἐκείνῳ συμβούλιον ἐποίησαν. Εἶτα· Κύριος ὁ Θεός, εὐαγγέλιον, τὸ Τρισάγιον, τὸ Κύριε ἐλέησον μ' καὶ μετὰ τὸν στίχον εὐθὺς ἡ ϛ' ὥρα, ὁμοίως τρίψαλμος, Δεῦτε προσκυνήσωμεν, Δόξα, τροπάριον ἦχος β', Σωτηρίαν εἰργάσω, Καὶ νῦν, Ὅτι οὐκ ἔχομεν παῤῥησίαν, καὶ ψάλλομεν τὰ ἕτερα γ' τροπάρια, εἶτα προκείμενον τῆς προφητείας ἦχος βαρύς· Ἔθηκαν εἰς τὸ βρῶμά μου χολήν, στίχος· Σῶσόν με, ὁ Θεός, ὅτι εἰσῆλθε, προφητεία Ἡσαΐου· Ἰδοὺ συνήσει ὁ παῖς μου, ζήτει τῇ μεγάλῃ παρασκευῇ ἑσπέρας, ἀνάγνωσις β', ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι, καὶ πάλιν προφητεία Ἡσαΐου· Τάδε λέγει Κύριος· τίς ὁ παραγενόμενος, καὶ πάλιν ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, Χριστὸς παραγενόμενος ἀρχήν, προκείμενον ἦχος δ' Εἰς χεῖράς σου παραθήσομαι, στίχος· Ἐπὶ σοί, Κύριε, ἤλπισα, εὐαγγέλιον κατὰ Λουκᾶν· Τῷ καιρῷ ἐκείνῳ συνήχθη τὸ πρεσβυτέριον, τέλος· συνακολουθήσασαι αὐτῷ ἀπὸ τῆς Γαλιλαίας, εἶτα· Ταχὺ προκατάλαβε καὶ ἡ λοιπὴ ἀκολουθία, καὶ εὐθὺς ἡ θ' ὥρα τρίψαλμος, Δεῦτε προσκυνήσωμεν, τροπάριον ἦχος πλ. δ' Βλέπων ὁ ληστής, Καὶ νῦν, Ὁ δ' ἡμᾶς γεννηθείς, καὶ ψάλλομεν τὰ ἐπίλοιπα τρία τροπάρια τῶν ιβ', εἶτα τὸ προκείμενον ἦχος δ' Εἶπεν ἄφρων ἐν καρδίᾳ, στίχος· Οὐκ ἔστι ποιῶν χρηστότητα, προφητεία Ἱερεμίου· Κύριε, γνώρισόν με, ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, ἔχοντες παῤῥησίαν, ἑτέρα προφητεία Ζαχαρίου· Ἥξει Κύριος ὁ Θεός μου, ἕτερος ἀπόστολος πρὸς Τιμόθεον· Τέκνον Τιμόθεε, παραγγέλλω ἐνώπιον, προκείμενον ἦχος β' Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, στίχος· Μὴ ἀποῤῥίψῃς, τὸ εὐαγγέλιον κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ ἄγουσιν τὸν Ἰησοῦν, τέλος· ὄψονται εἰς ὃν ἐξεκέντησαν. Καὶ μετὰ ταῦτα· Μὴ δὴ παραδώῃς ἡμᾶς, τὸ Τρισάγιον, τὸ Κύριε ἐλέησον μ' καὶ εὐθὺς ἑσπερινόν, Δεῦτε προσκυνήσωμεν, τὸ Κύριε ἐκέκραξα κ.τ.λ. [л. 177—178).

Въ великую субботу на утрени послѣ тропарей «Ангельскій соборъ» и т. д. сейчасъ же 50 псаломъ и канонъ καὶ ὁ κανὼν Μάρκου μοναχοῦ μέχρι τῆς ε' ᾠδῆς. По шестой пѣсни кондакъ и ексапостиларій (7, 8 и 9 пѣсней нѣтъ). Выходъ съ Евангеліемъ. Послѣ Σοφία ὀρθοὶ εἰσοδικὸν τροπάριον τῆς ἡμέρας

πλ. β' Ὁ συνέχων. Литургія начинается въ бѣлыхъ одеждахъ. Предъ пареміями прокименъ: «Господь воцарися».

Ὀφείλει δὲ ἔχειν ἀκρίβειαν ὁ ἐκκλησιάρχης, ἵνα ὅταν ἀπολύσῃ ἡ λειτουργία, ὑπάρχῃ ὥρα δ' τῆς νυκτός, ἡμῶν δὲ διακλυομένων, ἀναγινώσκονται αἱ Πράξεις τῶν ἀποστόλων ἀπ' ἀρχῆς. Μετὰ δὲ ὀλίγην ἀνάπαυσιν, συμάναντος τοῦ κανδηλάπτου τὸ σίδηρον, ἀρχόμεθα τοῦ Τρισαγίου, Δεῦτε προσκυνήσωμεν καὶ εὐθὺς τὰ ἀπόδειπνα πάντα. Καὶ μετὰ τὴν συμπλήρωσιν ποιοῦμεν ἀναγνώσεις διαφόρους καὶ μεγάλας μέχρι μεσονυκτίου ἀπό τε τοῦ κατὰ Ματθαῖον, εἰ κατελείφθη τι, ἢ ἀπὸ ἑτέρων τινῶν συγγραφέων, ἢ ἀπ' ἀρχῆς τὸ κατὰ Ἰωάννην. Εἰ δὲ κελεύει ὁ προεστώς, ψάλλομεν μόνον τὸν ν', εἶθ' οὕτως τὸν κανόνα τοῦ μεγάλου σαββάτου· Κύματι θαλάσσης, μετὰ καὶ τοῦ κοντακίου καὶ τῶν ῥηθεισῶν ἀναγνώσεων. Ἕκτης δὲ ὥρας καταλαβούσης, σημαίνει τὸν ὄρθρον καὶ ἐξερχόμεθα πάντες οἱ ἀδελφοὶ εἰς τὴν ἁγίαν μάνδραν, οἱ δὲ κανδηλάπται, μόνοι ὄντες ἐν τῷ ναῷ, ἅπτουσι τὰ κηρία πάντα καὶ τὰς κανδήλας, καὶ ποιήσαντες πυρσὸν μέγαν, θέτουσιν αὐτὸν μέσον τοῦ ναοῦ, βάλλοντες θυμίαμα πολύ, αἱ δὲ πύλαι εἰσὶ κεκλεισμέναι. Ὁ δὲ καθηγούμενος διανέμει ἔξω τοῖς ἀδελφοῖς τὰ κηρία, ὁ δὲ ἱερεὺς ἀλλάσσει ἐν τῷ διακονικῷ πᾶσαν τὴν στολὴν λευκὴν καὶ λαμπρὰν καὶ θυμιᾷ τὸ ἅγιον βῆμα, κἀκεῖθεν, προπορευομένης αὐτοῦ λαμπάδος, ἐξέρχεται εἰς τὴν ἁγίαν μάνδραν, κρατῶν τῇ μιᾷ χειρὶ σταυρὸν καὶ τῇ ἑτέρᾳ τὸν θυμιατὸν καὶ θυμιᾷ τὰς ἐκκλησίας κατὰ τὸν τύπον, εἶτα τὴν θήκην τοῦ ἁγίου, τόν τε ἡγούμενον καὶ πάντας τοὺς ἀδελφούς, ἱσταμένους μετ' εὐλαβείας κύκλῳ τῆς θήκης τοῦ ἁγίου· φθάσας δὲ εἰς τὰς ὡραίας πύλας, χαράττει σταυρὸν μετὰ τοῦ θυμιατοῦ καὶ λέγει· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ... Καὶ ἡμῶν ἀποκρινομένων τὸ Ἀμήν, λέγει· Χριστὸς ἀνέστη, λέγομεν καὶ ἡμεῖς τὸ αὐτό. Καὶ πάλιν ἐκεῖνος τὸ αὐτὸ καὶ ἡμεῖς ὁμοίως ἐκ τρίτου, εἶτα ὁ ἱερεύς· Ἀναστήτω ὁ Θεὸς ἡμῶν, - Χριστὸς ἀνέστη. Ἐκεῖνος· Ὡς ἐκλείπει καπνός, ἡμεῖς πάλιν· Χριστὸς ἀνέστη. Ἐκεῖνος· Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος καὶ ἡμεῖς πάλιν· Χριστὸς ἀνέστη. Ὁ ἱερεύς· Δόξα καὶ νῦν, γεγωνοτέρᾳ τῇ φωνῇ, καὶ ἡμεῖς· Χριστὸς ἀνέστη. Εἶτα πάλιν ἄρχεται ὁ ἱερεύς· Χριστὸς ἀνέστη, γεγωνοτέρᾳ τῇ φωνῇ, καὶ ἀνοιγομένων τῶν πυλῶν, εἰσοδεύει, προπορευομένων μὲν τῶν λαμπάδων, συνεφεπομένου δὲ τοῦ καθηγουμένου καὶ τῶν ἀδελφῶν καὶ ψαλλόντων· Καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος. Εἰσερχόμενος οὖν ὁ ἱερεὺς ἐν τῷ βήματι ποιεῖ συναπτήν, μετὰ δὲ ἐκφώνησιν ἄρχεται ὁ προεστὼς γεγωνοτέρᾳ τῇ φωνῇ· Ἀναστάσεως ἡμέ-

ρα καὶ ψάλλομεν τοὺς εἱρμοὺς καὶ τὰ τροπάρια ἀνὰ δ', ὁ δὲ ἱερεὺς θυμιᾷ πάντας. Ἀπὸ γ' ᾠδῆς ἡ ὑπακοὴ ἦχος δ'· Προλαβοῦσαι τὸν ὄρθρον, ἀνάγνωσις εἰς τὸν Θεολόγον· Ἀναστάσεως ἡμέρα, ἀπὸ ς' τὸ κοντάκιον, ἀνάγνωσις εἰς τὸν Θεολόγον· Πάλιν ἐπὶ τῆς φυλακῆς μου, εἰ ἔχει ἡ ὥρα. Μετὰ δὲ τὴν τοιαύτην ἀνάγνωσιν, Ἀνάστασιν Χριστοῦ θεασάμενοι γ' καὶ αἱ λοιπαὶ ᾠδαί, εἰς τὴν θ' ἅπτουσι τὰ φωτίλια, ἐξαποστειλάριον· Σαρκὶ ὑπνώσας, πεντάκις. Εἶτα Πᾶσα πνοὴ ἦχος α', ἱστῶμεν δ' καὶ ψάλλομεν τὰ δ' ἀναστάσιμα καὶ τὰ πλ. α' τῆς ἑορτῆς· Πάσχα ἱερόν, στίχος α'· Ἀναστήτω ὁ Θεὸς καὶ στίχος β'· Ὡς ἐκλείπει καπνός, στίχος γ'· Αὕτη ἡ ἡμέρα, Δόξα καὶ νῦν, Ἀναστάσεως ἡμέρα, Χριστὸς ἀνέστη, καὶ γίνεται ὁ ἀσπασμὸς οὕτως· Λαμβάνει ὁ ἱερεὺς τὸ ἅγιον Εὐαγγέλιον, εἰ δὲ καὶ ἕτεροι ἱερεῖς ἀλλάσσουσι καὶ αὐτοὶ καὶ κρατοῦσι σταυροὺς καὶ εἰκόνας, καὶ ἵστανται ἔμπροσθεν τῶν ἁγίων θυρῶν, καὶ ἀσπάζεται ὁ προεστὼς τὰ ἅγια καὶ τοὺς ἱερεῖς, καὶ ἵστανται ἐκ δεξιῶν αὐτοῦ, καὶ μετὰ τοῦτο ἀσπάζονται καὶ οἱ ἀδελφοὶ κατὰ τάξιν, καὶ μετὰ τὸ πληρωθῆναι τὸν ἀσπασμὸν ἀναγινώσκεται ὁ λόγος τοῦ Χρυσοστόμου παρὰ τοῦ ἡγουμένου, οὗ ἡ ἀρχή· Εἴ τις εὐσεβής, οὐ καθεζόμεθα δὲ εἰς τὴν τοιαύτην ἀνάγνωσιν. Μετὰ δὲ τὴν συμπλήρωσιν γίνεται ἐκτενὴ καὶ τελεία ἀπόλυσις (л. **180**, **181**, **182**).

Въ понедѣльникъ священникъ начиналъ утреню въ епитрахили и фелони. О канонѣ замѣчено: Καὶ μετὰ τὴν ἐκφώνησιν ἀρχόμεθα τοῦ κανόνος ἐκ δευτέρου, τοὺς εἱρμοὺς καὶ τὰ τροπάρια, ψάλλομεν δὲ καὶ ἕτερον κανόνα εἰς ἦχον δεύτερον τοῦ Πάσχα [л. **183**).

Начало всенощнаго бдѣнія въ недѣлю Θомину: Θυμιάσαντος τοῦ ἱερέως κατὰ τὸν τύπον καὶ εἰπόντος τὴν ἐκφώνησιν, λέγομεν ἡμεῖς τὸ Χριστὸς ἀνέστη ἐκ τρίτου ἠρεμαίᾳ φωνῇ καὶ οὐχὶ μεγάλῃ φωνῇ, εἶτα τὸ Δεῦτε προσκυνήσωμεν μεγαλοφώνως καὶ μετὰ μέλους, κατὰ τὸν τύπον. Καὶ οὕτως ποιοῦμεν ἐν ταῖς ἀρχαῖς τῶν ἑσπερινῶν καὶ τῶν ὄρθρων μέχρι τῆς Ἀναλήψεως [л. **184** об). Поется ὁ ἄμωμος χωρὶς τῶν ἀναστασίμων τροπαρίων.

На литургіи поются антифоны: «Благо есть исповѣдатися», «Господь воцарися» и «Пріидите возрадуемся Господеви».

Здѣсь Типиконъ и обрывается.

III. № 1095. Τυπικὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας, ἤτοι τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα τοῦ ἱεροσολυμίτου. Рукопись той же библ. въ 16 долю листа, писана весьма четкимъ и крупнымъ почеркомъ XII в. на пергаменѣ, 146 листовъ. Изъ прини-

сокъ на первомъ листѣ имѣется слѣдующая: Τὸ παρὸν Τυπικὸν ὑπάρχει τοῦ ἁγίου ὄρους Σινᾶ, καὶ ὁ ξενώσας αὐτὸ νὰ ἔχῃ τὰς ἀρὰς τῶν τιη' (πατέρων) τῶν ἐν Νικαίᾳ.

[л. 1) Πρὸ τοῦ δῦναι τὸ ἥλιον, ἤγουν περὶ ι' ὥρας τῆς ἡμέρας ἀνέρχεται ὁ κανδηλάπτης... Чинъ малой вечерни.

(л. 1 об.) Μετὰ τὸ δῦναι τὸν ἥλιον, μικρὸν ἀνέρχεται ὁ κανδηλάπτης καὶ ποιεῖ τῷ προεστῶτι μετάνοιαν (Чинъ великой вечерни или всенощнаго бдѣнія. Изложеніе его весьма немногимъ разнится отъ нынѣшняго Типикона), καὶ ἀπερχόμενος κρούει τὰς βαρείας σχολαίως, ψάλλων τὸν ἄμωμον. Μετὰ δὲ τὸ πλήρωμα τῶν βαρέων ἀπέρχεται καὶ ἅπτει τὰς κανδήλας, καὶ εὐτρεπίσας τὸν θυμιατόν, τίθησι λαμπάδα μετὰ κηρομανουαλίου εἰς τὸ μέσον τῆς ἐκκλησίας, ἔπειτα ἐξερχόμενος σημαίνει τὸ σιδηροῦν, εἶτα τὸ μέγα, καὶ ὑποστρέψας ἵσταται κατενώπιον τῶν ἁγίων πυλῶν... Καὶ εἰσελθὼν εἰς τὸ ἅγιον βῆμα ἵσταται ἔμπροσθεν τῆς ἁγίας τραπέζης, καὶ ποιῶν σταυροὺς τρεῖς μετὰ τοῦ θυμιατοῦ, ἐκφωνεῖ· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ, Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ, μαλθακῇ καὶ ἡσύχῳ φωνῇ, εἶθ' οὕτως δεύτερον, ἀνώτερον πρὸς ὀλίγον· Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν, καὶ πάλιν γ' γεγωνοτέρᾳ φωνῇ· Δεῦτε προσκυνήσωμεν αὐτῷ Χριστῷ τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν, εἶθ' οὕτως ὀξύτερον· Δεῦτε προσκυνήσωμεν μόνον...На литіи «Господи помилуй» поютъ, 40, 40 и 50 разъ. Другихъ прошеній нѣтъ. Молитва: «Владыко многомилостиве» читается съ преклоненіемъ колѣнъ. Ὁ δὲ κελλαρίτης προτίθησιν ἐν τῷ ναῷ ἄρτους γ', ἐξ ὧν ἐσθίομεν ἐν τῇ τραπέζῃ, ὡσαύτως καὶ στάμνον, μεστὸν οἴνου τοῦ καλλίστου, καὶ σῖτον ἐκ τοῦ ὁρίου. Ὁ δὲ ἱερεύς, λαβὼν ἄρτον ἕνα καὶ τὸν σταυρόν, ἐπεύχεται τὴν εὐχὴν ταύτην· Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ εὐλογήσας τοὺς πέντε ἄρτους...Ἰστέον δέ, ὅτι ἀπὸ τῆς κυριακῆς τοῦ Πάσχα μέχρι τῶν Ἁγίων Πάντων εἰς τὴν τοιαύτην ἀνάγνωσιν τοῦ μεγάλου ἑσπερινοῦ αἱ Πράξεις τῶν ἁγίων ἀποστόλων ἀναγινώσκονται, εἰς δὲ τὰς λοιπὰς κυριακὰς τοῦ Χρυσοστόμου ὅλου αἱ ἑπτὰ καθολικαὶ τῶν ἀποστόλων καὶ αἱ ιδ' ἐπιστολαὶ τοῦ ἁγίου Παύλου καὶ ἡ Ἀποκάλυψις τοῦ Θεολόγου... Μετὰ δὲ τὴν ἀνάγνωσιν τοῦ Πραξαποστόλου, εὐλογήσαντος τοῦ ἱερέως, ἀπάρχεται ὁ ἱερεὺς τοῦ ἐξαψάλμου, καὶ ὁ κανδηλάπτης, ἑτοιμάσας τὸ θυμιατόν, ἐξέρχεται καὶ σημαίνει τὸ μέγα, ὁ δὲ ἱερεὺς θυμιᾷ. Ὅταν οὖν ἄρξηται ὁ προεστὼς τὸν ρβ' ψαλμόν, τὸ Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον... λέγει ὁ ἱερεὺς τὰς εὐχὰς τοῦ ὄρθρου.

[**л. 8**) Εἴδησις τῶν ἀγρυπνιῶν τοῦ ὅλου ἐνιαυτοῦ. 52 всенощныхъ бдѣнія.

[**л. 8** об.) Ἔκφρασις ἐν ἐπιτομῇ τῆς ἐκκλησιαστικῆς διατάξεως τῶν ἐν Ἱεροσολύμοις ἁγίων μοναστηρίων. Сначала здѣсь имѣется замѣчаніе о чтеніи Псалтири, а далѣе подробное изложеніе суточной службы, при чемъ службы описываются безъ раздѣленія на киновіальныя и келліотскія. Утреня начинается съ полунощницы и совершается съ такою полнотою, какъ и въ памятникахъ XIV—XV вв.

[**л. 20**) Въ Синаксарѣ отмѣтимъ слѣдующія любопытныя подробности:

Τῇ αὐτῇ ἡμέρᾳ (т. е. 13 Сентября), μετὰ τὴν ἀπόλυσιν τοῦ μικροῦ ἑσπερινοῦ, ἀπέρχονται ὁ ἱερεὺς καὶ ὁ ἐκκλησιάρχης σὺν τῷ κανδηλάπτῃ ἐν τῷ σκευοφυλακίῳ μετὰ λαμπάδων καὶ θυμιατῶν καὶ λαμβάνουσι τὸ τίμιον ξύλον, ψάλλοντες καὶ τροπάριον· Σῶσον, Κύριε, τὸν λαόν σου, καὶ φέρουσιν εἰς τὴν ἐκκλησίαν καὶ ἐπιτιθέασιν αὐτὸ ἐπάνω τῆς ἁγίας τραπέζης, καὶ ἅπτει κηρὸς ἔμπροσθεν δι' ὅλης τῆς νυκτός. Выносъ креста и его воздвиженіе описываются, какъ и въ памятникахъ позднѣйшаго времени [**лл. 27—28**).

Часы наканунѣ Рождества [**л. 57**) и Богоявленія [**л. 65**) излагаются, какъ и въ рукописи № 322. Ватоп. библ. Положено два водоосвященія: одно наканунѣ ἐν τῷ λουτρῷ, послѣ заамвонной молитвы, и другое, послѣ конца утрени: εἰς τὴν βρύσιν τῶν ὑδάτων.

Въ службѣ Срѣтенія нѣтъ случая, если праздникъ этотъ придется въ недѣлю крестопоклонную.

Изложеніе службъ для праздниковъ Благовѣщенія и 9 Марта во многомъ сходно съ изложеніемъ ихъ въ Типиконахъ XIII в., хотя въ текстѣ и имѣются небольшія разности. (См. разности въ пасхальной службѣ ркп. лавры пр. Аѳанасія XIII в. Галис. см. ниже стр. 90—92). Замѣчанія, на основаніи чего изложенъ порядокъ службъ для Благовѣщенія, нѣтъ.

Выносъ креста наканунѣ Августа описывается такъ, какъ и въ Типиконѣ XII—XIII в. № 1094 см. стр. 5, но выносъ его на утрени имѣетъ особенность. Δοξολογία μεγάλη καὶ ἀπόλυσις, καὶ ἐξέρχεται ὁ ἱερεὺς μετὰ τοῦ τιμίου σταυροῦ, προπορευομένων τῶν λαμπάδων, καὶ ἵσταται κατέναντι τῶν βασιλικῶν πυλῶν, εἶθ' οὕτως ἐκφωνοῦν καὶ οἱ ἀδελφοί· Σῶσον, Κύριε, καὶ ἐναποτιθεμένου ὁ σταυρὸς (τοῦ σταυροῦ), θυμιᾷ ὁ ἱερεύς,

ἔπειτα προκειμένου τοῦ ὕδατος ἐν τῷ φυαλίῳ, ψάλλονται τοῦ ἁγιασμοῦ στιχηρά, καὶ μετὰ τὸ ἁγιασθῆναι τὸ ὕδωρ καὶ τὴν προσκύνησιν τοῦ τιμίου σταυροῦ, ὡς ἐν τάξει πάντα τῆς Ὑψώσεως, μεταλαμβάνομεν πάντες ἐκ τοῦ ἁγιάσματος καὶ ῥαντίζομεν, εἶτα ὁ ἱερεύς· Ἐλέησον ἡμᾶς ὁ Θεός, καὶ πληρουμένης τῆς αἰτήσεως, γίνεται ἀπόλυσις. Ἐξέρχεται ὁ τίμιος σταυρὸς μετὰ τοῦ ἱερέως ἐνηλλαγμένου καὶ τῶν ἀδελφῶν ψαλλόντων καὶ περιέρχεται τὰ ἐν τῇ μονῇ ἅπαντα, καὶ ἀποκομίζεται τὸ τίμιον ξύλον ἐν τοῖς σκευοφυλακίοις διὰ τοῦ ἱερέως (**л. 102** об., **103**).

Нѣтъ праздника Спаса нерукотвореннаго образа и памяти пр. Аѳанасія Аѳонскаго.

[л. 107). Ἀκολουθία τῆς ἁγίας καὶ μεγάλης τεσσαρακοστῆς.

Изложеніе службъ на постъ и пятидесятницу во многомъ сходно съ Типикономъ XII–XIII в. библ. лавры пр. Саввы Освященаго стр. 9—14, хотя текстъ этихъ службъ проще и короче. О практикѣ Саввинской обители здѣсь нѣтъ замѣчаній. Какъ особенность, можно отмѣтить часы въ великую пятницу съ особыми псалмами. На первомъ часѣ помѣщены псалмы: Τὰ ῥήματά μου, Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν и Μακάριος ὁ συνιῶν ἐπὶ πτωχῶν, на 3 часѣ псалмы 1, 34 и 50, на 6 часѣ псалмы 51, 139 и 99, на девятомъ 21, 68 и 85. Остальной порядокъ, ектеньи, возгласы и стихиры, какъ и въ рождественскихъ часахъ.

Въ концѣ Типикона слово І. Златоуста на Пасху и прокимны.

IV. № 312. Τυπικόν, ркп. лавры св. Саввы Освященнаго (нынѣ патріаршей) (безъ начала), въ 16 долю, 138 листовъ, писана на пергаменѣ почеркомъ 1201 года, какъ видно изъ приписки на л. 125 (См. у Παπαδ.-Κεραμέως. Ἱεροσολυμιτικὴ βιβλιοθήκη τ. β', σελ. 442). Типиконъ начинается чиномъ всенощнаго бдѣнія и слѣдующими словами: πληρουμένου δὲ τοῦ ψαλμοῦ, ὁ διάκονος ... ὁ δὲ ἱερεὺς τὴν ἐκφώνησιν, εἶτα στιχολογοῦμεν ... Вся первая часть безъ раздѣленія на главы.

[л. 12). Ἀκολουθία τῆς ἐκκλησιαστικῆς ψαλμῳδίας τοῦ ὅλου ἐνιαυτοῦ, ἀρχομένη ἀπὸ Σεπτεμβρίου μηνός. Отсутствуютъ нѣкоторые листы.

Подъ 20 Марта стоитъ память: τῶν ὁσίων πατέρων ἡμῶν, τῶν ἐν τῇ μονῇ τοῦ ἁγίου Σάββα ἀναιρεθέντων ὑπὸ τῶν Μαύρων.

Замѣчаніе о службѣ Благовѣщенія изъ Олимпійскаго Типикона см. у Παπαδ.-Κεραμ. τ. β', σελ. 442—444.

Предпразднество креста положено 31 Іюля.

[л. **84**). Ἀκολουθία τῆς ἁγίας μεγάλης τεσσαρακοστῆς.

Служба великой субботы вечеромъ излагается такъ: Περὶ ὥραν ι' σημαίνει τὸ λυχνικὸν καί, συναγόμενοι οἱ ἀδελφοὶ πάντες, προσμένουσιν ἐν τῷ νάρθηκι, ὁ δὲ ἐκκλησιάρχης εἰσερχόμενος ἐν τῷ ναῷ, ἀποκλείει πάσας τὰς πύλας, εἶτα ὁ τὴν ἐφημερίαν ἔχων ἱερεύς, ἀλλάσσων τὴν ἱερατικὴν στολήν, στιχάριον μὲν φορεῖ ἄσπρον, φελώνιον δὲ μαῦρον, θυμιᾷ τὸν ναὸν ὅλον καὶ αὐτὸ τὸ διακονικόν, δι' οὗ ἐξερχόμενος εἰς τὸν νάρθηκα, λαμπάδων προπορευομένων αὐτοῦ, θυμιᾷ τὸν προεστῶτα καὶ τοὺς β' χορούς, καὶ μετὰ τὸ θυμιᾶσαι πάντας, ἵσταται ἔμπροσθεν τῶν βασιλικῶν πυλῶν καὶ ποιεῖ σταυρόν, καὶ εὐθὺς ἀνοίγονται μὲν αἱ πύλαι, τῶν δὲ ἀδελφῶν εἰσερχομένων εἰς τὸν ναόν, γίνεται ἔναρξις παρὰ τοῦ τοιούτου ἱερέως, λέγοντος οὕτως· Εὐλογημένη ἡ βασιλεία. Καὶ ψάλλομεν τὸν προοιμιακὸν ψαλμόν, εἶτα συναπτή, τὸ Κύριε ἐκέκραξα ἦχος α'. Οἱ δὲ λοιποὶ ἱερεῖς καὶ διάκονοι ἅπαντες, καταλαβόντος τοῦ στίχου τοῦ λέγοντος· Πεσοῦνται ἐν ἀμφιβλήστροις, βάλλουσι μετάνοιαν, ἀπέρχονται καὶ ἀλλάσσουσι καὶ οὗτοι στολὰς μαύρας, καὶ ποιοῦσι προσκομιδὴν ... [л. **113** об.). Ἰστέον δέ, ὅτι μέλλοντος τοῦ ψάλτου ἄρξασθαι τοῦ Ἀνάστα ὁ Θεός, ἀνιστάμενοι οἱ ἱερεῖς ἀποδύονται τὰ μαῦρα φελώνια καὶ περιβάλλονται ἀντὶ αὐτῶν λευκά... Καὶ δίδωσιν ἑκάστῳ τῶν ἀδελφῶν ἀνὰ κλάσματα ἄρτου καὶ ἰσχάδων καὶ φοινίκων καὶ ἀνὰ κρασοβόλιον οἶνον, ὧν καὶ μεταλαμβάνομεν ἐν ταῖς καθέδραις ἡμῶν καθήμενοι ... [л. **114**) На Пасху: Ὁ δὲ ἱερεὺς ἀλλάσσει ἐν τῷ διακονικῷ ἅπασαν τὴν λευκὴν στολὴν καὶ ἐξέρχεται εἰς τὸν νάρθηκα διὰ τοῦ τοιούτου διακονικοῦ, καὶ θυμιᾷ προηγουμένων αὐτοῦ καὶ λαμπάδων δύο. Ὁ μέντοι ἐκκλησιάρχης διανέμει τοὺς κηροὺς ἀπὸ τοῦ προεστῶτος ἄχρι τοῦ ἐσχάτου, ἡμεῖς δὲ ἅπτοντες αὐτὰ ἱστάμεθα μετὰ προσοχῆς καὶ καθ' ἑαυτοὺς εὐχόμενοι. Μετὰ γοῦν τὸ θυμιᾶσαι τοὺς ἀδελφούς, ὡς σύνηθες, ἵσταται ὁ ἱερεὺς ἔμπροσθεν τῆς βασιλικῆς πύλης καὶ θυμιᾷ σταυροειδῶς ἐκ γ', λέγων· Δόξα τῇ ἁγίᾳ, καὶ ἡμῶν ἀποκρινομένων τὸ Ἀμήν, ἄρχεται ὁ ἱερεὺς τροπάριον, ἦχος πλ. α' Χριστὸς ἀνέστη. Τὸ αὐτὸ καὶ οἱ ἀδελφοί, καὶ λέγεται γ' (об.) παρὰ τοῦ ἱερέως καὶ παρὰ μοναχῶν, εἶθ' οὕτως στίχος α'· Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἡμεῖς τὸ Χριστὸς ἀνέστη, στίχος β'· Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν, καὶ ἡμεῖς τὸ Χριστὸς ἀνέστη, στίχος γ'· Συστήσασθε ἑορτήν, καὶ ἡμεῖς τὸ Χριστὸς ἀνέστη, Δόξα, Χριστὸς ἀνέστη, Καὶ νῦν, Χριστὸς ἀνέστη. Εἶτα πάλιν ἄρχεται ὁ ἱερεὺς γεγονωτέρᾳ φωνῇ· Χριστὸς ἀνέστη, καὶ ἀνοιγομένων τῶν πυλῶν, εἰσοδεύει, προπορευομένων τῶν

λαμπάδων, συνεφεπομένου δὲ τοῦ προεστῶτος καὶ τῶν ἀδελφῶν καὶ ψαλλόντων· Καὶ τοῖς ἐν τοῖς. Εἰσερχόμενος δὲ ὁ ἱερεὺς ἐν τῷ βήματι ποιεῖ συναπτήν. Μετὰ δὲ τὴν ἐκφώνησιν ἄρχεται ὁ προεστώς· Ἀναστάσεως ἡμέρα, καὶ δευτεροῦμεν τοὺς εἱρμούς· ἐν δὲ τοῖς τροπαρίοις ἱστῶμεν στίχους ιβ'. Ὁ δὲ ἱερεὺς θυμιᾷ. Τὴν μέντοι ἔναρξιν τοῦ κανόνος ὁ προεστὼς ὀφείλει ποιεῖν κατὰ ταύτην τὴν ἁγίαν ἡμέραν, κἂν τῷ ἀριστερῷ μέρει ἐπιλαγχάνῃ. Τοῦτο δὲ γίνεται ἐν μόνῃ τῇ α' ᾠδῇ· τῆς γὰρ τρίτης ᾠδῆς ἡ ἔναρξις, εἴ γε τῷ ἀριστερῷ ἐκλαγχάνει μέρει, πάλιν γίνεται παρ' αὐτοῦ, καὶ οὕτως ἰσάζουσιν οἱ χοροί. Ἐν ἑκάστῃ δὲ ᾠδῇ γίνεται παρὰ τοῦ ἱερέως συναπτὴ μικρὰ ἔσωθεν τοῦ βήματος.

Въ 50-цу на литургіи поютъ ἀντὶ δὲ τοῦ Τρισαγίου, Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε [л. 122).

[л. 125). Замѣчаніе о соблюденіи Типикона.

[л. 126) Κοντάκια, νεκρώσιμα καὶ οἶκοι, οἵτινες λέγονται ἐπὶ κηδείᾳ ἀδελφοῦ ἢ ἀδελφῆς, ἐν δὲ τῇ ἐκκλησίᾳ κατὰ τὸ σάββατον τῆς ἀπόκρεω καὶ τὸ σάββατον τῆς ἁγίας πεντηκοστῆς· Μετὰ τῶν ἁγίων ἀνάπαυσον, Χριστέ. Οἱ οἶκοι, ὧν ἡ ἀκροστιχὶς αὕτη· Ἀναστασίου ταπεινοῦ νοσηέας (sic)· Αὐτὸς μόνος ὑπάρχεις ἀθάνατος, Νουνεχῶς δυσωπῶ ὑπακούσατε. Конца рукописи нѣтъ.

V. № 73. Τυπικόν, ркп. изъ собранія Крестнаго монастыря, въ 16 долю, 288 листовъ, писана частію на бумагѣ, и частію на пергаменѣ XIII в. Типиконъ не имѣетъ первой части, а начинается Синаксаремъ. Листы перемѣшаны отъ начала до конца. 1 Августа εἰς τὴν λειτουργίαν ἁγιάζει ὕδωρ μετὰ τοῦ τιμίου σταυροῦ ὁ ἱερεὺς καὶ μεταλαμβάνουσιν ἐξ αὐτοῦ πάντες. Въ чинѣ водоосвященія Богоявленскаго, при погруженіи креста въ воду, положено было произносить: «Во имя Отца и Сына и Св. Духа», но потомъ это зачеркнуто и позднѣйшею рукою написано: Φῶς ὁ Πατήρ, Φῶς ὁ Υἱός, Φῶς καὶ τὸ ἅγιον Πνεῦμα [л. 52). По своимъ особенностямъ Типикъ напоминаетъ Типик. № 312 изъ лавры пр. Саввы. Главы Марковы присоединены на бумагѣ и писаны рукою XVI в. Надписываются онѣ такъ: Μάρκῳ, ἀρχιεπισκόπῳ Ὑδροῦντος τῷ σοφωτάτῳ καὶ λογικωτάτῳ. Тою же рукою далѣе онѣ надписываются: Μάρκῳ, ἁμαρτωλῷ ἱερομονάχῳ σύνταγμα πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ Τυπικοῦ. Главъ 85.

б) Редакція Іерусалимо-Константинопольская.

VI. Τυπικόν (заглавіе обычное), рукопись 1280 г. въ 16 долю листа на пергаменѣ, принадлежала нѣкогда извѣстному греческому археологу и создателю Аѳинскаго Церковно-археологическаго музея Георгію Ламбаки († 1914 г.). Въ рукописи имѣется слѣдующая приписка: Ἐπληρώθη τὸ παρὸν Τυπικὸν διὰ χειρὸς ἁμαρτωλοῦ Ἰακώβου καὶ ἱερομονάχου ἐν ἔτει ,ςψπη', ἰνδ. γ', ἡμέρᾳ κυριακῇ. Типиконъ этотъ, слѣдуетъ думать, переданъ нынѣ въ Церковно-археологическій музей, который г. Ламбаки сдѣлалъ національнымъ достояніемъ.

Начальныхъ листовъ рукописи не сохранилось. Въ концѣ Типикона имѣется Ирмологій.

По составу статей и по тексту ихъ изложенія этотъ Типиконъ ничѣмъ не выдается изъ ряда своихъ современниковъ. Интересъ къ данной рукописи возбуждается главнымъ образомъ ея датою, которая въ литургическихъ памятникахъ этого вѣка—явленіе, повторяющееся не часто. Мы познакомились съ рукописью бѣгло и совершенно случайно.

VII. № 628. Τυπικὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας τῆς ἐν Ἱεροσολύμοις ἁγίας λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα. Αὕτη ἡ ἀκολουθία γίνεται καὶ ἐν ταῖς λοιπαῖς ἐν Ἱεροσολύμοις ἁγίαις μοναῖς. Рукопись лавры пр. Саввы Освящ. (патріаршей библіотеки) въ 16 долю, 184 листа, писана на пергаменѣ весьма сжатою неотчетливою скорописью XIII в.

[л. 1) Εἴδησις τοῦ μικροῦ ἑσπερινοῦ.

[л. 1 об.) Περὶ τῆς ἀγρυπνίας διάταξις.

[л. 8) Εἴδησις τῶν ἀγρυπνιῶν τοῦ ὅλου ἐνιαυτοῦ.

[л. 9) Ἔκφρασις ἐν ἐπιτομῇ τῆς ἐκκλησιαστικῆς διατάξεως τῶν ἐν Ἱεροσολύμοις ἁγίων μοναστηρίων.

[л. 12) Ἀκολουθία τῆς ἐκκλησιαστικῆς συνάξεως τοῦ ὅλου ἐνιαυτοῦ, ἀρχομένη ἀπὸ μηνὸς Σεπτεμβρίου μέχρι μηνὸς Αὐγούστου.

[л. 115 об.) Ἀκολουθία τῆς ἁγίας μεγάλης τεσσαρακοστῆς и пятидесятницы.

[л. 174 об.) Περὶ τοῦ πῶς δεῖ θυμιᾶν.

[л. 176 об.) Τὰ ἀναστάσιμα προκείμενα τοῦ ἀποστόλου τῶν ὀκτὼ ἤχων ἤτοι τὰ ἄμνημα.

Ἀναστάσιμα ἀλληλουάρια τῶν ὀκτὼ ἤχων, τὰ λεγόμενα ἄμνημα.

[л. 177) Τὰ ἐν τῇ ἑβδομάδι ψαλλόμενα ἀλληλουάρια, προκείμενα καὶ κοινωνικά, ὅτε οὐκ ἐστιν ἑορτάσιμος ἅγιος, εἰσὶ ταῦτα.

[л. 177 об.) Προκείμενα ἀναστάσιμα τῶν ὀκτὼ ἤχων, ἃ λέγονται ἐν τῷ εὐαγγελίῳ τοῦ ὄρθρου.

[л. 178 об.) Τὰ φωταγωγικὰ τῶν ὀκτὼ ἤχων.

[л. 179) Περὶ τῆς τῶν Ἀρμενίων νηστείας.

[л. 179 об.) Διάταξις τοῦ ὅλου ἐνιαυτοῦ.

Ἀπὸ τῇ λαμπρᾷ κυριακῇ τοῦ Πάσχα ἕως τῇ τοῦ Θωμᾶ κυριακῇ καταλύειν ἐν παντὶ βρώματι, εἶτα φυλάσσειν ἐν ταῖς τετραδοπαρασκευαῖς τὸ κρέας καὶ τὸ τυρίον, καὶ λύειν οἱ μὲν κοσμικοὶ εἰς ἰχθύας, οἱ δὲ μοναχοὶ εἰς ἔλαιον μέχρι τῶν Ἁγίων Πάντων, ἐν δὲ τῇ τοῦ Ἁγίου Πνεύματος ἑβδομάδι οὕτω διάγειν, ὡς ἐν τῇ νέᾳ ἑβδομάδι. Ἀπὸ δὲ τῇ δευτέρᾳ, τῇ μετὰ τῶν Ἁγίων Πάντων ἀρχόμεθα τὴν τῶν ἁγίων ἀποστόλων νηστείαν, νηστεύοντες ἅπαντες τὰς τετραδοπαρασκευὰς καὶ ἔλαιον καὶ ἰχθύας, ἐν δὲ τοῖς σάββασι καὶ ταῖς κυριακαῖς ἰχθυοφαγοῦσιν οἱ μοναχοί. Τῇ δὲ τρίτῃ καὶ πέμπτῃ ἔλαιον καὶ οἶνον, ἀλλὰ καὶ ἡ δευτέρα ὡς ἡ δ' τιμάσθω παρὰ τοῖς μοναχοῖς, οἱ δὲ κοσμικοὶ ἰχθυοφαγοῦσιν ἐν τῇ δευτέρᾳ καὶ τῇ πέμπτῃ· οὕτως γὰρ διάγομεν καὶ ἐν τῇ τοῦ αὐγούστου νηστείᾳ καὶ ἐν τῇ τῶν Χριστοῦ γεννῶν, ἐν δὲ τῇ τῶν κορυφαίων ἀποστόλων μνήμῃ, εἰ τύχοι ἐν δ' ἢ ϛ', οὔτε ἔλαιον ἐσθίομεν, οὔτε ἰχθύας, ἀλλ' οὐδὲ ἐν τῇ μνήμῃ τῶν ιβ' ἀποστόλων, ἢ μεγάλου ἁγίου μνήμῃ, εἰ μὴ ἐν ταῖς δεσποτικαῖς ἑορταῖς λύομεν καὶ ἔλαιον καὶ οἶνον, ἐν αἷς ἡμέραις τύχωσιν. Εἰ δὲ τύχωσιν αἱ παραμοναὶ τῶν Χριστοῦ γεννῶν καὶ τῶν Φώτων ἐν δ' καὶ ϛ', μετὰ τὴν λειτουργίαν καὶ τὴν τοῦ ἑσπερινοῦ ἀπόλυσιν εἰς οἶνον μόνον καταλύομεν. Εἰ τύχωσιν αἱ παραμοναὶ ἐν σαββάτῳ ἢ κυριακῇ, μετὰ τὴν λειτουργίαν τοῦ Χρυσοστόμου, ἐσθίομεν κατακλαστὰ καὶ τὸ νάμα, καρτεροῦντες τὴν τῶν ἑσπερινῶν ἀπόλυσιν, ἐσθίομεν καὶ ἔλαιον· καταλύομεν δὲ κατὰ τὸ δωδεκαήμερον καὶ τὴν τῆς προαποκρέω ἑβδομάδα ἐν ἑκάστῃ ἡμέρᾳ ἰχθύας καὶ ἔλαιον. Ὁμοίως καὶ ἐν τῇ ἑβδομάδι τῆς τυρινῆς, ἐν ᾗ ἐσθίουσι καὶ μετὰ τὴν ἐννάτην τυρὸν διὰ τοὺς ἐξ αἱρέσεων, ἵνα μὴ καί τις ὑποψία ἀναφαίνηται καὶ πρόφασις. Ἐν δὲ τῇ μεγάλῃ μ' ξηροφαγοῦμεν πάσας τὰς ἡμέρας τῶν ὅλων ἑβδομάδων αὐτῆς· σαββάτῳ δὲ καὶ κυριακῇ ἐσθίομεν οἱ μὲν μοναχοὶ ἔλαιον, οἱ δὲ ἀνίεροι ἰχθύας· οἱ γὰρ μοναχοὶ καὶ ἱερωμένοι καὶ οἱ διάκονοι ἐν τῇ τοῦ Εὐαγγελισμοῦ ἡμέρᾳ μόνον, ἐν δὲ τῇ τοῦ μεγάλου σαββάτου, τῆς λειτουργίας τελεωθείσης, ἑστιασθέντες πίνομεν καὶ οἶνον καὶ πλεῖον οὐδέν.

[л. 181) Τὰ ἀντίφωνα τῶν δεσποτικῶν ἑορτῶν εἰς τὴν Ὕψωσιν τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ.

[л. 182) Εἰς τὴν γέννησιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

[л. 183) Εἰς τὰ ἅγια Θεοφάνεια τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

[л. 184) Τῇ κυριακῇ τῶν Βαΐων ἀντίφωνα.

По тексту и даже почти по составу настоящій Типиконъ до буквальности сходенъ съ Типикономъ XIII в. (Галисійскимъ) лавры пр. Аѳанасія Аѳонскаго № 99 Λ. Какъ особенность настоящаго Типикона, можно отмѣтить замѣчанія объ отличіяхъ въ богослуженіи по другимъ Типикамъ, написанныя большею частію параллельно съ текстомъ самаго Типикона. Что же касается этихъ замѣчаній, то, за весьма немногими исключеніями, всѣ они имѣются и въ Типиконѣ библ. Аѳанасіевской лавры.

Особенное замѣчаніе: Οὐχ ὡς ὁ βίος, ἀλλ' ὁ εἰς τὴν Ἀνακομιδὴν ἴδιος λόγος τοῦ Μεταφραστοῦ· ὁ γὰρ βίος μέγιστος ὢν ἀναγινώσκεται τῇ ιγ' Νοεμβρίου εἰς τὴν ἀγρυπνίαν. Καὶ σημείωσαι· Ἔστι δὲ καὶ ἕτερος λόγος Κοσμᾶ Βεστήτορος εἰς τὴν αὐτὴν ἀνακομιδὴν (Это рѣчь идетъ о службѣ 27 Генваря св. Іоанну Златоусту).

VIII. № 106. Τυπικὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας τῆς ἐν Ἱεροσολύμοις ἁγίας λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα. Αὕτη δὲ ἡ ἀκολουθία γίνεται καὶ ἐν ταῖς λοιπαῖς τῶν ἐν Ἱεροσολύμοις ἁγίων μονῶν. Ркп. изъ собранія Крестнаго монастыря, въ 32 долю листа, 206 листовъ, писана на пергаменѣ мелкимъ чоткимъ почеркомъ XIII в. Составъ обычный этого времени настоящихъ памятниковъ. Листы въ концѣ рукописи перепутаны.

IX. № 90. Τυπικόν (безъ начала), рукопись библ. Кутлумушскаго монастыря на Аѳонѣ, на пергаменѣ, 195 листовъ, въ 24 долю (15 сант. высота, 10 сант. ширина), писана чоткимъ почеркомъ XIII в. По тексту, Типиконъ этотъ имѣетъ сходство съ лаврскимъ пр. Аѳанасія Аѳонскаго XIII в. (Галисійскимъ), № 99 Λ, но безъ особенностей, составляющихъ отличіе лаврскаго Типикона. Вводной всей части (до Синаксаря) и заключительной нѣтъ.

X. № 488. Τυπικόν, рукопись Кутлумушской библ. на бомбицинѣ, въ 24 долю (13 сант. +9), 193 листа, писана мелкою

скорописью XIII в. Начала и конца рукописи нѣтъ. Составъ его тотъ же, что и въ обычныхъ Типиконахъ XIII в. Отличіе его отъ предыдущаго лишь то, что синаксарныя службы изложены нѣсколько подробнѣе [1]), чѣмъ въ другихъ Типиконахъ этого времени.

X. № 67. Τυπικόν, рукопись библ. Пантелеимоновскаго монастыря, въ 16 долю листа, 162 листа, писана на пергаменѣ мелкою скорописью XIII столѣтія. Рукопись не имѣетъ ни начала, ни конца, а открывается прямо концемъ службы на 14 сентября и именно окончаніемъ литургіи.

[л. 1—98). Службы по Синаксарю.

[л. 98—132). Службы по Тріоди постной.

[л. 132—162). Службы по Тріоди цвѣтной.

Настоящая рукопись оканчивается службою въ пятницу недѣли Ѳоминой. Едвали службы пятидесятницы не составляли и окончанія настоящей рукописи. Во всякомъ случаѣ, трудно предполагать въ этомъ Типиконѣ присутствіе Марковыхъ главъ, которыя для важнѣйшихъ службъ изложены въ самомъ Мѣсяцесловѣ. Службы въ Мѣсяцесловѣ описываются сравнительно съ другими Типиконами очень кратко и далеко не всѣ. Такъ, напр., въ мѣсяцѣ Апрѣлѣ находимъ только двѣ памяти: великомученика Георгія и апостола и евангелиста Марка, при чемъ о послѣдней памяти дѣлается такая короткая замѣтка: Τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Μάρκου. Ἡ ἀκολουθία πᾶσα κατὰ τὸν τύπον (л. 81). Подобныхъ замѣчаній относительно службъ разсѣяно по всей рукописи весьма много. Кромѣ этого, и въ самомъ изложеніи порядка службъ на дни особенно важныхъ святыхъ и въ двунадесятые праздники мы замѣчаемъ ту же краткость, которая не исчезаетъ даже и въ службахъ тріодныхъ. Для примѣра здѣсь мы сдѣлаемъ параллельныя сопоставленія однѣхъ и тѣхъ же службъ въ томъ и другомъ отдѣлахъ Типикона, при чемъ для большей выразительности тексты нами берутся изъ рукописей разныхъ вѣковъ и даже изъ первопечатнаго Типикона 1577 года.

[1]) Есть большое замѣчаніе о службѣ Златоусту съ Воздвиженіемъ и другое замѣчаніе о службѣ обновленія храма, какъ она попала на страницы Типикона.

Рукопись XIII в.	Ркп. Ивиро-Аѳон. м. XV в. № 76.	Типиконъ соборный Пантокр. мон. XV в.	Печатный Типиконъ 1577 г.
Τὰ καταθέσια τῆς τιμίας ἐσθῆτος τῆς ὑπεραγίας Θεοτόκου τῆς ἐν Βλαχέρναις.	Τὰ καταθέσια τῆς τιμίας ἐσθῆτος τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου ἐν Βλαχέρναις	Τὰ καταθέσια τῆς τιμίας ἐσθῆτος τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου τῆς ἐν ταῖς Βλαχέρναις.	Ἡ κατάθεσις τῆς τιμίας ἐσθῆτος τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου ἐν Βλαχέρναις.
Εἰς τὸ Κύριε ἐκέκραξα στιχηρὰ προσόμοια, ἦχος δ′ Πρὸς Ἔδωκας σημείωσιν, Δόξα καὶ νῦν, ἦχος β′ [1]· Ὡς στέφανον ὑπέρλαμπρον. Ζήτει αὐγούστῳ λα′. Τροπάριον· Θεοτόκε ἀειπάρθενε. Εἰς τὸν ὄρθρον ἡ συνήθης στιχολογία.	Εἰς τὸ Κύριε ἐκέκραξα στιχηρὰ προσόμοια ἦχος δ′ Πρὸς Ἔδωκας σημείωσιν, Δόξα καὶ νῦν, ἦχος β′ Φρένα καθάραντες. Εἰς τὸν στίχον στιχηρὰ τῆς Ὀκτωήχου, Δόξα καὶ νῦν ἦχος β′· Ὡς στέφανον ὑπέρλαμπρον. Ζήτει αὐγούστῳ λα′, τροπάριον δὲ ἦχος πλ. δ′· Θεοτόκε ἀειπάρθενε.	Εἰς τὸ Κύριε ἐκέκραξα στιχηρὰ προσόμοια ἦχος δ′· Πρὸς τὸ Ἔδωκας σημείωσιν [3]), εἰς ς′, Δόξα καὶ νῦν, ἦχος β′· Φρένα καθάραντες καὶ νοῦν. Εἰς τὸν στίχον [4]) Ὀκτωήχου, Δόξα καὶ νῦν, ἦχος β′· Ὡς στέφανον ὑπέρλαμπρον. Ζήτει [5]) τοῦτο αὐγούστῳ λα. Τροπάριον ἦχος πλ. δ′· Θεοτόκε ἀειπάρθενε.	Εἰς τὸ Κύριε ἐκέκραξα στιχηρὰ προσόμοια ἦχος δ′. Πρὸς Ἔδωκας σημείωσιν· Πόλιν τὴν τιμῶσάν σε, Δόξα καὶ νῦν, ἦχος β′· Φρένα καθάραντες καὶ νοῦν Εἰς τὸν στίχον στιχηρὰ τῆς Ὀκτωήχου, Δόξα καὶ νῦν, ἦχος β′· Ὡς στέφανον ὑπέρλαμπρον. Ζήτει αὐγούστῳ λα′. Τροπάριον ἦχος πλ. δ′· Θεοτόκε ἀειπάρθενε (весь тропарь).
	Εἰς τὸν ὄρθρον ἡ [2]) συνήθης στιχολογία καὶ ἀνάγνωσις περὶ τῆς	Εἰς τὸν ὄρθρον ἡ συνήθης στιχολογία καὶ ἀνάγνωσις περὶ	Εἰς τὸν ὄρθρον ἡ συνήθης στιχολογία καὶ ἀνάγνωσις περὶ

[1]) Ркп. XIII—XIV в. Пантокр. библ. № 50: Φρένα καθάραντες, ἦχος πλ. δ′· Θεοτόκε ἀειπάρθενε. Εἰς τὸν ὄρθρον ἡ συνήθης στιχολογία καὶ ἀνάγνωσις περὶ τῆς ἐσθῆτος. Ὁ κανὼν τῆς ἑορτῆς εἰς ς′ καὶ ἡ λοιπὴ ἀκολουθία, ὡς κατ' ἔθος. Εἰς τὴν λειτουργίαν οἱ μακαρισμοὶ τοῦ ἤχου εἰς ς′ καὶ τῆς ἑορτῆς, ἡ τρίτη ᾠδὴ εἰς δ′. Προκείμενον, какъ ркп. XVI в. Конецъ: Ἐν ταύτῃ τῇ ἡμέρᾳ ἀργία τῶν μοναχῶν καὶ λύσις ἐλαίου καὶ οἴνου. [2]) На полѣ, въ качествѣ интерполяцiй ркп. XIII в. лавры пр. Аѳан. Аѳон. № 99 Λ (Галис.): ὁ κανὼν τῆς ἑορτῆς εἰς ς′. [3]) Тип. ркп. 1346 г. ποιοῦμεν αὐτὰ [4]) στιχηρὰ τῆς [5]) τροπάριον. Замѣчанія, гдѣ искать его, нѣтъ.

καταθέσεως τῆς ἐσθῆτος καὶ ἡ λοιπὴ ἀκολουθία, ὡς καθ' ἑκάστην. Εἰς[1]) τὴν λειτουργίαν προκείμενον· ᾠδὴ τῆς Θεοτόκου· Μεγαλύνει ἡ ψυχή μου, Ὅτι ἐπέβλεψεν, ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, εἶχεν ἡ πρώτη σκηνή, Ἀλληλουάριον ἦχος πλ. δ', Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσιν, εὐαγγέλιον κατὰ Λουκᾶν· Ἀναστᾶσα Μαριάμ. Κοινωνικόν· Ποτήριον σωτηρίου.

τῆς τιμίας ἐσθῆτος[2]). Οἱ δύο κανόνες τῆς Ὀκτωήχου καὶ τῆς ὑπεραγίας Θεοτόκου εἰς ς'. Ἀφ' ἕκτης κοντάκιον ἦχος δ' Πρὸς τὸ Ὁ ὑψωθεὶς ἐν τῷ. Περιβολὴν πᾶσι πιστοῖς ἀφθαρσίας ἐχαρίσω. Ἐξαποστειλάριον. Εἰς τὸν στίχον τῆς Ὀκτωήχου, Δόξα καὶ νῦν, ἦχος β'· Φρένα καθάραντες. Εἰς τὴν λειτουργίαν См. ркп. XVI в.

τῆς ἐσθῆτος. Ὁ κανὼν τῆς Θεοτόκου εἰς ς', καὶ ἡ λοιπὴ ἀκολουθία, ὡς καθ' ἑκάστην, κοντάκιον ἦχος δ', Πρός· Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ. Περιβολὴν πᾶσι πιστοῖς ἐδωρήσω (весь). Εἰς τὴν λειτουργίαν τυπικά, καὶ ἐκ τοῦ κανόνος ᾠδὴ γ'. Προκείμενον τῆς Θεοτόκου· Μεγαλύνει ἡ ψυχή μου, στίχος· Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν, ὁ ἀπόστολος πρὸς Ἑβραίους ἐπιστολῆς· Ἀδελφοί, εἶχεν ἡ πρώτη σκηνή. Ἀλληλούια, Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου. Εὐαγγέλιον κατὰ Λουκᾶν· Ἐν ταῖς ἡμέραις ἐκείναις ἀναστᾶσα. Κοινωνικόν· Ποτήριον σωτηρίου λήψομαι.

[1]) Ркп. 1346 г. Οἱ μακαρισμοὶ τοῦ ἤχου εἰς ς' καὶ τῆς ἑορτῆς ἡ γ' ᾠδὴ εἰς δ'. [2]) Тамъ же. Ркп. 1346 г. Κανόνες τῆς Ὀκτωήχου β' καὶ τοῦ Μηναίου εἰς ς', κοντάκιον ἦχος δ' Περιβολὴν πᾶσι πιστοῖς ἐδωρήσω . . . ἡ δὲ λοιπὴ ἀκολουθία, ὡς καθ' ἑκάστην. Εἰς τὴν λειτουργίαν μακαρισμοὶ τοῦ ἤχου καὶ ἐκ τοῦ κανόνος τῆς Θεοτόκου ᾠδὴ γ', προκείμενον и далѣе, какъ въ Тип. 1577 г.

XIII в. Изъ службы по Тріоди.

Μετὰ τὴν ὀπισθάμβωνον εὐχὴν ἐξερχόμεθα ἐν τῷ νάρθηκι καὶ ψάλλομεν τοῦ ἁγίου μεγάλου μάρτυρος Θεοδώρου κανόνα εὐχαριστήριον τὸν εἰς τὰ κόλυβα. Εἶτα διδομένου τοῦ κατακλαστοῦ, εἰσερχόμεθα εἰς τὴν τράπεζαν, μεταλαμβάνοντες οἴνου [1]) διὰ τὸν ἅγιον· τοῦτο γὰρ παρελάβομεν ἀπὸ τῆς λαύρας τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα καὶ τοῦ κοινοβίου τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐθυμίου μεγάλου.

Пант. Окр. ркп. № 50 [л. 197). XIII—XIV в.

Μετὰ τὸ εἰπεῖν τὸν ψαλμόν· Εὐλογήσω τὸν Κύριον. Ὁ ἱερεύς· Εὐλογία Κυρίου ἐφ' ἡμᾶς. Εἶτα τὸν Εὐλογητόν, καὶ ἡμεῖς τὸ Κύριε, εἰσάκουσον, τὸ Θεὸς Κύριος, τροπάριον τοῦ ἁγίου, ὁ ν' καὶ κανὼν τοῦ ἁγίου εἰς δ' καὶ τὰ λοιπά.

1346 г. Ркп. [л. 231).

Μετὰ δὲ τὴν ὀπισθάμβωνον εὐχὴν ψάλλομεν τὸ Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, τὸ Θεὸς Κύριος εἰς ἦχον β' μετὰ τῶν στίχων αὐτοῦ, τροπάριον· Μεγάλα τὰ τῆς πίστεως δίς, Δόξα καὶ νῦν θεοτοκίον εἰς τὸν αὐτὸν ἦχον, ὁ ν' καὶ εὐθέως ψάλλομεν κανόνα εὐχαριστήριον τοῦ ἁγίου Θεοδώρου εἰς δ', δίχα τῶν εἱρμῶν ἦχος πλ. δ'. Πρὸς Ὑγρὰν διοδεύσας· Τὸν θεῖον ἀγῶνα, μάρτυς Χριστοῦ· ποίημα τοῦ κυρίου Θεοφάνους[1]). Προτίθεται δὲ ἔμπροσθεν τῆς εἰκόνος τοῦ ἁγίου καὶ κόλυβα μετὰ διαφόρων ὀπωρῶν. Μετὰ τὴν ς' ᾠδὴν τοῦ κανόνος, κοντάκιον τοῦ ἁγίου ἦχος πλ. δ'. Πίστιν Χριστοῦ ὡσεὶ θώρακα, εἶτα αἱ λοιπαὶ γ' ᾠδαί, λέγο-

Ркп. XV в. Пантокр. мон. соборн. Λ.

Μετὰ δὲ τὴν ὀπισθάμβωνον εὐχὴν τὸ Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, εἶτα Θεὸς Κύριος, ηχος β', τροπάριον· Μεγάλα τὰ τῆς πίστεως, δὶς τὸ αὐτό, Δόξα καὶ νῦν, Πάντα ὑπὲρ ἔννοιαν. Τὰ αὐτὰ καὶ εἰς τὸ Θεὸς Κύριος καὶ εἰς τὸ τέλος τοῦ ὄρθρου. Εἶτα τὸν ν', καὶ ψάλλομεν τὸν κανόνα τοῦ ἁγίου μεγάλου μάρτυρος Θεοδώρου, προτιθέντες καὶ κόλυβα. Καὶ μετὰ τὴν κανόνος ἐκπλήρωσιν ποιοῦμεν Τρισάγιον καὶ ψάλλομεν τὸ ἀπολυτίκιον τοῦ ἁγίου καὶ τὸ κοντάκιον, Δόξα καὶ νῦν. Ὁ ἱερεὺς τὴν εὐχὴν τῶν κολύβων, καὶ εὐθύς· Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον, καὶ τὸν λγ' ψαλμόν. Τούτου δὲ ψαλλομένου, δίδοται ἡμῖν τὸ κατακλαστὸν

—

[1]) 1446 г. Ἰωάννου μοναχοῦ.

μεν δὲ μόνον τῆς η′ καὶ θ′ ᾠδῆς τοὺς εἱρμούς, ὥς ἐστι συνήθως ἐν ταῖς παννυχίσι. Καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ κανόνος, Εἴη τὸ ὄνομα Κυρίου, Εὐλόγησον, καὶ μετάνοιαι γ′, τὸν ψαλμὸν Εὐλογήσω τὸν Κύριον καὶ δίδεται τὸ κατακλαστόν. Εἶτα ὁ ἱερεὺς τὴν εὐχὴν τῶν κολύβων, γίνεται ἀπόλυσις καὶ ἀπερχόμεθα εἰς τὴν τράπεζαν, ἐσθίοντες ἔλαιον[1]), πίνοντες καὶ οἶνον διὰ τὸν ἅγιον. Οὕτω γὰρ παρελάβομεν ἀπὸ τῆς λαύρας τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα καὶ τοῦ κοινοβίου τοῦ μεγάλου Εὐθυμίου.

παρὰ τοῦ ἱερέως, διαλύομεν δὲ οἱ μεταλαμβάνοντες ὕδατι, ὡς καὶ ἐν τῇ δ′. Εἶθ’ οὕτως ἀπερχόμεθα ἐν τῇ τραπέζῃ, ἐσθίομεν ξηροφαγίας, πίνοντες ζωμὸν μετὰ μέλιτος, ὡς προγέγραπται ἐν τῇ δ′.

Ркп. 1438 г. [л. 175).

Μετὰ δὲ τὴν ὀπισθάμβωνον εὐχὴν ἐξερχόμεθα ἐν τῷ νάρθηκι καὶ ψάλλομεν τὸν εὐχαριστήριον κανόνα τοῦ ἁγίου Θεοδώρου, προτιθέντες καὶ κόλυβα, καὶ μετὰ τὴν τοῦ κανόνος ἐκπλήρωσιν, λέγομεν Τρισάγιον. καὶ ψάλλομεν τὸ ἀπολυτίκιον τοῦ ἁγίου καὶ τὸ κοντάκιον, Δόξα και νῦν θ′. Ὁ ἱερεὺς τὴν εὐχὴν τῶν κολύβων καὶ εὐθύς· Εἴη τὸ ὄνομα, καὶ τὸν λγ′ ψαλμόν. Τούτου δὲ λεγομένου ἡμῖν, δίδοται τὸ κατακλαστὸν παρὰ τοῦ ἱερέως ἔσωθεν τῆς ἐκκλησίας. Εἶθ᾽ οὕτως ἀπερχόμεθα ἐν τῇ τραπέζῃ, μεταλαμβάνοντες οἴνου καὶ ἐλαίου, διὰ τὸν ἅγιον Θεόδωρον· τοῦτο γὰρ παρελάβομεν ἀπὸ τὴν λαύραν τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα, καὶ τοῦ κοινοβίου τοῦ

Ркп. Ивер. библ. № 76 XV в. [л. 105). Сн. ркп. Пантел. м. XIII в. № 67.

Μετὰ δὲ τὴν ὀπισθάμβωνον εὐχὴν ἐξερχόμεθα ἐν τῷ νάρθηκι καὶ ψάλλομεν τοῦ и т. д до конца, какъ [1]) въ рукописи XIII в.

Τυπικόν. Ркп. 1528 г.

Μετὰ δὲ τὴν ὀπισθάμβωνον εὐχὴν ἐξερχόμεθα ἐν τῷ νάρθηκι καὶ ψάλλομεν τὸν εὐχαριστήριον κανόνα τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου, προ(τι)θέντες καὶ κόλυβα. Καὶ μετὰ τὴν τοῦ κανόνος συμπλήρωσιν, ποιοῦμεν Τρισάγιον καὶ ψάλλομεν τὸ ἀπολυτίκιον τοῦ ἁγίου, τὸ κοντάκιον, Δόξα καὶ νῦν, θεοτοκίον, ὁ ἱερεὺς τὴν εὐχὴν τῶν κολύβων, καὶ εὐθὺς Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον καὶ τὸ Εὐλογήσω τὸν Κύριον. Τοῦτο δὲ ψαλλομένου, δίδοται ἡμῖν τὸ κατακλαστὸν παρὰ τοῦ ἱερέως ἔσωθεν τῆς ἐκκλησίας. Εἶθ᾽ οὕτως ἀπερχόμεθα ἐν τῇ τραπέζῃ, μεταλαμβάνοντες οἴνου καὶ ἐλαίου διὰ τὸν ἅγιον Θεόδωρον· τοῦτο γὰρ παρελάβομεν ἀπὸ τῆς λαύρας τοῦ ὁσίου πα-

Типик. печатн. 1577 г.

Μετὰ δὲ τὴν ὀπισθάμβωνον εὐχήν, ψάλλομεν τὸν ἱκετήριον κανόνα τοῦ ἁγίου Θεοδώρου, προτιθέντες δὲ καὶ κόλυβα. Λέγομεν τὸ Κύριε, ἐσάκουσον, εἶτα τὸ Θεὸς Κύριος, καὶ εὐθὺς τὸ τροπάριον ἦχος β′· Μεγάλα τὰ τῆς πίστεως κατορθώματα, Δόξα τὸ αὐτό, Καὶ νῦν, θεοτοκίον· Πάντα ὑπὲρ ἔννοιαν, καὶ εὐθὺς ὁ ν′, εἶτα ὁ κανὼν ἦχος πλ. δ′, Πρὸς Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν· Θεοῦ σε, Θεόδωρε, ἐραστήν. Ἀφ᾽ ἕκτης, κοντάκιον ἦχος πλ. δ′· Πίστιν Χριστοῦ. Δόξα, τὸ κοντάκιον· Πίστιν ὡσεὶ θώρακα, Καὶ νῦν, θεοτοκίον ἦχος ὁ αὐτός· Ὡς προστασίαν ἅπαντες, καὶ γίνεται ἡ εὐλόγησις τῶν κολύβων. Εἶτα Εἴη τὸ ὄνομα Κυρίου, καὶ τὸ Εὐλογήσω τὸν Κύριον,

[1]) На поляхъ рукописи замѣчено: Τοῦτο νῦν οὐ γίνεται, ἡ τοῦ ἐλαίου δηλαδὴ κατάλυσις, τοῦ οἴνου δὲ . . .

μεγάλου Εὐθυμίου. Ἄρτι δὲ τοῦτο οὐ γίνεται, διὰ τὸ τῆς ἡμέρας αἰδέσιμον, τοῦ ἐλαίου κατάλυσις, ἀλλὰ τοῦ οἴνου καὶ μόνον διὰ τὴν τιμὴν τοῦ ἁγίου.

τρὸς ἡμῶν Σάββα καὶ τοῦ κοινοβίου τοῦ ὁσίου καὶ μεγάλου Εὐθυμίου, ἀλλ' οὐ γίνεται νῦν διὰ τὸ τῆς ἡμέρας αἰδέσιμον, ἐπεὶ καὶ οἶνος ἀρκετὸς εἰς διάκρισιν διὰ τὴν εἰς τὸν ἅγιον τιμήν.

καὶ δίδοται τὸ κατακλαστὸν παρὰ τοῦ ἱερέως καὶ ἀπόλυσις, καὶ εἰσερχόμεθα εἰς τὴν τράπεζαν, μεταλαμβάνοντες οἴνου καὶ ἐλαίου διὰ τὸν ἅγιον. Τοῦτο γὰρ παρελάβομεν ἀπὸ τὴν λαύραν τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα, καὶ τοῦ κοινοβίου τοῦ ὁσίου καὶ μεγάλου Εὐθυμίου, ἀλλ' οὐ ποιοῦμεν αὐτὸ νῦν διὰ τὸ τῆς ἡμέρας αἰδέσιμον.

XII. № 99 Λ. Τυπικόν, рукопись библ. лавры преп. Аѳанасія Аѳонскаго на пергаменѣ, въ 16 долю листа (15 сант. длина и 10 ширина, а текстъ 10 шир. и 7 длина), 198 листовъ, писана мелкою четкою скорописью XIII вѣка. Мѣсто написанія Типикона можно видѣть изъ слѣдующаго замѣчанія въ этомъ же Типиконѣ подъ 7 Ноября. Здѣсь говорится: Τῶν ἁγίων λγ' μαρτύρων τῶν ἐν Παλαιστίνῃ. Τὸ μαρτύριον αὐτῶν δόσεις β', Ἀλληλούια. (Σημείωσαι)· Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Λαζάρου τοῦ νέου, τοῦ ἐν τῷ Γαλησίῳ ὄρει ἀσκήσαντος καὶ τὴν ἐν τούτῳ σὺν ταῖς λοιπαῖς συστησαμένου μεγίστην μονὴν τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Ἀναστάσεως, ἐν ᾗ καὶ σὺν Θεῷ τὸ παρὸν γέγραπται Τυπικόν. Ἐπιτελεῖται ἀγρυπνία Χριστοῦ τῇ χάριτι καὶ ψάλλεται ἡ ἀκολουθία τοῦ ἁγίου πᾶσα, ὡς καὶ ἐν ταῖς μνήμαις τῶν λοιπῶν μεγάλων ὁσίων (л. 55). Въ концѣ рукописи имѣются приписки: α) Καὶ τόδε τῆς μεγίστης λαύρας τοῦ ἁγίου Ἀθανασίου, οὗτινος τὴν κατάραν ἐχέτω ὁ τοῦτο ἀποξενώσας, ἔτι δὲ καὶ ὁ ξύσας τὰ γράμματα, ἅπερ ἦσαν ἐνταῦθα и β) Τὸ παρὸν Τυπικὸν ὑπάρχει τοῦ ἁμαρτωλοῦ κὺρ Γεωργίου καὶ πρωτοψάλτου Χιοῦ, καὶ ὅποιος βουληθῇ ἀποξενῶσαι αὐτό, ἐχέτω τὰς ἀρὰς τῶν τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων καὶ πάντων τῶν ἁγίων.

[л. 1) взятъ случайно изъ другой рукописи.

[л. 2). Τυπικὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας τῆς ἐν Ἱεροσολύμοις ἁγίας λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα. Αὕτη δὲ ἡ ἀκολουθία γίνεται καὶ ἐν ταῖς λοιπαῖς τῶν ἐν Ἱεροσολύμοις ἁγίων μονῶν. Διάταξις τῆς ἀγρυπνίας.

Ἀρχὴ τοῦ μικροῦ ἑσπερινοῦ.

[л. 1 об.). Ἀρχὴ τῆς ἀκολουθίας τοῦ μεγάλου ἑσπερινοῦ.

[л. 9 об.). Αἱ ἀγρυπνίαι τοῦ ὅλου ἐνιαυτοῦ.

[л. 10). Ἔκφρασις ἐν ἐπιτομῇ τῆς ἐκκλησιαστικῆς διατάξεως τῶν ἐν Ἱεροσολύμοις ἁγίων μοναστηρίων.

Δεῖ γινώσκειν, ὅπως ὀφείλει στιχολογεῖσθαι τὸ Ψαλτήριον τὸν ὅλον ἐνιαυτόν.

Правило относительно того же на великій постъ.

Δεῖ γινώσκειν καὶ πῶς χρὴ σημαίνειν καθ' ἑκάστην ἡμέραν. Здѣсь изложенъ порядокъ вседневной вечерни, когда поется Аллилуія.

[л. 11 об.). Ἀρχὴ τοῦ μεσονυκτικοῦ.

[л. 12). Ἀρχὴ τοῦ ὄρθρου.

л. 14). Ἰστέον δέ, ὅτι ὁ ταχθεὶς μοναχὸς ψάλλει τὸ προκείμενον, ὁ αὐτὸς λέγει καὶ τὴν προφητείαν, ὁμοίως καὶ τὸν Πραξαπόστολον ἐν τῇ ἀγρυπνίᾳ, καὶ τὸ Πᾶσα πνοὴ εἰς τὸ εὐαγγέλιον καὶ τὸ κοντάκιον, ὡς προείρηται, καὶ εἰς τὴν λειτουργίαν τὸν ἀπόστολον σὺν τῷ ἀλληλουαρίῳ, εἰ τύχοι ἐπιστάμενος αὐτό, εἰ δ' οὔ, τάσσει ὁ ἐκκλησιάρχης ἕτερον ἀδελφὸν εἰδότα ψάλλειν, κἀκεῖνος ψάλλει τὸ ἀλληλουάριον. Καὶ μετὰ τὸ πληρῶσαι βάλλουσι μετάνοιαν οἱ δύο ὁμοῦ, ὅ τε λέγων τὸν ἀπόστολον καὶ ὁ ψάλτης· ἀναγινώσκει δὲ καὶ εἰς τὴν τράπεζαν ὁ ψάλλων τὸ προκείμενον, τὸ Θεὸς Κύριος, καὶ τὰ λοιπά.

[л. 14 об.). Χρὴ γινώσκειν, ὅτι μετὰ τὴν θ' ᾠδὴν ὁ ἱερεὺς λέγει τὸ Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν, καὶ τὴν ἔναρξιν τοῦ Δόξα ἐν ὑψίστοις Θεῷ ἐν ταῖς μεγάλαις δοξολογίαις.

— Δεῖ εἰδέναι, ὅτι εἰς τὸν ὄρθρον τὸ Θεὸς Κύριος ἱστάμενοι ψάλλομεν, ὡσαύτως καὶ τὸ Ἀλληλούια, καὶ ἐν τῇ λειτουργίᾳ εἰς τὸν ἀπόστολον· ἀποσκεπαζόμεθα δὲ εἰς τὸ ἅγιον εὐαγγέλιον, εἰς τὸν χερουβικὸν ὕμνον, εἰς τὸ Πάτερ ἡμῶν, ὃ καὶ ποιοῦμεν στάσεις ζ', καὶ εἰς τὸ Πληρωθήτω.

— Замѣчаніе о количествѣ стихиръ на обычной вечерни.

— О кажденіи священникомъ. См. ниже Церк. Пантокр. Типиконъ.

— О вечерни въ дни пятидесятницы.

(л. 15). Χρὴ [1]) γινώσκειν, ὅτι ἐν ταῖς [2]) παρασκευαῖς, ὅτε τύχῃ Θεὸς Κύριος, ψάλλομεν τὸν πολυέλαιον μετὰ τοῦ ἀλληλουαρίου αὐτοῦ ἀπαραλλάκτως εἰς τὸν ἦχον τῆς ἡμέρας, εἰ δὲ τύχοι Ἀλληλούια, ψάλλεται χύμα.

Замѣчаніе о пѣніи псалмовъ 49, 149 и 150.

Ὀφειλόμενόν ἐστι καὶ τοῦτο γινώσκειν τοὺς ἀδελφοὺς τοῦ μὴ ποιεῖν συντυχίας τοὺς ἱσταμένους εἰς τοὺς χοροὺς τῆς ἐκκλησίας, ἀλλὰ μηδὲ ἐξέρχεσθαί τινα ἢ εἰσέρχεσθαι ἄχρις ἂν προτεθῇ ἀνάγνωσις· οὐ μὴν ἀλλ' οὐδὲ εἰσέρχεσθαι, ψάλλοντος τοῦ χοροῦ, ἐν ᾧ [3]) ἵσταται δηλονότι, ἀλλὰ τοῦ ἑτέρου ἀρχομένου χοροῦ ψάλλειν εἰσέρχεσθαι εἰς τὸ στασείδιον αὐτοῦ, ποιῶν μετάνοιαν τοῖς ἀδελφοῖς [4])

---

[1]) Ркп. Ват. библ. XV в. 1346. Δεῖ [2]) πάσαις [3]) ἐν ᾧ ἐστι τὸ στασείδιον αὐτοῦ [4]) τοῦ αὐτοῦ.

Δεῖ δὲ καὶ τὸν ἐκκλησιάρχην περὶ τούτου πάντοτε φροντίζειν [1]) καὶ παραγγέλλειν τοῖς ἐν τῷ νάρθηκι ἱσταμένοις ἀδελφοῖς, ἵνα μὴ ἐῶσι τοὺς εἰσερχομένους εὐχῆς χάριν μοναχούς, εἴτε κοσμικούς, εἰσέρχεσθαι ἐν τῷ ναῷ ψαλλούσης [2]) τῆς ἐκκλησίας, ὅπερ ἐστὶ σημεῖον ἀταξίας, ἀλλ' ὀφείλουσι προσκαρτερεῖν ἐν τῷ νάρθηκι ἄχρι τῆς ἀπολύσεως.

[л. 16). Χρὴ εἰδέναι, ὅτι ὁ χορὸς ὁ ἐναρξάμενος εἰς τὸ λυχνικὸν τῆς στιχολογίας, ὁ τοιοῦτος ἀπάρχεται πάλιν αὐτῆς καὶ εἰς τὸν ὄρθρον, ὁ αὐτὸς ποιεῖ καὶ τὴν ἔναρξιν τῶν ᾠδῶν, ἐξ αὐτοῦ ἐστι καὶ ὁ ψάλλων τὸ προκείμενον, τὸ Θεὸς Κύριος, ὁμοίως καὶ τὸ ἐξαποστειλάριον, καὶ ἐν τῇ λειτουργίᾳ τὰ τυπικά, ἔν τε τοῖς ἀποδείπνοις τὸ Μεθ' ἡμῶν ὁ Θεός, καὶ τὸ Παναγία Δέσποινα Θεοτόκε, καὶ τὸ Κύριε τῶν δυνάμεων, πρὸς δὲ καὶ οἱ ὀφείλοντες ποιεῖν τὰς ἀναγνώσεις τοῦ ὄρθρου. Ἀλλὰ καὶ ἐν τῇ ἁγίᾳ καὶ μεγάλῃ μ' αἱ ὧραι οὐ στιχολογοῦνται. Ὁ ἐναρξάμενος χορὸς εἰς τὸν ὄρθρον τὸ Αἰνεῖτε τὸν Κύριον, ὁ αὐτὸς ἀπάρχεται καὶ τῆς στιχολογίας τῆς πρώτης ὥρας τὸ ἀλληλουάριον τοῦ πλ. β' ἤχου. Εἰς δὲ τὴν γ' ὥραν ἄρχεται ὁ ἕτερος χορὸς τὰ ἀλληλουάρια τοῦ β' καθίσματος εἰς ἦχον πλ. β'. Εἰς δὲ τὴν ἕκτην ὥραν ὁ ἕτερος χορὸς ἀλληλουάριον τοῦ βαρέος [3]) ἤχου. Ὁ δὲ τὴν ἀκολουθίαν ἐναρξάμενος ποιεῖν μοναχὸς ψάλλει τὸ προκείμενον τῆς προφητείας, ἀναγινώσκει τὴν προφητείαν, ποιεῖ δὲ καὶ τὴν ἀνάγνωσιν εἰς τὴν Κλίμακα, εἰς δὲ τὴν θ' ὥραν ἀπάρχεται ὁ ἕτερος χορὸς τὸ α' ἀλληλουάριον τοῦ πλ. α' ἤχου. Ὁ αὐτὸς χορὸς ποιεῖ καὶ τὴν κάταρξιν τῶν μακαρισμῶν, ἀπὸ δὲ τοῦ λυχνικοῦ πάλιν γίνεται ἀλλαγή [4]).

[л. 16 об.). Δεῖ εἰδέναι, ὅτι ἐν τῇ ἁγίᾳ μ' τῶν Χριστουγέννων καὶ τῶν ἁγίων ἀποστόλων, ὅτε τύχῃ Ἀλληλούια ποιοῦμεν τὰς συνήθεις μετανοίας κατὰ τὸν τύπον τῆς ἁγίας καὶ μεγάλης μ', ἐκτελοῦντες καὶ ἐννάτας κατὰ τὴν αὐτὴν ἡμέραν τοῦ Ἀλληλούια.

— Замѣчаніе о послѣдованіи часовъ и почасій и самое изложеніе порядка ихъ. Здѣсь въ почасіи третьяго часа находимъ слѣдующее любопытное замѣчаніе о тропаряхъ: Ἐν ἄλλοις οὕτως εὑρήσεις· Σῶσον, Κύριε, τὸν λαόν σου, καὶ Δόξα τοῦ κατὰ τὴν μονὴν ἁγίου, Καὶ νῦν, Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν ἁγίων (обычно же читались такіе тропари: Ὁ Θεὸς τῶν πατέρων ἡμῶν, Δόξα, Οἱ μάρτυρές σου, Κύριε, Καὶ νῦν, θεοτοκίον· Τεῖχος ἀκαταμάχητον), ὅπερ

[1]) περὶ τούτου [2]) ψαλλόντων ἀδελφῶν, ὅπερ [3]) β' ἤχου [4]) ἐναλλαγή.

*

εὑρήσεις ἀληθέστερον σχεδὸν ἐν πᾶσι κρατοῦν. Ἐν οἷς δὲ οὐκ ἔστιν ἴδιος ἅγιος, ἀλλὰ Χριστὸς τύχῃ ἢ Θεοτόκος ἢ Ἁγία Τριάς, λέγει· Σῶσον, Κύριε, τὸν λαόν σου, Δόξα, Τὰς ἀλγηδόνας τῶν ἁγίων, Καὶ νῦν, Τῇ πρεσβείᾳ, Κύριε [л. 17).

[л. 18). Замѣчаніе о послѣдованіи вседневномъ, когда поется «Богъ Господь» (См. эту статью въ соборномъ Пантокр. Типиконѣ), и о почасіи перваго часа, который поется всегда въ келліяхъ.

[л. 18 об.). Замѣчаніе объ екклисіархѣ, епистимонархѣ и будителѣ. См. статью въ Пантокр. соборн. Типиконѣ.

[л. 19). Замѣчаніе о пѣніи канона на цѣлую недѣлю.

— Ἡ ἀκολουθία τῶν σαββάτων τοῦ ὅλου ἐνιαυτοῦ, ἐν οἷς ὑπάρχει μνήμη ἁγίου μεγάλου, γίνεται οὕτως.

[л. 20 об.). Послѣдованіе субботней службы вечеромъ и утромъ, если поется «Аллилуія». См. въ Пантокр. Тип. въ примѣч. изложеніе вечерней службы.

[л. 21 об.). Χρὴ γινώσκειν, πῶς ἀναγινώσκονται τὰ εὐαγγέλια καὶ αἱ τούτων ἑρμηνεῖαι. См. ниже въ параллели съ Пантокр. Уставомъ.

[л. 22). Замѣчаніе о литургіяхъ въ великій постъ.

— О чтеніи утреннихъ евангелій.

[л. 22 об.). Χρὴ εἰδέναι, ὅτι παρελάβομεν παρὰ τῶν ἁγίων πατέρων ἀναγινώσκειν εἰς τὴν τράπεζαν, ὅτε ἐσθίουσιν οἱ ἀδελφοί, καὶ οὐκ ἔχει τις ἄδειαν βῆξαι ἢ πτῦσαι, ἢ συντυχεῖν ἄνευ μεγάλης ἀνάγκης. Μετὰ δὲ τὸ ἀναστῆναι τῆς τραπέζης μὴ πίνειν ὕδωρ μέχρι τῆς ἀπολύσεως τοῦ ἑσπερινοῦ.

— Замѣчаніе о пѣніи Богородичнаго канона вечеромъ, о раздачѣ воды кандилаптомъ и др.

[л. 23). Συναξάριον σὺν Θεῷ τῶν δώδεκα μηνῶν, ἀρχόμενον ἀπὸ Σεπτεμβρίου μηνὸς μέχρις Αὐγούστου συμπληρώσεως.

Марковыхъ главъ нѣтъ, а вмѣсто нихъ подъ 2 числомъ Февраля, 25 Марта и др. находятся замѣчанія (σημείωσαι), изъ которыхъ нѣкоторыя мы и приведемъ здѣсь: Εἰ δὲ φθάσοι ἐν τῇ μ′ (праздникъ Срѣтенія) ἐπιτελοῦμεν τὴν ἀκολουθίαν οὕτως· ἑσπέρας ἐν τῇ παραμονῇ λέγομεν πρῶτον τὰ στιχηρὰ τοῦ Τριῳδίου ἔπειτα τῆς ἑορτῆς, ὁμοίως καὶ τὰ ἀναγνώσματα καὶ καθεξῆς ἡ λει-

τουργία τῶν προηγιασμένων, καὶ μετὰ τὴν ἀπόλυσιν εἰσερχόμεθα εἰς τὴν τράπεζαν. Ὥρα δὲ πρώτῃ τῆς νυκτὸς κρούει τὰς βαρέας, τὸ σιδηροῦν καὶ τὸ μέγα, καὶ συναγόμεθα ἐν τῇ ἐκκλησίᾳ καὶ ψάλλομεν τὰ ἀπόδειπνα. Μετὰ δὲ τὴν τούτων ἐκπλήρωσιν, ποιοῦμεν τὴν λιτήν, ψάλλοντες στιχηρὰ ἰδιόμελα τῆς ἑορτῆς, καὶ γίνονται αἱ συνήθεις εὐχαὶ καὶ ἡ ἀπόλυσις, καὶ δίδοται τὸ κατακλαστόν, γινομένης ἀναγνώσεως μεγάλης, καὶ καθεξῆς ἡ ἀκολουθία τῆς ἀγρυπνίας. Ἡ δὲ γ' ὥρα καὶ ἕκτη γίνονται οὕτως· Σημαίνει ὥρας γ' καὶ ψάλλομεν τὰς ὥρας ἄνευ μετανοιῶν, στιχολογοῦντες καὶ καθίσματα αὐτῶν, καὶ μετὰ τὴν τούτων ἀπόλυσιν σημαίνει καὶ τὴν θ' ὥραν, καὶ ψάλλομεν αὐτὴν μετὰ καὶ τῆς στιχολογίας αὐτῆς. Εἶθ' οὕτως λέγομεν τοὺς μακαρισμοὺς χύμα, καὶ καθεξῆς τὸν ἑσπερινόν. Προηγοῦνται δὲ εἰς τὸ Κύριε ἐκέκραξα τὰ στιχηρὰ τῆς ἑορτῆς, ἔπειτα τοῦ Τριῳδίου, εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, τὸ Φῶς ἱλαρόν, τὰ ἀναγνώσματα πρῶτον τῆς ἑορτῆς ἔπειτα τῆς ἡμέρας καὶ τὸ Κατευθυνθήτω, μετὰ δὲ τοῦτο συναπτὴ τοῦ Τρισαγίου, προκείμενον, ἀπόστολος, ἀλληλουάριον, εὐαγγέλιον καὶ καθεξῆς ἡ θεία λειτουργία τοῦ Χρυσοστόμου.

Δεῖ εἰδέναι, ὅτι ἐὰν τύχῃ ἐν μ' ἑορτάζομεν τὴν ἑορτὴν ἡμέραν α' εἰ δ' οὒ, ἡμέρας η', εἰ δὲ τῇ ἑβδομάδι τῆς τυρινῆς ἡμέρας δ' (л. 96).

Порядокъ литургiи на этотъ праздникъ [1]).

[л. 101). Подъ 9 Марта, послѣ изложенiя службы 40 мучениковъ, замѣчаетъ Типиконъ: Αὕτη ἡ ἀκολουθία γίνεται εἰ τύχοι νηστεία, εἰ δὲ τύχοι ἐν σαββάτῳ καὶ κυριακῇ γίνεται ἡ ἀκολουθία τῶν ἁγίων καὶ τῆς ἡμέρας. Εἰ δὲ τύχοι τῇ κυριακῇ τῆς Σταυροπροσκυνήσεως ψάλλεται ἡ ἀκολουθία πᾶσα, ἀναστάσιμα τοῦ σταυροῦ καὶ τῶν ἁγίων, ἀπόστολος τῆς ἡμέρας καὶ τῶν ἁγίων, ἀλληλουάριον, στίχος α' τοῦ σταυροῦ καὶ β' τῶν ἁγίων, εὐαγγέλια τὰ ἀμφότερα, κοινωνικόν· Ἐσημειώθη ἐφ' ἡμᾶς καὶ τῶν ἁγίων.

[л. 103 об.). Χρὴ γινώσκειν, ὅτι ἐὰν γίνεται ὁ Εὐαγγελισμὸς ἐν σαββάτῳ, εἰς τὸ λυχνικὸν τῆς παρασκευῆς ἀναγινώσκονται α' τὰ ἀναγνώσματα τῆς ἡμέρας, εἶτα τῆς ἑορτῆς, καὶ ἡ ἀκολουθία τῆς ἑορτῆς γίνεται ὡς προδεδήλωται [2])· οὔτε γὰρ τὰ Τριῴδια ψάλλομεν, οὔτε τι ἄλλο τοῦ σαββάτου, ὡσαύτως καὶ εἰς τὴν λειτουργίαν τῆς ἑορτῆς ἅπαντα

---

[1]) Въ Типиконѣ лавры 1484 г. нѣтъ этого примѣчанiя. [2]) Тип. св. лавры 1484 г. Ὁμοίως καὶ εἰς τὸν ὄρθρον πᾶσα ἡ ἀκολουθία τῆς ἑορτῆς γίνεται.

λέγονται, τῶν ἄλλων ἀργούντων. Πρὸ δὲ τῆς λειτουργίας, περὶ ὥραν β', ἐξέρχεται ἡ λιτὴ καὶ ἡνίκα ὑποστρέψῃ ἄρχεται ἡ λειτουργία, ψάλλομεν δὲ τυπικὰ καὶ ἐν τοῖς μακαρισμοῖς ᾠδὴ γ' καὶ ς'.

Εἰ δὲ τύχοι ἐν κυριακῇ ὁ Εὐαγγελισμός, τῷ σαββάτῳ ἑσπέρας εἰς τὴν ἀγρυπνίαν [1]) ψάλλονται πρῶτον τὰ ἀναστάσιμα [2]) εἶτα τῆς ἑορτῆς [3]), ὡς προγέγραπται, ἡ ἀκολουθία, ἀναγνώσματα δὲ λέγονται τὰ β' τῆς ἑορτῆς καὶ ἀπὸ τῶν συνήθως λεγομένων τὸ ἓν Ἰεζεκιήλ, εὐαγγέλιον ἑωθινὸν ἀναστάσιμον οὐ λέγομεν, ἀλλὰ τῆς ἑορτῆς, κανόνας τῆς Ὀκτωήχου, ἀναστάσιμον τῆς ἑορτῆς καὶ καθεξῆς ἡ ἀκολουθία τῆς ἀγρυπνίας.

Μετὰ δὲ τὴν ἀπόλυσιν περὶ ὥραν β' σημαίνει καὶ ἐξερχόμεθα μετὰ τῆς λιτῆς, καὶ μετὰ τὸ ὑποστρέψαι ἄρχεται ἡ λειτουργία, καὶ ψάλλομεν τυπικά, εἰσοδικόν· Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας, Δόξα καὶ νῦν, τὸ κοντάκιον, τὸ Τρισάγιον, ὁ ἀπόστολος τῆς ἑορτῆς, εἶτα τῆς κυριακῆς, ὁμοίως καὶ τὰ εὐαγγέλια, προκείμενα καὶ ἀλληλουάρια τῆς ἑορτῆς.

Дальнѣйшее изложеніе случаевъ идетъ на субботу Лазареву, на вербное воскресенье [4]), на всю страстную седмицу и на первый и второй день Пасхи.

[л. 105). Ἐὰν δὲ φθάσῃ γενέσθαι ὁ Εὐαγγελισμὸς τῇ μεγάλῃ β', ἤγουν τῇ κυριακῇ τῶν Βαΐων ἑσπέρας ἐν τῇ ἀγρυπνίᾳ στιχολογοῦμεν τὸ πρῶτον ἀντίφωνον, τὸ Μακάριος ἀνὴρ ἦχος πλ. δ', εἰς τὸ Κύριε ἐκέκραξα στιχηρὰ τοῦ Εὐαγγελισμοῦ, προσόμοια ἦχος πλ. β', δευτεροῦντες αὐτά, εἶτα τὰ γ' ἰδιόμελα τῶν Βαΐων τοῦ πλ. δ' καὶ δευροῦμεν τὸ α', Δόξα, τῶν Βαΐων πλ. β'· Ὁ ἔχων θρόνον οὐρανόν, Καὶ νῦν, Ἀναστήτω, εἴσοδος, προκείμενον τῆς ἡμέρας, ἀναγνώσματα τῆς

[1]) Тамъ же. Μετὰ τὴν στιχολογίαν εἰς τὸ Κύριε ἐκέκραξα [2]) Ὀκτωήχου γ' καὶ ἀνατολικὸν α' [3]) εἰς ς', Δόξα ἦχος πλ' β'. Ἀπεστάλη ἐξ οὐρανοῦ, Καὶ νῦν, θεοτοκίον τὸ α τοῦ ἤχου, εἴσοδος, τῇ κυριακῇ τὰ ἀναγνώσματα μετὰ τῆς ἑορτῆς τὰ β' καὶ ἀπὸ τῶν συνήθων λεγομένων τὸ ἓν Ἰεζεκιήλ, ἡ λιτὴ καὶ τὰ ἰδιόμελα τῆς ἑορτῆς τὰ προγραφέντα. Αἱ συνήθεις εὐχαί, τὸ ἀναστάσιμον τοῦ στίχου, εἶθ' οὕτως τὰ κατὰ ἀλφάβητον, Δόξα καὶ νῦν, Σήμερον χαρᾶς, τὸ Τρισάγιον, τὸ ἀπολυτίκιον τῆς ἑορτῆς ἐκ γ'. Εἰς τὸν ὄρθρον ἡ συνήθης στιχολογία καὶ ὁ πολυέλαιος, οἱ ἀναβαθμοὶ τοῦ ἤχου, προκείμενον καὶ εὐαγγέλιον τῆς Θεοτόκου, ἀναστάσιμον οὐ λέγομεν, οἱ κανόνες, ὁ ἀναστάσιμος σὺν τῇ Θεοτόκῳ εἰς ς' καὶ τῆς ἑορτῆς η'· ἐσχάτως λέγομεν τοὺς εἱρμοὺς τῆς ἑορτῆς, τὸ ἐξαποστειλάριον ἑωθινὸν καὶ τῆς ἑορτῆς, εἰς τοὺς αἴνους· Πᾶσα πνοή, ἀναστάσιμα δ' καὶ τῆς ἑορτῆς προσόμοια δ', ἱστῶμεν στίχους η', Δόξα ἦχος πλ. δ' Εὐφραινέσθωσαν, Καὶ νῦν Ὑπερευλογημένη, δοξολογία μεγάλη καὶ ἀπόλυσις. Δίδοται καὶ ἅγιον ἔλαιον τοῖς ἀδελφοῖς, ψάλλονται τὰ ἰδιόμελα, Δόξα, τὸ ἑωθινόν, Καὶ νῦν τῆς ἑορτῆς. [4]) Ἑσπέρας ὀψὲ σάββατον τοῦ Λαζάρου, μετὰ τὴν συνήθη ἀκολουθίαν τὸ Κύριε, ἐκέ-

ἑορτῆς τὰ γ', εἰς τὴν λιτὴν ἰδιόμελα τῆς ἑορτῆς, ἃ προεγράφησαν. Εἰς τὸν στίχον στιχηρὰ ἰδιόμελα τῆς ἡμέρας, ὁ δεύτερος, ὁ τρίτος καὶ ὁ βαρύς, Δόξα, τὸ α'· Ἐκ βαΐων καὶ κλάδων, Καὶ νῦν τῆς ἑορτῆς ἦχος ὁ αὐτός, τὸ Ἀπ' αἰῶνος μυστήριον, ἀπολυτίκιον τῆς ἑορτῆς καὶ ἀκολουθία τῆς ἀγρυπνίας· στιχολογοῦμεν δὲ καθίσματα γ' καὶ τὸν πολυέλαιον, καὶ ἀναγινώσκομεν πρῶτον τῆς ἑορτῆς ἔπειτα τῆς ἡμέρας, οἱ ἀναβαθμοί, προκείμενον τῆς ἑορτῆς, Πᾶσα πνοή, εὐαγγέλιον τῆς ἑορτῆς, ὁ ν', ὁ κανὼν τῆς ἑορτῆς, τὸ τριῴδιον τῆς ἡμέρας τοῦ κυροῦ Κοσμᾶ. Ἀπὸ γ' κοντάκιον τῆς ἡμέρας, ἀφ' ς' τῆς ἑορτῆς, εἰς τοὺς αἴνους στιχηρὰ τῆς ἑορτῆς, εἰς τὸν στίχον ἰδιόμελον τῆς ἡμέρας, τὸν α' καὶ τοὺς τέσσαρας πλ. α', Δόξα πλ. δ', Δευτέραν Εὔαν, Καὶ νῦν ὁ αὐτὸς τῆς ἑορτῆς· Εὐφραινέσθω, ἐκτενὴ καὶ ἀπόλυσις. Συνάπτομεν καὶ τὴν α' ὥραν, σχολάζουσι δὲ καὶ αἱ μετάνοιαι καθόλου ἄνευ τῶν μεγάλων. Περὶ δὲ ὥραν γ' τῆς ἡμέρας γίνεται ἡ λιτή, καὶ ὑποστρέφοντες ἀπαρχόμεθα τῆς τριθέκτης κατὰ τὴν τάξιν αὐτῶν· ἀναγινώσκεται δὲ καὶ τὸ τετραευαγγέλιον. Καὶ περὶ ς' σημαίνει ς' καὶ θ' καὶ γίνεται ἡ ἀκολουθία ὡς σύνηθες, τὰ τυπικὰ χύμα καὶ ἀρχόμεθα τοῦ λυχνικοῦ χωρὶς στιχολογίας. Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ι' καὶ ψάλλομεν στιχηρὰ τῆς ἡμέρας τὰ δ' ἰδιόμελα τοῦ πλ. α', εἶτα τῆς ἑορτῆς ἦχος δ'· Τῷ ἕκτῳ μηνὶ καὶ ἕτερα β' καὶ τοῦ ἀρχαγγέλου προσόμοια γ', Δόξα πλ. δ', Τῆς ξηρανθήσης, Καὶ νῦν πλ. β', τῆς ἑορτῆς· Ἀπεστάλη, εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, τὸ Φῶς ἱλαρόν,

---

κραξα ἦχος πλ. β', ἱστῶμεν στίχους ι', στιχηρὰ τῆς ἑορτῆς πρός· Ὅλην ἀποθέμενοι, τὰ γ' ἀναδευτεροῦνται, ἔπειτα τῶν Βαΐων δ' ἰδιόμελα, εἰς τὸν αὐτὸν ἦχον, Δόξα ὁ αὐτός· Σήμερον ἡ χάρις, Καὶ νῦν Ἀπεστάλη, εἴσοδος, προκείμενον· Κύριος ἐβασίλευσεν, ἀναγνώσματα ε' τῆς ἑορτῆς, ἔπειτα τῶν Βαΐων. Εἰς τὸν στίχον τὰ ἰδιόμελα τῶν Βαΐων ἦχος πλ. δ', Χαῖρε καὶ εὐφραίνου, Δόξα ἦχος πλ. β'· Σήμερον ἡ χάρις, Καὶ νῦν, Τὸ ἀπ' αἰῶνος μυστήριον, ἀπολυτίκιον τῶν Βαΐων· Τὴν κοινὴν ἀνάστασιν, ἅπαξ. Εἰς τὸ Θεὸς Κύριος ὁμοίως, ἡ συνήθης στιχολογία καὶ ὁ πολυέλαιος, τὸ προκείμενον τῶν Βαΐων· Ἐκ στόματος νηπίων, στίχος· Κύριε, ὁ Κύριος ἡμῶν, τὸ Πᾶσα πνοή, εὐαγγέλιον τῶν Βαΐων, ὁ ν' καὶ οἱ κανόνες πρῶτον τοῦ Εὐαγγελισμοῦ ἔπειτα τῶν Βαΐων. Ἀπὸ γ' κοντάκιον τῶν Βαΐων, ἀφ' ἕκτης τῆς Θεοτόκου. Εἰς τοὺς αἴνους στιχηρὰ τῆς Θεοτόκου καὶ τῶν Βαΐων ἰδιόμελα, Δόξα τοῦ Εὐαγγελισμοῦ καὶ τῶν Βαΐων, δοξολογία μεγάλη καὶ ἀπόλυσις. Εἶτα ἐξέρχεται ἡ λιτὴ καὶ ὑποστρέφουσι, γίνεται τέλος τῆς ἀπολύσεως. Εἰς τὴν λειτουργίαν τυπικὰ καὶ ἐκ τοῦ κανόνος τοῦ Εὐαγγελισμοῦ ᾠδὴ γ' καὶ ἐκ τῶν Βαΐων ς', εἰσοδικόν· Εὐαγγελίζεσθε ἡμέραν, Σήμερον τῆς σωτηρίας, Δόξα, Τὴν κοινὴν ἀνάστασιν, Καὶ νῦν, Τῇ ὑπερμάχῳ, τὸ Τρισάγιον, προκείμενον τῶν Βαΐων, ὁ ἀπόστολος προηγεῖται τῆς Θεοτόκου, ἀλληλουάριον τῆς Θεοτόκου λέγεται καὶ στίχος τῶν Βαΐων, καὶ καθεξῆς ἡ λειτουργία Χρυσοστόμου.

προκείμενον τῆς προφητείας, τὰ ἀναγνώσματα τῆς ἡμέρας, ἔπειτα τῆς ἑορτῆς τὰ β', τὸ Κατευθυνθήτω, συναπτὴ τοῦ Τρισαγίου, προκείμενον, ἀπόστολος, ἀλληλουάριον τῆς ἑορτῆς, εὐαγγέλιον ὁμοίως, εἶτα τῆς ἡμέρας καὶ καθεξῆς ἡ θεία λειτουργία τοῦ Χρυσοστόμου.

Также совершается служба этого праздника во вторникѣ и среду страстной седмицы. Для четверга сдѣлано особое подробное изложеніе настоящей службы.

[л. **105** об.). Ἐὰν δὲ γίνεται ὁ Εὐαγγελισμὸς τῇ μεγάλῃ παρασκευῇ εἰς τὴν παραμονήν, ἤγουν τῇ μεγάλῃ ε' ἑσπέρας, προηγοῦνται ὁμοίως [1]), ἤγουν τὰ στιχηρὰ καὶ τὰ ἀναγνώσματα τῆς ἡμέρας καὶ [2]) τῆς ἑορτῆς· τῇ ἐπαύριον δὲ ἤγουν τῇ μεγάλῃ παρασκευῇ εἰς τὸ Θεὸς Κύριος, τροπάριον τῆς ἑορτῆς ἐκ δευτέρου, Δόξα καὶ νῦν, Ὅτε οἱ ἔνδοξοι μαθηταί, ἡ ἀκολουθία τῶν ἁγίων παθῶν, κατὰ τὴν τάξιν αὐτῆς. Μετὰ δὲ συμπλήρωσιν τῶν ἀντιφώνων εὐθὺς [3]) τὸ κοντάκιον τῶν ἁγίων παθῶν, εἶτα τὸ εὐαγγέλιον καὶ μακαρισμοὶ τῶν ἁγίων παθῶν, προκείμενον· Διεμερίσαντο τὰ ἱμάτια, στίχος· Μακάριος συνιῶν, εὐαγγέλιον καὶ εὐθὺς οἱ ἀναβαθμοί, τὸ πρῶτον ἀντίφωνον τοῦ δ' ἤχου, προκείμενον τῆς ἑορτῆς, Πᾶσα πνοή, εὐαγγέλιον τῆς ἑορτῆς· Ἀναστᾶσα Μαριάμ, καὶ τὸ ἐνόρδινον [4]) εὐαγγέλιον τῶν ἁγίων παθῶν, εἶτα ὁ κανὼν τῆς ἑορτῆς καὶ τὸ τριῴδιον [5]) κατὰ τὴν τάξιν. Τὰ δὲ ἐπίλοιπα εὐαγγέλια τῶν ἁγίων παθῶν ὁμοίως κατὰ τὴν τάξιν [6]) αὐτῶν ἀναγινώσκονται [7]). Εἰς τοὺς αἴνους στιχηρὰ ἰδιόμελα τῶν ἁγίων παθῶν ἦχος α'· Πᾶσα ἡ κτίσις [8]) καὶ τοὺς γ' δεύτερον, Δόξα πλ. δ' Ἤδη βάπτεται, Καὶ νῦν τῆς ἑορτῆς ὁ αὐτός· Εὐφραινέσθωσαν. Εἰς τὸν στίχον στιχηρὰ τῆς ἑορτῆς, Δόξα πλ. β'· Ἐξέδυσάν με, Καὶ νῦν ἦχος δ' Γλῶσσαν, ἣν οὐκ ἔγνω. Ἡ δὲ α' ὥρα γίνεται, καθὰ διατέτακται ἐν τῇ μεγάλῃ παρασκευῇ.

---

[1]) Синайск. ркп. № 1094 XII—XIII в. нѣтъ словъ ὁμοίως ἤγουν [2]) οὕτως [3]) нѣтъ εὐθύς, вмѣсто котораго. λέγει [4]) нѣтъ [5]) τῆς ἡμέρας [6]) καὶ τὴν ἀκολουθίαν [7]) нѣтъ [8]) ἄλλο ἦχος β'· Λαὸς δυσσεβής, ἕτερον πλ. δ'· Ἤδη βάπτεται κάλαμος, Δόξα καὶ νῦν, ἰδιόμελον, οἷον θέλει, καὶ ποιοῦμεν δοξολογίαν μεγάλην. Ὥρας δὲ οὐ ψάλλομεν, ἀλλὰ καὶ τὰ εὐαγγέλια τῶν ὡρῶν καταλιμπάνομεν διὰ τὸ σεβάσμιον τῆς ἑορτῆς. Ἐξερχόμεθα δὲ καὶ ποιοῦμεν λιτήν, καὶ ὑποστρέφοντες, πρὸ ὥρας ἡ' ἀπαρχόμεθα τῆς λειτουργίας· προηγεῖται δὲ τὰ στιχηρὰ καὶ τὰ ἀναστάσιμα τῆς ἡμέρας, καὶ οὕτως τῆς ἑορτῆς, καὶ γίνεται ἡ ἀκολουθία τῆς λειτουργίας τοῦ Χρυσοστόμου.

Περὶ δὲ ὥραν ε´ κρούει τὸ σιδηροῦν καὶ ποιοῦμεν τὴν λιτὴν καὶ ὑποστρέφοντες, ψάλλομεν τὰς γ' ὥρας μετὰ τῶν τροπαρίων καὶ τῶν ἀκολουθιῶν αὐτῶν. Καὶ περὶ ὥραν η' σημαίνει καὶ ἀπαρχόμεθα τοῦ λυχνικοῦ· προηγοῦνται δὲ τὰ δύο ἀναγνώσματα καὶ τὰ στιχηρὰ τῆς ἡμέρας καὶ οὕτως τῆς ἑορτῆς· ὁ μέντοι ἀπόστολος καὶ τὸ εὐαγγέλιον προηγεῖται τῆς ἑορτῆς, καὶ γίνεται ἡ τελεία λειτουργία.

[л. 106). Ἐὰν δὲ φθάσῃ γενέσθαι ὁ Εὐαγγελισμὸς τῷ μεγάλῳ σαββάτῳ, τελεῖται πᾶσα ἡ ἀκολουθία κατὰ τὸν προγεγραμμένον τύπον ἐν τῇ μεγάλῃ ε´ ἄνευ τοῦ νιπτῆρος. Ἀντὶ δὲ τοῦ Τρισαγίου, Ὅσοι εἰς Χριστὸν [1]), προκείμενον τῆς ἡμέρας, ἀπόστολοι β', ἀντὶ δὲ τοῦ ἀλληλουαρίου· Ἀνάστα ὁ Θεὸς ἦχος βαρὺς μετὰ τοῦ στίχου αὐτοῦ, εὐαγγέλιον τῆς ἡμέρας καὶ τῆς ἑορτῆς.

— Ἰστέον δέ, ὅτι ἐν ᾗ ἂν ἡμέρᾳ τῆς ἑβδομάδος γένηται ὁ Εὐαγγελισμός, ἐπιτελεῖται ἀγρυπνία μετὰ τῶν ἀποδείπνων καὶ ἐν τῇ τραπέζῃ ἐσθίομεν ὀψάρια, πίνομεν καὶ οἶνον διὰ τὴν δόξαν καὶ ἀντίληψιν τῆς ὑπεραγίας Θεοτόκου (прибавляется въ ркп. Аѳоно—Ватопед. библ. № 101 χωρὶς τῷ μεγάλῳ σαββάτῳ).

Въ службѣ на Пасху съ праздникомъ Благовѣщенія весьма любопытно описывается начало утрени. Мы для большей наглядности въ разницѣ древнѣйшихъ богослужебныхъ порядковъ студійскихъ и позднѣйшихъ іерусалимскихъ, изложенныхъ въ одномъ и томъ же Типиконѣ, сдѣлаемъ здѣсь сравненіе того и другого описанія, дополнивъ это сравненіе изъ Типикона обители пр. Саввы Освященнаго (нынѣ библ. патріаршей въ Іерусалимѣ) по рукописи Синайской библ. XII—XIII в. № 1094.

---

[1]) Здѣсь прекращается изложеніе службы въ субботу въ Синайской рукописи № 1094.

[л. 106 об.).

Εἰς τὸν ὄρθρον τῇ μεγάλῃ κυριακῇ, περὶ ὥραν η′ τῆς νυκτὸς ἐξερχόμεθα ἐκ τοῦ ναοῦ ἐν τῷ νάρθηκι, καί, κλεισθεισῶν τῶν πυλῶν, ἀλλάσσει ὁ ἱερεὺς ἅπασαν τὴν λευκὴν στολὴν καὶ [1]) θυμιᾷ ἅπαντας, ὡς ἔθος ἐστίν. Ὁ δὲ ἐκκλησιάρχης [2]) ἢ ὁ ἡγούμενος διανέμει τὰ κηρία, καὶ ἅπτομεν αὐτά [3]). Μετὰ δὲ τὸ θυμιᾶσαι πάντας, τὸν [4]) ἱερέα (;) ἵσταται ἔμπροσθεν τῶν βασιλικῶν πυλῶν, κεκλεισμένων οὐσῶν, καὶ θυμιῶν σταυροειδῶς λέγει [5])· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ [6]). Ἄρχεται ὁ ἱερεὺς τροπάριον ἦχος πλ. α′· Χριστὸς ἀνέστη. Ὁμοίως καὶ οἱ ἀδελφοὶ καὶ λέγεται γ′ παρὰ τοῦ ἱερέως καὶ γ′ παρὰ τῶν ἀδελφῶν. Ὁ δὲ ἱερεὺς στίχος α′· Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, στίχος β′· Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, στίχος γ′· Συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν. Καὶ εἰς τὸν καθέκαστον στίχον λέγει ὁ λαὸς

[л. 172).

Τῇ ἁγίᾳ καὶ μεγάλῃ κυριακῇ εἰς τὸν ὄρθρον ἐξερχόμεθα [7]) μετὰ τὴν ἀπόλυσιν, ἐναπομείνας δὲ ἐν τῷ ναῷ ὁ κανδηλάπτης μόνος, ἅπτει τὰ κηρία πάντα, ὁμοίως [8]) καὶ τὰς κανδήλας, καὶ ποιήσας πυρεῖον μέγα [9]) τίθησιν αὐτὸ μέσον τοῦ ναοῦ, ὁμοίως καὶ ἕτερον πυρεῖον ἔμπροσθεν τῶν ἁγίων θυρῶν, κρεμᾷ καὶ θυμιατὸν εἰς τὸ [10]) βῆμα καί, βαλὼν θυμίαμα πολὺ εἰς πάντα, θυμιᾷ, κεκλεισμένων [11]) τῶν πυλῶν. Ὁ δὲ ἱερεὺς ἐν τῷ διακονικῷ ἀλλάσσει ἅπασαν τὴν λευκὴν στολὴν καὶ ἐξέρχεται ἐν τῷ νάρθηκι διὰ τοῦ βορείου μέρους, θυμιῶν, προηγουμένων αὐτῷ καὶ λαμπάδων β′. Ὁ δὲ καθηγούμενος διανέμει τὰ κηρία ἢ ὁ ἐκκλησιάρχης, καὶ ἅπτομεν αὐτὰ πάντες. Μετὰ δὲ τὸ θυμιᾶσαι πάντας, ὁ ἱερεὺς ἵσταται κατ᾽ ἐνώπιον τῶν βασιλικῶν πυλῶν καὶ ποιεῖ σταυρὸν μετὰ τοῦ θυμιατοῦ [12]), λέγων· Δόξα

По ркп. Син. библ. № 1095, XII в. [л. 88).

Εἰς δὲ τὸν ὄρθρον τῇ μεγάλῃ κυριακῇ, περὶ δὲ ὥραν β′ τῆς νυκτὸς ἐξερχόμεθα ἐκ τοῦ ναοῦ ἐν τῷ νάρθηκι καί, κλεισθεισῶν τῶν πυλῶν, ἀλλάσσει ὁ ἱερεὺς ἅπασαν τὴν λευκὴν στολὴν καὶ θυμιᾷ ἅπαντας, ὡς ἔθος ἐστίν. Ὁ δὲ ἡγούμενος διανέμει τὰ κηρία τοῖς ἀδελφοῖς, καὶ ἵσταται ὁ ἱερεὺς ἔμπροσθεν τῶν βασιλικῶν πυλῶν, καὶ θυμιῶν σταυροειδῶς, λέγει· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ. . . . Καί, ἡμῶν ἀποκρινομένων τὸ Ἀμήν, ἄρχεται ὁ ἱερεὺς τὸ Χριστὸς ἀνέστη εἰς ἦχον πλ. α′, ὁμοίως καὶ οἱ ἀδελφοὶ καὶ ἡ ἀκολουθία ὁμοίως. Μετὰ δὲ τὸ εἰσελθεῖν εἰς τὸ ἱερατεῖον, Δόξα, ὁ ἱερεὺς εἰς ἦχον δ′ καὶ λέγει· Σήμερον τῆς σωτηρίας, Καὶ νῦν, πάλιν τὸ αὐτό, εἶθ᾽ οὕτως συναπτή. Μετὰ δὲ τὴν ἐκφώνησιν ἄρχεται ὁ προεστώς· Ἀναστάσεως ἡμέρα, καὶ ψάλλομεν κατὰ τὴν τάξιν

---

[1]) Ркп. Син. библ. № 1094 καὶ ἄρχεται θυμιᾶν [2]) καθηγούμενος [3]) ἅπαντες [4]) ὁ ἱερεὺς [5]) εἰς ἐπήκοον πάντων [6]) καὶ ἀποκρινόμεθα πάντες τὸ Ἀμὴν καὶ [7]) πάντες ἐν τῷ νάρθηκι ἐναπομείνας [8]) нѣтъ: ὁμοίως καὶ τὰς κανδήλας [9]) ἔμπροσθεν τῶν ἁγίων θυρῶν, κρεμᾷ δὲ θυμιατὸν [10]) ἅγιον [11]) τῶν [12]) прибавлено: ποιήσας.

τὸ Χριστὸς ἀνέστη [1]). Ἔτι δὲ μεγάλῃ φωνῇ λέγει ὁ ἱερεὺς τὸ Χριστὸς ἀνέστη. Καί, ἀνοιγομένων τῶν πυλῶν, εἰσοδεύει, προπορευομένων τῶν λαμπάδων καὶ συνεφεπομένου τοῦ προεστῶτος καὶ τῶν ἀδελφῶν, ψαλλόντων· Καὶ τοῖς ἐν τοῖς μνήμασι. Μετὰ δὲ τὸ εἰσελθεῖν εἰς τὸ ἱερατεῖον δοξάζει ὁ ἱερεὺς ἦχος δ′ καὶ λέγει [2])· Σήμερον τῆς σωτηρίας ἡμῶν, Καὶ νῦν τὸ αὐτό, εἶθ' οὕτως συναπτὴ [3]). Μετὰ δὲ τὴν ἐκφώνησιν ἄρχεται [4]) ἀναστάσιμον κανόνα καὶ ψάλλομεν τὸν κανόνα τοῦ Πάσχα, κατὰ τὴν τάξιν αὐτοῦ, εἶτα τὸν κανόνα τῆς Θεοτόκου [6]). Ἀπὸ γ′ ᾠδῆς, Κοντάκιον τοῦ Πάσχα[5]) καὶ ἀνάγνωσις εἰς τὸν Θεολόγον τὸ Ἐπὶ τῆς θείας φυλακῆς, ἀφ' ἕκτης τὸ κοντάκιον τοῦ Εὐαγγελισμοῦ καὶ ἀνάγνωσις· Ἀναστάσεως ἡμέρα [7]), προκείμενον ἦχος δ′· Εὐαγγελίζεσθε ἡμέραν, στίχος· Ἄσατε τῷ Κυρίῳ, Πᾶσα πνοή, εὐαγγέλιον τῆς Θεοτόκου· Ἀναστᾶσα Μαριάμ, εἶτα τὸ Ἀνάστασιν Χριστοῦ ἐκ γ′ ἄνευ τοῦ ν′, ἐξαποστειλάριον· Σαρκὶ ὑπνώσας [8]) καὶ τῆς Θεοτόκου δίς [9]). Εἰς τοὺς αἴνους· Πᾶσα τῇ ἁγίᾳ. . . Καὶ μετὰ τὸ Ἀμὴν ἄρχεται ὁ ἱερεὺς τροπάριον ἦχος πλ. α′· Χριστὸς ἀνέστη. Ὁμοίως καὶ οἱ ἀδελφοὶ τὸ αὐτό, καὶ λέγεται τρίτον ὑπὸ τοῦ ἱερέως καὶ τρίτον ὑπὸ τῶν ἀδελφῶν. Εἶθ' οὕτως στίχος α′· Ἀναστήτω ὁ Θεός. Καὶ ἡμεῖς [10]) τὸ Χριστὸς ἀνέστη, στίχος β′· Ὡς ἐκλείπει καπνός, στίχος γ′· Οὕτως ἀπολοῦνται, Δόξα, Χριστὸς ἀνέστη. Εἶτα πάλιν γεγωνοτέρᾳ φωνῇ ὁ ἱερεύς· Χριστὸς ἀνέστη. Καί, ἀνοιγομένων τῶν πυλῶν, εἰσοδεύει, προπορευομένων τῶν λαμπάδων, συνεφεπομένου τοῦ καθηγουμένου καὶ τῶν ἀδελφῶν, ψαλλόντων· Καὶ τοῖς ἐν τοῖς μνήμασιν. Εἰσερχομένου δὲ τοῦ ἱερέως ἐν τῷ βήματι, ποιεῖ συναπτὴν [11]). Καὶ μετὰ τὴν ἐκφώνησιν ἄρχεται ὁ προεστώς· Ἀναστάσεως ἡμέρα [12]), τοὺς εἱρμοὺς ἀνὰ δ′ καὶ τὰ τροπάρια ἀνὰ ϛ′. Ἐν οἵῳ δ' ἂν τύχῃ χορῷ ἡ ἔναρξις, ὁ προεστὼς ἄρχεται τοῦ κανόνος, ἐκ τοῦ αὐτοῦ μέρους ἤγουν τοῦ δεξιοῦ. Εἰς δὲ τρίτην ᾠδὴν πάλιν ἰσάζουσιν οἱ χοροὶ κατὰ τὴν τάξιν αὐτῶν. Κατὰ δὲ ᾠδὴν γίνεται συναπτὴ μικρὰ ἔσωθεν αὐτοῦ, εἶτα τὸν κανόνα τῆς Θεοτόκου. Ἀπὸ γ′ ᾠδῆς κοντάκιον τοῦ Πάσχα καὶ ἀνάγνωσμα εἰς τὸν Θεολόγον τὸ Ἐπὶ τῆς φυλακῆς στήσομαι, ἀφ' ϛ′ τὸ κοντάκιον τοῦ Εὐαγγελισμοῦ καὶ ἀνάγνωσις, τὸ Ἀναστάσεως ἡμέρα, προκείμενον τὸ Εὐαγγελίζεσθε ἡμέραν, στίχος· Ἄσατε τῷ Κυρίῳ, Πᾶσα πνοή, εὐαγγέλιον τῆς Θεοτόκου· Ἀναστᾶσα Μαριάμ, εἶτα τὸ Ἀνάστασιν Χριστοῦ ἄνευ τοῦ ν′, ἐξαποστειλάριον· Σαρκὶ καὶ τῆς Θεοτόκου, εἰς τοὺς αἴνους· Πᾶσα πνοή, ἦχος α′ στιχηρὰ ἀναστάσιμα καὶ ἐκ τοῦ Εὐαγγελισμοῦ εἰς τὸν αὐτὸν ἦχον προσόμοιον καὶ δευτεροῦμεν τὸ α′, εἶτα ὁ ἀσπασμὸς καὶ ἡ κατήχησις τοῦ Χρισοστόμου.

[1]) Въ Типиконѣ лавры пр. Аѳанасія XV вѣка замѣчено: Ἰστέον δε, ὅτι οἱ τοιοῦτοι στίχοι διὰ τὴν ἑορτὴν τοῦ Εὐαγγελισμοῦ λέγονται. [2]) λέγομεν [3]) μεγάλη [4]) προεστὼς [5]) Ἀναστάσεως ἡμέρα [6]) τῆς ἑορτῆς Εὐαγγελισμοῦ. Μετὰ δὲ τὴν ἀνάγνωσιν λέγει [7]) ἐκ δευτέρου [8]) нѣтъ этого, а прямо второй стихъ [9]) τὸ αὐτὸ [10]) μεγάλην [11]) Ἰωάννου μοναχοῦ ποίημα ἦχος α′.

πνοὴ ἦχος α′ [1]), στιχηρὰ ἀναστάσιμα [2]) καὶ τοῦ Εὐαγγελισμοῦ εἰς τὸν αὐτὸν ἦχον προσόμοιον, καὶ δευτεροῦμεν τὸ α′, εἶτα ὁ ἀσπασμὸς τοῦ Πάσχα, ἡ κατήχησις τοῦ Χρυσοστόμου καὶ ἀπόλυσις. Λιτὴ δὲ οὐ γίνεται.

Σημείωσαι. Δεῖ γινώσκειν, ὅτι εἰς τὴν λειτουργίαν τῆς μεγάλης κυριακῆς, εἰ μὲν ἔστιν εὐκτήριος τῆς Θεοτόκου, ἐν αὐτῷ τελεῖται ἡ θεία λειτουργία, εἰ δὲ οὐκ ἔστιν, ὅπερ ἀδύνατον, γίνεται ἡ ἀκολουθία, ἡνωμένη μετὰ τῆς ἀκολουθίας τῆς μεγάλης κυριακῆς, ὡς ὑποτέτακται.

Εἰς τὴν λειτουργίαν τὰ ἀντίφωνα τοῦ Πάσχα. Μετὰ δὲ τὴν εἴσοδον, Δόξα, Σήμερον τῆς σωτηρίας Καὶ νῦν, Εἰ καὶ ἐν τάφῳ, ἀντὶ τοῦ Τρισαγίου, Ὅσοι εἰς Χριστόν, προκείμενον τοῦ Πάσχα, εἶτα τῆς Θεοτόκου καὶ τὰ εὐαγγέλια ὁμοίως, καὶ καθεξῆς ἡ λειτουργία τοῦ Χρυσοστόμου.

τοῦ βήματος ἐν τῇ ἁγίᾳ ταύτῃ ἡμέρᾳ. Ὁ δὲ ἱερεὺς θυμιᾷ εἰς τὴν ἔναρξιν τοῦ κανόνος. Ἀπὸ γ′ ᾠδῆς ἡ ὑπακοή· Προλαβοῦσαι τὸν ὄρθρον, καὶ ἀνάγνωσις εἰς τὸν Θεολόγον· Ἐπὶ τῆς φυλακῆς μου στήσομαι. Ἀφ’ ς′ κοντάκιον· Εἰ καὶ ἐν τάφῳ, καὶ ἀνάγνωσις· Ἀναστάσεως ἡμέρα. Μετὰ δὲ τὴν ἀνάγνωσιν Ἀνάστασιν Χριστοῦ θεασάμενοι γ′· καὶ ἀπαρχόμεθα τῆς ζ′ ᾠδῆς. Μετὰ δὲ τὴν θ′ ἐξαποστειλάριον· Σαρκὶ ὑπνώσας ἐκ γ′. Εἶτα τὸ Πᾶσα πνοὴ ἦχος α′ [3]) ἱστῶμεν στίχους δ′, στιχηρὰ ἀναστάσιμα τῆς Ὀκτωήχου δ′, εἶτα τῆς ἑορτῆς ἦχος πλ. α′ [4]), Πάσχα ἱερὸν καὶ τὰ ἕτερα β′. Στιχηρὰ δὲ λέγομεν Ἀναστήτω [5]) ὁ Θεὸς καὶ τοὺς ἑξῆς, Δόξα, Πάσχα τὸ τερπνόν, Καὶ νῦν, Ἀναστάσεως ἡμέρα. Εἰς δὲ τὸ Χριστὸς ἀνέστη γίνεται ὁ ἀσπασμὸς οὕτως· λαμβάνει ὁ ἱερεὺς τὸ ἅγιον Εὐαγγέλιον καὶ ἵσταται πρὸ τῶν θυρῶν τοῦ ἁγίου βήματος, καὶ ἀσπάζεται ὁ προεστὼς τὸ ἅγιον Εὐαγγέλιον, εἶτα τὸν ἱερέα, εἶθ’ οὕτως [6]) λαμβάνει τὸ [7]) Εὐαγγέλιον ὁ προεστὼς [8]) καὶ ἵσταται ἐκ δεξιῶν τοῦ ἱερέως, καὶ ἀσπάζονται οἱ ἀδελφοὶ κατὰ τάξιν αὐτῶν.

[1]) Тип. св. лавры пр. Аθан. 1433 г. καὶ ψάλλομεν [2]) εἶτα τῆς ἑορτῆς προσόμοια γ′. Εἶθ’ οὕτως, ἑνουμένων τῶν δύο χορῶν, λέγομεν· Ἀναστήτω ὁ Θεός, καὶ ψάλλομεν τὰ ἀναστάσιμα τροπάρια ἦχος πλ. α′· Πάσχα ἱερὸν ἡμῖν σήμερον, Δόξα, τοῦ Εὐαγγελισμοῦ, Καὶ νῦν, Ἀναστάσεως ἡμέρα, εἶτα ὁ ἀσπασμὸς τοῦ Εὐαγγελίου καὶ ἡ κατήχησις τοῦ Χρυσοστόμου· Εἴ τις εὐσεβὴς καὶ εὐθέως τελεία ἀπόλυσις. Λιτὴν δὲ οὐ ποιοῦμεν (л. 122 об.). [3]) Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν [4]) Ἀναστήτω ὁ Θεός [5]) στίχος· Ὡς ἐκλείπει καπνός, καὶ ἕτεροι δύο [6]) нѣтъ: καὶ λαβὼν [7]) ἅγιον [8]) ὁ προεστὼς καὶ ἵσταται—нѣтъ.

Μετὰ δὲ τὸ πληρωθῆναι τὸν ἀσπασμὸν ἀναγινώσκεται λόγος τοῦ Χρυσοστόμου παρὰ τοῦ προεστῶτος, οὗ ἡ ἀρχή· Εἴ τις εὐσεβής. Οὐ καθήμεθα δὲ εἰς τὴν τοιαύτην ἀνάγνωσιν, ἀλλ' ἱστάμενοι ἐπακροώμεθα πάντες. Μετὰ δὲ τὴν ἐκπλήρωσιν τῆς ἀναγνώσεως γίνεται ὑπὸ τοῦ ἱερέως ἐκτενὴ καὶ τελεία ἀπόλυσις.

[л. 107). Ἐὰν φθάσῃ ὁ Εὐαγγελισμὸς τῇ β' τῆς Διακαινησίμου, ἑσπέρας τῇ μεγάλῃ κυριακῇ στιχηρὰ πρῶτον τὰ ἀναστάσιμα, εἶτα τῆς Θεοτόκου, εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, τὸ Φῶς ἱλαρόν, προκείμενον· Τίς Θεὸς μέγας, εἶτα τὰ ἀναγνώσματα τῆς Θεοτόκου, τὸ εὐαγγέλιον τῆς ἡμέρας· Οὔσης ὀψίας, ἐκτενή, τὸ Καταξίωσον καὶ τὰς αἰτήσεις, στιχηρὰ τοῦ Πάσχα [1]), Δόξα τοῦ Εὐαγγελισμοῦ, Καὶ νῦν, Ἀναστάσεως ἡμέρα, τὸ Χριστὸς ἀνέστη, ἐκ γ', καὶ ἀπόλυσις. Καὶ οὐ ποιοῦμεν ἀγρυπνίαν. Εἰς τὸν ὄρθρον δὲ τῆς δευτέρας, μετὰ τὸ Χριστὸς ἀνέστη, Δόξα, τροπάριον τῆς Θεοτόκου, Καὶ νῦν τὸ αὐτό. Ἡ δὲ λοιπὴ ἀκολουθία ὡς ἐν τῇ μεγάλῃ κυριακῇ, χωρὶς τοῦ ἀσπασμοῦ· γίνεται δὲ καὶ λιτή. Εἰ δὲ ποιεῖς ἀγρυπνίαν, ἡ ἀκολουθία, ὡς ἐν τῇ μεγάλῃ κυριακῇ διατέτακται γινέσθω, χωρὶς τοῦ ἀσπασμοῦ· γίνεται δὲ καὶ λιτή.

Ὁ αὐτὸς [2]) τύπος γίνεται, εἰ τύχοι ὁ Εὐαγγελισμὸς τῇ γ' τῆς Διακαινησίμου, ἢ τῇ δ', ἢ ᾗ ἂν ἡμέρᾳ μετὰ τὸ Πάσχα τύχῃ.

[л. 107 об.). Σημείωσαι. Ἰστέον, ὅτι οὐκ ἀπὸ ἰδίου σκοποῦ [3]) τό [4]), πῶς δεῖ ψάλλεσθαι τὴν τοῦ Εὐαγγελισμοῦ ἀκολουθίαν ἔν τε ταῖς τῆς τεσσαρακοστῆς ἡμέραις καὶ τῆς μεγάλης ἑβδομάδος καὶ τοῦ Πάσχα ἡμῖν πεπόνηται· καὶ γὰρ τῷ Τυπικῷ τῆς Μεγάλης Ἐκκλησίας ἀκολουθήσαντες καὶ ἀκριβέσι [5]) Συναξαρίοις ἐντυχόντες τῆς τε ἀοιδίμου μονῆς τοῦ Στουδίτου καὶ τῶν λοιπῶν [6]), οὐ μὴν δὲ ἀλλὰ [7]) καὶ τῶν Ἱεροσολύμων, ταῦτα [8]) ἐντετάγαμεν [9]).

---

[1]) Въ Типик. лавр. XIII в. (1484). Καὶ εἰ μὲν ποιεῖς ἀγρυπνίαν, ἢ δὲ μὴ Χριστὸς ἀνέστη καὶ ἀπόλυσις [2]) Этого замѣчанія нѣтъ. Ркп. XII в. Син. библ. № 1094: καὶ εἰ μὲν οὐ ποιοῦμεν ἀγρυπνίαν, Χριστὸς ἀνέστη μόνον καὶ ἀπόλυσις, εἰ δὲ γίνεται ἀγρυπνία· Χριστὸς ἀνέστη καὶ πᾶσα ἡ ἀκολουθία, ὡς ἐν τῇ μεγάλῃ κυριακῇ, ἐκτὸς τοῦ ἀσπασμοῦ [3]) Ркп. 1346, περὶ τοῦ πῶς [4]) Ркп. Син. библ. № 1094 τὰ περὶ τοῦ Εὐαγγελισμοῦ τὸ πῶς δεῖ ψάλλεσθαι ἡ ἀκολουθία ἔν τε τῇ μ' καὶ τῇ μεγάλῃ ἑβδομάδι ἡμῖν πεπόνηται [5]) нѣтъ [6]) нѣтъ [7]) τούτως ἐντετυχήκαμεν [8]) καὶ τοῖς τῶν ἐν Ἱεροσολύμοις [9]) συνεταξάμεθα.

Μηδεὶς οὖν ἐπαπορείτω τῇ ἐναλλαγῇ ἐντυγχάνων τῶν τε στιχηρῶν καὶ τῶν κανόνων καὶ τῶν ἀναγνωσμάτων, ὅπερ [1]) διώρισται, ἀλλὰ τὴν ἡμέραν σκοπείτω, ὅτε ἡ παραμονὴ τοῦ Εὐαγγελισμοῦ γίνεται εἶτα αὐτὴν τὴν ἡμέραν τῆς ἑορτῆς, ὁποία ἐστί, καὶ εὑρήσεις, ὅτι [2]), εἰ νηστεία τύχοι ἡ παραμονή, διὰ τὸ σεβάσμιον τῆς τεσσαρακοστῆς, ψάλλομεν πρῶτον τὰ στιχηρὰ τῆς ἡμέρας καί, οἱονεὶ πέρας διδόντες τῇ νηστείᾳ, εἶτα τὰ στιχηρὰ τοῦ Εὐαγγελισμοῦ καὶ τὴν τῶν προηγιασμένων λειτουργίαν, ἐξ ἐκείνης δέ, ἅ τε ἀρχὴν τῆς ἑορτῆς λαβούσης, πάντα τὰ τοῦ Εὐαγγελισμοῦ προηγοῦνται. Τοῦ δὲ σαββάτου τοῦ Λαζάρου καὶ τῆς κυριακῆς τῶν Βαΐων προετάξαμεν τὴν τοῦ Εὐαγγελισμοῦ ἀκολουθίαν, διὰ τὸ πρὸ [3]) τοῦ πάθους τοῦ Χριστοῦ γενέσθαι ταύτας τὰς ἑορτὰς καὶ διὰ τὸ μὴ εἶναι νηστείαν ἐν αὐταῖς. Πάλιν δὲ ἐν ταῖς τῆς μεγάλης ἑβδομάδος ἡμέραις προεκρίναμεν, εἰ τύχοι ἐν αὐταῖς ἡ παραμονὴ τοῦ Εὐαγγελισμοῦ, προηγεῖσθαι τῆς ἡμέρας τὰ στιχηρὰ εἰς τὸ λυχνικόν, εἶτα τοῦ Εὐαγγελισμοῦ διὰ τὴν νηστείαν, ὡς ἤδη φθάσαντες εἴπομεν [4]) καὶ τὸ τῶν ἡμερῶν περίδοξον [5]). Γίνεσθαι δὲ τῇ μεγάλῃ παρασκευῇ καὶ προσκομιδήν, εἰ τύχοι ἐν ταύτῃ ὁ Εὐαγγελισμός, κἂν γὰρ οἱ κανόνες ἄλλως διαγορεύουσιν, ἀλλὰ [6]) οὖν εὕρομεν ἐν τῷ Συναξαρίῳ τῆς Μεγάλης Ἐκκλησίας [7]) εἰς τοὺς εὐκτηρίους οἴκους [8]) τῆς Θεοτόκου γίνεσθαι προσκομιδὴν καὶ τελείαν λειτουργίαν [9]).

[л. 109) На день великомученика Георгія, 23 Апрѣля, не только не положено особыхъ замѣчаній на случай, если эта память придется на Пасху или въ другіе дни, но даже не указано всенощнаго бдѣнія, о которомъ на полѣ рукописи

[1]) Ркп. лавры Аѳан. 1346 г. ὅπως [2]) ὅτι ὅτε ἐν νηστείᾳ τύχῃ [3]) πρότερον εἶναι τὴν ἑορτὴν τοῦ Εὐαγγελισμοῦ τῶν τοιούτων ἑορτῶν καὶ διὰ τὸ μὴ εἶναι ἐν αὐταῖς νηστείαν. Πάλιν δὲ [4]) ἐδηλώσθη [5]) ἐν δὲ ταῖς ἀναστασίμοις αὖθις ἡμέραις προηγεῖσθαι ἀεὶ τὰ ἀναστάσιμα διεκρίναμεν διὰ τὸ πανυπέρλαμπρον τῆς ἀναστάσεως [6]) ἐπεὶ δὴ εὕρομεν καὶ ἐν [7]) διατεταγμένον [8]) μονάς [9]) Ἀλλ' ἐπειδὴ πλείους σχεδὸν τῶν εὐκτηρίων οἴκων τῆς Θεοτόκου εἰσὶν καὶ τοῦ πλεονάζοντος ἐπικρατήσας καὶ εἰς πάντας καὶ παρ' ἡμῶν διετάχθη. Ркп. XII в. № 1094, Син. библ. Εἰ δὲ οὐκ ἔστιν εὐκτήριος οἶκος τῆς Θεοτόκου, προσκομιδὴ οὐ γίνεται, οὔτε ἐν ταύτῃ τῇ ἡμέρᾳ, οὔτε ἐν ἄλλῃ τῆς μ', ἀλλ' ἡ τῶν προηγιασμένων τελεῖται λειτουργία, πλὴν τῆς μεγάλης πέμπτης. Въ Типиконахъ XV вѣка здѣсь находимъ дополненіе: Χρυσοστόμου. Ркп. лавры (л. 123) пр. Аѳан. № 99. Λ. Εἰ δὲ οὐκ ἔστιν εὐκτήριος οἶκος τῆς Θεοτόκου, προσκομιδὴ οὐ γίνεται. Οὕτως ἐν ταύτῃ τῇ ἡμέρᾳ οὔτε ἐν ἄλλῃ τῆς τεσσαρακοστῆς, ἀλλὰ τῆς προηγιασμένης τελεῖται λειτουργία, πλὴν τῆς μεγάλης πέμπτης. Ἄλλος ὁ προῤῥηθεὶς τύπος γίνεται νῦν· οὕτως γὰρ πάντως ἐξηκολούθησαν, ἐπεὶ πρῶτον παρὰ τῆς Μεγάλης Ἐκκλησίας δέδοται· καὶ ἐν τοῖς λοιποῖς εὐκτηρίοις προσκομιδὴ γίνεται καὶ τελεία λειτουργία.

внизу рукою писца замѣчено: «Ἐνταῦθα γέγραπται ἔν τισιν, ὅτι, εἰ θέλει ὁ προεστώς, ποιεῖ ἀγρυπνίαν».

[л. **119**). По поводу тропаря на день Іоанна Богослова дѣлается такое замѣчаніе: *Μὴ θαυμάσῃς* [1]), *εἰ πάλιν εἶπε τὸν υἱὸν τῆς βροντῆς· καὶ γὰρ ἐν ἄλλοις οὕτως εὕρηται, οἶμαι δέ, διὰ τὸ ἐξαίρετον τοῦ τοιούτου στιχηροῦ, σὺ οὖν, εἰ οὐ βούλεις τοῦτο εἰπεῖν, δόξασον εἰς ἦχον δ'· Ἀναπεσὼν ἐν τῷ στήθει τοῦ διδασκάλου. Καὶ γίνεται ἀνάγνωσις εἰς τὴν Ἀποκάλυψιν· εἰς δὲ τὰς ἄλλας ἀναγνώσεις τίθενται αἱ Περίοδοι, ἃς συνεγράψατο ὁ Πρόχορος.*

[л. **119**). *Ἰστέον, ὅτι ᾗ ἂν ἡμέρα τύχῃ ἡ μνήμη τοῦ ἁγίου ἀποστόλου μετὰ τὸ Πάσχα, κἂν τῆς μεσοπεντηκοστῆς, κἂν τῆς Ἀναλήψεως οὐ παραλιμπάνεται, ἀλλὰ ψάλλεται μετὰ τῆς ἑορτῆς καὶ τῆς ἀκολουθίας τῆς ἡμέρας* [2]).

[л. **123** об.). 2 Іюля службу положенія одежды Пресвятыя Богородицы во Влахернахъ. См. выше стр. 77, столб. 3.

[л. **124**). Подъ 5 Іюля *Τῆς ὁσίας Μάρθας, τῆς μητρὸς τοῦ ἁγίου Συμεὼν τοῦ θαυματουργοῦ.* Памяти св. Аѳанасія Аѳонскаго не положено, посему древнѣйшимъ почеркомъ киноварью замѣчено на полѣ внизу: *Τοῦ ἁγίου Ἀθανασίου εἰς τὰς ε' τοῦδε τοῦ μηνὸς ψάλλεται διὸ καὶ προσεκτέον.*

[л. **129**). 1 Августа. *Τῶν ἁγίων ἑπτὰ Μακκαβαίων μαρτύρων καὶ τοῦ αὐτῶν διδασκάλου Ἐλεαζάρου καὶ τῆς μητρὸς αὐτῶν Σολομονῆς.*

Πρὸ τοῦ σημᾶναι μετακομίζεται τὸ τίμιον ξύλον ἀπὸ τοῦ σκευοφυλακίου, καθὼς ἐν τῇ ιδ' τοῦ Σεπτεμβρίου μηνὸς ἀναγέγραπται.

Положено на утрени великое славословіе, но безъ выноса креста. Вмѣсто же сего мы находимъ здѣсь замѣчаніе: *Ἐν ἑτέρῳ Τυπικῷ* [3]) *δοξολογία οὐ γέγραπται, ἀλλ' ἢ ὅτι εἰς τὸν στίχον στιχηρὰ τῆς Ὀκτωήχου, Δόξα καὶ νῦν τὰ αὐτά. Δεῖ, εἰδέναι, ὅτι μετὰ τὴν συμπλήρωσιν τοῦ ὄρθρου ποιοῦμεν τὴν προσκύνησιν.* См. Ивер.-Аѳон. библ. Тип. рукопись XV—XVI в. № 76.

---

[1]) Типик. 1484 г. Этого замѣчанія нѣтъ, но чтеніе указано изъ Апокалипсиса съ прибавкою: Εἰς δὲ τὰς ἄλλας ἀναγνώσεις τίθενται αἱ Περίοδοι αὐτοῦ, ἃς συνεγράψατο Πρόχορος. Ркп. лавры 1346 г. Этого примѣчанія нѣтъ [2]) τοῦ ἀποστόλου [3]) Этого замѣчанія нѣтъ, а прямо послѣ великаго словословія: Δεῖ εἰδέναι

[л. 134). О праздникѣ Нерукотвореннаго образа замѣчается. Ἰστέον [1]), ὅτι τῇ αὐτῇ ις' ἐστὶν ἡ ἐξ Ἐδέσσης ἀνακομιδὴ τῆς ἀχειροποιήτου μορφῆς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἤτοι τοῦ ἁγίου Μανδηλίου, καὶ εἰ ἔστιν ἀκολουθία συμψάλλεται μετὰ τῆς ἑορτῆς, τροπάριον ἦχος β'· Τὴν ἄχραντον εἰκόνα σου προσκυνοῦμεν.

]л. 136 об.). Συναξάριον σὺν Θεῷ ἁγίῳ τῆς ἁγίας καὶ μεγάλης μ', ἀρχόμενον ἀπὸ τῆς κυριακῆς τοῦ τελώνου καὶ τοῦ φαρισαίου καὶ λῆγον τῇ κυριακῇ τῶν Ἁγίων Πάντων.

[л. 137 об.). Δεῖ γινώσκειν, ὅτι [2]) τῇ ἑβδομάδι τῆς ἀπόκρεω [3]) Ἀλληλούια οὐ ψάλλομεν, ἐκκόπτομεν δὲ καὶ τὸ ἓν κάθισμα [4]) ἀπὸ τοῦ Ψαλτηρίου εἰς τὸν ὄρθρον καὶ ψάλλομεν [5]) αὐτὸ εἰς τὸ λυχνικόν [6]), ὡσαύτως ποιοῦμεν καὶ τῇ ἑβδομάδι τῆς τυρινῆς [7]) ἄνευ τῆς δ' καὶ τῆς παρασκευῆς· ἐν γὰρ ταύταις ψάλλομεν Ἀλληλούια, ποιοῦμεν [8]) μετανοίας καὶ τὴν νηστείαν ἐκτελοῦμεν [9]) κατὰ τὸν παρακολουθήσαντα τύπον, εἰ μή ἐστιν [10]) αὕτη ἡ κυρία ἡμέρα τῆς Ὑπαπαντῆς. Μετὰ δὲ τὸν ἑσπερινὸν [11]) ἐν ταῖς δυσὶ ταύτας ἡμέραις ἐσθίομεν τυρὸν καὶ ὠά, τηροῦντες τὸν κανόνα τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικηφόρου, πατριάρχου Κωνσταντινουπόλεως τοῦ ὁμολογητοῦ, τὸν λέγοντα, ὅτι δεῖ νηστεύειν τοὺς μοναχοὺς τῆς δ' καὶ τῇ παρασκευῇ τῆς τυροφάγου καὶ μετὰ τὴν [12]) τῶν προηγιασμένων ἀπόλυσιν ἐσθίειν τυρὸν καὶ ὠά, ὅπου ἂν εὑρεθῶσιν, ἀνατρέποντες [13]) τὸ δόγμα τῶν Ἰακωβιτῶν καὶ τὴν τῶν τετραδιτῶν αἵρεσιν.

Ἰστέον, ὅτι τὴν ἀκολουθίαν τῶν ἁγίων τῶν λαγχανόντων τῷ σαβ-

---

[1]) Въ Тип. 1484 г. нѣтъ этого замѣчанія. Здѣсь такъ читается: Τοῦ ἁγίου μάρτυρος Διομήδους ἑσπέρας οὐ στιχολογοῦμεν. Γίνεται ἡ ἀκολουθία τῆς ἑορτῆς καὶ τοῦ ἁγίου [2]) Тип. 1346 г. κατὰ ταύτην τὴν ἑβδομάδα [3]) Тип. 1438 и 1346 г. библ. св. лавр. Аѳанасія τῆς ἀπόκρεω Ἀλληλούια οὐ ψάλλομεν — нѣтъ [4]) 1438 г. τοῦ Ψαλτηρίου εἰς τὸν ὄρθρον καὶ στιχολογοῦμεν [5]) 1346 г. λέγομεν [6]) 1346 и 1484 гг. Πρὸς τὸν Κύριον· Σχολάζουσι δὲ καὶ οἱ παρακλητικοὶ κανόνες τῆς Θεοτόκου, οἱ ἐν τοῖς ἀποδείπνοις ψάλλομεν [7]) τυροφάγου [8]) 1346 г. Ἐν δὲ ταῖς δυσὶν ἡμέραις τῆς αὐτῆς ἑβδομάδος τῆς τυρινῆς τῇ τετράδι καὶ τῇ παρασκευῇ ψάλλομεν Ἀλληλούια, ἐκτελοῦντες καὶ ἐννάτας σὺν μετανοίαις, κατὰ τὸν παρακολουθήσαντα τύπον τῆς ἁγίας καὶ μεγάλης μ', εἰ μήπω τύχοι αὐτὴ ἡ κυρία ἡμέρα τῆς Ὑπαπαντῆς καὶ ἡ τοῦ Προδρόμου μνήμη· τότε γὰρ αἱ μετάνοιαι μὲν ἀργοῦσιν, ἡ δὲ νηστεία καταλύεται. Μετὰ δὲ τὸν ἑσπερινόν, [9]) ркп. 1346 г. ποιοῦντες καὶ θ' κατὰ τὸν προακολουθήσαντα [10]) Εἰ μήπως τύχοι [11]) καὶ μετὰ τὴν ἀπόλυσιν [12]) 1346 г. καὶ μετὰ τὴν τοῦ ἑσπερινοῦ ἀπόλυσιν, ἐσθίειν τυρὸν καὶ ὠά, ὅπου ἂν εὑρεθῶσιν. Ἀνατρέπει δὲ οὗτος ὁ κανὼν τὸ δόγμα τῶν ἰακωβιτῶν καὶ τὴν τῶν τετραδιτῶν αἵρεσιν. [13]) ὁ τοιοῦτος κανών.

βάτῳ καὶ τῇ κυριακῇ [1]) τῆς ἀπόκρεω ψάλλομεν ἐν τοῖς παρελθοῦσιν ἀποδείπνοις, εἰ μήπω τύχοι μεγάλου ἁγίου ἡμέρα.

[л. 140). Ἰστέον [2]), ὅτι ἐν Παλαιστίνῃ οὐ παρελάβομεν ἀπὸ τῶν ἁγίων πατέρων [3]) ποιεῖν τῇ δ' καὶ τῇ παρασκευῇ τῆς τυροφάγου [4]) λειτουργίαν, οὔτε δὲ προηγιασμένων [5])· ἐν [6]) δὲ ταῖς δυσὶ ταύταις ἡμέραις ψάλλομεν Ἀλληλούια, οἵου ἂν τύχῃ ἁγίου μνήμη ἐκτὸς τῆς Ὑπαπαντῆς καὶ τοῦ Προδρόμου, ποιοῦντες καὶ τὰς συνήθεις μετανοίας ἔν τε τῷ ἑσπερινῷ, τῷ ὄρθρῳ καὶ ταῖς ὥραις [7]). Μετὰ δὲ τὴν τοῦ ἑσπερινοῦ ἀπόλυσιν εἰσερχόμεθα εἰς τὴν τράπεζαν, ἅπαξ δηλονότι ἐν ταύταις ταῖς ἡμέραις, καὶ ἐσθίομεν [8]) τυρὸν καὶ ᾠά, εὐχαριστοῦντες τῷ Θεῷ, μεταλαμβάνοντες καὶ οἴνου.

Χρὴ εἰδέναι, ὅτι τῇ δ' τῆς τυρινῆς τὴν προφητείαν [9]) μετὰ τοῦ τροπαρίου λέγομεν ἐν τῇ ϛ' ὥρᾳ, ὁμοίως καὶ τὴν ἑτέραν ἐν τῷ ἑσπερινῷ, ψάλλοντες [10]) καὶ τὸ Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον, μετὰ μέλους εἰς ἦχον πλ. β' [11]), στίχος· Ὁ ποιμαίνων τὸν Ἰσραήλ. Τὸ αὐτὸ ποιοῦμεν καὶ τῇ παρασκευῇ. Εἰς τὸν ὄρθρον τῆς δ' ἀναγινώσκομεν

---

[1]) Тип. св. лавры 1438 г. ἐν τοῖς ἀνελθοῦσιν ἀποδείπνοις [2]) Тип. 1346 г. παρελάβομεν δὲ ἀπὸ τοῦ ἐν Παλαιστιναῖς [3]) ἐν ταῖς δυσὶ ταύταις ἡμέραις (т. е. среды и пятницы) μὴ ποιεῖν μήτε λειτουργίαν τελείαν, μήτε προηγιασμένων, ἐκτὸς εἰ μὴ τύχοι ἡ κυρία ἡμέρα τῆς ἑορτῆς τῆς Ὑπαπαντῆς, ἀλλὰ μετὰ τὴν συμπλήρωσιν τῶν ὡρῶν ἅμα δὲ καὶ τῶν τυπικῶν συνάπτειν τὸ λυχνικόν, μετα δὲ τὴν ἀπόλυσιν εἰσέρχεσθαι εἰς τὴν τράπεζαν, ἅπαξ δηλονότι τῆς ἡμέρας καὶ ἐσθίειν τυρὸν και ᾠά, εὐχαριστοῦντες τῷ Θεῷ. Εἰδέναι δὲ χρὴ καὶ τοῦτο, ὅτι τὴν προφητείαν μετὰ τοῦ τροπαρίου αὐτῆς καὶ τοῦ προκειμένου λέγομεν ἐν τῇ ϛ' ὥρᾳ τῶν δύο τούτων ἡμερῶν [4]) ркп. 1438 г. прибавлено: τελείαν [5]) ἀλλὰ ψάλλομεν [6]) ποιεῖν δὲ καὶ θ' καὶ τὰς συνήθεις μετανοίας [7]) εἰ μὴ ἢ τύχοι καὶ ἁγίου μνήμη τὸ αὐτὸ ποιοῦμεν, ἐκτός, λέγω, τῆς σεβασμίας Ὑπαπαντῆς τοῦ Κυρίου καὶ τῆς εὑρέσεως τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου [8]) καὶ ἐσθίομεν [9]) β' καὶ ὀφείλει ἀναγινώσκεσθαι οὕτως μετὰ τὸ τέλος τῆς ϛ' ὥρας καὶ τὰ συνήθη τροπάρια τῆς Θεοτόκου· Ὅτι οὐκ ἔχομεν παῤῥησίαν. Λέγομεν τὸ τροπάριον τῆς προφητείας εἰς τὸν αὐτὸν ἦχον ἅπαξ, εἶτα λέγει ὁ κανονάρχης, Καὶ νῦν, καὶ ἡμεῖς πάλιν τὸ τροπάριον, εἶτα προκείμενον τῆς προφητείας καὶ ταύτης ἀνάγνωσις. Μετὰ δὲ τὸ τέλος ταύτης· Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς καὶ τὰ λοιπὰ ἕως τέλους. Τὴν δὲ ἑτέραν προφητείαν λέγομεν εἰς τὸν ἑσπερινόν, ψάλλεται καὶ τὸ Ἐλπισάτω Ἰσραὴλ [10]) Ркп. 1346 г. καὶ τὸ ὕστερον ταύτης προκείμενον, ἤγουν τὸ Ἐλπισάτω εἰς ἦχον πλ. α'. Ἐν δὲ τοῖς ὄρθροις τῶν ε' ἡμερῶν τῆς αὐτῆς ἑβδομάδος, ψάλλομεν τοὺς κανόνας τῆς Ὀκτωήχου συνήθως καὶ τοῦ κατὰ τὴν ἡμέραν ἁγίου, ἐν αἷς δὲ ᾠδαῖς λαγχάνει ἡ ᾠδὴ τοῦ Τριῳδίου, καταλιμπάνομεν τὴν ᾠδὴν τοῦ β' κανόνος τῆς Ὀκτωήχου καὶ ψάλλομεν ἀντὶ ταύτης τὴν τοῦ Τριῳδίου ᾠδήν. Εἰ δε εἰσὶ δύο ἅγιοι, ψάλλεται μὲν ὁ εἷς κανὼν τῆς Ὀκτωήχου καὶ τῶν ἁγίων δύο, ὅτε δὲ ἐπιλαγχάνει ἡ τοῦ Τριῳδίου ᾠδή, καταλιμπάνεται ἀντὶ ταύτης ἡ τῆς Ὀκτωήχου ᾠδή. Ἐν δὲ ταῖς στιχολογίαις, εἰς μὲν τὸ πρῶτον κάθισμα, καθίσματα τῆς Ὀκτωήχου λέγονται, εἰς δὲ τὸ β' κάθισμα τοῦ Τριῳδίου, Δόξα καὶ νῦν θ' προσόμοιον, τῆς ἡμέρας. Δεῖ γινώσκειν, ὅτι τῷ σαββάτῳ καὶ τῇ κυριακῇ τῆς τυρινῆς Μηναῖον οὐ ψάλλομεν· τὴν γὰρ ἀκολουθίαν τῶν ἐπιλαγχανόντων ἐν αὐταῖς ἁγίων ψάλλομεν ἐν τοῖς ἀποδείπνοις, ὅτε θέλει ὁ ἐκκλησιάρχης [л. 218). [11]) Ркп. 1438 г. οὕτω γὰρ ποιοῦμεν καὶ τῇ παρασκευῇ τῆς αὐτῆς ἑβδομάδος

τὸν περὶ νηστείας λόγον τοῦ Μεγάλου Βασιλείου, οὗ ἡ ἀρχή· Παρακαλεῖτε, φησίν, οἱ ἱερεῖς τὸν λαόν. Τῇ δὲ ε' ἀναγινώσκομεν τοῦ ἁγίου Ἀναστασίου τοῦ Σιναΐτου λόγον εἰς τὸν ς' ψαλμόν, ὁμοίως [1]) καὶ τῇ παρασκευῇ τὸν ἕτερον λόγον τοῦ Μεγάλου Βασιλείου τὸν περὶ νηστείας, οὗ ἡ ἀρχή· Σαλπίσατε, φησίν, ἐν νουμηνίᾳ. Ζήτει αὐτοὺς εἰς τὰ Ἠθικά. Εἰς δὲ τὴν τράπεζαν ἀναγινώσκεται ὁ περὶ νηστείας λόγος τοῦ Δωροθέου [2]).

(л. **140** об.). Δεῖ γινώσκειν, ὅτι ἐν πάσῃ[3]) τῇ μ' εἰς τὸ λυχνικὸν τῇ παρασκευῇ, εἰ μέλλει γενέσθαι προηγιασμένων, ἱστῶμεν στιχηρὰ ι' ἀπὸ τοῦ Ἐξάγαγε, ψάλλοντες τὸ ἰδιόμελον τῆς ἡμέρας [4]) δ', λέγομεν καὶ δ' μαρτυρικὰ τοῦ ἤχου καὶ τοῦ Μηναίου, δευτεροῦντες οὖν τὸ ἕν, Δόξα, νεκρώσιμον κὺρ Ἰωάννου [5]) τοῦ κατὰ τὴν ἡμέραν ἤχου, Καὶ νῦν, θεοτοκίον α', εἴσοδος, ὡσαύτως καὶ ἡ ἀκολουθία τῶν προηγιασμένων. Εἰ δ' οὐ γίνεται προηγιασμένη [6]), λέγομεν τὸ Κύριε ἐκέκραξα [7]) εἰς τὸν ἦχον, καὶ ἱστῶμεν στιχηρὰ ς' καὶ ψάλλομεν μαρτυρικὰ καὶ τὸ Μηναῖον, Δόξα τοῦ ἤχου, Καὶ νῦν, θεοτοκίον τὸ α', εἰς τοὺς στίχους δευτεροῦμεν τὸ ἰδιόμελον τῆς ἡμέρας καὶ μαρτυρικὸν εἰς τὸν αὐτὸν ἦχον, Δόξα καὶ νῦν, θεοτοκίον. Δεῖ γινώσκειν, ὅτι οὕτως τελεῖται ἡ ἀκολουθία τοῦ λυχνικοῦ [8]) κατὰ πᾶσαν παρασκευὴν ἀπὸ τῆς παρασκευῆς τῆς δευτέρας ἑβδομάδος μέχρι τῆς παρασκευῆς τῆς πέμπτης ἑβδομάδος [9]).

[л. **151**). Ὥρα ἀκριβῶς. Ἰδοὺ οὖν, ὡς προγέγραπται, μίαν ἡμέραν [10]) τῶν ἁγίων νηστειῶν ἀκριβῶς ἐξετάσαντες, παρεθήκαμεν [11]) τῇ ἀγάπῃ ὑμῶν τήν τε ποιότητα καὶ ποσότητα τῆς ψαλμῳδίας, ὡσαύτως καὶ τὰς τυπωθείσας μετανοίας παρὰ τῶν ἁγίων πατέρων, ἃς οὐκ ἔξεστι παραλογίζεσθαι [12]) καὶ τὸν ἄγαν νωθέστατον· ποιοῦνται δὲ αἱ ἐν τῇ ἐκκλησίᾳ γινόμεναι μετάνοιαι τοῦ νυχθημέρου εἰς τ' [13]). Παρελάβομεν δὲ

[1]) Τινὰ δὲ τῶν τυπικῶν τὸν τοιοῦτον λόγον ὁρίζουσιν ἀναγινώσκεσθαι τῇ παρασκευῇ, καὶ εἰ βούλεται ὁ προεστώς, καὶ τῇ παρασκευῇ ἀναγινώσκομεν τὸν ἕτερον λόγον τοῦ Μεγάλου [2]) Ζήτει λόγος ιε' [3]) **Тип. лавры 1438 г.** πάσαις ταῖς παρασκευαῖς τῆς ἁγίας καὶ μεγάλης [4]) ἐκ β', εἶτα τὰ δ' μαρτυρικὰ τοῦ ἐνορδίνου, εἶθ' οὕτως τοῦ Μηναίου, δευτεροῦντες τὸ ἓν [5]) τοῦ Δαμασκηνοῦ τοῦ ἐνορδίνου ἤχου, Καὶ νῦν, θ' τὸ πρῶτον τοῦ ἐνορδίνου ἤχου, εἴσοδος μετὰ τοῦ θυμιατοῦ, τὸ Φῶς ἱλαρόν, τὰ ἀναγνώσματα τῶν προφητειῶν, τὸ Κατευθυνθήτω καὶ ἡ λοιπὴ ἀκολουθία [6]) ὅπερ οὐ δύναται [7]) ἱστῶμεν στίχους ς' καὶ ψάλλομεν τὰ γ' μαρτυρικὰ τοῦ ἐνορδίνου ἤχου καὶ τοῦ Μηναίου γ', Δόξα, ἡμέρας τοῦ ἤχου, Καὶ νῦν, θεοτοκίον τὸ α', ὡς εἴρηται. Εἰς δὲ τὸν στίχον τὸ ἰδιόμελον τῆς ἡμέρας ἐκ β', εἶτα τὰ μαρτυρικὰ κατὰ τὸν ἦχον τοῦ ἰδιομέλου, Δόξα καὶ νῦν, θ', ἀπολυτίκιον ἦχος α'· Ἀπόστολοι μάρτυρες, Δόξα, Μνήσθητι, Κύριε, Καὶ νῦν, Μήτηρ ἁγία. Τὰ αὐτὰ καὶ τῷ σαββάτῳ εἰς τὸ Ἀλληλούια. Οὕτως γὰρ [8]) ἑσπερινοῦ [9]) **прибавлено:** ἐπιτελουμένων προηγιασμένων, εἴτε καὶ μὴ τελουμένων [10]) ὅλαις [11]) οἶμαι [12]) ἢ καταφρονεῖν, ποσοῦνται δὲ ἐν τῇ ἐκκλησίᾳ γινόμεναι μετάνοιαι [13]) ἄνευ τοῦ μεσονυκτικοῦ.

ἐν τῇ Παλαιστίνῃ ἐν τοῖς ἰδίοις κελλίοις ψάλλειν τὸ Ψαλτήριον, καὶ οἱ μὲν δυνάμενοι τελειοῦσιν [1]) αὐτὸ τὸ νυχθήμερον [2]), οἱ δὲ τρίτον τῆς ἑβδομάδος, οἱ δὲ δίς, μετανοίας δὲ ποιεῖν ὅσας ἑκάστῳ κατὰ τὴν ἰδίαν δύναμιν ὁ προεστὼς τυπώσει· μεσονυκτικὸν δὲ ψάλλομεν τὸν Ἄμωμον [3]).

[л. 151 об.). Μετὰ [4]) δὲ τὴν ὀπισθάμβωνον εὐχὴν (т. е. на литургіи пятницы первой недѣли) ἐξερχόμεθα ἐν τῷ νάρθηκι, ψάλλοντες τοῦ ἁγίου Θεοδώρου τὸν εὐχαριστήριον κανόνα, εἶτα, διδομένου κατακλαστοῦ, ἀπερχόμεθα εἰς τὴν τράπεζαν, μεταλαμβάνοντες ἐλαίου καὶ οἴνου διὰ τὸν ἅγιον. Τοῦτο γὰρ παρελάβομεν ἀπὸ τῆς λαύρας τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα καὶ τοῦ κοινοβίου τοῦ θεοφόρου πατρὸς ἡμῶν Εὐθυμίου. См. выше стр. 77, столб. 1.

[л. 152). Σάββατον πρῶτον τῶν νηστειῶν· μνήμην[5]) ἐπιτελοῦμεν τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου τοῦ Τήρωνος.

[л. 152 об.). Δεῖ εἰδέναι, ὅτι ἐφ' ὅλην τὴν ἁγίαν τεσσαρακοστὴν δὶς παρελάβομεν ἐσθίειν ὀψάριον· κατὰ τὴν ἑορτὴν τοῦ Εὐαγγελισμοῦ καὶ τῇ κυριακῇ τῶν Βαΐων.

[л. 153). Въ первое воскресенье на всенощномъ: Εἰς τὸ Θεὸς Κύριος, τροπάριον ἀναστάσιμον τοῦ ἤχου, Δόξα, ἦχος β'· Τὴν ἄχραντον εἰκόνα, Καὶ νῦν, θεοτοκίον εἰς τὸν αὐτὸν ἦχον τὸ α'. Ἄλλοι λέγουσιν [6]) εἰς τὸν αὐτὸν ἦχον θεοτοκίον· Τὸν λόγον τοῦ Πατρός, Χριστὸν τὸν Θεὸν ἡμῶν, διὰ τὸ εἶναι προσαρμόζον τοῦτο τῇ ἑορτῇ, ἔνοι δὲ καὶ αὐτὸ ἀπὸ Τυπικοῦ.

[л. 159). О средѣ замѣчено: Εἰς δὲ τὴν τράπεζαν ἐσθίομεν ἔλαιον, πίνομεν καὶ οἶνον διὰ τὸν κόπον τῆς ἀγρυπνίας [7]). Τὰ δὲ ἀπόδειπνα ψάλλομεν ἐν τοῖς κελλίοις ἡμῶν. По этому поводу внизу замѣчено позднѣйшею рукою: Σφάλμα μέγα, ἐπειδὴ σήμερον ἔλαιον καὶ οἶνον καὶ αὔριον νὰ κοινωνήσωμεν, καθὼς γράφεις, οὐ γίνεται· λοιπὸν ἐπὶ τὴν αὔριον πρέπει νὰ γράψῃς τὸ ἔλαιον καὶ οἶνον.

---

[1]) τελείουσιν [2]) οἱ δὲ δὶς τῆς ἑβδομάδος, ἄλλοι δὲ τρίτον [3]) ὡς ἔθος ἐνιαυτοῦ. [4]) Это замѣчаніе изложено въ Типиконѣ 1438 г. иначе (см. выше стр. 79) [5]) нѣтъ этого замѣчанія, но за то имѣется замѣчаніе въ службѣ: Ἐν ἄλλοις δὲ Τυπικοῖς γέγραπται εἰς τοὺς αἴνους τὰ δ' μαρτυρικὰ τοῦ ἤχου, и положены стихиры и святого изъ Минеи (л. 175 об.) [6]) Нѣтъ и этого замѣчанія, а сказано: εἰ δὲ βούλει καὶ τὸ Χορὸς τῶν προφητῶν [7]) Прибавлено: εἰ δὲ δόξει τῷ προεστῶτι κατάλυσιν τοῦ ἐλαίου οὐ ποιοῦμεν τῇ δ' ἑσπέρας

*

[**л.** **157** об.). Τῇ δὲ αὐτῇ ἡμέρᾳ (т. е. въ четвергъ пятой недѣли) ἡ πᾶσα ἀκολουθία ἐκτελεῖται ταχύτερον διὰ τὸν κόπον [1]) τῆς ἀγρυπνίας· τελεῖται [2]) δὲ καὶ προηγιασμένη, ἐν ᾗ μεταλαμβάνομεν τῶν ἁγίων τοῦ Χριστοῦ μυστηρίων.

(**л.** **169**). Извѣстное и помѣщаемое въ нашемъ нынѣшнемъ Типиконѣ правило о несовершеніи въ великую пятницу литургіи оканчивается такъ: Καὶ τοῦτο εὑρήσεις εἰς τὰς ἀποστολικὰς διατάξεις ἐπισκεμμένως διεξελθών.

[**л.** **171**). Τῇ ἁγίᾳ καὶ μεγάλῃ κυριακῇ εἰς τὸν ὄρθρον см. выше стр. 90—91, столб. 1—2.

[**л.** **187** об.). Σημείωσαι. Δεῖ γινώσκειν, ὅτι εἰ τύχοι ἡ ἑορτὴ τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου κατὰ αὐτὴν τὴν ἡμέραν τῆς δεσποτικῆς Ἀναλήψεως, γίνεται ἡ ἀκολουθία τοῦ ἁγίου μετὰ τῆς ἑορτῆς [3]). Ψάλλομεν δὲ τὴν ἀκολουθίαν τῆς Ἀναλήψεως ἐν τῇ παρούσῃ ἑβδομάδι μέχρι τῆς παρασκευῆς. Στίχους δὲ λέγομεν ἐν τοῖς στιχηροῖς [4])· Πάντα τὰ ἔθνη καὶ Ἀνέβη ὁ Θεός, οὓς λέγομεν καὶ εἰς τὸν ὄρθρον, ἡ δὲ Ὀκτώηχος σχολάζει [5]).

[**л.** **191** об.). Порядокъ суточной службы въ постъ святыхъ Апостоловъ.

[**л.** **193**). Замѣчанія, какъ должны кадить священникъ и діаконъ и о времени закрытія и открытія царскихъ дверей.

[**л.** **195**]. Δεῖ τοίνυν τὸν προεστῶτα πᾶσαν ἐνδείκνυσθαι σπουδήν. См. въ Святогроб. ркп. Тип. № 59, но оканчивается такъ: χοροῦ Εὐθυμίου τοῦ μεγάλου, Σάββα τοῦ ἡγιασμένου, Θεοδοσίου τοῦ κοινοβιάρχου, Γερασίμου ἐν τῷ Ἰορδάνῃ, ᾧ δεδούλευκεν ὁ θήρ, καὶ Κυριακοῦ τοῦ ἀναχωρητοῦ, καὶ μὴν καὶ ὁ μέγας ἐν πατριάρχαις Σωφρόνιος ἐγγράφως παρέδωκε τοῖς μετέπειτα, ὡς δ᾽ ἐκεῖνο πυρὸς τοῖς βαρβάροις παρανάλωμα γέγονε, ὁ πάνυ σοφὸς Ἰωάννης ὁ Δαμασκηνός, ὡς φίλεργος μέλισσα, τοῖς μετέπειτα παραδοὺς μέχρι καὶ νῦν διασώζεται.

---

[1]) τῆς ἐκκλησίας ἕως [2]) Γίνεται δὲ καὶ τῶν προηγιασμένων θεία λειτουργία καὶ μεταλαμβάνομεν καὶ ἐκ τῶν φρικτῶν τοῦ Χριστοῦ μυστηρίων [3]) Ркп. 1438 г. Ὁμοίως καὶ ἐν τῇ παρούσῃ κυριακῇ γίνεται ἡ ἀκολουθία τούτου μετὰ τῆς κυριακῆς· ψάλλεται δὲ ἡ ἀκολουθία τῆς Ἀναλήψεως ἐν τῇ παρούσῃ ἑβδομάδι κτλ. [4]) Нѣтъ [5]) ἀπὸ τῆς ἡμέρας τῆς Ἀναλήψεως, ἤγουν τὸ καθ᾽ ἡμέραν.

[л. 195 об.). Προκείμενα ἀναστάσιμα τῶν ὀκτὼ ἤχων, ἤτοι τὰ ἄμνημα τοῦ ἀποστόλου.

— Τὰ ἀναστάσιμα ἀλληλουάρια τῶν ὀκτὼ ἤχων, ἤτοι τὰ ἄμνημα.

[л. 196). Τὰ ἐν τῇ ἑβδομάδι ψαλλόμενα ἀλληλουάρια, προκείμενα καὶ κοινωνικά, ὅτε οὐκ ἔστιν ἑορτάσιμος ἅγιος.

[л. 197). Ἕτερα προκείμενα ἀναστάσιμα τῶν ὀκτὼ ἤχων, ἃ λέγονται ἐν τῷ εὐαγγελίῳ τοῦ ὄρθρου.

— Τὰ φωταγωγικὰ τῶν ὀκτὼ ἤχων.

XIII. № 98 Λ. Τυπικόν, рукопись на пергаменѣ той же библ. въ четвертку писана крупною и чоткою скорописью XIII столѣтія, 185 листовъ. Правда, этотъ Типиконъ имѣетъ и положительную дату, каторая гласитъ слѣдующее: Ἐγράφη διὰ χειρὸς ἐμοῦ Γεωργίου ἱερέως τοῦ Ταβαλᾶ ἐν μηνὶ Ἰουνίῳ κζ' σαββάτῳ τῆς ἰνδικτιῶνος ζ' τοῦ ,ςϠϞζ' (6997—1489 г.) ἔτους, но эта приписка можетъ относиться лишь къ заключительной части Типикона, писанной на бумагѣ. Что же касается другой половины большей, то она писана на пергаменѣ и несомнѣнно рукою древнѣйшаго времени. Рукопись не имѣетъ начала. Начинается всенощнымъ бдѣніемъ и именно приходомъ очередного священника въ церковь.

[л. 9 об.). Замѣчаніе о количествѣ всенощныхъ бдѣній въ теченіе всего года.

[л. 10). Ἔκφρασις ἐν ἐπιτομῇ ἐκκλησιαστικῆς καταστάσεως τῶν ἐν Ἱεροσολύμοις ἁγίων μοναστηρίων.

О каѳизмахъ въ теченіе года и о повседневной службѣ. Чтобы читатели наши могли имѣть передъ глазами примѣръ постепеннаго осложненія чиновъ повседневной службы, мы предлагаемъ здѣсь въ сравнительной таблицѣ чинъ повседневной утрени по рукописямъ съ XIII—XVI в.в., помѣщая въ варіантахъ особенности этихъ чиновъ по другимъ рукописямъ того же времени.

[л. 12). Тип. XIII.

Εἰς δὲ τὸν ὄρθρον κρούει ὁ κανδηλάπτης πρῶτον τὰς βαρέας σχολαιότερον ἄχρι τῶν πεντήκοντα, καὶ ψάλλουσιν οἱ ἀδελφοὶ ἐν τοῖς κελλίοις αὐτῶν τὸ μεσονυκτικὸν τὸν Ἄμωμον. Μετὰ δὲ τὴν τῶν βαρέων συμπλήρωσιν κατέρχεται καὶ ἅπτει τὰς κανδήλας καί, ἑτοιμάσας τὸν θυμιατόν, ἐξέρχεται καὶ σημαίνει τὸ σίδηρον. Εἰσελθόντες δὲ οἱ ἀδελφοὶ πάντες ἐν τῇ ἐκκλησίᾳ καὶ ποιήσαντες τὰς συνήθεις μετανοίας ἔμπροσθεν τῶν ἁγίων θυρῶν, καὶ ἀσπασάμενοι τὰς ἁγίας εἰκόνας, καὶ προσκυνήσαντες ἔνθεν κἀκεῖθεν εἰς τοὺς χορούς, ἀπερχόμενοι καὶ καθίζονται εἰς τοὺς ἑαυτῶν τόπους. Τοῦ οὖν εἰρημένου κανδηλάπτου βαλόντος τὴν ἐξ ἔθους μετάνοιαν τῷ ἡγουμένῳ, ἀπερχομένου σημαίνει τὸ μέγα σήμαντρον [1]). Ἀνίσταται δὲ ὁ τὴν ἐφημερίαν ἔχων ἱερεὺς καί, ποιήσας καὶ αὐτὸς τὴν συνήθη μετάνοιαν τῷ προεστῶτι, εἰσέρχεται ἐν τῷ ἱερατείῳ καί, λαβὼν θυμιατόν, τίθησι θυμίαμα, λέγων τὴν εὐχὴν τοῦ θυμιάματος. Ἵσταται οὖν περιμένων τὴν πλή-

1438 г. [л. 11).

Текстъ сходенъ съ основнымъ, за исключеніемъ разностей, указанныхъ въ варіантахъ.

Ркп. моей библ. 1528 года.

Διάταξις μεσονυκτικοῦ καθημερινοῦ. Εἰς δὲ τὸν ὄρθρον κρούει ὁ κανδηλάπτης πρῶτον τὰς βαρέας σχολαιότερον ἄχρι τοῦ ν', καὶ ψάλλουσιν οἱ ἀδελφοὶ ἐν τοῖς κελλίοις αὐτῶν τὸ μεσονυκτικόν, εἴπερ ἔστιν ἡ μονὴ κελλιωτική. Μετὰ δὲ τὰς βαρέας κατέρχεται ὁ κανδηλάπτης καὶ ἅπτει τὰς κανδήλας καὶ ἑτοιμάσας θυμιατόν, ἐξέρχεται καὶ κρούει τὸ σιδηροῦν, καὶ εἰσέρχονται οἱ ἀδελφοὶ πάντες ἐν τῇ ἐκκλησίᾳ καί, προσκυνήσαντες συνήθως, ἀσπάζονται τὰς ἁγίας εἰκόνας, καὶ ποιήσαντες ἔνθεν κἀκεῖθεν μετάνοιαν εἰς τοὺς β' χοροὺς καθέζουσιν εἰς τοὺς τόπους αὐτῶν. Εἰ δὲ ἔστιν κοινόβιον, κρούει τὸ μικρὸν ὁ κανδηλάπτης ἐπὶ πολὺ καὶ συναγόμεθα ἐν τῷ νάρθηκι, καὶ ἄφαντος τοῦ κανδηλάπτου τὸν φανόν, οὐκ εἰσερχόμεθα ἐν τῷ ναῷ, ἀλλὰ κλείσαντες τὰς πύλας, ψάλλομεν τὸ μεσονυκτικόν, ἐὰν ἔστι Θεὸς Κύριος, ἐν τῷ νάρθηκι, εἰ δὲ εἰσὶ μετάνοιαι, ἐντὸς τοῦ ναοῦ οὐ ψάλλομεν τοῦτο. Εἴτε οὖν ἐντός, εἴ τε ἐκτός,

[1]) Ркп. XIII в. № 99 Λ лавры пр. Аѳанасія. Εἶτα τὸ σίδηρον.

ρωσιν τοῦ σημάντρου καὶ παυσαμένου αὐτοῦ, ἀπάρχεται [1]) ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεός, καὶ ἡμῶν ἀποκρινομένων τὸ Ἀμήν, οὗτος θυμιᾷ τὴν ἁγίαν τράπεζαν σταυροειδῶς, ὡσαύτως καὶ τὸ ἱλαστήριον ἅπαν, κἀκεῖθεν ἐξέρχεται διὰ τοῦ βορείου κλείτους εἰς τὸν ναόν, καὶ εἰ μὲν ἐστὶν Ἀλληλούια, ἀρχόμεθα τοῦ Τρισαγίου [2]) ἄνευ [3]) μετανοιῶν. Μετὰ δὲ τὸ Πάτερ ἡμῶν ἐκφωνεῖ ὁ ἱερεύς, χαράττων σταυρὸν μετὰ τοῦ θυμιατοῦ κατεναντίον τῶν ἁγίων θυρῶν, λέγων· Ὅτι σοῦ ἐστι. Καὶ μετὰ τὸ Ἀμήν, τὸ Κύριε ἐλέησον ιβ', τὸ Δεῦτε προσκυνήσωμεν γ', καὶ λέγομεν ψαλμὸν ιθ' Ἐπακούσαι σου Κύριος, ἕως οὗ θυμιάσῃ ὁ ἱερεύς. Εἶτα Δόξα καὶ νῦν, Τρισάγιον, τὸ Πάτερ ἡμῶν, ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν, οἱ ἀδελφοὶ τὰ τροπάρια· Σῶσον, Κύριε, τὸν λαόν σου, Δόξα, Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ, Καὶ νῦν, Προστασία φοβερά, καὶ ὁ ἱερεὺς εἰσερχόμενος ἐκ τοῦ νάρθηκος ἐν τῷ ναῷ, χαράττων τὸν σταυρὸν ἐν τῷ μέσῳ, ὡς σύνηθες, καὶ τὸν προ-

Καὶ εἰσερχόμεθα ἔνδον τοῦ ναοῦ, τοῦ δὲ ἱερέως ποιήσαντος τὴν συνήθη μετάνοιαν τῷ προεστῶτι καὶ εἰσελθόντος ἐντὸς τοῦ θυσιαστηρίου καὶ λαβόντος τὸν θυμιατὸν ἀνὰ χεῖρας, σταθέντος τε καὶ ἔμπροσθεν τῆς ἁγίας τραπέζης καὶ τὸ Εὐλογητὸν ἐκφωνήσαντος, ἀρχόμεθα τοῦ ὄρθρου· Τρισάγιον ἄνευ μετανοιῶν καὶ τὰ λοιπά. Ὁ δὲ ἱερεύς, θυμιάσας τήν τε ἁγίαν τράπεζαν σταυροειδῶς καὶ ἅπαν τὸ ἱλαστήριον, ἐξέρχεται διὰ τοῦ βορείου κλείτους εἰς τὸν ναὸν καί, θυμιῶν τὰς ἁγίας εἰκόνας, ἔρχεται ἔμπροσθεν τῶν ἁγίων θυρῶν καὶ ἐκφωνεῖ ἔμπροσθεν αὐτῶν, πληρωθέντος δηλονότι τοῦ Πάτερ ἡμῶν· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ μετὰ τὸ Ἀμὴν τὸ Κύριε ἐλέησον ιβ', Δεῦτε προσκυνήσωμεν χωρὶς μετανοιῶν καὶ τοὺς ψαλμούς· Ἐπακούσαι σου Κύριος. Κύριε ἐν τῇ δυνάμει σου, Δόξα καὶ νῦν, Τρισάγιον ἄνευ μετανοιῶν. Μετὰ δὲ τὸ Πάτερ ἡμῶν ἐκφωνεῖ ὁ

εὐλογεῖ ὁ ἱερεύς, καὶ ἡμεῖς λέγομεν· Βασιλεῦ οὐράνιε, εἶτα, εἴ ἐστιν Ἀλληλούια, Τρισάγιον, μετανοίας γ', τὸ Πάτερ ἡμῶν, ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, τὸ Κύριε ἐλέησον ιβ', Δεῦτε προσκυνήσωμεν καὶ μετανοίας γ', εἶθ' οὕτως Ἐλέησόν με, ὁ Θεός, καὶ ψάλλομεν τὸν Ἄμωμον, ἐν ἑκάστῳ δὲ ἀντιφώνῳ μετὰ τὸ τέλος Δόξα καὶ νῦν, Ἀλληλούια γ', μετάνοιαι γ', Κύριε ἐλέησον γ'. Εἰς δὲ γ' ἀντίφωνον λέγομεν Τρισάγιον, μετάνοιαι γ', τὸ Πάτερ ἡμῶν, ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡμεῖς τροπάρια· Ἰδοὺ ὁ νυμφίος, Δόξα, Τὴν ἡμέραν ἐκείνην, Καὶ νῦν, Σὲ τὸ ἀπόρθητον τεῖχος, Κύριε ἐλέησον μ' καὶ τὴν εὐχήν· Ὁ ἐν παντὶ καιρῷ, Κύριε ἐλέησον γ', Ἐν ὀνόματι Κυρίου εὐλόγησον, ὁ ἱερεύς· Ὁ Θεὸς οἰκτηρήσαι ἡμᾶς, καὶ οὕτω ποιοῦμεν τὰς συνήθεις μετανοίας ιε'. Εἶτα ὁ προεστώς· Δέσποτα Θεέ, παντοκράτορ, Δεῦτε προσκυνήσωμεν γ', μετάνοιαι γ' καὶ ψάλλομεν· Ἦρα τοὺς ὀφθαλμούς μου, Ἰδοὺ δὴ

---

[1]) ἀπάρχεται. 1438 г. λέγει [2]) 1438 г. Тип. прибавлено: εἶτε Θεὸς Κύριος [3]). Ркп. XIII в. № 99 Λ Καὶ εὐθέως ὁ ἱερεύς· Δόξα τῇ ἁγίᾳ, και ἄρχεται ὁ ταχθεὶς μοναχός· Δόξα ἐν ὑψίστοις.

εστῶτα θυμιῶν, λέγει μεγαλοφώνως· Ἐλέησον ἡμᾶς ὁ Θεός. . . Ἔτι δεόμεθα . . . Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἐπισκόπου... Ἔτι δεόμεθα ὑπὲρ τοῦ δούλου . . . ἐκφώνησις· Ὅτι ἐλεήμων. Εἶτα χαράττει σταυρὸν μετὰ τοῦ θυμιατοῦ καὶ λέγει· Δόξα τῇ ἁγίᾳ, καὶ ἄρχεται ὁ προεστὼς [1]) σὺν τῷ ἐκκλησιάρχῃ τοῦ Δόξα ἐν ὑψίστοις Θεῷ, λέγοντες αὐτὸ ἐκ τρίτου, Κύριε, τὰ χείλη μου ἐκ β'. Καὶ [2]) ψάλλουσιν ἀμφότεροι τὸ ἑξάψαλμον ἡσύχῳ φωνῇ καὶ ἀργὰ εἰς ἐπήκοον πάντων τῶν ἀδελφῶν. Ὁ δὲ ἱερεύς, τούτου ψαλλομένου, θυμιᾷ τὸν ναὸν καὶ τοὺς μοναχοὺς [3]) κατὰ τὴν τάξιν. Μετὰ δὲ τὴν πλήρωσιν τοῦ θυμιᾶν, βαλὼν μετάνοιαν ἔμπροσθεν τῶν ἁγίων θυρῶν καὶ εἰς τοὺς χορούς, ὡς σύνηθες, ἀνέρχεται ἐν τῷ στασιδίῳ αὐτοῦ. Εἰς δὲ τὴν ἔναρξιν τοῦ ρβ' ψαλμοῦ, ἅπτων [4]) κηρόν, λέγει τὰς ἑωθινὰς εὐ-

ἱερεύς· Ὅτι σοῦ ἐστιν. Ὀφείλει γὰρ ἔχειν ἀκρίβειαν, ὡς ἄν, μετὰ τὸ θυμιᾶσαι ἐντὸς τοῦ ναοῦ καὶ ἐκτὸς εἰς τὸν νάρθηκα, εἶτα ὑποστρέψας εὑρεθῇ ἐν τῷ μέσῳ τοῦ ναοῦ, ὅτε τὸ Πάτερ ἡμῶν πληρωθῇ παρ' ἡμῶν. Μετὰ δὲ τὴν ἐκφώνησιν τροπάριον· Σῶσον, Κύριε τὸν λαόν σου, Δόξα, Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ, Καὶ νῦν, Προστασία φοβερά. Ὁ ἱερεὺς ποιεῖ ἐκτενὴν μικρὰν περὶ τῶν βασιλέων, καὶ ἐκφώνησις· Ὅτι ἐλεήμων... Καὶ μετὰ τὸ Ἀμήν, θυμιῶν σταυροειδῶς τὴν ἁγίαν τράπεζαν, ἐκφωνεῖ· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ. Καὶ εὐθέως ὁ ταχθεὶς μοναχός, καὶ εἰπὼν ἀφ' ἑσπέρας ἐν τῷ λυχνικῷ τὸν προοιμιακὸν ψαλμόν, λέγει καὶ τὸν ἑξάψαλμον, ἀρχόμενος τοῦ Δόξα ἐν ὑψίστοις Θεῷ γ', Κύριε τὰ χείλη μου, καὶ τοὺς ψαλμούς. Εἰς δὲ τὴν ἔναρξιν τοῦ πζ' ψαλμοῦ, ἤγουν τοῦ Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, ἀπελθὼν ὁ ἱε-

εὐλογεῖτε τὸν Κύριον, εἶτα Τρισάγιον, μετάνοιαι γ' καὶ τὰ ἑξῆς. Μετὰ δὲ τὸ Πάτερ ἡμῶν ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡμεῖς τὰ τροπάρια· Μνήσθητι, Κύριε, ὡς ἀγαθός, Ὁ βάθει σοφίας, Δόξα καὶ νῦν Μακαρίζομέν σε, Κύριε ἐλέησον ιε' καὶ ἡ εὐχή· Μνήσθητι, Κύριε, ἐπ' ἐλπίδι. Ὁ προεστώς· Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι, καὶ ἀπόλυσις. Ἡ δὲ συγχώρησις γίνεται οὕτως· κλίνας εἰς τὴν γῆν τὸ γόνυ ὁ προεστὼς καὶ τὸ μέτωπον προσεγγίσας αὐτῇ, λέγει εἰς ἐπήκοον πάντων· Εὐλογήσατε, πατέρες ἅγιοι, συγχωρήσατέ μοι τῷ ἁμαρτωλῷ, εἴ τε ἥμαρτον δι' ὅλης μου τῆς ζωῆς μέχρι τῆς ὥρας ταύτης ἐν ἔργῳ ἢ ἐν λόγῳ καὶ κατὰ διάνοιαν. Καὶ οἱ λοιποὶ ἀποκρίνονται· Ὁ Θεὸς συγχωρήσαι σε, πάτερ ἅγιε. Καὶ ἀνισταμένου, ποιεῖ καὶ λέγει καὶ ὁ ἐκκλησιάρχης ὁμοίως, καὶ οὕτω καθεξῆς ποιεῖ

---

[1]) καὶ ἄρχεται ὁ προεστὼς ἢ ὁ ἐκκλησιάρχης· Δόξα ἐν ὑψίστοις γ', καὶ τὸ Κύριε, τὰ χείλη μου, ἐκ β'. Καὶ λέγεται τὸ ἑξάψαλμον ἡσύχῳ φωνῇ καὶ ἀργῶς εἰς ἐπήκοον πάντων τῶν ἀδελφῶν. Ὁ δὲ ἱερεύς, βαλὼν τὴν συνήθη μετάνοιαν ἔμπροσθεν τῶν ἁγίων θυρῶν καὶ εἰς τοὺς χοροὺς πρὸς μίαν, ἀπέρχεται εἰς τὸ στασίδιον αὐτοῦ. Ἰστέον δέ, ὅτι, εἰ ὁ ναὸς μέγιστος καὶ οἱ ἀδελφοὶ πλεῖστοι, λέγεται ὁ ῥηθεὶς ψαλμός, εἰ δ' οὔ, τὰ τροπάρια, ὡς γέγραπται· εἰς δὲ τὴν ἔναρξιν τοῦ ρβ' ψαλμοῦ ἅπτει κηρόν, λέγει τὰς ἑωθινὰς εὐχὰς [2]) Замѣчанія: καὶ ψάλλουσιν ἀμφότεροι τὸ ἑξάψαλμον—нѣтъ, а прямо: ἡσύχῳ φωνῇ καὶ ἀργὰ [3]) ἀδελφοὺς [4]) ἅπτει.

χάς, ἱστάμενος ἀσκεπὴς ἐνώπιον τοῦ ἁγίου θυσιαστηρίου. Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ ἑξαψάλμου ποιεῖ συναπτὴν καὶ ἐκφωνεῖ. Βῆξαι δὲ ἢ πτῦσαι οὐκ ἔχει τῆς ἀδείας μέχρις ἂν τελεσθῇ τὸ ἑξάψαλμον. Εἶθ' οὕτως ὁ ταχθεὶς [1]) μοναχὸς ἐν τῷ ἑσπερινῷ βαλὼν τὴν συνήθη μετάνοιαν τῷ προεστῶτι, ψάλλει τὸ Ἀλληλούια, εἰς τὸν τῆς ἑβδομάδος ἦχον, ἐπιλέγων καὶ τοὺς στίχους, στίχος α'· Ἐπὶ τῆς γῆς ἀλήθειαν, στίχος· Καὶ νῦν πῦρ τοὺς ὑπεναντίους, στίχος· Πρόσθες αὐτοῖς κακά, στίχος· Οὕτως ἐγεννήθη. Εἰ δὲ τύχοι Θεὸς Κύριος, Τρισάγιον εἰς τὴν ἀρχὴν τοῦ ἑξαψάλμου οὐ λέγομεν, ἀλλὰ [2]) τὸ Δόξα ἐν ὑψίστοις Θεῷ, ψάλλει οὖν, ὡς εἴρηται, ὁ αὐτὸς μοναχὸς τὸ Θεὸς Κύριος εἰς τὸν ἦχον τοῦ τροπαρίου τοῦ κατὰ τὴν ἡμέραν ἁγίου [3]), εἶτα ἀρχόμεθα τῆς στιχολογίας. Μετὰ δὲ τὴν στιχολογίαν τοῦ πρώτου καθίσματος, ψάλλει ὁ αὐτὸς ψάλτης τὸ ἐνόρδινον κάθισμα τῆς Ὀκτωήχου ἐν τῷ ἀναλογίῳ, ποιῶν καὶ τὴν πρώτην ἀνάγνωσιν. Συμπληρουμένης ταύτης, ποιεῖ μετά-
ρεὺς λέγει τὰς ἑωθινὰς εὐχὰς ἔμπροσθεν τῶν ἁγίων θυρῶν, ἱστάμενος ἀσκεπής. Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ ἑξαψάλμου εἰς τὸ Ἀλληλούια, Ἀλληλούια μετανοίας γ'. Ὁ δὲ ἱερεὺς ποιεῖ συναπτὴν μεγάλην καὶ ἐκφωνεῖ. Βῆξαι δὲ ἢ πτῦσαι οὐκ ἔχει τις ἄδειαν ἄχρις ἂν πληρωθῇ τὸ ἑξάψαλμον. Ὁ δὲ ἱερεὺς μετὰ τὸ ἐκφωνῆσαι ἄρχεται τοῦ Ἀλληλούια εἰς τὸν ἦχον τῆς Ὀκτωήχου, καὶ ψάλλομεν καὶ ἡμεῖς αὐτό. Ὁ δὲ λέγει καθ' ἕκαστον τοὺς στίχους τούσδε· στίχος α'· Ἐπὶ τῆς γῆς . . . κτλ. Καὶ εὐθὺς τὰ τριαδικὰ τοῦ ἤχου. Ὁ δὲ ἱερεὺς λέγει εἰς μὲν τὸ β' Δόξα, εἰς δὲ γ' Καὶ νῦν. Εἶτα στιχολογοῦμεν τὰ συνήθη καθίσματα τοῦ Ψαλτηρίου, ποιοῦντες κατὰ ἀντίφωνα εἰς τὸ Ἀλληλούια, Ἀλληλούια, δόξα σοι ὁ Θεός, μετανοίας τρεῖς. Μετὰ δὲ τὴν πρώτην στιχολογίαν λέγομεν καθίσματα τῆς Ὀκτωήχου τῇ μὲν β' καὶ γ' κατανυκτικά, τῇ δὲ δ' καὶ παρασκευῇ σταυρώσιμα, τῇ δὲ ε' ἀποστολικά, Δόξα καὶ νῦν, θεοτοκίον τῆς ἡμέρας καὶ ἀνάγνωσις. Μετὰ δὲ τὴν α' στιχολογίαν
ἕκαστος ἄχρι τοῦ οἰκονόμου. Οὕτω γὰρ γίνεται ἐν τῷ θυμιᾶν τὸν ἱερέα, ὡς ἀπὸ τοῦ ἡγουμένου ἄρχεσθαι καὶ εἰς τὸν οἰκονόμον καταντᾶν, ὡς ἀπ' ἀρχῆς εἰς τὴν ἀρχὴν τοῦ κύκλου λέγοντος, τῆς οὖν συγχωρήσεως οὕτω πέρας λαβούσης, λέγει ὁ ἱερεύς· Εὐξόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ θεοφυλάκτων καὶ αὐθέντων καὶ βασιλέων ὀρθοδόξων. Καὶ ἡμεῖς· Ὁ Θεὸς διαφυλάξει τὸ κράτος τῆς βασιλείας αὐτῶν. Ὁ ἱερεύς· Ὑπὲρ τοῦ φιλοχρίστου στρατοῦ αὐτοῦ. Καὶ ἡμεῖς· Ὁ Θεὸς κατευοδοῖ αὐτοῦ. Ὁ ἱερεύς· Ὑπὲρ τοῦ πατρὸς ἡμῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἀδελφότητος. Καὶ ἡμεῖς· Ὁ Θεὸς συγχωρήσει αὐτοῖς. Ὁ ἱερεύς· Ὑπὲρ τῶν ἀπολειφθέντων πατέρων καὶ ἀδελφῶν ἡμῶν. Ὑπὲρ τῶν διακονούντων καὶ διακονησάντων ἐν τῇ ἁγίᾳ μονῇ ταύτῃ. Ὑπὲρ τῶν μισούντων καὶ ἀδικούντων ἡμᾶς. Ὑπὲρ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι. . . Ὑπὲρ τῆς ἀναῤῥήσεως τῶν αἰχμαλώτων. Ὑπὲρ τῶν ἐν θαλάσσῃ πλεόντων. Ὑπὲρ τῶν ἐν ἀσθενείαις κατακειμένων. Ὑπὲρ κοιμήσεως, ἀνέσεως

[1]) μοναχὸς [2]) εὐθὺς [3]) τοῦ Μηναίου καὶ ἀρχόμεθα τῆς στιχολογίας

νοιαν ἔμπροσθεν τῶν ἁγίων θυρῶν καὶ εἰς τοὺς χοροὺς πρὸς μίαν, ψάλλει τοίνυν καὶ τὸ κοντάκιον τοῦ ἁγίου ἀφ' ϛ', εἴπερ ἔχει ἡ ἡμέρα, ἤγουν ὅταν ἐστὶ Θεὸς Κύριος, ὡσαύτως καὶ τὸ φωταγωγικόν, ὅτε ὑπάρχει Ἀλληλούια. Οὐ μὴν ἀλλὰ καὶ εἰς τὴν α' ὥραν· Τὸ πρωῒ εἰσάκουσον [1]) τῆς φωνῆς μου, ποιῶν καὶ ἐν τούτῳ καθένα [2]) μετάνοιαν μίαν, Δόξα καὶ νῦν, θεοτοκίον· Τί σε καλέσωμεν. Εἶθ' οὕτως βάλλει μετάνοιαν ἔμπροσθεν τῶν ἁγίων θυρῶν καὶ ὄπισθεν τοῖς ἀδελφοῖς.

Ἕτερον· Ἡμεῖς δὲ εἰς πλήρωσιν τῶν αἴνων, ἤτοι εἰς τὸ Δόξα ἐν ὑψίστοις Θεῷ, ποιοῦμεν μετανοίας γ', εἶτα ψάλλομεν τὰ στιχηρὰ τῆς Ὀκτωήχου, ἀπὸ δὲ τῶν στιχηρῶν· Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, εἰς τὸ Τρισάγιον [3]) μετανοίας γ', τὸ Κύριε ἐλέησον μ', καὶ ἐπεύχεται ὁ ἱερεὺς λέγων· Ὁ ὢν εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, μετανοίας μεγάλας [4]) γ' καὶ ιβ' μιἕτερα καθίσματα τῆς ἡμέρας β' καὶ θεοτοκίον. Εἶτα ἀνάγνωσις, καὶ εὐθὺς ὁ ν' καὶ ἀρχόμεθα τῶν κανόνων. Στιχολογοῦμεν δὲ τὰς ᾠδάς, λέγοντες· Τῷ Κυρίῳ ᾄσωμεν, καὶ κρατοῦντες τοὺς στίχους ιδ', καὶ λέγομεν ἀπὸ τούτων τοὺς μὲν ϛ' εἰς τὸν κανόνα τῆς Ὀκτωήχου, τοὺς δὲ δ' εἰς τὸν β', τοὺς δὲ λοιποὺς δ' εἰς τὸν κανόνα τοῦ Μηναίου. Εἰ δὲ ἔχει τὸ Μηναῖον κανόνας β', καταλιμπάνεται ὁ δεύτερος κανὼν τῆς Ὀκτωήχου, λέγομεν δὲ κανόνας τῆς Ὀκτωήχου, τῇ μὲν β' κατανυκτικὸν καὶ τῶν Ἀσωμάτων, τῇ δὲ γ' κατανυκτικὸν καὶ τοῦ Προδρόμου, τῇ δὲ δ' καὶ τῇ παρασκευῇ σταυρώσιμον καὶ τῆς ὑπεραγίας Θεοτόκου, τῇ δὲ ε' τῶν ἀποστόλων καὶ τοῦ ἁγίου Νικολάου. Μετὰ δὲ τὴν γ' ᾠδὴν τὸν εἱρμὸν τοῦ κανόνος τοῦ Μηναίου, εἶτα κάθισμα τοῦ Μηναίου, Δόξα καὶ νῦν, θεοτοκίον, μετὰ τὴν ϛ' ᾠδήν, ὁ εἱρμὸς ὡσαύτως τοῦ Μηναίου, εἶτα κάθισμα μαρτυρικὸν τῇ β' τὸ α', τῇ γ' τὸ β', τῇ μακαρίας. Καὶ ἡμεῖς· Ὁ Θεὸς μακαρίσει καὶ ἀναπαύσει αὐτούς. Εἶτα ὁ προεστὼς ποιεῖ σταυρὸν ἔμπροσθεν αὐτοῦ καὶ λέγει εἰς ἐπήκοον πάντων· Ὁ Θεὸς δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Οὕτως ὀφείλει ψάλλεσθαι ἐν ὅλῳ τῷ ἐνιαυτῷ μεσονυκτικόν, εἴπερ ἐστὶν Ἀλληλούια, ἄνευ σαββάτου· τότε γὰρ ἀντὶ τοῦ Ἀμώμου ψάλλομεν τὸ Σοὶ πρέπει ὕμνος, ὃ καὶ ποιοῦμεν στάσεις γ', καὶ ἀντὶ τῶν συνήθων τροπαρίων τῆς τρίτης στάσεως ψάλλομεν τριαδικά, ἤγουν τὸ Ἄκτιστε φύσις, τὸ Τῆς κλίνης καὶ τὸ Τὰς ἄνω δυνάμεις. Μετὰ δὲ τὴν τοῦ μεσονυκτικοῦ πλήρωσιν, ψάλλομεν αὐτὸ ἐν τῷ νάρθηκι, εἰσελθόντες ἔνδον τοῦ ναοῦ καὶ στὰς ἕκαστος ἐν τῷ στασιδίῳ αὐτοῦ κατὰ τάξιν, καὶ προσκυνήσεις γ' κατενώπιον τοῦ ἱλαστηρίου ποιήσας, καὶ τὸν ἐν τῷ στήθει αὐτοῦ ἀπῃωρημένον σταυρὸν ἀσπασάμενος, ἔνθεν κἀκεῖθεν τοὺς χοροὺς

---

[1]) στίχος· Τὰ ῥήματά μου. Ποιῶν καὶ ἐν τούτῳ εἰς καθένα στίχον μετάνοιαν α' [2]) καθεκάστην [3]) καὶ μετάνοιαι γ' εἰς τὸ Τρισάγιον, ἀπολυτίκιον δὲ οὐ λέγομεν, οὔτε Ἀλληλούια, ἀλλ' εὐθὺς τὸ Κύριε ἐλέησον μ' [4]) καὶ ποιοῦμεν τρεῖς μετανοίας μεγάλας, λέγοντες καὶ τὴν εὐχήν· Κύριε καὶ Δέσποτα, εἶτα μικρὰς ιβ', καὶ πάλιν μετάνοιαν μεγάλην, εἶτα Δεῦτε προσκυνήσωμεν γ', καὶ ἀρχόμεθα τὴν πρώτην ὥραν τρίψαλμον, Δόξα καὶ νῦν, Ἀλληλούια γ' καὶ

κράς, τὸ Δεῦτε προσκυνήσωμεν γ′ καὶ μετανοίας γ′. Εἶτα ψάλλομεν τὴν πρώτην ὥραν τρίψαλμον, εἰς τὸ Ἀλληλούια μετανοίας γ′, εἰς τὸ Τί σε καλέσωμεν μετανοίας γ′, Τὰ διαβήματα ἡμῶν χῦμα καὶ χωρὶς μετανοιῶν, Τρισάγιον καὶ μετανοίας γ′. Μετὰ δὲ τὸ Πάτερ ἡμῶν, λέγει ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, τὸ Κύριε ἐλέησον μ′ [1]). Καὶ λέγομεν εὐχήν· Ὁ ἐν παντὶ καιρῷ. Εἶθ᾽ οὕτως ὁ ἱερεὺς πάλιν· Ὁ Θεὸς οἰκτειρῆσαι ἡμᾶς, καὶ ἡμεῖς τὰς μεγάλας τρεῖς μετανοίας, λέγοντες καθ᾽ ἑκάστην μετάνοιαν τὴν εὐχὴν ταύτην καθ᾽ ἑαυτούς· Κύριε καὶ Δέσποτα τῆς ζωῆς μου. Ὡσαύτως καὶ τὰς ιβ′ μικράς, λέγοντες ἐν ταύταις τὸ Ὁ Θεὸς ἱλάσθητί μοι. Εἶτα Τρισάγιον καὶ μετανοίας γ′, τὸ Πάτερ ἡμῶν, τὸ Κύριε ἐλέησον ιβ′ καὶ ἀπόλυσις. Ἡ συδ′ τὸ γ′, τῇ ε′ τὸ δ′, τῇ παρασκευῇ πάλιν τὸ α′, Δόξα καὶ νῦν, θεοτοκίον καὶ ἀνάγνωσις εἰς τὸ Συναξάριον τοῦ ἁγίου τῆς ἡμέρας. Μετὰ τὴν η′ ᾠδὴν τὸν εἱρμὸν τοῦ Μηναίου, εἶτα στιχολογοῦμεν Τὴν τιμιωτέραν. Μετὰ τὴν θ′ ᾠδὴν ὁ εἱρμὸς τοῦ Μηναίου, εἶτα Ἄξιόν ἐστιν, ὡς ἀληθῶς εἰς ἦχον πλ. α′ καὶ Τὴν τιμιωτέραν ἅπαξ. Εἰ βούλει, καὶ ἕτερον τῆς ἡμέρας ὁμοίως, ἤγουν τῇ β′ τῶν Ἀσωμάτων, τῇ γ′ τοῦ Προδρόμου, τῷ δ′ καὶ τῇ παρασκευῇ σταυρώσιμον, τῇ ε′ τῶν ἁγίων ἀποστόλων, καί, εἰ βούλει, τοῦ ἁγίου Νικολάου. Μετὰ δὲ τὸ τῆς ἡμέρας καθ᾽ ἑκάστην καὶ τοῦ ἁγίου τῆς μονῆς καὶ ἕτερον θεοτοκίον ὅμοιον, εἶτα τὸ φωταγωγικὸν τοῦ ἤχου ἐκ τρίτου. Ἄρχεται δὲ τούτου ὁ ἱερεύς, καὶ λέγομεν εἰς μὲν τὸ α′, τῇ β′ Προστασίαις τῶν Ἀσωμάτων, τῇ γ′ Πρεσβεῖπροσκυνήσας εὐτάκτως, καθήμεθα πάντες ἐν τοῖς στα(σι)δίοις ἡμῶν, μικρὸν ἡσυχάζοντες. Ὁ δὲ κανδηλάπτης, εὐτρεπίσας τὸν θυμιατόν, ἐξέρχεται καί, βαλὼν μετάνοιαν τῷ ἡγουμένῳ, σημαίνει τὸ μέγα, εἶτα καταβὰς σημαίνει τὸ σιδηροῦν. Τούτου δὲ γενομένου, ὁ ἱερεύς, ἀναστὰς καὶ βαλὼν μετάνοιαν τῷ ἡγουμένῳ, εἰσέρχεται ἐν τῷ ἱερατείῳ καὶ βαλὼν τὸν θυμιατόν, τίθησι θυμίαμα, λέγων τὴν εὐχὴν τοῦ θυμιάματος, καὶ στὰς ἔμπροσθεν τῆς ἁγίας τραπέζης καὶ πάντας σταυροειδῶς θυμιάσας.

Διάταξις ὄρθρου καθημερινοῦ. Εὐλογητὸς ὁ Θεός, καὶ ἡμῶν τὸ Ἀμὴν ἀποκρινομένων, θυμιᾷ σὺν τῇ ἁγίᾳ τραπέζῃ καὶ πᾶν τὸ ἱλαστήριον, κἀκεῖθεν ἐξέρχεται διὰ τοῦ βορείου μέρους εἰς τὸν ναόν. Ἡμεῖς δὲ ἀρχόμεθα τοῦ Τρισαγίου ἄνευ

μετανοίας γ′, Τί σε καλέσωμεν καὶ μετανοίας γ′, Τὰ διαβήματά μου καὶ χωρὶς μετανοιῶν. Τρισάγιον καὶ μετανοίας γ′, μετὰ τὸ Πάτερ ἡμῶν, καὶ λέγει ὁ ἱερεύς· Ὅτι σοῦ ἐστι, καὶ κοντάκιον οὐ λέγομεν, ἀλλ᾽ εὐθὺς τὸ Κύριε ἐλέησον μ′ καὶ ἡ εὐχή· Ὁ ἐν παντὶ καιρῷ. Εἶθ᾽ οὕτως ὁ ἱερεὺς πάλιν· Ὁ Θεὸς οἰκτειρήσαι, καὶ ἡμεῖς τὰς μεγάλας γ′ μετανοίας, λέγοντες καὶ τὴν εἰρημένην εὐχὴν εἰς τὴν καθεμίαν· λέγομεν δὲ αὐτὴν μυστικῶς ὁ καθείς, ὡσαύτως καὶ τὰς μικρὰς ια′ καὶ πάλιν τὴν εὐχὴν καὶ μετάνοιαν α′ μεγάλην. Λέγομεν δὲ εἰς τὰς μικρὰς μετανοίας καθ᾽ ἑαυτόν· Ὁ Θεὸς ἱλάσθητι ἡμῖν, εἶτα Τρισάγιον καὶ μετανοιας γ′, τὸ Πάτερ ἡμῶν, τὸ Ὅτι σοῦ ἐστι καὶ τὸ Κύριε ἐλέησον ιβ′ καὶ ἡ εὐχή· Χριστέ, τὸ φῶς. Ἡ συνήθης λιτὴ ἐν τῷ νάρθηκι καὶ τελεία ἀπόλυσις.

[1] Σημείωσαι, ὅτι οὐ λέγομεν τροπάρια.

νήθης λιτὴ ἐν τῷ νάρθηκι καὶ τελεία ἀπόλυσις.

Δεῖ εἰδέναι, ὅτι τῇ κυριακῇ ὀψέ, εἰ τύχοι τῇ β' Ἀλληλούια, οὐδέποτε λέγομεν Ἀλληλούια ἀντὶ τοῦ προκειμένου, ἀλλὰ τὸ τῆς ἡμέρας προκείμενον τὸ Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον. Ὡσαύτως καὶ τῇ παρασκευῇ ἑσπέρας τὸ Ὁ Θεὸς ἀντιλήπτωρ μου.

αις τοῦ Προδρόμου, τῇ δ' καὶ παρασκευῇ Δυνάμει τοῦ σταυροῦ σου, τῇ ε' Πρεσβείαις τῶν ἀποστόλων. Εἰς δὲ τὸ β' καθ' ἑκάστην Πρεσβείαις τῶν αγιων, εἰς δ' τὸ γ' Πρεσβείαις, τῆς Θεοτόκου. Εἶτα στιχολογοῦμεν τοὺς αἴνους εἰς τὸν ἦχον τῆς Ὀκτωήχου καὶ ψάλλονται ὅλοι οἱ στίχοι μετὰ μέλους ἄχρι τέλους, καὶ αὐτὸ τὸ Δόξα καὶ νῦν, οὐ μέντοι λέγονται στιχηρά. Εἶτα ὁ ταχθεὶς μοναχός· Σοὶ δόξα πρέπει, Κύριε. . καὶ τὰ λοιπὰ τῆς δοξολογίας. Ἡμεῖς δὲ ποιοῦμεν μετανοίας γ', ἀρχομένου τοῦ Δόξα ἐν ὑψίστοις Θεῷ. Μετὰ δὲ τὸ τέλος τῆς δοξολογίας ὁ ἱερεύς, ἀπελθὼν ἔμπροσθεν τῶν ἁγίων θυρῶν, λέγει· Πληρώσωμεν τὴν ἑωθινήν. Μετὰ δὲ τὴν ἐκφώνησιν, ἑνούμενοι οἱ δύο χοροί, ψάλλομεν τὰ τοῦ στίχου στιχηρά, ἤγουν τὰ τῆς Ὀκτωήχου. Λέγομεν δὲ τῇ μὲν β' κατανυκτικὰ β' καὶ μαρτυρικον τὸ α' τῶν εἰς τοὺς αἴνους, τῇ γ' κατανυκτικὰ β' καὶ μαρτυρικὸν τὸ β', τῇ δ' σταυρώσιμα β' καὶ μαρτυρικὸν τὸ γ', τῇ ε' ἀποστολικὰ β' καὶ μαρτυρικὸν τὸ δ', τῇ παρασκευῇ σταυρώσιμα β' καὶ μαρτυρικὸν πάλιν τὸ α',

μετανοιῶν, εἴτε Ἀλληλούια, εἴτε Θεὸς Κύριος εἶτα τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, οὗ πληρωθέντος ὁ ἱερεύς, χαράττων τὸν σταυρὸν μετὰ τοῦ θυμιατοῦ ἔμπροσθεν τῶν ἁγίων θυρῶν, ἐκφωνεῖ· Ὅτι σοῦ ἐστι, καὶ μετὰ τὸ Ἀμήν, τὸ Κύριε ἐλέησον ιβ', τὸ Δεῦτε προσκυνήσωμεν γ' καὶ λέγομεν ψαλμὸν ιθ'· Ἐπακούσαι σου Κύριος καὶ τὸν κ', ὡσαύτως ἕως οὗ θυμιάσας ὁ ἱερεὺς ὑποστρέψει, εἶτα Δόξα καὶ νῦν, Τρισάγιον, καὶ μετὰ τὸ Πάτερ ἡμῶν, ὁ ἱερεὺς ἐκφωνεῖ· Ὅτι σοῦ ἐστιν καὶ οἱ ἀδελφοί· Σῶσον, Κύριε, τὸν λαόν σου, Δόξα, Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ, Καὶ νῦν, Προστασία φοβερά. Ὁ δὲ ἱερεύς, εἰσελθὼν εἰς τὸ θυσιαστήριον, λέγει· Ἐλέησον ἡμᾶς. Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων. Καὶ μετὰ τὸ πληρῶσαι τὰς ὑπὲρ τῶν βασιλέων αἰτήσεις· ἄλλος γὰρ ἐν τῷ τοιούτῳ Τρισαγίῳ οὐ μνημονεύεται οὔτε ἱερεῖς, οὔτε ἡγούμενος, χαράττων ὁ ἱερεὺς σταυρὸν μετὰ τοῦ θυμιατοῦ, ἐκφωνεῖ· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ. Καὶ ὁ ταχθεὶς μοναχὸς ἄρχεται τοῦ ἑξαψάλμου, λέγων τὸ Δόξα ἐν ὑψίστοις Θεῷ, γ', Κύριε,

στίχους δὲ λέγομεν· Ἐνεπλήσθημεν τὸ πρωΐ, στίχος β'· Καὶ ἔστω ἡ λαμπρότης, Δόξα καὶ νῦν, θεοτοκίον τῆς ἡμέρας. Εἶτα Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι, Τρισάγιον, μετανοίας γ', μετὰ δὲ τὸ Πάτερ ἡμῶν, ἐκφωνεῖ ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν, τὸ Κύριε ἐλέησον μ' καὶ ἐπεύχεται ὁ ἱερεύς, λέγων· Ὁ ὢν εὐλογητὸς Θεὸς ἡμῶν, μετανοίας μεγάλας γ' καὶ μικρὰς ιβ', τὸ Δεῦτε προσκυνήσωμεν γ' καὶ μετανοίας γ', καὶ λέγομεν τὴν α' ὥραν.

τὰ χείλη μου, β', ἡσύχῳ καὶ ἠρεμαίᾳ φωνῇ ἀργῶς καὶ εἰς ἐπήκοον πάντων, ἑτέρου τινὸς ὅλως μὴ λαλοῦντος, οὔτε μὴν πτῦσαι ἢ βῆξαι ἄδειαν ἔχοντος.

Ἰστέον δέ, ὅτι ἔν τισι τῶν Τυπικῶν τὸν ἐκκλησιάρχην ἢ τὸν καθηγούμενον τὸν ἑξάψαλμον λέγειν εὑρίσκεται, ἐν ᾧ καὶ τὸν ἱερέα φησὶ θυμιᾶν, εἰ καὶ νῦν τοῦτο οὐ γίνεται. Ὁ δὲ ἱερεὺς μετὰ τὸ εἰπεῖν τὰς ὑπὲρ τῶν βασιλέων αἰτήσεις, βαλὼν μετάνοιαν ἔμπροσθεν τῶν ἁγίων θυρῶν καὶ εἰς τοὺς β' χοροὺς πρὸς μίαν, ἀπέρχεται εἰς τὸ στασίδιον αὐτοῦ. Ὅταν δὲ φθάσῃ ὁ ψάλλων μοναχὸς τὸν ἑξάψαλμον εἰς τὸ Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, ἅψας κηρὸν ὁ κανδηλάπτης πήγνυσιν αὐτὸν εἰς τὸ διάστυλον τῶν ἁγίων θυρῶν, καὶ ἀπελθὼν ὁ ἱερεὺς ἵσταται ἔμπροσθεν τούτων ἀσκεπὴς μετὰ καὶ ἐπιτραχηλίου, καὶ λέγει μυστικῶς τὰς ἑωθινὰς εὐχάς, ὥστε τελειώσῃ ταύτας μέχρις οὗ πληρωθῇ ὁ ἑξάψαλμος[1]). Καὶ μετὰ

[1]) Окончаніе чина по рукописи 1528 г. см. на стр. 110—112.

τὴν πλήρωσιν ποιεῖ συναπτήν, εἶθ' οὕτως ὁ κανονάρχης, βαλὼν μετάνοιαν συνήθως τῷ ἡγουμένῳ, ἵσταται ἐνώπιον τῶν ἁγίων θυρῶν, καὶ ἀπάρχεται τοῦ Ἀλληλούια εἰς τὸν ἦχον τῆς Ὀκτωήχου, στίχος α'· Ἐπὶ τῆς γῆς, στίχος β'· Καὶ νῦν πῦρ τοὺς ὑπεναντίους ἔδεται, στίχος γ'· (Πρόσθες αὐτοῖς κακά), στίχος δ'· Οὕτως ἐγενήθημεν τῷ ἀγαπητῷ σου, καὶ ψάλλομεν τὰ τριῳδικὰ τοῦ ἤχου τῆς Ὀκτωήχου. Εἰ δὲ ἔστι Θεὸς Κύριος, ψάλλει ὁ αὐτὸς μοναχὸς εἰς τὸν ἦχον τοῦ τροπαρίου τοῦ ἁγίου, καὶ εἰς τὸν αὐτὸν ἦχον θεοτοκίον, Κύριε ἐλέησον γ', Δόξα καὶ νῦν, καὶ ἀρχόμεθα τῆς στιχολογίας, μετὰ δὲ ταῦτα ψάλλει ὁ κανονάρχης τὸ κάθισμα τῆς Ὀκτωήχου καὶ θεοτοκίον, ποιῶν καὶ τὴν πρώτην ἀνάγνωσιν. Τοῦτο δὲ νῦν οὐ γίνεται ἐν Ἱεροσολύμοις· οὔτε γὰρ Θεὸς Κύριος ψάλλεται παρὰ ἱερέως, οὔτε κάθισμα ψάλλεται παρ' αὐτοῦ, ἀλλὰ παρὰ τοῦ ἐπιλαγχάνοντος εἰς τὸ ἄρχειν (εἰς τὴν ἀρχὴν) χοροῦ.

Μετὰ δὲ τὴν τῆς α' ἀναγνώσεως συμπλήρωσιν, ποιεῖ μετάνοιαν ἔμπροσθεν τῶν ἁγίων θυρῶν καὶ εἰς τοὺς χοροὺς πρὸς μίαν καὶ ἀρχόθα τῆς στιχολογίας τοῦ β' καθίσματος, μεθ' ὃ τὸ δεύτερον ἐνόρθινον κάθισμα τῆς Ὀκτωήχου ἢ ἐκ τῶν τῆς ἡμέρας προσομοίων, ἅπερ εἰσίν. Εἰ δὲ ἔχει κοντάκιον ὁ ἅγιος τῆς ἡμέρας, οὐδὲ ἓν ἐκ τῶν καθισμάτων ψάλλομεν, ἀλλὰ τὸ μαρτυρικὸν τῆς Ὀκτωήχου τὸ ἐνόρθινον. Καὶ μετὰ τοῦτο, εἰ ἔχει ὥρα, ποιοῦμεν ἀνάγνωσιν, καὶ μετ' αὐτήν, εἰπόντος τοῦ ἡγουμένου ἢ τοῦ ἐκκλησιάρχου τὸ Κύριε ἐλέησον γ', Δόξα καὶ νῦν μετὰ πραότητος, ἀνιστάμεθα πάντες καὶ οὕτως ἀρχόμεθα τοῦ ν', οὗ πληρωθέντος, ἀρχόμεθα τῶν κανόνων.

Οὕτω γίνεται ἀπὸ τῶν Ἁγίων Πάντων μέχρι τῆς κ' τοῦ Σεπτεμβρίου μηνός, ἀπὸ δὲ ταύτης ποιοῦμεν εἰς τὴν στιχολογίαν καθίσματα γ' καὶ ψάλλομεν τὰ προσόμοια τῆς Ὀκτωήχου ἢ τὸ μαρτυρικόν, εἰ ἔχει κοντάκιον, ὡς εἴπομεν, ὁ ἅγιος. Μετὰ δὲ τὴν συμπλήρωσιν τῆς γ' ᾠδῆς, κάθισμα τοῦ Μηναίου, καὶ εἰ ἔχει ἡ ὥρα, τίθεται ἀνάγνωσις, μεθ' ἣν ἀρχόμεθα τῆς ἑτέρας στάσεως τῶν ᾠδῶν. Μετὰ δὲ τὴν ϛ' ᾠδὴν τὸ κοντάκιον, εἴπερ ἔχει ὁ ἅγιος, εἰ δ' οὖν τὸ μαρτυρικὸν τῆς Ὀκτωήχου, εἶτα ἀναγινώσκει ὁ κανονάρχης τὸ Συναξάριον, μεθ' ὃ ἀρχόμεθα ὁμοίως τῶν ἑτέρων ᾠδῶν. Τοῦ δὲ ἱερέως, μετὰ τὸ τέλος τῆς ὀγδόης εἰσερχόμεθα (μένου) εἰς τὸ ἱλαστήριον, καὶ θυμιῶντος τὴν ἁγίαν τράπεζαν καὶ ἐκφωνοῦντος εἰς ἦχον πλ. β'· Τὴν Θεοτόκον (καὶ Μητέρα) ἐν ὕμνοις μεγαλύνομεν. Στιχολογοῦμεν τὴν ᾠδὴν τῆς Θεο-

Ὥρα πρώτη. Περὶ ὥραν τρίτην τῆς ἡμέρας σημαίνει τὸ μικρὸν καὶ συναγόμεθα πάντες ἐν τῇ ἐκκλησίᾳ, καὶ ἀλλάσσει ὁ ἱερεὺς καὶ ὁ διάκονος, καὶ λέγει ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, καὶ ἀρχόμεθα τὸ Τρισάγιον, τὸ Πάτερ ἡμῶν, ὁ ἱερεὺς ἐκφωνεῖ· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ εὐθύς· Δεῦτε προσκυνήσωμεν γ', καὶ ψάλλομεν τὴν πρώτην ὥραν τρίψαλμον, ἀλλ' οὐ τοὺς συνήθεις ψαλμούς, ἀλλὰ τοὺς ῥηθησομένους ἐνταῦθα· ψαλμὸς ε' Τὰ ῥήματά μου, ψαλμὸς μδ' Ἐξηρεύξατο, ψαλμὸς με' Ὁ Θεὸς ἡμῶν καταφυγή, Δόξα καὶ νῦν, καὶ μετὰ τὸ τέλος τῶν ψαλμῶν τροπάριον· Ἀπεγράφετο ποτέ, καὶ τὸ θεοτοκίον· Τί σε καλέσωμεν, καὶ εὐθὺς ὁ διάκονος ποιεῖ συναπτὴν μεγάλην, καὶ μετὰ τὴν ἐκφώνησιν τοῦ ἱερέως ψάλλομεν τροπάριον ἐκ τῶν ιβ', γ', ἤγουν οἱ δύο χοροὶ πρὸς μίαν· ἄρχεται δὲ ὁ χορὸς ὁ ἐναρξάμενος, εἶτα καὶ ὁ ἕτερος τὸ αὐτὸ στιχηρὸν ἄνευ στίχων· Βηθλεὲμ ἑτοιμάζου, εἰς δὲ τὸ β' στιχηρὸν λέγει στίχον· Ὁ Θεὸς ἀπὸ Θεμὰν ἥξει, στίχος· Κύριε εἰσακήκοα, τροπάριον ἦχος πλ. δ'· Τάδε λέγει Ἰωσήφ,

Δόξα, τὸ γ' στιχηρὸν ἦχος γ'· Νῦν προφητική, Καὶ νῦν τὸ αὐτό. Οὕτω ποιοῦμεν καὶ ἐν ταῖς λοιπαῖς ὥραις [1]), καὶ εὐθὺς προκείμενον ἦχος δ'· Κύριος εἶπε πρός με, στίχος· Αἴτησαι παρ' ἐμοῦ, προφητεία Μιχαίου· Τάδε λέγει Κύριος· καὶ σὺ Βηθλεέμ, ἀναγνώσεις γ' τῆς παραμονῆς ἀπὸ τὸ μέσον, ἀπόστολος πρὸς Ἑβραίους· Πολυμερῶς, ζήτει σαββάτῳ α' τῶν νηστειῶν, εὐαγγέλιον κατὰ Ματθαῖον· Τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γέννησις, ζήτει εἰς τὸν ὄρθρον τῆς ἑορτῆς. Εἶθ' οὕτως ὁ διάκονος· Πληρώσωμεν τὴν δέησιν, καὶ τὰς λοιπὰς αἰτήσεις. Ὁ ἱερεὺς ἐκφωνεῖ, ἡμεῖς· Τὰ διαβήματά μου, τὸ Τρισάγιον, τὸ Πάτερ ἡμῶν, τὸ κοντάκιον, τὸ Κύριε ἐλέησον μ', ὁ ἱερεὺς ποιεῖ στίχον, μικρὸν καθ' ἑαυτοὺς ἡμῶν εὐχομένων, ἐπισυνάπτεται καὶ ἡ γ' ὥρα. На третьемъ часѣ псалмы 63, 86 и 50, а по окончанія часа ἀπόλυσις. Περὶ δὲ ὥραν ἕκτην σημαίνει τὸ μικρόν· συναχθέντων ἡμῶν ἐν τῇ ἐκκλησίᾳ, ψάλλομεν τὴν ἕκτην καὶ τὴν ἐννάτην συνημμένως, ἀρχόμεθα τὸ Τρισάγιον. Псалмы 71, 131 и 90, на девятомъ часѣ псалмы 109, 84 и 85. Послѣ 40 разъ «Господи помилуй» στίχοι μακαρισμοὶ χύμα, τὸ Πιστεύω εἰς ἕνα Θεόν, Ἄνες, ἄφες, Πάτερ ἡμῶν, τὸ κοντάκιον, τὸ Κύριε ἐλέησον μ', Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, εἰ δὲ θέλει ὁ διάκονος, λέγει· Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ, Σοφία, καὶ ὁ ἱερεὺς ἀπόλυσιν.

(л. **229** об.). Ἀκολουθία τῶν Φώτων. Τῇ παραμονῇ τῶν Φώτων, ὥραν γ' κρούει τὸ ξύλον, καὶ συναγόμεθα πάντες ἐν τῇ ἐκκλησίᾳ καὶ ψάλλομεν τὴν πρώτην ὥραν τρίψαλμον μετὰ τὸ Τρισάγιον. Часы во всемъ подобны Рождественскимъ. Псалмы на первомъ часѣ 5, 12 и 26, на третьемъ—28, 41 и 50, на шестомъ 73, 76 и 79 и на девятомъ 92, 113 и 85 Κλῖνον τὸ οὖς σου.

[л. **230** об.). Ἐπιστολὴ ἀδελφῶν [2]) προεστῶτος πρὸς γέροντα τέλειον καὶ κατάκριτον [3]) καὶ σοφόν, ζητοῦσα περὶ δηλώσεως καὶ λύσεως ζητημάτων ἀναγκαίων εἰς ἀγωγὴν μοναχῶν καὶ κατάστασιν.

«Πάτερ ἅγιε, παρακαλῶ τὴν ἐν Κυρίῳ ἀγάπην σου, ὅπως δηλοποιήσῃς ἡμῖν ἐγγράφως καὶ ὑποδείξῃς τὸ βέβαιον περὶ νηστειῶν καὶ καταλύσεων τῶν τε δεσποτικῶν ἑορτῶν καὶ τῶν ἁρμοζόντων ἁγίων ἐν καταλύσει τὴν διαφοράν· πολλὰ γὰρ ἀκούομεν λεγόμενα παρὰ πολλῶν καὶ μὴ

---

[1]) Пропущена здѣсь, но имѣется въ третьемъ и другихъ часахъ συναπτὴ μικρά. [2]) Изъ Кастамонитской библ. ркп. № 5 (6) варіанты: ἀδελφῶν—нѣтъ № 1096 Синайск. библ. ἀδελφοῦ πρὸς γέροντα. Остальныхъ словъ нѣтъ [3]) Ркп. № 5 διακριτικὸν

συμφωνοῦντα· τινὲς [1]) γὰρ λέγουσιν, ὅτι δεῖ πείθεσθαι τοῖς κατὰ τὴν ἡμέραν ἡγουμένοις, ἄλλοι δὲ οὐχ οὕτως, ἀλλὰ τὴν τῶν κανόνων ἀκρίβειαν δέον [2]) τηρεῖν. Λέγουσι· δεῖξον οὖν ἡμῖν καὶ εἰ ἔξεστι καταλύειν τὴν τῆς τετράδος καὶ παρασκευῆς νηστείαν τῇ ἑβδομάδι τῆς πρωταπόκρεω καὶ τῆς τυρινῆς κατὰ τοὺς πολλούς, ὡσαύτως καὶ εἰς τὰς μεθεόρτους ἡμέρας τῶν δεσποτικῶν ἑορτῶν, καὶ εἰ καλῶς ποιοῦσιν οἱ νηστεύοντες τὴν ἡμέραν τῆς Ὑψώσεως τοῦ τιμίου Σταυροῦ, ἢ καὶ τὴν πρὸ ταύτης, καὶ εἰ δεῖ καταλύειν εἰς ὀψάριον τῇ παραμονῇ τῆς Χριστοῦ γεννήσεως καὶ τῶν Φώτων, καὶ εἰ ἔξεστι τοῖς τὸ πλεῖον κοπιῶσιν ἀδελφοῖς [3]) διακονηταῖς καὶ πλεῖον φιλοτιμεῖσθαι καὶ ἐν αὐταῖς ταῖς νηστείαις, καὶ εἰ ἐνδέχεται ἐπίσης καταλύειν ἐν ταῖς δεσποτικαῖς ἑορταῖς καὶ ἐν ταῖς τῶν μεγάλων ἁγίων μνήμαις, καὶ εἰ δεῖ τοῖς Τυπικοῖς συναξαρίοις ἀκολουθεῖν[4]) μᾶλλον ἐν ταῖς καταλύσεσι τῶν νηστειῶν, ἢ τοῖς ἀρχαιοτέροις ἕπεσθαι διατάγμασι, λέγω δὴ τοῖς ἀποστολικοῖς καὶ πατρικοῖς, καὶ εἰ καλόν ἐστί τινα, ἐν κοινοβίῳ ὄντα, νηστεύειν, ὡς βούλεται, καὶ εἰ δεῖ τῷ καθηγουμένῳ ἐξαγγέλλειν τὰς προτέρας πράξεις, ἢ καὶ τοὺς καθημερινοὺς λογισμούς, ἢ ᾧ τινι βούλεται, καὶ εἰ ἐπίσης ὀφείλουσι διαιτᾶσθαι οἱ ἐν ἐπιτιμίοις ὄντες καὶ κατηχούμενοι, καὶ οἱ ταῦτα πεπληρωκότες, ἢ καὶ μηδόλως ὑποπεσόντες ἐπιτιμίοις ἔν τε νηστείᾳ δηλαδὴ καὶ γονυκλισίαις καὶ τοῖς λοιποῖς, καὶ εἰ ἐξόν [5]), τοὺς καθ' ἑαυτοὺς ζῶντας ἐπίσης καταλύειν ἐν τοῖς κοινοβίοις ἐν ταῖς νηστείαις, ταῦτα πάντα καὶ ὅσα τούτοις ὅμοια, καθὼς παράσχῃ σοι ὁ Θεός, δηλοποίησον [6]) ἡμῖν, τιμιώτατε πάτερ, καὶ μὴ κατοκνήσῃς πρὸς τὸ ὠφελῆσαι ἡμᾶς, μηδὲ ἀγροικίαν καὶ ἰδιωτείαν προφασίσῃ· πιστεύομεν γὰρ τῷ Θεῷ δοῦναί σοι, διὰ τὴν ἡμῶν ὠφέλειαν, λόγον πλείονα, παρ' ὃν ἔχεις, ἐν ἀνοίξει τοῦ στόματός σου».

[л. **231** об.). Εὐσύνοπτος εἴδησις καὶ ἀπόκρισις [7]) περὶ τῶν ἐρωτηθεισῶν ὑποθέσεων.

«Προσήκει παντὶ χριστιανῷ τηρεῖν καὶ φυλάττειν τοὺς ἐγγράφως παρὰ τῶν θεοκηρύκων ἀποστόλων παραδεδομένους νόμους, ἐπὶ δὲ τούτοις καὶ τοὺς τῶν ἁγίων καὶ θεοφόρων πατέρων ἡμῶν καὶ ἱεραρχῶν κανόνας καὶ ὅρους πνευματικούς, τῶν τε ἀρχαίων καὶ τῶν μεταγενεστέρων, τῶν τε περὶ πίστεως φημὶ καὶ τῶν ἄλλων θεί-

---

[1]) μὲν [2]) нѣтъ [3]) Костамон. ркп. № 5 ἀδελφοῖς καὶ πλείονα διδόναι τὴν τροφὴν ἐν αὐταῖς ταῖς νηστείαις Ркп. № 1095 нѣтъ ἀδελφοῖς διακονηταῖς [4]) ὑπακολουθεῖν [5]) εἰξεῖν [6]) δηλοποίησαι [7]) τῆς ἀποκρίσεως

ων δογμάτων, οὐχ ἧττον δὲ καὶ τοὺς περὶ βρώσεως καὶ πόσεως νηστείας αὖ καὶ καταλύσεως, περὶ ὧν καὶ ὁ λόγος σοι νῦν ἀναγκαῖος δοκεῖ, ἀδελφέ. Ἡμεῖς τοίνυν, οἱ τῶν τοῦ κόσμου πραγμάτων κεχωρισμένοι, πολλῶν μὲν καὶ ἄλλων ἁγίων πατέρων τύπους καὶ ὁρισμοὺς ἐδεξάμεθα [1]), πρὸ πάντων δὲ τοῦ μεγάλου ἐν ἱεράρχαις καὶ θεοφόρου πατρὸς ἡμῶν Βασιλείου, ἐξ οὗ καὶ μεταγενέστεροι τὰς ἀφορμὰς ἐξελάβοντο. Οὗτος γὰρ ὁ θεῖος καὶ μέγας πατὴρ ἡμῶν, τοῖς μὲν κατὰ μόνας καὶ καθ' ἑαυτοὺς ζῶσι πολλὰς καταστάσεις καὶ διαφόρους τύπους πνευματικῆς ἐργασίας ἐξέθετο, τοῖς δὲ ἐπὶ τὸ αὐτὸ συνηγμένοις καὶ ὑφ' ἑνὶ [2]) πατρὶ καὶ ποιμένι ὁδηγουμένοις οὐδὲν ἕτερον διωρίσατο, ἢ πείθεσθαι τοῖς τῶν προεστώτων προστάγμασιν, ὡς λόγον πάντως μελλόντων ἀποδοῦναι ὑπὲρ αὐτῶν τῷ Θεῷ· ἐν γὰρ τῇ ἀσκητικῇ αὐτοῦ [3]) βίβλῳ τάδε φησίν· ὅτι κἂν ποτε νηστείαν κωλύσῃ ὁ διδάσκαλος, ἢ μετάληψιν τῆς ἀναληπτικῆς τροφῆς συμβουλεύσῃ, ἢ ἄλλό τι τῶν εἰς ἄνεσιν φερόντων ὑφηγήσηται τοῖς ὑπ' αὐτῶν πάντα τὰ ὁμοίως ἐπιτελεῖσθαι πεπεισμένοις, ὅτι τὸ παρ' ἐκείνου λεγόμενον νόμος ἐστί. Καὶ ἄλλα δὲ πολλὰ ἐρευνῶν τις εὑρήσει τοιουτοτρόπως παρ' αὐτοῦ ἐκτεθέντα [4]) ἐν τῶν ἀσκητικῶν κεφαλαίων σεβασμίῳ βίῳ. Ὅθεν ἀναγκαῖόν ἐστι τοὺς μέλλοντας εἰς τὴν τῶν ψυχῶν φροντίδα ἀναβιβάζεσθαι τοιούτους εἶναι, οἵους ὁ πνευματικὸς λόγος ζητεῖ [5]). τοῦ ἔχειν γνῶσιν θείων καὶ ἀνθρωπίνων πραγμάτων καὶ εἰδέναι διακρίνειν κινήσεις δυνάμεων ψυχικῶν τε καὶ σωματικῶν καὶ τἄλλα δὲ κεκτῆσθαι τὰ τούτων ἀκόλουθα. Καὶ ἡμᾶς δὲ προσήκει τοιούτους ἐπιζητεῖν καὶ τοιούτοις ὑπείκειν καὶ ὑποτάσσεσθαι, καὶ μὴ κατὰ τὰς ἐπιθυμίας ἡμῶν ἐπιτρέπειν ἑαυτοῖς διδασκάλους, μήπως καὶ ἐφ' ἡμῶν πληρωθῇ ὁ τοῦ Χριστοῦ θεῖος λόγος, ὅτι «τυφλὸς τυφλὸν ἐὰν ὁδηγῇ ἀμφότεροι εἰς βόθυνον ἐμπεσοῦνται». Ἅπερ καλῶς ἐπιγνόντες οἱ μεταγενέστεροι πατέρες, οἱ ὄντως ἐκ τῆς ἄνωθεν χάριτος προχειρισθέντες, οἱ μεγάλων μοναστηρίων ἄρξαντες καὶ πολλῶν ψυχῶν, λέγω δ' ὁ ὁμολογητὴς καὶ ἅγιος πατὴρ ἡμῶν Θεόδωρος ὁ τῶν Στουδίων [6]) καὶ οἱ τηνικαῦτα διαλάμψαντες καὶ πρὸ τούτου καὶ μετ' αὐτὸν ἅγιοι πατέρες καὶ μοναστηρίων οἰκισταί [7]), ὧν εἷς ἐστι καὶ ὁ ὅσιος πατὴρ ἡμῶν Ἀθανάσιος ὁ τοῦ Ἄθω ὄρους, οὐ μόνον ἔπραξαν, ἀλλὰ καὶ

---

[1]) ἐξαιρέτως τῶν μεγάλων φημὶ πατέρων Παχωμίου, Εὐθυμίου, Σάββα, Χαρίτωνος, Γερασίμου, Θεοδοσίου [2]) нѣтъ [3]) αὐτοῦ -нѣтъ [4]) Ркп. № 1096 ἐν τῇ τῶν ἀσκητικῶν κεφαλαίων σεβασμίῳ βίβλῳ [5]) ζητεῖ ὥστε ἔχειν [6]) Στουδιτῶν [7]) οἱ κτίτορες.

ἐγγράφως τοῖς μετέπειτα κατέλιπον, ἐξ ὧν καὶ ἡμεῖς φωτιζόμενοι οὐ πλανώμεθα τῆς εὐθείας ὁδοῦ· οὗτοι γὰρ οἱ μακάριοι τὰ δυσχερέστερα τοῦ πνευματικοῦ νόμου καταλείψαντες, διὰ τὴν πολλὴν τῆς καθ' ἡμᾶς γενεᾶς ψυχικὴν ἀσθένειαν, καὶ εὖ μάλα διακρίναντες τὰ εὐχερέστερα, ἐγγράφως ἡμῖν παρέδωκαν, θείῳ κινούμενοι Πνεύματι, ἵνα καὶ ἡμεῖς, τὴν μικρὰν ταύτην [1]) ὑποτύπωσιν φυλάξαντες, εἰς μέτρον [2]) τῆς πνευματικῆς ἡλικίας καταντήσωμεν Θεοῦ χάριτι. Προτεθείκαμεν δὲ τὴν περὶ διαίτης αὐτῶν ὑποτύπωσιν, ἣν καὶ πρώτην ἐζήτησας, ἀδελφὲ τιμιώτατε, λέγουσι γὰρ οὕτως·

Ἀπὸ τῆς πασχαλίας μέχρι τῶν Ἁγίων Πάντων τὰ λάχανα καὶ τὰ ὄσπρια μετὰ ἐλαίου ἐσθίομεν, πίνομεν δὲ καὶ οἶνον καθεκάστην κρασοβόλια, εἰ μή τις προσθήκη γένηται κατ' ἐπιταγὴν τοῦ προεστῶτος. Μέτρον δὲ τῶν κρασοβολίων ἐστὶν ὁ παραδεδομένος τύπος ἑκάστῃ μονῇ· ἄλλως γὰρ διοικεῖται αὕτη [3]) καὶ ἄλλως ἑτέρα, καὶ τῇ μὲν Διακαινησίμῳ ἑβδομάδι ἀπολελυμένοι ἐσμὲν εἰς πᾶν βρῶμα, ὡσαύτως καὶ τῇ μετὰ τὴν πεντηκοστήν, ὥς τινι τῶν πατέρων δοκεῖ. Ἀπὸ δὲ τοῦ Ἀντίπασχα καὶ ἕως τῆς κυριακῆς τῆς Πεντηκοστῆς, δευτέραν μὲν καὶ τρίτην καὶ πέμπτην ἐσθίομεν τυρὸν καὶ ἰχθύας, τετράδα καὶ παρασκευὴν ἄνευ τυροῦ καὶ γάλακτος καὶ ὠοῦ [4])· παρ' ἐνίων δὲ οὐδέν τι βρῶμα κεκώλυται πάσῃ τῇ πεντηκοστῇ, ἀλλ' εἰς τὴν ἑκάστου προαίρεσιν τὴν ἀποχὴν ἢ τὴν μετάληψιν κατέλειψαν. Τῇ δὲ νηστείᾳ, φασί [5]), τῶν ἁγίων ἀποστόλων, δευτέρᾳ μὲν καὶ τετράδι καὶ παρασκευῇ οὔτε ἔλαιον ἐσθίομεν, οὔτε οἶνον πίνομεν, τρίτῃ δὲ καὶ πέμπτῃ τούτων μεταλαμβάνοντες, ἰχθύων ἀπεχόμεθα [6]). Ἐν ταῖς τρισὶ δὲ ταύταις ἡμέραις, ἐὰν ἐπιστῇ μνήμη ἁγίου τῶν πάνυ μεγάλων καὶ ἐπισήμων, χρώμεθα ἐλαίῳ καὶ οἴνῳ, οὐ μέντοι καὶ ἰχθύσιν, εἰ δὲ ἐν τρίτῃ ἢ πέμπτῃ τύχοι, καταλύομεν καὶ εἰς ὀψάριον. Τοῦτο δὲ ποιοῦμεν ἐπὶ τῶν ἁγίων ἀποστόλων, ὧν αἱ μνῆμαι ἀργίαν τῶν ἔργων προξενοῦσι [7])· καὶ γὰρ εἰς πολλοὺς ἁγίους ἔχομεν Θεὸς Κύριος καὶ τροπάριον καὶ ἀργίαν ἄγομεν τῆς στιχολογίας τῶν ὡρῶν ἐν ταῖς συντάξεσιν καὶ ἄνεσιν τῶν μετανοιῶν, ἀλλ' οὐκ ἐξὸν καταλύειν τὴν νηστείαν, εἰ μή, ὡς εἴρηται, εἰς τοὺς πάνυ μεγάλους. Οἷον ἐν τῇ νηστείᾳ ταύτῃ, προηγουμένως μέν ἐστι τὸ γενέσιον τοῦ Προδρόμου, πολλάκις δὲ τυγχάνει καὶ τῶν ἁγίων ἀπο-

---

[1]) τούτων [2]) αὔξησιν [3]) ἄλλη [4]) καὶ ὠοῦ διαιτώμεθα [5]) нѣтъ. [6]) Ркп. № 5 ἀπεχόμεθα. Εἰ δὲ ἐπιστῇ τότε μνήμη τινὸς ἁγίου τῶν πάνυ μεγάλων καὶ ἐπισήμων, εἰ μὲν ἐν μιᾷ τῶν εἰρημένων ἡμερῶν, χρώμεθα οἴνῳ [7]) προστάσσουσι.

στόλων Βαρθολομαίου καὶ Βαρνάβα, καὶ τοῦ ἁγίου Θεοδώρου τοῦ στρατηλάτου. Τοῦτο δὲ καὶ ἐπὶ παντὸς τοῦ ἐνιαυτοῦ τηρητέον· δεύτερον δὲ τῆς ἡμέρας ἐσθίομεν ἐν τῇ νηστείᾳ τῶν ἁγίων ἀποστόλων. Ἀπὸ δὲ τῆς ἑορτῆς τῶν ἁγίων ἀποστόλων ἄχρι τοῦ ἁγίου Φιλίππου, τετράδι μὲν καὶ παρασκευῇ ἀπεχόμεθα ἐλαίου καὶ οἴνου, πλὴν τῶν ἀσθενούντων [1]), ἐσθίομεν δὲ καὶ μαγειρίαν χωρὶς ἐλαίου [2]). Ἐν ταύταις [3]) δὲ ταῖς δυσίν, ἐὰν ἐπιστῇ ἑορτὴ δεσποτική, ἢ τῆς Θεομήτορος, ἐσθίομεν καὶ τυρὸν καὶ ᾠόν [4]). Εἰ δὲ τύχοι μνήμη τῶν πάνυ ἐπισήμων ἁγίου τινός, οἵου ὁ λόγος ὄπισθεν ἔδειξεν, εἰς οἶνον καὶ ἔλαιον μόνον καταλύομεν, εἰ μή τί γέ ἐστι ναὸς ἐπ' ὀνόματι τοῦ ἁγίου τιμώμενος· οἱ γὰρ ἐκεῖσε παρόντες καὶ τὸν τοῦ ναοῦ ἅγιον ἑορτάζοντες καταλύουσιν εἰς πάντα, ἐπίσης ταῖς δεσποτικαῖς ἑορταῖς, εἰς δὲ τῶν λοιπῶν ἁγίων τὰς μνήμας, τῶν ἐχόντων Θεὸς Κύριος καὶ ἀργίαν τῶν στιχολογιῶν ἐν ταῖς ὥραις, κατὰ τὴν εἴδησιν τῶν Συναξαρίων ποιήσομεν, ὡς [5]) ἔφημεν. Ὁμοίως οἱ τὴν κατάλυσιν τῆς νηστείας ὀφείλοντες [6]) ἔχειν ἅγιοι, τεθήσονται ἔμπροσθεν πρὸς σαφεστέραν διάγνωσιν. Τῇ δὲ ἁγίᾳ τεσσαρακοστῇ τῶν Χριστουγέννων, ἅπαξ μὲν τῆς ἡμέρας ἐσθίομεν ἀπὸ τοῦ λυχνικοῦ [7]), τὴν αὐτὴν δὲ δίαιταν [8]), ἣν καὶ ἐν τῇ νηστείᾳ τῶν ἁγίων ἀποστόλων, καὶ ἐν ταύτῃ γάρ, εἰ τύχοι μνήμη [9]) τινὸς ἁγίου τῶν μεγάλων ἐν δευτέρᾳ ἢ τετραδοπαρασκευῇ, δὶς τῆς ἡμέρας παρατίθεται ἡ τράπεζα καὶ ἐσθίομεν ἔλαιον καὶ πίνομεν οἶνον. Εἰ δὲ ἐν τρίτῃ καὶ ε', ἐσθίομεν καὶ ἰχθύν· ἁγίων δὲ μνήμας ἔχομεν ἐν ταύτῃ τοῦ ἁγίου Ἀνδρέου τοῦ ἀποστόλου [10]), τοῦ ἁγίου Νικολάου [11]), τῆς ἁγίας Ἄννης τὴν σύλληψιν, τοῦ ἁγίου Εὐστρατίου καὶ τῶν σὺν αὐτῷ, τὴν δὲ ἑορτὴν τῶν Εἰσοδίων [12]) δύο ἡμέρας ἑορτάζομεν καὶ δεύτερον τῆς ἡμέρας ἐσθίομεν, τῇ μὲν κυρίᾳ ὀψάριον, τῇ δὲ μεθεόρτῳ ἔλαιον· τὸ μέτρον δὲ τῶν κρασοβολίων ἑκάστου καιροῦ καὶ ἡμέρας οἱ μὲν πατέρες ἐδήλωσαν, ἡμεῖς δὲ κατελείψαμεν τοῦτο δι' αἰτίαν, ἣν ἔμπροσθεν εἰρήκαμεν. Ὁ τοίνυν βουλόμενος ἐρευνήσει τὰ διὰ πλάτους τούτων τυπικὰ καὶ εὑρήσει πάντα ἐκεῖσε δηλούμενα.

Τῇ δὲ παραμονῇ τῶν Χριστουγέννων καὶ τῶν Φώτων, κἄν τε νηστεία τύχῃ, κἄν τε σαββάτῳ, ἢ κυριακῇ, ὀψάριον οὐκ ἐσθίομεν, ἀλλ'

---

[1]) πλὴν τῶν ἀσθενούντων,—нѣтъ [2]) χωρὶς ἐλαίου—нѣтъ [3]) Εἰ δὲ ἐν ταύταις ταῖς δυσὶν ἐπιστῇ δεσποτικὴ ἑορτή, ἢ τῆς Θεομήτορος, ἐσθίομεν καὶ ἰχθύν. Εἰ δὲ τύχοι μνήμη [4]) Прибавлено: καὶ ἰχθύας [5]) φυλάττομεν τὴν νηστείαν ἡμῶν [6]) ἁρμόζοντες [7]) μετὰ τὸν λυχνικὸν δηλονότι [8]) δίαταν τηροῦμεν, ἣν καὶ [9]) ἅγιος τῶν μεγάλων [10]) Прибавлено: Ἀνδρέου τοῦ ἀποστόλου, τοῦ ἁγίου Νικολάου, τῆς συλλήψεως τῆς ἁγίας Ἄννης, τοῦ ἁγίου Εὐστρατίου [11]) Прибавлено: Τοῦ ἁγίου Σάββα, τοῦ ἁγίου Νικολάου [12]) Εἰσόδων.

ἔλαιον καὶ οἶνον μόνον, καὶ ἅπαξ τῆς ἡμέρας. Τῷ δὲ δωδεκαημέρῳ, οὕτω διαιτώμεθα κατὰ τὸν τύπον τῆς ν'. Ἔκτοτε δὲ καὶ μέχρι τῆς ἀπόκρεω, ὁμοίως ταῖς ἀπὸ τῶν ἁγίων ἀποστόλων ἡμέραις ἕως τοῦ ἁγίου Φιλίππου, ἡ δὲ ἑβδομὰς τῆς ἀποτυρώσεως πᾶσα ἀπολύτως ἐκρίθη εἶναι ἐν τῇ διαίτῃ παρὰ τῶν πατέρων δι' αἰτίαν, ἣν ἐκεῖνοι ᾔδεισαν, τὴν δὲ κατάλυσιν τῆς πρωταπόκρεω ἐγγράφως μὲν οὐ παρελάβομεν, ἀλλὰ κατὰ παράδοσιν, διὰ νηστείαν δὲ ἔθνους, ὥς φασί τινες, τότε τελουμένην, καταλύομεν [1]) ἡμεῖς. Τὰς δὲ τετραδοπαρασκευὰς τῶν μεθεόρτων ἡμερῶν τῶν δεσποτικῶν ἑορτῶν καταλύομεν εἰς ἔλαιον καὶ οἶνον, ἐκτὸς μέντοι τῶν Ἐπιφανείων· περὶ τούτων γὰρ ῥηθήσεται ἐν τοῖς ἐφεξῆς, καθὼς καὶ ἐν τοῖς φθάσασιν εἴρηται. Ὅτι δὲ νηστεύουσί τινες τὴν ἡμέραν τῆς Ὑψώσεως τοῦ τιμίου σταυροῦ, ἢ καὶ τὴν πρὸ ταύτης, πρόδηλον, ὅτι ἐξ οἰκείας γνώμης τοῦτο ποιοῦσι, τυπικῶς γὰρ τοῦτο οὐ παρελάβομεν. Ὅμως ἐπειδὴ ἢ εἰς τιμὴν τοῦ Ζωοποιοῦ Ξύλου τοῦτο ποιοῦσιν, ἢ δι' ἀῤῥωστίας ἀπαλλαγήν, ἢ δι' ἄλλό τι καλόν, κωλύειν τούτους, ὡς οἶμαι, οὐκ ἔξεστι· πᾶν γὰρ τὸ κατὰ Κύριον καὶ ἀγαθὴν συνείδησιν γινόμενον οὐκ ἀπόβλητον. Τῇ δὲ μεγάλῃ καὶ πανσέπτῳ τεσσαρακοστῇ μονοσιτοῦμεν, πλὴν σαββάτου καὶ κυριακῆς· τὴν μέντοι α' ἑβδομάδα, τινὲς μὲν τῶν πατέρων προσέταξαν τῇ δευτέρᾳ καὶ τῇ τετράδι ἀσιτίαν, ἐκτὸς τῶν ἀῤῥωστούντων, γ' καὶ ε' εἰσιέναι ἐν τῇ τραπέζῃ καὶ ἐσθίειν ἄρτον καὶ πίνειν εὔκρατον καὶ πλεῖον οὐδέν, οὔτε γὰρ λειτουργοῦσι προηγιασμένα [2]) τῇ δ', ἄλλοι δὲ δευτέρᾳ εἶπον ἀσιτεῖν, τρίτῃ δὲ εἰσιέναι ἐν τῇ τραπέζῃ ἀπὸ τοῦ παραθύρου τοὺς βουλομένους καὶ ἐσθίειν ἄρτον [3]) καὶ πίνειν εὔκρατον, τῇ δὲ δ' λειτουργεῖν καὶ ἀνοίγειν τὴν τράπεζαν καὶ ἐσθίειν κόκκους ἑφθοὺς καὶ ἄρτον καὶ πίνειν εὔκρατον, τῇ δὲ ε' ποιεῖν τοὺς βουλομένους, ὡς καὶ τῇ γ', τῇ δὲ παρασκευῇ λειτουργεῖν προστάσσουσι καὶ ἀμφότεροι καὶ ἀνοίγειν τράπεζαν καὶ ἐσθίειν κοκκία ἑφθά, ἢ ὀπωρικὰ μαγειρευτὰ καὶ ἁλμέαν χωρὶς ἐλαίου, καὶ πίνειν εὔκρατον. Καὶ ταῦτα μὲν παρ' ἀμφοτέροις ὁρισθέντα περὶ τῆς α' ἑβδομάδος, ἑξῆς δὲ προστάσσουσιν, οὕτω λέγοντες· ἀπὸ τῇ β' τῆς δευτέρας ἑβδομάδος καθ' ἑκάστην ἐσθίομεν, δευτέραν μὲν καὶ τετραδοπαρασκευὴν κοκκία ἑξεστὰ καὶ λάχανα ὠμὰ ἢ ἐλαίας, τρίτῃ δὲ καὶ ε' ὄσπριον ἢ λάχανον μαγειρίαν, χωρὶς ἐλαίου, καὶ οὕτω διαιτώμεθα δι' ὅλης τῆς ἁγίας μ' μέχρι τῆς παρασκευῆς τοῦ Λαζάρου· πᾶ-

---

[1]) Нѣтъ [2]) Нѣтъ [3]) κόκκους ἑφθοὺς καὶ ἄρτον, εὔκρατον, τῇ δὲ ε' ποιεῖν τοὺς βουλομένους ὡς καὶ τῇ τρίτῃ.

σαν γὰρ τεσσαρακοστὴν οὔτε ἔλαιον ἐσθίομεν, οὔτε οἶνον πίνομεν, ἄνευ σαββάτου καὶ κυριακῆς καί τινων ὡρισμένων ἡμερῶν, λέγω δὲ τῆς Εὑρέσεως τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου, τῇ μνήμῃ τῶν ἁγίων μ', τῇ δ' τῆς μεσονηστίμου, τῇ ε' τοῦ μεγάλου κανόνος, καὶ ὅτε ψάλλεται ἡ ἀκάθιστος. Ἰχθὺν δὲ ἐν ὅλῃ τῇ μ' οὐκ ἐσθίομεν, πλὴν τῆς ἑορτῆς τοῦ Εὐαγγελισμοῦ καὶ μόνον. Τῇ δὲ ἁγίᾳ καὶ μεγάλῃ ἑβδομάδι ξηροφαγοῦμεν [1]). Τῷ δὲ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ, μετὰ δ' ὥραν τῆς νυκτὸς καὶ τὴν τῆς ἀκολουθίας συμπλήρωσιν ἐσθίομεν ἄρτον καὶ οἶνον πρὸς βραχὺ διὰ τὸ μὴ καταβαρῆναι τὴν διάνοιαν· καὶ οὕτω μὲν ὁ παραδοθεὶς τύπος τῷ κοινῷ καὶ τῇ τραπέζῃ τῶν ἀδελφῶν διὰ παντὸς τοῦ ἐνιαυτοῦ.

Περὶ δὲ συμμετρίας καὶ φιλοτιμίας τῶν τὸ πλεῖον κοπιώντων, ἄκουσον τί λέγουσιν, ἀδελφέ. Ἀπὸ τῇ β' τῆς β' ἑβδομάδος τῆς μεγάλης μ' μετὰ τὸ σήμαντρον, τὴν πρώτην ὥραν ἀπέρχονται οἱ τεταγμένοι εἰς τὰς ἐξωδουλείας ἕκαστος εἰς τὴν ἰδίαν διακονίαν, καὶ οἱ μὲν πλησίον τῆς μονῆς κάμνοντες ἀθροίζονται ἐν τῇ δοξολογίᾳ τοῦ λυχνικοῦ καὶ εἰσέρχονται εἰς τὴν τράπεζαν, οἱ δὲ μήκοθεν ἀπερχόμενοι λαμβάνουσιν ἄρτον καὶ ἐσθίουσιν αὐτὸν ἀπὸ ἕκτης ὥρας μετὰ ὕδατος ποτοῦ, τῇ δὲ ἑσπέρᾳ παραγενομένοις παριτίθεται αὐτοῖς, εἴ τι κατὰ τὸ ἄριστον ἐβρώθη ἐν τῇ τραπέζῃ, τοῖς δὲ χαλκεῦσι καὶ βορδοναρίοις, ναυπηγοῖς τε καὶ ξυλουργοῖς, ἐὰν κάμνωσιν, δίδοται ἀπὸ ς' ὥρας ἄρτος καὶ οἶνος ἀνὰ κράσεων [2]) δύο, τῇ γ' καὶ τῇ ε', τῇ γὰρ β' καὶ τῇ τετραδοπαρασκευῇ οὐδενὶ δίδοται οἶνος, πλὴν τῶν ἀσθενούντων. Μετὰ δὲ τὸ παρελθεῖν τὴν ἁγίαν μ' λαμβάνουσιν οἱ προδεδηλωμένοι διακονηταὶ πρὸ τοῦ ἀρίστου ἄρτον καὶ πρὸς ἓν κρασοβόλιον, ὡσαύτως καὶ οἱ ἀμπελουργοὶ ὅτε κλαδεύουσι καὶ κατὰ τὸν βλαστολογητὸν καὶ οἱ ἐν τῷ μαγκανίῳ, ὅτε ἔχουσι ζύμην, τὸ αὐτὸ λαμβάνουσιν ἓν κρασοβόλιον. Ἐν δὲ τῇ μ' τῶν ἁγίων ἀποστόλων καὶ τῶν Χριστουγέννων, οὐδεὶς λαμβάνει τῇ δ' καὶ παρασκευῇ οἶνον, πλὴν τῶν ἀσθενούντων καὶ περὶ ὧν ὁ ἡγούμενος οἰκονομήσει. Καὶ τῇ μὲν νηστείᾳ τῶν ἁγίων ἀποστόλων, δὶς ἐσθίομεν τῆς ἡμέρας καὶ δίδοται τοῖς διακονηταῖς τῇ β' καὶ τῇ γ' καὶ τῇ ε' πρὸς ἓν κρασοβόλιον, τῇ δὲ μ' τῶν Χριστουγέννων, τῇ μὲν δ' καὶ παρασκευῇ, ὡς εἴρηται, οὐ λαμβάνουσι, ταῖς δὲ λοιπαῖς τρισὶν ἡμέραις, ὅτε

---

[1]) ἐκτὸς τῆς μεγάλης πέμπτης. Ἐν ταύτῃ καταλύομεν εἰς οἶνον καὶ ἔλαιον [2]) κρασοβολίων.

μὲν μονοσιτοῦμεν, δίδοται τοῖς προειρημένοις διακονηταῖς χαλκεῦσι καὶ βορδοναρίοις, ξυλουργοῖς τε καὶ ναυπηγοῖς ἀνὰ κρασίων δύο. Ὅτε δὲ ἐπιστῇ μνήμη ἁγίων, ὧν τὰς καταλύσεις ἐγγράφως ἐθέμεθα καὶ παρατίθεται δὶς ἡ τράπεζα, τηνικαῦτα πρὸς ἓν κρασοβόλιον λαμβάνουσι [1]) πρὸ τοῦ γεύματος, ἐν ὅλῳ δὲ τῷ χρόνῳ, ὅτε οὐκ ἔχουσι κάματον, ἀρκείσθωσαν εἰς τὴν κοινὴν δίαιταν τῆς ἀδελφότητος. Οὕτω τοίνυν παρέδωκαν ἡμῖν οἱ πατέρες κατὰ τὴν ἤδη ῥηθεῖσαν διάταξιν, ἀδελφέ, καὶ οὕτω παρελάβομεν ἡμεῖς, οἱ ἀσθενεῖς, δυνατοὶ δὲ δυνατῶς ἐτασθήσονται.

Καὶ μή τις ταῦτα καταμεμφέσθω, ὡς τῆς ἀποστολικῆς ἀκριβείας καθυστερίζονται καὶ ἀποδέονται, ἀλλ' ἐκεῖνο σκοπείτω, ὅτι πρῶτον μὲν διὰ τὴν ἀσθένειαν τῆς καθ' ἡμᾶς γενεᾶς τοῦ δικαίου μικρὸν ὑπεχάλασαν, δεύτερον δέ, ὅτι τὸ πλεῖον ἄνωθεν ἐν τῇ οἰκονομίᾳ τῶν ἡγουμένων κεῖται, πλὴν ὅτι καὶ πρὸς τοὺς θείους κανόνας κατηκολούθησαν, ἐξ ὧν καὶ τὰς ἀφορμὰς ἐξελάβοντο, δῆλον ἐντεῦθεν. Οἱ γὰρ θεῖοι μαθηταὶ καὶ ἀπόστολοι ἐν τῷ περὶ διδασκαλίας αὐτῶν λόγῳ τάδε διετάξαντο, λέγοντες· ἔνοχος ἁμαρτίας ἐστὶν ὁ τὴν κυριακὴν νηστεύων, ἡμέραν ἀναστάσεως οὖσαν, ἢ τὴν πεντηκοστήν, ἢ ὅλως ἡμέραν ἑορτῆς κατηφεῖν· ὅτι δὲ καὶ αὐτοὶ οὗτοι οἱ θεοκήρυκες τὰς τῶν ἁγίων μνήμας ἐπίσης ταῖς δεσποτικαῖς ἑορταῖς τιμᾶσθαι προστάσσουσι, πρόδηλον· ἐν γὰρ τῷ περὶ ἀργίας λόγῳ, ἀρξάμενοι καὶ ἀριθμήσαντες τὰς δεσποτικὰς ἑορτάς, λέγω δὴ τὴν τῶν Γενεθλίων, τὴν τῶν Φώτων, τὴν ἑβδομάδα τοῦ σωτηρίου πάθους τοῦ Χριστοῦ, τὴν Ἀνάληψιν καὶ τὴν Πεντηκοστήν, εὐθέως εἰσάγουσι καὶ τὰς τῶν ἁγίων ἀποστόλων καὶ μαρτύρων μνήμας, τήν τε τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου καὶ τῶν λοιπῶν. Καὶ πάλιν εἰς κγ' κανόνα ὁρίζουσι· μὴ νηστεύειν ἐν ἑορτῇ, εἰ μὴ δι' ἄσκησιν, ὡσαύτως ἡ ἐν Γάγγρᾳ ἁγία σύνοδος καταμέμφεται τοὺς μὴ προσιεμένους τὰς τῶν ἁγίων συνάξεις καὶ τὰς δι' αὐτοὺς γινομένας ἀγάπας καὶ λειτουργίας· σύναξις δὲ ἁγίου οὐκ ἄν ποτε γένηται, εἰ μὴ κατάλυσις νηστείας διὰ Κύριον ἐπακολουθήσει· ἔνθεν δείκνυται, ὡς οὐχ ἁπλῶς καὶ ἀσκόπως ἔγραψαν οἱ μεταγενέστεροι πατέρες. Εἰ τοίνυν πιστεύομεν, ὅτι Πνεύματι θείῳ κινούμενος ἔγραφεν ὁ Στουδίτης καὶ οἱ κατ' αὐτόν, ἀνεξετάστως τὰ παρ' αὐτῶν παραδεδόμενα παραδεχόμεθα, εἰ γὰρ καὶ οἱ προγενέστεροι τούτων οὐδὲν ἐξηγήσαντο, θαυμαστὸν οὐδέν. Ὀφείλει

[1]) ἂν κάμνουσι λόγῳ καὶ πλεῖον οὐδέν. Ἀπὸ δὲ τῆς Χριστοῦ γεννήσεως ἕως τυρινῆς τὸ αὐτὸ ἓν κρασοβόλιον λαμβάνουσιν.

τοίνυν ἕκαστος τῶν ἐν κοινοβίοις οὕτω φρονεῖν καὶ ποιεῖν, καὶ εἰ μὲν ἄνωθεν ὅλως κέκτηται ἡ μονὴ παρὰ τῶν κτιτόρων τύπον ἔγγραφον, ἕπεσθαι δεῖ τούτῳ, εἰ δὲ μή, ἔστω ὁ ἡγούμενος τύπος, εἰ ὅλως ἔχει φρόνημα κατὰ Κύριον· οὐ γὰρ ἀφ' ἑαυτοῦ τι πάντως λαλήσει, ἀλλ' ἢ ἀπὸ τῶν θείων κανόνων, ἀπείη γὰρ τῷ τοιούτῳ, εἰ δὲ κατεγνωσμένῳ λέγειν καὶ τυπεῖν καὶ πράττειν, οὐ γὰρ δίκαιον πείθεσθαι τῷ τοιούτῳ· εἰ δὲ μὴ οὕτω βουλόμεθα πράττειν, τίς ἡμῖν χρεία (εἰς) κοινόβιον εἰσιέναι καὶ ὑπὸ χεῖρα τελεῖν καὶ συνθήκας περὶ τούτου διδόναι ὑπὸ μάρτυρι τῷ Θεῷ καὶ τοῖς ἐκλεκτοῖς ἀγγέλοις αὐτοῦ, εἴ γε μέλλοιμεν ὕστερον ἰδίας νηστείας καὶ καταλύσεις ἐφευρίσκειν καὶ ταραχὰς φέρειν ἐν τῷ κοινοβίῳ· μεῖζον γὰρ τοῦ κατορθώματος τὸ πλημμελούμενον ἕξομεν, ὡς ὁ Μέγας ἔφη Βασίλειος[1]), εἰ μή τι γε τῇ συμβουλῇ τοῦ προεστῶτος γένηται· ἀνάγκη γάρ ἐστιν εἶναι μονήν τινα καὶ ἡγουμενεῖον καὶ φυλάττειν τὰς ἄνωθεν πατρικὰς παραδόσεις τάς τε περὶ νηστείας καὶ πάσης ἄλλης πνευματικῆς καταστάσεως, εἰ δὲ μὴ οὕτως, οὐ καλεῖται μοναστήριον, ἀλλ' ἄλλό τι. Τὰ δὲ περὶ τῆς ἐξαγορίας, πάλαι ὑπὸ τῶν πατέρων παρεδόθη, ἵνα πάντες οἱ ἐν ἑνὶ μοναστηρίῳ ὄντες τῷ ἡγουμένῳ ἐξαγγέλλωσι τοὺς ἰδίους λογισμοὺς καὶ τὰς πράξεις. Εἰ δὲ τυχὸν ὁ ἡγούμενος διά τινα αἰτίαν οὐ βούλεται, παραπέμπει τούτους εἰς ἕτερον, κατὰ δεύτερον λόγον, ὃν ἂν καὶ βούλεται, εἴτε ἔσωθεν τῆς μονῆς αὐτοῦ, εἴτε καὶ ἔξωθεν προσκαθήμενον. Καὶ ἐφ' ὅσον μὲν χρόνον ἔστι τις ἐν ἐπιτιμίοις, ἐνηλλαγμένος πρὸς τοὺς λοιποὺς ἀδελφοὺς διαιτηθήσεται [2]) ἔν τε βρώσει καὶ πόσει πολὺ ἢ ὀλίγον παρὰ τοὺς ἄλλους, τῇ εἰδήσει μέντοι τοῦ ἡγουμένου· ἄλλη γὰρ φησίν, ἡ τοῖς ἀνευθύνοις, καὶ ἄλλη ἡ τοῖς ὑπευθύνοις ἁρμόζουσα ἐγκράτεια, πληρώσας δὲ τὸν χρόνον τῆς ἐπιτιμήσεως αὐτοῦ, ἕψηται καὶ αὐτὸς καὶ ἀρκεσθήσεται τῷ τύπῳ καὶ διαίτῃ τῆς μονῆς, ἵνα ὦσι πάντες τὸ ἓν φρονοῦντες καὶ πράττοντες καὶ μὴ λέγοντες Παύλῳ καὶ Ἀπολλώ, ἀλλὰ τοῦ ἑνὸς ποιμένος καὶ ὁδηγοῦ, τοῦ ἐντάλματα τοῦ θείου νόμου ἐν στόματι φέροντος καὶ ψυχῇ. Οἱ δὲ ὑπὸ χεῖρα μὴ ὄντες ἡγουμένου, μηδὲ ἐπὶ τὸ αὐτὸ ζῶντες, ἀλλὰ καθ' ἑαυτούς, ἄδειαν ἔχουσιν ἀνατίθεσθαι τοὺς ἑαυτῶν λογισμοὺς πρὸς ὅντινα βούλονται, οἵτινες καὶ μᾶλλον ἀκριβεστέρως ὀφείλουσι ζῆν καὶ μὴ ἐρευνᾶν ἁγίων μνήμας καὶ πανηγύρεις καὶ καταλύσεις, ἀλλὰ

---

1) Ὁ τῆς Κλίμακος καὶ ὁ Μέγας Βασίλειος 2) τὶς τῶν ἀδελφῶν ἐνηλλαγμένως διαιτηθήσεται.

τὰς ἀκριβεστέρας πατρικὰς [1]) διατάξεις καὶ κατ' ἐκείνας, ὅση δύναμις, ἄνευ ἀσθενείας πολιτεύεσθαι.

Τοῖς γὰρ ὑποτασσομένοις ὁ ἡγούμενος ἀρκέσει εἰς κανόνα διαίτης καὶ ἐργασίας ἄλλης πνευματικῆς, ὅτι τὸ δεσμεῖν καὶ λύειν, ὅπερ τοῖς ἀποστόλοις παρὰ Χριστοῦ, καὶ τῷ τοιούτῳ ἐπίσης δίδοται, εἴπέρ ἐστιν ἡγούμενος καὶ μὴ τὸ ἐναντίον ἀγόμενος, ὡς λόγον μέλλων ὑφέξειν ὑπὲρ αὐτῶν ἐν καιρῷ δικαιοκρισίας τῷ Θεῷ, εἰ καὶ αὐτοὶ καλῶς καὶ ἀνοθεύτως ὑποτάσσονται καὶ τὴν ὑπακοὴν καὶ πίστιν, ὡς δεῖ συνεισφέρουσιν· καθ' ὅσον γάρ, φησί, τὸ πρόβατον τῷ ποιμένι ἀκολουθεῖ κατὰ τοσοῦτον ὑπὲρ αὐτοῦ τῷ οἰκοδεσπότῃ ἀπολογήσεται. Καὶ τοῦτο δὲ ὀφείλομεν πάντες τηρεῖν, ὡς μήτε ἀκριβεῖς τηρηταὶ φαίνεσθαι τῶν κανονικῶν διατάξεων, μήτε πάλιν ἀκαίρως συγκαταβαίνειν καὶ ἀσκόπως προστάσσειν τοῖς ὑφ' ἡμᾶς καταλύειν. Πρὸς τούτοις [2]) δὲ καὶ ἐκεῖνο σκοπεῖν [3]) ὀφείλομεν [4]), ὅτι πάντας ἐπίσης διαιτᾶσθαι ἀδύνατον· τοῦτο γὰρ σαφῶς ὑπέδειξεν ὁ κατὰ τὸν μέγαν Παχώμιον ἄγγελος καὶ οἱ θεῖοι πατέρες, διά τε ἡλικίαν καὶ ἀνατροφὴν καὶ ἕξιν σώματος (τοιάνδε ἢ τοιάνδε) καὶ κόπον καὶ ὁδοιπορίαν καὶ ἦθος, ἵν' οὕτως εἴπω· καθὼς γάρ φησιν ὁ μέγας Βασίλειος, σωμάτων πρὸς σώματα τοσαύτην ἄν τις εὕροι τὴν διαφοράν, ὅσον χαλκοῦ καὶ σιδήρου πρὸς τὰ φρυγανώδη τῶν ξύλων, καὶ αὖθις ὁ αὐτὸς φησίν, ἑνὶ μὲν κανόνι τῆς τροφῆς περιλαμβάνεσθαι πάντας ἀδύνατον, τὴν δὲ κρίσιν τούτων ἀφίεμεν τοῖς τὴν οἰκονομίαν τεταγμένοις. Καὶ οἱ πλείονες δὲ τῶν πατέρων τὴν συγκατάβασιν εἰς τοὺς ἀσθενεῖς τῇ ψυχῇ ἐνεδείξαντο. Λέγει γάρ τις τῶν δοκιμωτάτων σκητιωτῶν γερόντων, ὅτι εἰς τοσαύτην χλιαρότατα θεωροῦμεν καταπεπτωκότας τινάς, ὥστε τοὺς πατέρας παρακαλεῖν αὐτοὺς πραϋτέροις ὑπομνήσεσιν, ἀντὶ μεγάλων κατορθωμάτων ἡγεῖσθαι [5]) τὸ μὴ καταλιμπάνειν τὰ μοναστήρια καὶ ὁπωσδήποτε [6]) μόνον καθέζεσθαι, ἵνα μὴ περιερχόμενοι καὶ ῥεμβόμενοι εἰς ταχύτερα καὶ ὀλεθριώτερα ἐλαττώματα κατασυρῶσι, μέγα δὲ αὐτοῖς ὑπάρχειν κατόρθωμα οἱ γέροντες ἡγοῦνται, εἰ μόνον μετὰ οἱασδήποτε χαυνότητος καὶ ἀδρανείας καρτερῶσιν ἐν τῇ ἐρήμῳ καὶ τοῖς μοναστηρίοις· καὶ ταῦτα μὲν οἱ γέροντες. Πρόσχωμεν δὲ καὶ ἡμεῖς οἱ τινῶν ἄρχοντες καὶ διδάσκοντες, μήπως ἐκ τῆς ἡμῶν ἀκαιροδικαιοσύνης πλεονεκτηθῇ Θεὸς καὶ ζημιωθῇ τὸ κεφάλαιον αὐτὸ τοῦτο· Τὴν σωτηρίαν τῶν ἐπιστρεφόντων· οὐ γὰρ δεῖ ἡμᾶς

---

1) πνευματικάς 2) НѢТЪ πρὸς τούτοις δὲ καὶ 3) σκοπείσωμεν 4) НѢТЪ 5) НѢТЪ 6) НѢТЪ.

πολυπραγμονεῖν, ὡς ἔφθην εἰπών, τὰς δοκούσας εἶναι οἰκονομικὰς συγκαταβάσεις τῶν πατέρων, μήπως καὶ ἐπιτιμίοις ὑποπεσούμεθα· οἱ γὰρ ταύταις ἀπειθοῦντες οὐ μόνον ἐπιτιμίοις, ἀλλὰ καὶ ἀναθέματι καθυποβάλλονται, καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, ἐρευνήσει ὁ βουλόμενος τί γέγονεν ἐπὶ τῶν ἡμερῶν τοῦ Στουδίτου καὶ τοῦ τηνικαῦτα βασιλεύοντος Κωνσταντίνου καὶ τῶν τότε ἁγίων ἱεραρχῶν καὶ εὑρήσει με ἀληθεύοντα.

Περὶ δὲ τῶν ἐν μετανοίᾳ, μερικῶς ἐν τοῖς φθάσασιν ὑπομνήσαντες, νῦν διεξοδικώτερον λέγομεν οὐχ ὁριστικῶς, ἀλλὰ γνωμικῶς καὶ συμβουλευτικῶς· οὗτοι γάρ, ὡς οἶμαι, ἐφ' ὅσον χρόνον ἐν τοῖς βαθμοῖς τῶν ἐπιτιμίων εἰσίν, ὀφείλουσι νηστεύειν καὶ τὴν δευτέραν ἡμέραν τῆς ἑβδομάδος· δι' αὐτοὺς γὰρ παρεδόθη ἡ τοιαύτη νηστεία, καθὼς τὸ τῶν Ἱεροσολύμων Τυπικὸν διαγορεύει, καὶ μήτε πᾶσαν τὴν πεντηκοστὴν καταλύειν, μήτε τὰς γονυκλισίας ἀθετεῖν, ὡς οἱ τῶν ἐπιτιμίων ἐλεύθεροι, ἀλλ' ἀρκέσει τούτοις εἰς κατάλυσιν ἡ τῆς Διακαινησίμου ἑβδομὰς καὶ αἱ διὰ τοῦ ἐνιαυτοῦ Δεσποτικαὶ ἑορταί. Ταῦτα μὲν ὡς ᾐτήσω, πνευματικὲ ἀδελφέ, κατὰ τὸ ἐν ἡμῖν πεποιήκαμεν, ἐξακολουθήσαντες τοῖς τυπικοῖς τῶν πατέρων καὶ ἄλλαις θείαις γραφαῖς καὶ ἐκεῖθεν τὰς ἀφορμὰς ἐναρξάμενοι. Εἰ δὲ παρὰ ταῦτα σαφέστερόν τι καὶ πιθανώτερον τῷ ἐρευνῶντι ποιηθήσεται, μυσταγωγήσεις ἡμῖν τοῦτο διὰ γραφῆς καὶ δεξόμεθα καὶ ἀποδεξόμεθα τοῦτο, εὐσεβῶς νοούμενον καὶ λεγόμενον. Γέγραφα δέ σοι καὶ περὶ τῶν διὰ τοῦ ἐνιαυτοῦ παντὸς Δεσποτικῶν ἑορτῶν καὶ τῆς Θεομήτορος, ὡσαύτως περὶ ἐπισήμων ἁγίων, τὰς ἡμέρας ἑκάστου μηνός, ἐν αἷς αἱ διάφοροι καταλύσεις τῶν νηστειῶν γίνονται καὶ ἀργίαι τῶν ὡρῶν καὶ τῶν γονυκλισιῶν. Εἰσὶ δὲ ἕτεροι ἑορταζόμενοι ἅγιοι ἐν τοῖς συναξαρίοις, ὡς ἄνωθεν ἔφημεν, ἀλλ' οὗτοι μόνοι ἐξελέγησαν ἔχειν ἀργίαν τῶν ἔργων καὶ κατάλυσιν τῆς νηστείας εἰς ἔλαιον καὶ οἶνον. Ἐν τούτοις τοῖς ἁγίοις εἰσὶ καί τινες ἔχοντες ἀργίας πανδήμους καὶ περιεκτικὰς ἐπίσης ταῖς Δεσποτικαῖς ἑορταῖς, ἀλλὰ διὰ τὸ καὶ τοὺς μεσίτας ἀργεῖν ἐν ταύταις ἐτέθησαν καὶ οὐ διὰ τὸ καταλύειν τὴν νηστείαν εἰς ὀψάριον· ἔλαιον γὰρ καὶ οἶνον ἐν τούτοις φαγούμεθα καὶ πιόμεθα, ὡς καὶ ἐν τοῖς μεγάλοις ἁγίοις. Περὶ δὲ γονυκλισιῶν δεῖ εἰδέναι, ὅτι ἐν μὲν ταῖς δεσποτικαῖς ἑορταῖς καὶ τῆς Θεομήτορος καὶ δι' ὅλης τῆς πεντηκοστῆς οὔτε κοινῶς, οὔτε ἰδίᾳ τελοῦνται, ἐν δὲ ταῖς μεθεόρτοις ἡμέραις τῶν ἑορτῶν [1]) τελοῦνται ἐν τοῖς κελλίοις καὶ ἐν τοῖς Θεοφανείοις, ὡσαύ-

[1]) Καὶ εἰς τὰ Θεοφάνεια καὶ εἰς τὴν μνήμην ὑποτεταγμένων ἁγίων, ἐν τῷ κοινῷ μεν τελοῦνται, ἰδίᾳ δε ποιοῦμεν.

τως καὶ ἐν ταῖς μνήμαις τῶν ὑποτεταγμένων ἁγίων, ἐν τῷ κοινῷ μὲν οὐ τελοῦνται, ἰδίᾳ δὲ ποιοῦμεν ἕκαστος.

[л. 237). Μὴν Σεπτέμβριος [1]) ἔχει ἡμέρας λ', ἡ ἡμέρα ἔχει ὥρας ιβ' καὶ ἡ νὺξ ὥρας ιβ'.

Ἀρχὴ τῆς ἰνδίκτου καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Συμεών· ἀργία τῶν μοναχῶν καὶ κατάλυσις εἰς ἔλαιον καὶ οἶνον [2]).

6. Τὸ θαῦμα τοῦ ἀρχιστρατήγου Μιχαήλ· ἀργία τῶν μοναχῶν καὶ κατάλυσις ἐλαίου καὶ οἴνου [3]).

8. Ἡ γέννησις τῆς Θεοτόκου· ἀργία πάντων καὶ κατάλυσις εἰς πάντα καί, ἕως οὗ ἀποδοθῇ ἡ ἑορτή, καταλύομεν τὴν νηστείαν εἰς ἔλαιον καὶ οἶνον, σχολὴν [4]) δὲ τῶν ἔργων οὐκ ἔχομεν.

13. Ἡ μνήμη τῶν ἐγκαινίων· ἀργία τῶν μοναχῶν καὶ κατάλυσις ἐλαίου καὶ οἴνου [5]).

14. Ὕψωσις τοῦ τιμίου Σταυροῦ· ἀργία πάντων καὶ κατάλυσις εἰς πάντα καὶ ἕως οὗ ἀποδοθῇ ἡ ἑορτή, καταλύομεν εἰς ἔλαιον καὶ οἶνον, σχολὴν δὲ τῶν ἔργων οὐκ ἄγομεν, εἰ μὴ συμβῇ [6]) διὰ μέσου ἐγγράφως ἀργία.

20. Τοῦ ἁγίου Εὐσταθίου· ἀργία τῶν μοναχῶν καὶ κατάλυσις ἐλαίου καὶ οἴνου.

23 [7]). Ἡ σύλληψις τοῦ Προδρόμου· ἀργία τῶν μοναχῶν καὶ κατάλυσις ἐλαίου καὶ οἴνου.

24. Τῆς ἁγίας πρωτομάρτυρος Θέκλης· ἀργία τῶν μοναχῶν καὶ κατάλυσις ἐλαίου καὶ οἴνου.

26. Τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου· ἀργία τῶν μοναχῶν καὶ κατάλυσις ἐλαίου καὶ οἴνου.

Μὴν Ὀκτώβριος [8]) ἔχει ἡμέρας λα', ἡ ἡμέρα ἔχει ὥρας ια' καὶ ἡ νὺξ ὥρας ιγ'.

6. Τοῦ ἁγίου ἀποστόλου Θωμᾶ· ὁμοίως [9]).

18 [10]). Τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Λουκᾶ· ὁμοίως.

23. Τοῦ ἁγίου ἀποστόλου Ἰακώβου τοῦ Ἀδελφοθέου· ἀργία καὶ κατάλυσις ὁμοίως.

---

[1]) Варіанты по Типик. ркп. моей библ. 1528 года. О количествѣ дней каждаго мѣсяца и количествъ часовъ каждаго дня и каждой ночи въ этомъ Типиконѣ не говорится [2]) прибавлено: ἀπὸ τὸ ἥμισυ τῆς ἡμέρας [3]) прибавлено: ἕως τοῦ ἀρίστου [4]) ἀργίαν—слово, замѣняющее почти вездѣ: σχολήν [5]) καὶ κατάλυσις ὁμοῦ [6]) конца нѣтъ [7]) нѣтъ чиселъ 23, 24, 26 [8]) нѣтъ указанія на количество часовъ дня и ночи [9]) ἀργία τῶν μοναχῶν καὶ κατάλυσις ὁμοῦ [10]) Нѣтъ 18 и 23 чиселъ.

26. Τοῦ ἁγίου μεγαλομάρτυρος Δημητρίου· ἀργία πάντων καὶ κατάλυσις ἐλαίου καὶ οἴνου.

Μὴν Νοέμβριος ἔχει ἡμέρας λ', ἡ ἡμέρα ἔχει ὥρας ι' καὶ ἡ νὺξ ὥρας ιδ' [1].

8. Ἡ Σύναξις τῶν ἀσωμάτων· ἀργία τῶν μοναχῶν καὶ κατάλυσις ἐλαίου καὶ οἴνου.

13. Τοῦ Χρυσοστόμου· ἀργία [2]) ὡσαύτως.

14. Τοῦ ἁγίου ἀποστόλου Φιλίππου· ἀργία πάντων καὶ κατάλυσις εἰς πάντα [3]).

16. Τοῦ [4]) ἁγίου ἀποστόλου Ματθαίου· ἀργία τῶν μοναχῶν καὶ κατάλυσις ἐλαίου καὶ οἴνου.

21. Ἡ ἐν τῷ ναῷ εἴσοδος τῆς ὑπεραγίας Θεοτόκου· ἀργία πάντων καὶ κατάλυσις εἰς ὀψάριον. Αὕτη ἡ ἡμέρα ἔχει μεθέορτον, καὶ ὁ βουλόμενος καταλύει εἰς ἔλαιον καὶ οἶνον.

λ'. Τοῦ ἁγίου ἀποστόλου Ἀνδρέου· ἀργία τῶν μοναχῶν καὶ κατάλυσις ἐλαίου καὶ οἴνου.

Μὴν Δεκέμβριος [5]) ἔχει ἡμέρας λα', ἡ ἡμέρα ἔχει ὥρας θ' καὶ ἡ νὺξ ὥρας ιε'.

6. Τοῦ ὁσίου [6]) πατρὸς ἡμῶν Νικολάου· ἀργία πάντων καὶ κατάλυσις ἐλαίου καὶ οἴνου.

9. Ὅτε [7]) συνελήφθη ἡ ὑπεραγία Θεοτόκος· ἀργία καὶ κατάλυσις ὁμοίως.

13. Τοῦ ἁγίου Εὐστρατίου· ὡσαύτως [8]).

17. Τῶν [9]) ἁγίων τριῶν παίδων· ὁμοίως.

20. Τοῦ ἁγίου Ἰγνατίου τοῦ Θεοφόρου· ἀργία καὶ κατάλυσις ὁμοίως.

24. Τῇ παραμονῇ τῆς Χριστοῦ γεννήσεως [10])· εἰς ἔλαιον καὶ οἶνον, μονόσιτον δὲ κἂν σάββατον κἂν κυριακήν.

25. Ἡ γέννησις τοῦ Κυρίου [11]) καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· ἀργία πάντων καὶ κατάλυσις εἰς πάντα.

26. Τῇ ἐπαύριον ὡσαύτως [12]). Ἀπὸ δὲ τῆς κς'. ἕως οὗ ἀποδοθῇ

---

[1]) Нѣтъ этого замѣчанія и памяти 8 числа [2]) Ἰωάννου τοῦ Χρυσοστόμου· ἀργία τῶν μοναχῶν και κατάλυσις οἴνου καὶ ἐλαίου [3]) ὁμοῦ [4]) нѣтъ этой памяти [5]) нѣтъ указанія на часы ночи и дня, но есть прибавка: «τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα· καταλύομεν ὁμοῦ [6]) τοῦ ἁγίου Νικολάου [7]) Ἡ σύλληψις τῆς ἁγίας Ἄννης· ἀργία τῶν μοναχῶν, κατάλυσις ἐλαίου καὶ οἴνου [8]) ἀργία καὶ λύσις ὁμοῦ [9]) нѣтъ 17 и 20 чиселъ [10]) τῶν Χριστουγέννων· ἀργία καὶ λύσις [11]) τὰ Χριστούγεννα [12]) τῶν Χριστουγέννων· ὁμοίως.

*

ἡ ἑορτὴ τῶν Φώτων, καταλύομεν, καθὼς προαιρεῖταί τις· ἐν γὰρ τῇ ἑκάστου γνώμῃ ἐστι τὸ ἀπέχεσθαι τυροῦ καὶ ᾠοῦ ἐν ταῖς ἡμέραις τῶν Ἐπιφανείων, ὥσπερ καὶ ἐν ταῖς τῆς πεντηκοστῆς ἡμέραις, ὡς ἔφημεν· σχολάζομεν δὲ καὶ ἀπὸ τῶν ἔργων, ὅτε τύχῃ ἡμέρα ἀργίας ἐγγράφως [1]).

Μὴν Ἰαννουάριος ἔχει [2]) ἡμέρας λα', ἡ ἡμέρα ἔχει ὥρας ι' καὶ ἡ νὺξ ὥρας ιδ'.

1. Ἡ περιτομὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τοῦ ἁγίου καὶ μεγάλου Βασιλείου· ἀργία καὶ κατάλυσις πάντων.

5. Τῇ παραμονῇ τῶν Φώτων· ἀργία [3]) τῶν μοναχῶν καὶ κατάλυσις ἐλαίου καὶ οἴνου.

6. Ἡ ἑορτὴ τῶν Φώτων· ἀργία καὶ κατάλυσις πάντων.

7. Ἡ σύναξις τοῦ Προδρόμου· ὁμοίως [4]).

16. Τῆς τιμίας ἁλύσεως [5]) τοῦ ἁγίου ἀποστόλου Πέτρου· ἀργία τῶν μοναχῶν ἕως ἀρίστου καὶ κατάλυσις ἐλαίου καὶ οἴνου.

17. Τοῦ ἁγίου Ἀντωνίου· ὁμοίως [6]).

18. Τῶν [7]) ἁγίων Ἀθανασίου καὶ Κυρίλλου· ὡσαύτως.

21. Τοῦ ἁγίου Εὐθυμίου· ὁμοίως [8]).

25. Τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου· ὡσαύτως [9]).

27. Τοῦ Χρυσοστόμου· ὁμοίως [10]).

Μὴν Φεβρουάριος ἔχει [11]) ἡμέρας κη', ἡ ἡμέρα ἔχει ὥρας ια', ἡ νὺξ ὥρας ιγ'.

2. Ἡ Ὑπαπαντὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ἀργία πάντων καὶ κατάλυσις πάντων. Αὕτη, εἰ τύχοι ἔξωθεν τῆς μ', ἔχει καὶ μεθέορτον ἡμέραν καὶ κατάλυσις ἐπίσης δεσποτικαῖς [12]) ἑορταῖς, ἔσωθεν δὲ αὐτῆς ἡ ἡμέρα ἑορτάζεται.

3. Τοῦ ἁγίου Συμεὼν τοῦ Θεοδόχου· ἀργία [13]) τῶν μοναχῶν καὶ κατάλυσις ἐλαίου καὶ οἴνου.

8. Τοῦ ἁγίου Θεοδώρου τοῦ Τήρωνος [14])· ὁμοίως.

24. Εἰς τὴν εὕρεσιν τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου· ὡσαύτως [15]).

---

[1]) Прибавлено: Τοῦ ἁγίου Στεφάνου· ἀργία καὶ κατάλυσις ἐλαιου καὶ οἴνου [2]) Нѣтъ указанія на число дней и часовъ дня и ночи. [3]) ἀργία καὶ κατάλυσις ἐλαίου, μονοσιτοῦμεν [4]) ἀργία πάντων καὶ κατάλυσις εἰς πάντα [5]) ἀργία τῶν μοναχῶν καὶ κατάλυσις ἐλαίου [6]) ἀργία καὶ λύσις ἐλαίου ἕως ἀρίστου· [7]) нѣтъ этихъ памятей [8]) ἀργία καὶ λύσις ἐλαίου [9]) тоже [10]) τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου· ἀργία καὶ κατάλυσις ὁμοίως [11]) нѣтъ [12]) τῶν ἄλλων [13]) ἀργία καὶ κατάλυσις ἐλαίου [14]) τοῦ Στρατηλάτου· ἀργία ὁμοίως [15]) ἀργία καὶ κατάλυσις ἐλαίου

Μὴν Μάρτιος ἔχει ἡμέρας [1]) λα′, ἡ ἡμέρα ἔχει ὥρας ιβ′ καὶ ἡ νὺξ ὥρας ιβ′.

25 [2]). Ὁ Εὐαγγελισμὸς τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου· ἀργία πάντων καὶ κατάλυσις εἰς ἰχθύας [3]).

Μὴν Ἀπρίλιος ἔχει ἡμέρας [4]) λ′, ἡ ἡμέρα ἔχει ιγ′ ὥρας καὶ ἡ νὺξ ὥρας ια′.

23. Τοῦ ἁγίου [5]) μεγαλομάρτυρος Γεωργίου· ἀργία πάντων καὶ κατάλυσις πάντων, ἐπειδὴ ν′ καὶ ἐν τῇ ἑκάστου γνώμῃ κεῖται.

25. Τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Μάρκου· ὁμοίως [6]).

30. Τοῦ ἁγίου ἀποστόλου Ἰακώβου· ὁμοίως [7]).

Μὴν Μάϊος, ἔχει [8]) ἡμέρας λα′, ἡ ἡμέρα ἔχει ὥρας ιδ′, ἡ δὲ νὺξ ὥρας ι′.

2. Τοῦ ἁγίου Ἀθανασίου [9]) τοῦ μεγάλου· ἀργία καὶ κατάλυσις [10]).

8. Τοῦ ἁγίου [11]) ἀποστόλου καὶ εὐαγγελιστοῦ παρθένου Ἰωάννου τοῦ Θεολόγου· ὁμοίως.

10. Τοῦ ἁγίου ἀποστόλου Σίμωνος, ἑνὸς τῶν ιβ′ [12])· ὁμοίως.

21. Τῶν ἁγίων βασιλέων [13]) Κωνσταντίνου καὶ Ἑλένης· ὁμοίως.

24. Τοῦ ἁγίου Συμεὼν τοῦ θαυμαστορείτου [14])· ὁμοίως.

Μὴν Ἰούνιος ἔχει ἡμέρας λ′ [15]), ἡ ἡμέρα ἔχει ὥρας ιε′, ἡ δὲ νὺξ ὥρας θ′.

8. Τοῦ ἁγίου Θεοδώρου τοῦ στρατηλάτου [16])· ἀργία τῶν μοναχῶν καὶ κατάλυσις εἰς ἔλαιον καὶ οἶνον, εἰ τύχοι τῇ μ′ τῶν ἁγίων ἀποστόλων.

11. Τῶν ἁγίων ἀποστόλων Βαρθολομαίου καὶ Βαρνάβα· ὁμοίως [17]).

24. Τὸ γενέσιον τοῦ Προδρόμου· ὁμοίως [18]).

29. Τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου [19])· κατάλυσις πάντων καὶ ἀργία.

30. Τῶν ἁγίων ιβ′ ἀποστόλων· κατάλυσις εἰς ἔλαιον καὶ οἶνον καὶ ἀργία τῶν μοναχῶν [20]).

---

[1]) нѣтъ [2]) Прибавлено: Τῶν ἁγίων μ′· ἀργία καὶ κατάλυσις ὁμοίως [3]) καὶ ἐλαίου καὶ οἴνου [1]) нѣтъ [5]) Τοῦ ἁγίου Γεωργίου· ἀργία καὶ κατάλυσις ἐλαίου καὶ οἴνου [6]) ἀργία καὶ κατάλυσις ὁμοίως [7]) ὁμοίως—нѣтъ [8]) нѣтъ [9]) Ἀθανασίου Ἀλεξανδρείας· ἀργία ὁμοίως [10]) Прибавлено: ε′. Τῆς ἁγίας μάρτυρος Εἰρήνης· ἀργία ὁμοῦ. ς′· τῆς ἁγίας μάρτυρος Φωτεινῆς· ὁμοίως, ὡς βούλει [11]) ἁγίου Ἰωάννου τοῦ Θεολόγου· ἀργία πάντων καὶ λύσις, ὡς βούλει [12]) ἀργία καὶ λύσις ἐλαίου καὶ οἴνου [13]) ἀποστόλων Κωνσταντίνου καὶ Ἑλένης· ἀργία ὁμοίως [14]) ἐν τῷ θαυμαστῷ ὄρει [15]) нѣтъ [16]) ὁμοίως, а прочихъ словъ нѣтъ [17]) ἀργία ὁμοῦ [18]) ἀργία πάντων ὁμοίως [19]) ἀργία ὁμοίως [20]) нѣтъ: τῶν μοναχῶν

Μὴν Ἰούλιος ἔχει ἡμέρας λα', ἡ ἡμέρα ἔχει ὥρας ιδ', ἡ δὲ νὺξ ὥρας ι'.

1. Τῶν ἁγίων ἀναργύρων [1]) Κοσμᾶ καὶ Δαμιανοῦ· ὁμοίως [2]).

8. Τοῦ ἁγίου μεγαλομάρτυρος Προκοπίου· ὁμοίως.

15. Τοῦ ἁγίου [3]) Κηρύκου καὶ Ἰουλίττης· ὁμοίως.

20. Τοῦ ἁγίου Ἠλιοὺ τοῦ προφήτου· ὁμοίως [4]).

27. Τοῦ ἁγίου Παντελεήμονος· ἀργία ὁμοίως.

Μὴν Αὔγουστος ἔχει [5]) ἡμέρας λα', ἡ ἡμέρα ἔχει ὥρας ιγ' καὶ ἡ νὺξ ὥρας ια'.

6. Ἡ Μεταμόρφωσις [6]) τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· ὁμοίως ταῖς ἄλλαις Δεσποτικαῖς ἑορταῖς.

15. Ἡ Κοίμησις τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου· ὁμοίως ἀργία πάντων καὶ κατάλυσις εἰς πάντα.

29. Ἡ ἀποτομὴ τοῦ Προδρόμου· ἀργία πάντων καὶ κατάλυσις εἰς ἔλαιον καὶ οἶνον [7]).

31. Τῆς τιμίας ζώνης τῆς ὑπεραγίας Θεοτόκου [8])· ὁμοίως.

Ταῦτα μὲν περὶ παντὸς τοῦ ἐνιαυτοῦ. Ἀρχὴ τῆς ἁγίας τεσσαρακοστῆς [9]).

Τῷ σαββάτῳ τῆς τυρινῆς· ἀργία πάντων.

Τῇ δὲ ἁγίᾳ καὶ μεγάλῃ μ' ἄγομεν ἀργίαν· ἐν ταύταις ἡ γ' τῇ πρώτῃ ἑβδομάδι [10]). Τῷ πρώτῳ σαββάτῳ τῶν νηστειῶν· ὁμοίως [11]). Τῇ δ' [12]) τῆς μεσονηστίμου· ἀργία πάντων. Τῇ ε' τοῦ μεγάλου κανόνος· ἀργία καὶ κατάλυσις [13]). Τῷ ἀκαθίστῳ· ὁμοίως [14]). Τῇ ἁγίᾳ μεγάλῃ ε'· ἀργία [15]). Τῇ ε' τῆς Ἀναλήψεως· ἀργία πάντων καὶ κατάλυσις πάντων.

Τοῦτο δὲ δεῖ εἰδέναι, ὅτι τὰς καταλύσεις τῆς νηστείας, τὰς ἐν ταῖς τῶν ἁγίων μνήμαις δηλουμένας, οἱ ἐν τοῖς κοινοβίοις παρατηροῦνται καὶ καταλύουσιν. Αἱ δὲ λαῦραι καὶ πάντες οἱ καθ' ἑαυτοὺς ζῶντες

---

[1]) ἀργία ὁμοίως. По имени святые не называются [2]) Прибавлено: β'. Τῆς τιμίας ἐσθῆτος τῆς ὑπεραγίας Θεοτόκου· ἀργία μόνον. ε' τοῦ ἁγίου Ἀθανασίου τοῦ Ἀθωνίτου· ὁμοίως [3]) τῶν ἁγίων μαρτύρων Κηρύκου καὶ Ἰουλίττης· ἀργία ὁμοῦ [4]) ἀργία καὶ λύσις ἐλαίου καὶ οἴνου [5]) нѣтъ [6]) Ἡ Μεταμόρφωσις τοῦ Σωτῆρος· ἀργία καὶ κατάλυσις ὁμοίως καὶ ἕως οὗ ἀποδοθῇ ἡ ἑορτὴ κατάλυσις ἐλαίου καὶ οἴνου, ἀργίαν δὲ τῶν ἔργων οὐκ ἔχομεν [7]) καὶ οἶνον—нѣтъ [8]) ἀργία πάντων ὁμοίως [9]) Заглавіе отсутствуетъ [10]) Нѣтъ и общаго замѣчанія, а прямо говорится о субботѣ первой недѣли [11]) ἀργία πάντων [12]) Нѣтъ этого дня [13]) ἐλαίου καὶ οἴνου, εἰ βούλει [14]) Τῇ παρασκευῇ τῆς ἀκαθίστου· ἀργία καὶ κατάλυσις οἴνου [15]) ἀργία καὶ λύσις τῆς νηστείας εἰς οἶνον. На этомъ оканчивается текстъ рукописи 1528 года.

φυλάττειν καὶ νηστεύειν ὀφείλουσι καὶ ἐν μόναις ταῖς δεσποτικαῖς ἑορταῖς καταλύειν, ἴσως δέ, εἰ βούλονται, καὶ τῇ ν' καὶ τῷ δωδεκαημέρῳ εἰς ἔλαιον καὶ οἶνον μόνον [1]).

Ταῦτα πάντα, ἀδελφέ, οὐχ ἁπλῶς καὶ ὡς ἔτυχεν ἐτέθησαν παρ' ἡμῶν, ὡς ἄν τις οἰηθείη, ἀλλὰ διαφόροις Τυπικοῖς ἐντυχόντες τὴν πραγματείαν τοῦ λόγου διὰ τὴν ὑπακοὴν ἐποιήσαμεν, σὺ δὲ τὰς συνήθεις εὐχὰς τῷ Θεῷ ὑπὲρ ἡμῶν προσάγων, μὴ διαλίπῃς. Οὐχ ἀμάρτυρον δὲ τοῦτο, ἀλλὰ ἀπὸ τῶν θείων γραφῶν· ὅσαι γὰρ περιεκτικὰς συνάξεις ἔχουσι τοῦ λαοῦ καὶ ἀναγνώσματα ἀφ' ἑσπέρας καὶ πάλιν ταχύ, Πᾶσα πνοὴ καὶ εὐαγγέλιον, εἰς τάξιν τῶν δεσποτικῶν κεῖνται ἑορτῶν μεγάλων. Τὴν δὲ μεγάλην τάξιν καὶ μικρὰν διδασκόμεθα ἐκ τοῦ Τυπικοῦ τῶν Στουδιτῶν καὶ τοῦ Ἁγίου Ὄρους, πῶς διαφορὰς ἔχει εἴς τε τὰς ὥρας καὶ τὰς μετανοίας καὶ τὸν κάματον. Περὶ τῶν ἑορτῶν, ἐν αἷς ψάλλεται τὸ Θεὸς Κύριος, εἰδέναι χρή, ὅτι εἰς τρεῖς τάξεις ἐτέθησαν αἱ ἐνταῦθα ἑορταὶ εἰς μεγάλας, εἰς μέσας καὶ εἰς μικράς.

[л. **239**). Ἀρχὴ σὺν Θεῷ τῶν εἰκονισμάτων τοῦ ὅλου χρόνου.

Μὴν Σεπτέμβριος, εἰς τὴν α' τοῦ ἁγίου Συμεὼν εἰκόνα, εἰς τὴν ς' εἰκόνα τοῦ ταξιάρχου Μιχαήλ, εἰς τὴν η' εἰκόνα τῆς ὑπεραγίας Θεοτόκου, εἰς τὰς ιδ' τὸν τίμιον Σταυρόν, εἰς τὰς ις' εἰκόνα τῆς ἁγίας Εὐφημίας, εἰς τὰς κ' εἰκόνα τοῦ ἁγίου Εὐσταθίου, εἰς τὰς κγ' τοῦ τιμίου Προδρόμου, εἰς τὰς κδ' εἰκόνα τῆς ἁγίας Θέκλης, εἰς τὰς κς' εἰκόνα τοῦ ἀποστόλου, εἰς τὰς κη' εἰκόνα τοῦ ἁγίου Χαρίτωνος, εἰς τὰς κθ' τοῦ ἁγίου Κυριακοῦ, εἰς τὰς λ' εἰκόνα τοῦ ἁγίου Γρηγορίου.

Въ октябрѣ полагаются иконы: 2 священномученика Кипріана, 3 св. Діонисія, 6 апостола Θомы, 7 св. Сергія и Вакха, Семи вселенскихъ соборовъ, 18 апостола Луки, 20 пр. Артемія, 21 пр. Иларіона, 23 ап. Іакова, 24 ап. Ареθы и 26 муч. Димитрія; въ ноябрѣ 1 святыхъ безсребренниковъ, 3 Георгія, 4 Іоанникія, 6 Павла исповѣдника, 8 соборъ безплот-

---

[1]) Тип. Син. библ. № 1096, προστάσσουσι δὲ τὰ τυπικά, ἵνα ἐν τῇ νηστείᾳ τῶν ἁγίων ἀποστόλων καὶ τῶν Χριστουγέννων γίνηται κατάλυσις ἐλαίου καὶ οἴνου, τῇ δὲ γ' ἡμέρᾳ καὶ τῇ ε', ὡς ἤδη προειρήκαμεν, οὐ μέν τοι καὶ ἰχθύας, εἰ μὴ τύχοι ἐν ταύταις ταῖς δυσὶ μνήμη ἁγίων τῶν πάνυ μεγάλων καὶ ἐπισήμων· δεῖ οὖν καὶ τοῦτο ἐν τῷ κοινῷ γίνεσθαι, ἐν δὲ τοῖς καθεζομένοις ἰδίᾳ οὐχὶ ἔλαιον καὶ οἶνον, τῇ γ' καὶ ε' οὐ βρωθήσεται παρ' αὐτοῖς, εἰ μή τί γε ἐν ταύταις ἐπιστῇ μνήμη ἁγίου τῶν μεγάλων ἢ ἀποστόλου, ἢ τυχὸν δι' ἀσθένειαν καὶ γῆρας καὶ ἀδυναμίαν, ταῦτα πάντα ἀδελφοὶ οὐχ ἁπλῶς καὶ ὡς ἔτυχεν ἐτέθησαν παρ' ἡμῶν, ὡς ἄν τὶς οἰηθείη, ἀλλὰ διάφορα τυπικὰ ἐντυχόντες, τὴν πραγματείαν τοῦ λόγου διὰ τὴν ὑπακοὴν ἐποιήσαμεν, σὺ δὲ τὰς συνήθεις εὐχὰς τῷ Θεῷ ὑπὲρ ἡμῶν προσάγων μὴ διαλίπῃς.

ныхъ, 11 Мины и Өеодора, 12 Іоанна Милостиваго и Нила, 13 Іоанна Златоуста, 14 ап. Филиппа, 16 Матөея, 17 Григорія, 21 Богородицы, 25 Климента и Петра, 28 Стефана новаго, 30 Андрея; въ декабрѣ: 4 Варвары и Іоанна Дамаскина, 5 пр. Саввы, 6 Николая чудотворца, 9 Зачатія св. Анны, 13 Евстратія, 20 Игнатія, 25 Рождества Христова, 27 архид. Стефана, 29 святыхъ младенцевъ; въ январѣ: 1 икона арх. Василія, 6 Богоявленія, 7 Предтечи, 10 Григорія Нисскаго, 11 Өеодосія, 15 Іоанна и Павла, 16 ап. Петра, 17 пр. Антонія, 18 Аөанасія и Кирилла, 20 Евөимія, 21 Максима, 25 Григорія Богослова, 27 Златоуста, 28 Ефрема, 30 3-хъ іерарховъ и 31 безсребренниковъ Кира и Іоанна; въ февралѣ: 2 икона Срѣтенія Господня, 8 Өеодора Тирона, 9 Никифора, если нѣтъ четыредесятницы, 17 Өеодора, 28 икона Предтечи; въ мартѣ: 9 40 мучениковъ и 25 Благовѣщенія; въ апрѣлѣ: 23 великомучен. Георгія, 25 апостола Марка и ап. Іакова: въ маѣ: 2 икона Аөанасія, 8 еванг. Іоанна Богослова и Арсенія, 17 Пахомія, 21 Константина и Елены, 24 Симеона и 25 Предтечи; въ іюнѣ: 8 икона Өеодора Стратилата, 9 св. Кирилла, 11 ап. Варөоломея и Варнавы, 12 Онуфрія и Петра Аөонскаго, 24 Предтечи, 26 Давида, 29 ап. Петра и Павла и 30 12 апостоловъ; въ іюлѣ: 1 икона безсребренниковъ Космы и Даміана, 2 Богородицы, 4 Андрея Критскаго, 5 Аөанасія Аөонскаго, 8 Прокопія, 11 Евөиміи, 13 чиноначальника Гавріила, 15 Кирика и Іулиты, 20 пророка Иліи, 22 Маріи Магдалины, икона св. соборовъ, 25 св. Анны и 27 Пантелеимона; въ августѣ: 1 честный крестъ и икона святыхъ Маккавеевъ, 2 архид. Стефана, 6 Преображенія, 15 Успенія, 25 ап. Тита, 29 Предтечи, и 31 икона Богородицы.

(л. **240** об.). Ἀρχὴ τῆς ἁγίας τεσσαρακοστῆς.

Икона въ недѣлю мясопустную, въ недѣлю сырную-святыхъ отецъ, въ первую субботу — великомученика Өеодора, въ недѣлю православія, въ четвертую и пятую недѣли, въ субботу акаөиста, въ субботу Лазаря, въ недѣлю ваій, въ великій четвертокъ — икона умовенія ногъ Спасителемъ ученикамъ, вечеромъ въ четвергъ — икона Спасителя, въ субботу Спасителя, на Пасху — Воскресенія, въ Өомину недѣлю — икона Өомы, въ недѣлю

мυроносицъ — Владыки, въ недѣлю разслабленнаго, въ недѣли самарянини и слѣпого — иконы воспоминаемыхъ событій, въ отданіе — Воскресенія и слѣпого, на Вознесеніе — Вознесенія, въ недѣлю отцевъ — икона отцевъ, въ Пятидесятницу — икона Пятидесятницы и въ недѣлю всѣхъ святыхъ — икона всѣхъ святыхъ.

XXI. № 19 Г. *Τυπικόν*, рукопись библ. лавры пр. Аѳанасія Аѳонскаго въ 16 долю листа, 179 листовъ, писана скорописью весьма разгонистою XIII—XIV вѣка. О судьбѣ и списателѣ этой рукописи можно получить нѣкоторыя свѣдѣнія изъ послѣсловія, написаннаго стихами:

Τῷ συντελεστῇ τῶν καλῶν Θεῷ χάρις,
Ἰδοὺ καλῶς σοι τέθεικα τὸ τέλος τὸ τῆς βίβλου,
τῆς μῆνας δώδεκα σαφῶς, Σωφρόνιε, φερούσης.
Ὥσπερ λειμῶνα κάλλιστον, παμποίκιλον, ὡραῖον,
ἄγγισας πάντας στιχηδὸν χοροὺς τοὺς τῶν ἁγίων
Σὺν τούτοις καὶ τὴν σύνταξιν πάσης ἀκολουθίας,
Ἅμα τῆς τεσσαρακοστῆς, πεντηκοστῆς ἁγίας,
Ἣν καὶ κατέχων ἀσφαλῶς καὶ πᾶς ἄλλος ὀθνεῖος,
πρεσβείαν ποίει ἐκτενῆ ὑπὲρ ἐμοῦ τοῦ τάλα,
Φιλευσεβῶς πονήσαντος ταύτῃ τῷ κτίστῃ πάντων,
ὡς ἄν, φθαρτῶν ἀπαλλαγείς, ἀφθάρτων ἐπιτύχω
Ἀμήν, γένοιτο . . . [л. **160** об.).

Рукопись не имѣетъ первой вводной части. Начинается Синаксаремъ: *Ἀκολουθία τῆς ἐκκλησιαστικῆς ψαλμῳδίας καὶ συνάξεως τοῦ ὅλου ἐνιαυτοῦ, ἀρχομένη ἀπὸ μηνὸς Σεπτεμβρίου μέχρι μηνὸς Αὐγούστου.* По составу своему настоящая рукопись сходна съ предыдущими. Текстъ ея въ Синаксарѣ приближается къ Типикону Галисійскому № 99 А.

Типиконъ этотъ имѣетъ весьма много недостатковъ. Кромѣ отсутствія вводной части, въ немъ очень много вырванныхъ листовъ въ Синаксарѣ и Тріодяхъ. Какъ на особенность его нужно указать на множество интерполяцій. Боковыя и нижнія поля рукописи весьма часто наполнены типикарными замѣчаніями, при чемъ одни изъ нихъ современны самому происхожденію рукописи, но, будучи написаны киноварью, стерлись и неудо-

бочитаемы въ настоящее время въ большинствѣ случаевъ, другія принадлежатъ позднѣйшему времени, третьи, наконецъ, той самой рукѣ, которая испещрила своими замѣчаніями и нѣкоторые другіе Типиконы той же лаврской библіотеки. Для образца мы укажемъ нѣсколько примѣчаній:

a) Τῆς ἁγίας Θεοκτίστης ἀκολουθία ψάλλεται ἐν τοῖς ἀποδείπνοις [л. 27). Τῷ Κυρίῳ ᾄσωμεν οὐ λέγεται, ἀλλ' εὐθὺς τὸν εἱρμὸν ψάλλομεν καὶ τὴν Τιμιωτέραν, замѣчается о службѣ ап. Андрея, 30 Ноября [л. 33 об.). Εἰς τὴν θ' ᾠδήν· Μεγάλυνον, ψυχή μου, τὸν ἐκ τῆς Παρθένου въ службѣ Рождества Христова [л. 44 об.). Къ часамъ этого праздника: τροπάριον τῆς ἑορτῆς, Δόξα καὶ νῦν, τὸ κοντάκιον. Ἡ φήμη τῶν βασιλέων, τοῦ ἀρχιερέως, καὶ πολυχρονίζοντες καὶ τὸν προεστῶτα. [л. 52 об.). Ἐνταῦθα ἔλαιον καταλύουσι καὶ οἶνον, ἰχθύας δὲ οὐχί [л. 53), замѣчается о предпразднествѣ Рождества. О тропаряхъ на постовыхъ часахъ: Ἰστέον, ὅτι ἐν τούτοις τοῖς τροπαρίοις τῶν ὡρῶν εὑρήσεις ἰσότερον· λέγουσι γὰρ ἕκαστος, οἷα βούλεται, καὶ διὰ τοῦτο γίνεται σύγχυσις, ἐν ταῖς μεταγραφαῖς ἑκάστου τὸ οἰκεῖον τιθέντος [л. 112 об.) и др. Есть прямыя расширенія текста Типика, такъ напр., въ службѣ Іоанну Крестителю 7 Января: τῆς ἑορτῆς ὁ πρῶτος (κανὼν) μετὰ τῶν εἱρμῶν εἰς ς', ὁ ἕτερος μετὰ τῶν εἱρμῶν εἰς δ' καὶ τοῦ Προδρόμου εἰς δ' [л. 112 об.), въ службѣ Іоанну Богослову 8 Мая: εἰς τὴν στιχολογίαν κάθισμα τοῦ ἁγίου, ὁ κανὼν τῆς ἡμέρας μετὰ τῶν εἱρμῶν εἰς ς', καὶ τοῦ ἀποστόλου τὰ τροπάρια ε', καὶ τοῦ ὁσίου β', καὶ τὸ θεοτοκίον [л. 86 об.).

b) Въ службѣ 6 Сентября: Εἰς τὴν στιχολογίαν, κάθισμα τῆς ἑορτῆς, ὡς ἐδηλώθη εἰ τὴν πρώτην τοῦ μηνός [л. 5 об.). Τοῦ ἁγίου Σεβηριανοῦ ἡ ἀκολουθία ψάλλεται ἐν τοῖς ἀποδείπνοις [л. 6 об.), въ службѣ 13 Сентября: εἰς τὴν στιχολογίαν, κάθισμα τῶν ἐγκαινίων, ὡς ἐδηλώθη εἰς τὴν πρώτην τοῦ μηνός, ὁ κανὼν τοῦ σταυροῦ μετὰ τῶν εἱρμῶν εἰς ς', τῶν ἐγκαινίων εἰς δ' καὶ τοῦ ἁγίου εἰς δ'. Τῷ Κυρίῳ ᾄσωμεν οὐ ψάλλομεν, ἀλλ' εὐθὺς τὸν εἱρμόν, ἀλλ' οὐδὲ τὴν θ' στιχολογοῦμεν, ἀλλ' εὐθὺς τὸν εἱρμόν [л. 7 об.). Противъ 6 Декабря замѣчено: Τινὲς δὲ ἑορτάζουσι τὸν ἅγιον τοῦτον καὶ ψάλλουσι Μακάριος ἀνήρ, καὶ πολυέλαιον καὶ τὰ ἐξαποστειλάρια, εἰ θέλεις, καὶ σὺ ποίησον οὕτως [л. 35). Въ постовой суточной службѣ: Εἰς τὸ α' κάθισμα τοῦ Ψαλτηρίου, κάθισμα β' τῆς Ὀκτωήχου, Δόξα καὶ νῦν, θεοτοκίον τῆς ἡμέρας, εἰς τὸ β' κάθισμα τοῦ Τριῳδίου, Δόξα τὸ τέ-

λος καὶ πάλιν τὸ ὅλον, Καὶ νῦν, θεοτοκίον τῆς ἡμέρας, ὡσαύτως καὶ εἰς τὸ γ', ὅπερ ὀφείλει ποιεῖν ἐν πάσῃ τῇ τεσσαρακοστῇ [л. 109 об.).

c) Противъ 10 Сентября: *Τῇ αὐτῇ ἡμέρᾳ ἐκοιμήθη ὁ δοῦλος τοῦ Θεοῦ Μακάριος ὁ Γαράρης* [л. 6 об.). По поводу великаго славословія 23 Сентября: *Ἐκ τοῦ παρόντος σημείωσαι, ὅτι ἔξεστι, καὶ τῆς Ὀκτωήχου ψαλλομένης καὶ Τῷ Κυρίῳ ᾄσωμεν λεγομένου, γίνεσθαι μεγάλη δοξολογία καὶ ἔσο καὶ ἐν τοῖς λοιποῖς ἀνενδοίαστος* [л. 14), противъ 26 числа: *Ἐν ἄλλοις Τυπικοῖς ἀγρυπνίαν ἐνταῦθα οὐχ εὑρήσεις, ἀλλὰ μᾶλλον καὶ τὴν Ὀκτώηχον ψαλλομένην ἔν τε τῷ ἑσπερινῷ καὶ τῷ ὄρθρῳ. ὡς γοῦν τῷ προεστῶτι δόξει, γινέσθω* [л. 14 об.). Противъ 23 Апрѣля: *Καὶ ἐνταῦθα γέγραπται ἔν τισι, ὅτι, εἰ θέλει ὁ προεστώς, ποιεῖ ἀγρυπνίαν* [л 83) и др.

Въ рукописи имѣются замѣчанія и другихъ рукъ, но небольшія и они не имѣютъ особенно важнаго значенія.

Въ концѣ Пентикостарія находится изложеніе суточной службы въ постъ святыхъ Апостоловъ, а далѣе слѣдуютъ статьи:

[л. 157). *Περὶ τοῦ πῶς δεῖ θυμιᾶν.*

[л. 158 об.). *Τὰ ἀναστάσιμα προκείμενα τοῦ ἀποστόλου τῶν ὀκτὼ ἤχων, ἤτοι τὰ ἄμνημα.*

— *Τὰ ἀναστάσιμα ἀλληλουάρια τῶν ὀκτὼ ἤχων, τὰ λεγόμενα ἄμνημα.*

[л. 159). *Τὰ ἐν τῇ ἑβδομάδι ψαλλόμενα ἀλληλουάρια, προκείμενα καὶ κοινωνικά, ὅτε οὐκ ἔστιν ἑορτάσιμος ἅγιος.*

[л. 159). *Προκείμενα τῶν ὀκτὼ ἤχων, ἃ λέγονται ἐν τῷ εὐαγγελίῳ τοῦ ὄρθρου.*

[л. 160). *Τὰ φωταγωγικὰ τῶν ὀκτὼ ἤχων.*

[л. 161). *Ἀντίφωνα τῶν Δεσποτικῶν ἑορτῶν*: Воздвиженія Креста Господня, Рождества, Богоявленія, Входа во Іерусалимъ, Пасхи и Пятидесятницы. Эта и другія статьи писаны иною рукою того же времени. Почеркъ письма крупный, четкій и весьма красивый.

[л. 165). *Κοντάκια τοῦ ὅλου χρόνου τῶν ἐπισήμων ἑορτῶν καὶ τῶν μεγάλων ἁγίων, ἀλλὰ δὴ καὶ τῆς ἁγίας τεσσαρακοστῆς μέχρι τῶν Ἁγίων Πάντων.*

[л. 176). *Στιχηροκαθίσματα τῶν ὀκτὼ ἤχων, θεοτοκία καὶ προσόμοια.* Обрываются на пятницѣ второго гласа.

Далѣе идетъ напечатанная выше статья (стр. 135—151): Ἐπιστολὴ προεστῶτος πρὸς γέροντα τέλειον καὶ κατάκριτον καὶ σοφόν, ζητοῦσα περὶ δηλώσεως καὶ λύσεως ζητημάτων ἀναγκαίων εἰς ἀγωγὴν μοναχῶν καὶ κατάστασιν.

XIV вѣкъ.

XXII. № 784. Τυπικὸν τῆς ἐκκλησιαστικῆς διατάξεως τῆς μονῆς τῶν Ἱεροσολύμων ἁγίων μονῶν (sic) τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα Рукопись Ватиканской библіотеки въ 24 долю листа, 161 листъ, писана на бумагѣ четкою скорописью 1317 года, какъ это видно изъ слѣдующей приписки въ концѣ рукописи: Ἀπὸ τοῦ πρωτοπλάστου Ἀδὰμ μέχρι τοῦ κατακλυσμοῦ ἔτη ͵βσμβ', ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ἕως τῆς πυργοποιΐας ἔτη φνε', ἀπὸ δὲ τῆς πυργοποιΐας ἕως τοῦ κυροῦ Ἀβραὰμ ἔτη φλ', ἀπὸ δὲ τοῦ κὺρ Ἀβραὰμ ἕως τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐξ Αἰγύπτου ἔτη υν', ἀπὸ δὲ τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐξ Αἰγύπτου ἕως τῆς οἰκοδομῆς τοῦ ναοῦ Σολομῶντος ἔτη φοε', ἀπὸ δὲ τῆς οἰκοδομῆς τοῦ ναοῦ Σολομῶντος ἕως τῆς βασιλείας Μακεδόνος τοῦ Ἀλεξάνδρου ἔτη χμγ', ἀπὸ δὲ τῆς βασιλείας Μακεδόνος τοῦ Ἀλεξάνδρου ἕως τῆς ἐν σαρκὶ οἰκονομίας τοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἔτη τ', ὁμοῦ ἔτη ͵εφ', ἀπὸ δὲ τῆς ἐν σαρκὶ οἰκονομίας τοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν μέχρι κτίσεως τῆς βασιλίδος Κωνσταντινουπόλεως, νέας Ῥώμης, ἔτη τλς', ὁ μ ο ῦ ἕ ω ς τ ο ῦ ν ῦ ν ἀ π ὸ τ ο ῦ π ρ ω τ ο π λ ά σ τ ο υ Ἀ δ ὰ μ ἔ τ η ͵ςωκε' = 1317 г. [л. 167 об.). Кромѣ приведенной приписки, въ рукописи имѣется и другая, помѣщенная за первою ниже и писанная другою позднѣйшею рукою (иной почеркъ, отличный отъ почерка писца рукописи, и даже иныя чернила). Читается эта приписка такъ: Ἀπὸ δὲ τῆς κτίσεως τῆς βασιλίδος Κωνσταντινουπόλεως μέχρι τοῦ νῦν ἔτη ͵ρκα', ἀπὸ δὲ τοῦ πρωτοπλάστου Ἀδὰμ μέχρι τοῦ νῦν ἔτη. . . . Переплетчикъ рукописи обрѣзалъ цифру, которую, однако же, не трудно возстановить при помощи первой приписки, прибавивъ къ указанной цифрѣ—1121 г. дату основанія Константинополя—335 годъ. Получается, такимъ образомъ, дата: 1456 годъ, когда была написана писцемъ эта вторая приписка. Приписка эта нисколько не колеблетъ первоначальную дату написанія рукописи, какъ этого опасался покойный профессоръ Н. Ѳ. Красносельцевъ (Свѣдѣнія о нѣкоторыхъ литургиче-

Περὶ τοῦ προκειμένου, καὶ τοῦ ἀλληλουαρίου, καὶ τοῦ ἀποστόλου, καὶ τῆς ἐν τῇ ἀγρυπνίᾳ καὶ τῇ τραπέζῃ ἀναγνώσεως παρὰ τίνος τελεῖσθαι ὀφείλει.

Εἴδησις μερικὴ περὶ τοῦ μικροῦ ἑσπερινοῦ, πῶς ὀφείλει ψάλλεσθαι παρ' ὅλην τὴν ἑβδομάδα, ὅτε μή ἐστιν ἑορταζόμενος ἅγιος.

Περὶ τοῦ πῶς δεῖ τὸν κανονάρχην ποιεῖν τὴν μετάνοιαν, καὶ ὅτε χρὴ τοὺς δύο χοροὺς ἄμφω συνάγεσθαι μέσον καὶ ἐξ ἴσου ποιεῖν ὁμοῦ τὴν μετάνοιαν.

Περὶ τοῦ πότε δεῖ θυμιᾶν τὸν ἱερέα.

Περὶ τοῦ πῶς δεῖ θυμιᾶν τὸν ἱερέα, ἢ τὸν διάκονον.

Περὶ τοῦ πῶς δεῖ ψάλλειν τὴν ἀκολουθίαν ἀπὸ τῆς νέας κυριακῆς ἄχρι καὶ τῆς ν' ἔν τε τῷ ἑσπερινῷ καὶ τῷ ὄρθρῳ.

Περὶ τοῦ εἰς ποῖον ἦχον ψάλλειν χρὴ τὸ κάθισμα τῆς παρασκευῆς, ἤτοι τὸν πολυέλεον, ἐὰν τύχῃ Ἀλληλούια, ἢ Θεὸς Κύριος.

Имѣются приписки съ боку: (Μάρκου).

Περὶ τῶν ἡμερῶν τῆς ἑβδομάδος, πῶς ψάλλονται οἱ ἐν τῇ Ὀκτωήχῳ κανόνες αὐτῶν μετὰ τοῦ Μηναίου.

Περὶ τῆς ἀκολουθίας τοῦ σαββάτου ἔν τε τῷ ἑσπερινῷ καὶ τῷ ὄρθρῳ καὶ τῇ λειτουργίᾳ, ὁπόταν ψάλλωμεν Θεὸς Κύριος.

(Съ боку приписка: Μάρκου). Περὶ ἁγίου, ἔχοντος πολυέλεον καὶ ἑορταζομένου εἰς η', εἰ τύχοι ἐν σαββάτῳ.

ιδ΄. Περὶ τῆς ἀκολουθίας τοῦ σαββάτου, ὅτε τύχῃ Ἀλληλούια.

(Μάρκου). Περὶ προεορτίων καὶ μεθεόρτων, εἰ τύχωσι μετὰ ἁγίου, ἔχοντος λειτουργίαν ἐν σαββάτῳ.

(Μάρκου). Περὶ τῆς λειτουργίας τοῦ σαββάτου, ὅτε ἐστὶν Ἀλληλούια.

ιε΄. Περὶ τοῦ μὴ ποιεῖν συντυχίας τοὺς ἱσταμένους ἐν τῇ ἐκκλησίᾳ ἀδελφούς, μήτε μὴν συνεχῶς ἐξέρχεσθαι, ἀλλὰ καὶ τοὺς ἔξωθεν ἱσταμένους μετὰ φόβου καὶ σιωπῆς ἵστασθαι παραγγέλλειν, καὶ μὴ ἐᾶν τοὺς βουλομένους εὐχῆς χάριν εἰσέρχεσθαι ἐν τῷ ναῷ, ψαλλόντων τῶν ἀδελφῶν, ἀλλ' ἔξω κατέχειν αὐτοὺς ἄχρι τῆς ἀπολύσεως.

ις΄. Περὶ τοῦ πῶς ὀφείλουσιν οἱ χοροὶ κατὰ τάξιν ἀμείβεσθαι καὶ οὕτω τῆς ἀκολουθίας κατάρχειν ἕκαστον αὐτῶν.

ιζ΄. Περὶ τῆς ἁγίας μ΄ τῶν Χριστουγέννων, τῶν ἁγίων Ἀποστόλων. Полный порядокъ суточныхъ службъ.

(Μάρκου). Περὶ τῆς πρώτης ἡμέρας, ἤτοι τῆς ἀρχῆς τῆς τῶν Χριστουγέννων νηστείας.

ιη΄. (Μάρκου). Περὶ τροπαρίων τῶν ἀποδείπνων, τῶν προεορτίων, τῶν μεθεόρτων, καὶ τῶν ἁγίων καὶ τῶν ἡμερῶν τῆς ἑβδομάδος.

ιθ΄. Περὶ τοῦ πῶς ἀναγινώσκονται τὰ εὐαγγέλια καὶ αἱ τούτων ἑρμηνεῖαι ἐν ὅλῳ τῷ ἐνιαυτῷ, ὡσαύτως καὶ περὶ τῶν λοιπῶν τοῦ ὄρθρου ἀναγνώσεων.

κ΄. Περὶ τοῦ πότε χρὴ τὴν τοῦ Μεγάλου Βασιλείου λειτουργίαν τελεῖσθαι.

κα΄. Περὶ τοῦ πῶς ὀφείλουσιν ἀναγινώσκεσθαι τὰ ἑωθινὰ εὐαγγέλια ἀπὸ τῆς μεγάλης κυριακῆς ἄχρι τῆς ἁγίας ν΄.

κβ΄. Ὅτι χρὴ τάσσειν ἐν τῇ ἐκκλησίᾳ ἐξυπνιστήν.

κγ΄. Περὶ τοῦ ὅτι δεῖ ψάλλειν καθ' ἑκάστην ἐν τοῖς ἀποδείπνοις παρακλητικὸν κανόνα τῆς Θεοτόκου, καὶ περὶ τοῦ ποίαν ὥραν ταῦτα ἀπολύειν ὀφείλει, καὶ ὅτι μετὰ τὴν τούτων ἀπόλυσιν οὐ χρὴ συντυχίας πρὸς ἀλλήλους ποιεῖσθαι τοὺς μοναχούς, ἀλλ' ἐν τοῖς ἰδίοις κελλίοις ἀπέρχεσθαι.

κε΄. Ἐκ τῶν κεφαλαίων μοναχοῦ Μάρκου περὶ τῶν ἀμφιβαλλομένων ἐν τοῖς Τυπικοῖς. Запись о Богородичныхъ праздникахъ въ воскресенье, объ отданіи ихъ, о Господскихъ праздникахъ въ недѣлю, объ отданіи ихъ, въ недѣлю, о предпразднествахъ и попразд-

нествахъ Господскихъ праздниковъ въ недѣлю, о кондакахъ предпразднествъ и попразднествъ въ воскресенье, о двухъ святыхъ съ тропарями въ недѣлю, о тропаряхъ предпразднеству и попразднеству въ недѣлю съ святымъ, имѣющимъ тропарь и другія подобныя главы.

(Νικηφόρου). Περὶ τοῦ πῶς δεῖ γίνεσθαι τῇ παρασκευῇ ἑσπέρᾳ τὴν ὑπὲρ τῶν κεκοιμημένων ἀκολουθίαν. Замѣчено: Ἰστέον, ὅτι τὸ παρὸν κεφάλαιον, καὶ μετ' αὐτὸ ἕτερα δύο οὐκ εἰσὶ τοῦ ἀριθμοῦ τῶν κεφαλαίων, ὡς ἐν τῷ Τυπικῷ δεδήλωται, ἀλλ' ἰδίως εἰσὶν ἔχοντα σημεῖον τοιόνδε: Νικηφόρου.

(Νικηφόρου). Περὶ τῆς ἀνάψεως τῶν κηρίων τῶν τε ἑορτῶν καὶ τῶν καθ' ἡμέραν и на праздники.

(Νικηφόρου). Περὶ διαίτης, ἤτοι περὶ νηστείας καὶ καταλύσεως τοῦ ὅλου χρόνου.

Вся эта первая часть, какъ и послѣдующія части испещрены множествомъ замѣчаній, которыя вошли въ позднѣйшее время въ самый Типиконъ. Одно изъ этихъ замѣчаній любопытно и гласитъ слѣдующее:Ἐν πολλοῖς μοναστηρίοις, καὶ μάλιστα ἐν τῇ εὐαγεστάτῃ μονῇ τοῦ Στουδίτου, ἑώρακα νῦν καλλίστην τελουμένην συνήθειαν· ἐν ἑκάστῃ γὰρ ἀγρυπνίᾳ μετὰ τὴν ἀπόλυσιν ἀπέρχονται μετὰ λιτῆς εἰς τὸ ὡρεῖον, ψάλλοντες τὸ ἰδιόμελον τοῦ κατὰ τὴν μονὴν ἁγίου καὶ τοῦ ἑορταζομένου ἁγίου ἐν τῇ ἀγρυπνίᾳ (μνήμῃ), εἴπερ ἔστι τῶν μεγάλων ἁγίων, καὶ λέγουσιν ἐν τῷ ὡρείῳ τὴν εὐχήν, ἤγουν· Κύριε, Ἰησοῦ Χριστέ, ὁ εὐλογήσας τοὺς πέντε ἄρτους, καὶ εὐλογοῦσι τὸν ἐν τῷ ὡρείῳ σῖτον, ἐπιῤῥαίνοντος τοῦ ἱερέως καὶ τὸν εὐλογηθέντα σῖτον ἐν τῇ μεγάλῃ ἑσπέρᾳ [л. 15).

[л. 50 об.). Ἀκολουθία τῆς ἐκκλησιαστικῆς ψαλμῳδίας τε καὶ συνάξεως τοῦ ὅλου ἐνιαυτοῦ, ἀρχομένη ἀπὸ Σεπτεμβρίου μέχρι μηνὸς Αὐγούστου.

Марковыя главы размѣщены подъ числами Синаксаря съ надписью на полѣ: Μάρκος. Имѣются главы Марка и на праздникъ Трехъ Святителей, если онъ приходится въ недѣли предуготовительныя къ посту [л. 130).

Κεφ. ριδ'. Περὶ τῆς τιμίας ζώνης τῆς ὑπεραγίας Θεοτόκου, ἥτις ποτὲ μὲν ἐν τοῖς Χαλκοπρατείοις ἑωρτάζετο, νῦν δὲ ἐν Βλαχέρναις.

Ἰστέον, ὅτι τοιαύτη ἑορτὴ καὶ μάλιστα ἡ τῆς τιμίας ἐσθῆτος, ἥτις ἐν τῇ β' τοῦ Ἰουλίου μηνὸς ἑορτάζεται μεγαλοπρεπῶς, τελεῖται

ἐν Βλαχέρναις, ἀγρυπνίας τελουμένης, ὥσπερ ἔθιμον, ἐν ᾗ καὶ τὰ τῶν ἑορτῶν ἀναγινώσκονται ὑπομνήματα καὶ ἡ λοιπὴ ἀκολουθία τῆς Θεοτόκου [л. 199 об.).

Ἀκολουθία τῆς ἁγίας καὶ μεγάλης τεσσαρακοστῆς. Ничего особеннаго нѣтъ въ службахъ по Тріодямъ постной и цвѣтной.

[л. 262). Περὶ τῆς ἀκολουθίας καὶ τῆς διαίτης τῆς ἁγίας μ' τῶν ἁγίων Ἀποστόλων.

[л. 264). Εἴδησις τῶν ἐαθέντων ἀποστολοευαγγελίων τῶν μὴ ἑορταζομένων ἁγίων.

[л. 265 об.). Ὑποτύπωσις σύντομος περὶ τῆς παρὰ τῶν ἁγίων πατέρων παραδοθείσης ἀκολουθίας τοῦ νυχθημέρου μετά τινων ἐπιστάσεων μερικῶν. Полная суточная служба.

[л. 280). Ἱλαστήρια, λεγόμενα ἐπὶ τέλους ἐν ταῖς μετανοίαις.

«Κύριε, ἐν μετανοίᾳ με παράλαβε, Κύριε, μὴ κατάλιπέ με, Κύριε, μὴ εἰσενέγκῃς με εἰς πειρασμόν».

— Ἕτερα κεφάλαια ἀναγκαῖα ἐκκλησιαστικά. Ἀκολουθία εἰς ῥεῦσιν ἐνυπνίου.

[л. 280 об.). Ἑρμηνεία περὶ τοῦ κύκλου τῆς σελήνης.

[л. 284). Прокимны, аллилуаріи и причастны.

[л. 286). Διάταξις ἀκριβεστάτη τῆς ἀναιμάκτου καὶ θείας λειτουργίας. Περὶ τοῦ πῶς δεῖ φοραίνειν τὸν ἱερέα καὶ τὸν διάκονον.

Ὁπόταν ὁ ἱερεὺς μέλλει τῷ ἁγίῳ παρίστασθαι βήματι τοῦ τὴν ἀναίμακτον ἐκτελέσαι θυσίαν, ὀφείλει μετανοίας ποιεῖν γ' ἔμπροσθεν τῆς ἁγίας τραπέζης καὶ ἐπιλέγειν εὐχήν, εἶθ' οὕτως ἐνδύεσθαι τὴν ἱερατικήν, λέγων ἐν μὲν τῷ στιχαρίῳ· Ἀγαλλιάσεται ἡ ψυχή μου· ἐν δὲ τῷ ἐπιτραχήλῳ· Εὐλογητὸς ὁ Θεός, ἐκχέων τὴν χάριν· ἐν δὲ τῇ ζώνῃ· Εὐλογητὸς ὁ Θεός, ὁ περιζωννύων· ἐν δὲ τῷ δεξιῷ ἐπιμανικίῳ· Δεξιὰ Κυρίου· ἐν δὲ τῷ ἀριστερῷ· Αἱ χεῖρές σου ἐποίησάν με· ἐν δὲ τῷ φελωνίῳ· Οἱ ἱερεῖς σου. Εἰ μὲν οὖν μόνος λειτουργῆσαι μέλλει ὁ ἱερεύς, ἀπέρχεται καὶ ποιεῖ τὴν προσκομιδήν, καθὼς δηλωθήσεται, εἰ δὲ καὶ διάκονος μετ' αὐτοῦ, ἀπέρχεται πρὸς αὐτὸν τὸν ἱερέα, δηλαδὴ ὁ διάκονος, κρατῶν ἐν μὲν τῇ δεξιᾷ αὐτοῦ χειρὶ τὸ στιχάριον, ἐν δὲ τῇ ἀριστερᾷ τὸ ὡράριον, καὶ φησίν· Εὐλόγησον, δέσποτα, τὸ στιχάριον σὺν τῷ ὡραρίῳ, καὶ ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε. Εἶτα ἀπέρχονται εἰς τὴν ἁγίαν πρόθεσιν καί, ποιήσας Εὐλογητὸν ὁ ἱερεύς, εἶτα καὶ ἀνὰ χεῖρας λαβὼν προσφορὰν καὶ σφραγίζων αὐτὴν σταυρο-

ειδῶς μετὰ τῆς λόγχης, λέγει ἐκ γ'· Εἰς ἀνάμνησιν τοῦ Κυρίου, εἶτα, βαλὼν τὴν λόγχην, ἐν μὲν τῷ πρώτῳ μέρει, λέγει· Ὡς πρόβατον ἐπὶ σφαγήν, ἐν δὲ τῷ δευτέρῳ· Καὶ ὡς ἀμνός, ἐν δὲ τῷ τρίτῳ· Οὕτως οὐκ ἀνοίγει, ἐν δὲ τῷ δ'· Τὴν δὲ γενεὰν αὐτοῦ. Λαβὼν δὲ τὸ σῶμα καὶ θεὶς ἐν τῷ δίσκῳ, λέγει· Ὅτι αἴρεται ἀπὸ τῆς γῆς. Εἶτα θύων σταυροειδῶς, λέγει· Θύεται ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ Υἱὸς τοῦ Πατρὸς (на полѣ тою же рукою писца прибавлено: ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας). Καὶ εὐθὺς λαβὼν τὸ νάμα καὶ τὸ ὕδωρ καί, ἑνώσας ἐν τῷ ἁγίῳ ποτηρίῳ, λέγει· Καὶ εἷς τῶν στρατιωτῶν . . . καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε (на полѣ прибавлено: Ὁπόταν λέγῃ· Καὶ εἷς τῶν στρατιωτῶν λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἔνυξεν, ὀφείλει πρότερον κεντᾶν τὸν ἄρτον μετὰ τῆς λόγχης ἐν τῷ δεξιῷ τῆς πλευρᾶς μέρει, καὶ οὕτω λέγει· Καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ). Εἶθ' οὕτω λαβὼν τὴν β' προσφοράν, λέγει· Πρόσδεξαι, Κύριε, τὴν θυσίαν ταύτην διὰ πρεσβειῶν τῆς ὑπερευλογημένης. Εἰς δὲ τὴν γ' λέγει· Δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ . . . προστασίαις τῶν τιμίων ἐπουρανίων . . . τοῦ Προδρόμου . . . τῶν ἀποστόλων . . . καὶ τῶν λοιπῶν ἁγίων πάντων. . . Ὀ ν ο μ α σ τ ὶ μ ὲ ν τ ῶ ν μ ε γ ά λ ω ν, κ ο ι ν ῶ ς δ ὲ ὕ σ τ ε ρ ο ν π ά ν τ ω ν, οὐ μὴν ἀλλὰ καὶ τοῦ κατὰ τὴν ἡμέραν ἁγίου (приписка на полѣ: Σημείωσαι. Εἰ ἑορτάζεται ὁ ἅγιος, εἰδικὴν ὀφείλει προσφορὰν ἐπὶ τῷ ὀνόματι αὐτοῦ προσκομίζειν· ὡσαύτως δὲ καὶ ἐὰν ὑπέρ τινος ἢ ζῶντος, ἢ τεθνηκότος ἡ λειτουργία τελῆται, εἰδικὴν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ προσφορὰν προσκομίζειν). Εἰς δὲ τὴν δ' μνημονεύει τῶν βασιλέων, τοῦ πατριάρχου καὶ ἑτέρων, ὧν βούλεται, καὶ πάντων τῶν χριστιανῶν. Εἰς δὲ τὴν ε' μνείαν ποιεῖται τῶν κεκοιμημένων ἁπάντων ὀνομαστὶ καὶ ἀνωνύμων (на полѣ: Εἰ λειτουργεῖ διάκονος, ὀφείλει καὶ αὐτός, ὑπὲρ ὧν βούλεται, μίαν προσφορὰν προσκομίζειν). Εἶτα λαμβάνει ὁ διάκονος τὸν θυμιατόν, ὡσαύτως δὲ καὶ θυμίαμα καὶ φησὶ πρὸς τὸν ἱερέα· Εὐλόγησον, δέσποτα, τὴν εὐχὴν τοῦ θυμιάματος. Καὶ ὁ ἱερεύς· Θυμίαμά σοι προσφέρομεν. Καὶ θυμιῶν τὸν ἀστερίσκον, τίθησιν ἐπάνω τοῦ ἄρτου, λέγων· Τῷ λόγῳ Κυρίου οἱ οὐρανοί. Ὡσαύτως δὲ καὶ τὰ ποτηροκαλύμματα θυμιῶν, καλύπτει ἐν μὲν τῷ ἑνὶ τὸν δίσκον, λέγων Ὁ Κύριος ἐβασίλευσεν εὐπρέπειαν, ἕως τέλους, ἐν δὲ τῷ ἑτέρῳ τὸ ποτήριον, λέγων· Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή, ἐν δὲ τῷ ἑτέρῳ, ὃ δὴ καὶ ἀέρα καλεῖν εἰώθαμεν, ὑφ' οὗ καὶ τὰ ἀμφότερα καλύπτονται, λέγει· Σκέπασον ἡμᾶς, Υἱὲ Θεοῦ. Εἶτα τοῦ διακόνου εἰπόντος· Ἐπὶ τῇ ἁγίᾳ προθέσει ταύτῃ τῶν δώρων τοῦ Κυρίου

δεηθῶμεν, ὁ ἱερεὺς λέγει τὴν εὐχὴν τῆς προθέσεως· Ὁ Θεός, ὁ Θεὸς ἡμῶν . . . καὶ ποιεῖ ἀπόλυσιν, ὁ διάκονος θυμιᾷ τήν τε πρόθεσιν καὶ τὴν ἁγίαν τράπεζαν καὶ ὅλον τὸ ἅγιον θυσιαστήριον.

Послѣ входа и пѣнія тропарей и богородична: Εἶθ' οὕτω κρατῶν ὁ διάκονος τοῖς δυσὶ δακτύλοις τὸ ὠράριον αὐτοῦ καὶ κεκυφὼς λέγει τῷ ἱερεῖ· Εὐλόγησον, δέσποτα, τὸν Τρισάγιον ὕμνον. Καὶ στραφεὶς ὁ ἱερεύς, εὐλογεῖ τὸν λαόν, λέγων· Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, νεύοντος τοῦ διακόνου πρὸς τὸν λαὸν τὸ ὠράριον αὐτοῦ. Τοῦ δὲ λαοῦ ψάλλοντος τὸν Τρισάγιον ὕμνον, ὁ ἱερεὺς λέγων καθ' ἑαυτὸν τὴν εὐχὴν τοῦ Τρισαγίου· Ὁ Θεὸς ὁ ἅγιος, ὁ ἐν ἁγίοις, εἶτα καὶ ὁ ἱερεὺς μετὰ τοῦ διακόνου ἡσύχως πῶς καὶ πραέως τὸν αὐτὸν ᾄδουσιν ὕμνον. Τούτου δὲ πληρωθέντος, νεύει ὁ διάκονος πρὸς τὴν καθέδραν μετὰ τοῦ οὐραρίου αὐτοῦ, λέγων· Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν καθέδραν, καὶ ὁ ἱερεύς· Εὐλογητὸς εἶ, ὁ βλέπων ἀβύσσους, εἶθ' οὕτω λέγει ὁ διάκονος· Πρόσχωμεν κτλ. Τοῦ δὲ ἀλληλουαρίου ψαλλομένου, λαβὼν ὁ διάκονος τὸν θυμιατὸν καὶ βαλὼν θυμίαμα, ἀπέρχεται πρὸς τὸν ἱερέα καὶ φησίν· Εὐλόγησον, δέσποτα, τὴν εὐχὴν τοῦ θυμιάματος, καὶ ὁ ἱερεὺς ἐπιλέγει, ὡς ἔθος, τὴν εὐχήν, καὶ θυμιᾷ ὁ διάκονος τὴν ἁγίαν τράπεζαν σταυροειδῶς καὶ τὸν ἱερέα, εἶτα προσκυνήσας καὶ ἀσπασάμενος τὸ ἅγιον Εὐαγγέλιον, ἔρχεται πρὸς τὸν ἱερέα καί, κλίνας τὴν κεφαλήν, λέγει· Εὐλόγησον, δέσποτα, εὐαγγελιζόμενον τὸν εὐαγγελιστὴν τόνδε. Καὶ ὁ ἱερεύς· Ὁ Θεὸς διὰ πρεσβειῶν τοῦ ἁγίου καὶ ἐνδόξου ἀποστόλου καὶ εὐαγγελιστοῦ. . . Καὶ λαβὼν ὁ διάκονος τὸ ἅγιον Εὐαγγέλιον, ἐξέρχεται καὶ ἀναγνώσει εἰς τὸν ἄμβωνα, ἢ εἰς τὸ μέσον τοῦ ναοῦ. . . (О сугубой ектеньѣ замѣчено на полѣ: ἐνταῦθα μνημονεύει τῶν συνήθων). Τοῦ δὲ χερουβικοῦ ᾀδομένου, ὁ μὲν ἱερεὺς λέγει καθ' ἑαυτὸν τὴν εὐχήν· Οὐδεὶς ἄξιος, ὁ δὲ διάκονος, εἰσελθὼν ἔνδον τοῦ ἁγίου θυσιαστηρίου καὶ λαβὼν τὸν θυμιατόν, καὶ ἀπελθὼν πρὸς τὸν ἱερέα καὶ αἰτήσας καὶ λαβὼν τὴν συνήθη εὐχήν, σταυροειδῶς θυμιᾷ τὴν ἁγίαν τράπεζαν, ψάλλων καθ' ἑαυτὸν τὸν ν'. Εἶθ' οὕτως ἀπέρχονται ὁμοῦ, ὅ τε ἱερεὺς καὶ ὁ διάκονος, εἰς τὴν πρόθεσιν καί, εὐξάμενοι ὑπέρ τε ἑαυτῶν καὶ ἁπάντων, λέγει ὁ διάκονος τῷ ἱερεῖ· Ἔπαρον, δέσποτα, εἰς τὰ ἅγια καὶ εὐλόγησον τὸν Θεόν (на полѣ замѣчено: Εἰ δὲ πλείονες εἰσὶν οἱ ἱερεῖς· Ἐπάρατε τὰς χεῖρας ὑμῶν, φησίν, εἰς τὰ ἅγια). Καὶ ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν. Καὶ λαβόντες ὁ μὲν διάκονος τὸν δίσκον, ὁ δὲ ἱερεὺς τὸ ἅγιον ποτήριον, εἰσοδεύουσι τὴν μεγάλην εἴσοδον, προπορευομένου τοῦ διακόνου, καὶ πρὸς

τὸν λαὸν ἐκβοῶντος· Πάντων ὑμῶν μνησθείη ὁ Θεός, ὡσαύτως δὲ καὶ τοῦ ἱερέως, συνεπομένου αὐτῷ, καὶ τὰ αὐτὰ λέγοντος. Ἀποτιθεμένων δὲ τῶν ἁγίων δώρων ἐν τῇ ἁγίᾳ τραπέζῃ, στραφεὶς ὁ διάκονος θυμιᾷ τὸν ἱερέα, λέγων· Μνήσθητι, δέσποτα, ὑπὲρ ἐμοῦ. Καὶ ὁ ἱερεύς· Μνησθείη σου Κύριος. Εἶτα καὶ ὁ ἱερεὺς ὁμοίως λέγει τῷ διακόνῳ· Εὖξαι ὑπὲρ ἐμοῦ, διάκονε. Καὶ ὁ διάκονος· Πνεῦμα ἅγιον ἐπελεύσεται. Καὶ εἰσέρχεται ὁ ἱερεύς, λέγων· Ἄρατε πύλας οἱ ἄρχοντες καὶ τὸ Εὐλογητὸς ὁ ἐρχόμενος, καὶ ἄλλα (на полѣ: Ἐνταῦθα λέγει· Βασιλεῦ οὐράνιε, ἢ Ἐπουράνιε βασιλεῦ, τοὺς πιστοὺς βασιλεῖς. Μετὰ δὲ τὸ καλῦψαι τὸν ἱερέα τὰ ἅγια, προσπίπτει αὐτῷ ὁ διάκονος, λέγων· Εὖξαι ὑπὲρ ἐμοῦ, δέσποτα. Καὶ ὁ ἱερεύς· Μνησθείη ἡμῶν καὶ ὑμῶν Κύριος. Καὶ εὐθὺς ἐξέρχεται ὁ διάκονος καί, σταθεὶς ἔμπροσθεν τῶν ἁγίων θυρῶν, λέγει· Πληρώσωμεν τὴν δέησιν . . . Καὶ μετὰ τὸ δοθῆναι τὴν ἀγάπην (на полѣ: ἐνταῦθα γίνεται ὁ ἀσπασμός) λέγει ὁ διάκονος· Τὰς θύρας. Ὁ λαός· Πιστεύω εἰς ἕνα Θεόν. Ὁ διάκονος· Στῶμεν καλῶς. Ὁ δὲ ἱερεὺς ἐκφωνεῖ· Ἡ χάρις τοῦ Θεοῦ. Ἄνω σχῶμεν τὰς καρδίας. Εὐχαριστήσωμεν τῷ Κυρίῳ. Κλινομένου τοῦ ἱερέως καὶ ἐπευχομένου μυστικῶς τὴν εὐχήν· Ἄξιον καὶ δίκαιον, εἰσέρχεται ὁ διάκονος ἔνδον τοῦ ἁγίου θυσιαστηρίου καί, κρατῶν ῥιπίδιον, νεύει αὐτὸ πρὸς τὴν ἁγίαν τράπεζαν, στρέφων συνεχῶς. Ὅταν δὲ εἴπῃ ὁ ἱερεύς· Τὸν ἐπινίκιον ὕμνον, λαμβάνει ὁ διάκονος τὸν ἀστερίσκον καὶ τρὶς αὐτὸν εἰς τὸν δίσκον κρουσθείς, εἶτα δὲ ἀσπασάμενος, τίθησιν ἐν τῇ ἁγίᾳ τραπέζῃ. Ὁ λαός· Ἅγιος, ἅγιος, ἅγιος. Ὁ ἱερεὺς ἐπεύχεται· Μετὰ τούτων καὶ ἡμεῖς. Εἶτα ἐκφωνεῖ· Λάβετε, φάγετε. Ὁ λαός· Ἀμήν. Ὁ ἱερεύς· Ὁμοίως καὶ τὸ ποτήριον. Εἶτα καὶ αὖθις ἐκφωνεῖ· Πίετε ἐξ αὐτοῦ. Ὁ λαός· Ἀμήν. Ὁ ἱερεὺς ἐπεύχεται· Μεμνημένοι τοίνυν τῆς. Εἶτα ἐκφωνεῖ· Τὰ σὰ ἐκ τῶν σῶν. Καὶ αὖθις ἐπεύχεται· Ἔτι προσφέρομέν σοι. Ὅταν δὲ ἔλθῃ· Καὶ ἐπὶ τὰ προκείμενα ταῦτα δῶρα, ἀνίσταται καί, σφραγίζων τὰ ἅγια δῶρα, λέγει· Καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον τίμιον σῶμα τοῦ Χριστοῦ σου. Ὁ διάκονος· Ἀμήν. Ὁ ἱερεύς, εὐλογῶν ὁμοίως τὸ ποτήριον, λέγει· Τὸν δὲ ἐν τῷ ποτηρίῳ τούτῳ τίμιον αἷμα τοῦ Χριστοῦ σου. Ὁ διάκονος· Ἀμήν. Ὁ ἱερεύς· Μεταβαλὼν τῷ Πνεύματι . . . (на полѣ: Ἐν τῇ τοῦ Μεγάλου Βασιλείου λειτουργίᾳ προστίθεται ἐνταῦθα· Τὸ ἐκχυθὲν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς). Ὁ διάκονος ἐκ γ′ τὸ Ἀμήν. Ὁ ἱερεὺς αὖθις ἐπεύχεται· Ὥστε γενέσθαι τοῖς, εἶτα ἐκφωνεῖ· Ἐξαιρέτως τῆς Παναγίας. Ἐνταῦθα ὁ μὲν ἱερεὺς ἐπεύχεται τὴν εὐχήν, ἧς ἡ ἀρχή· Τοῦ ἁγίου

Ἰωάννου τοῦ προφήτου, ὁ δὲ διάκονος μνημονεύει τὰ δίπτυχα τῶν κεκοιμημένων, λέγων καὶ μεγαλοφώνως· Καὶ ὧν ἕκαστος. Τοῦ δὲ ἱερέως ἐκφωνοῦντος· Ἐν πρώτοις μνήσθητι, εἶτα καὶ τὴν εὐχὴν καθ' ἑαυτὸν ποιουμένου· Μνήσθητι, Κύριε, τῆς πόλεως. . . ὁ διάκονος λέγει μεγαλοφώνως· Τοῦ ἁγιωτάτου οἰκουμενικοῦ πατριάρχου, ὡσαύτως καὶ τῶν λοιπῶν πατριαρχῶν τὰ ὀνόματα, τοῦ Ἀντιοχείας, τοῦ Ἀλεξανδρείας, τοῦ Ἱεροσολύμων, καὶ ὑπὲρ τοῦ προσκομίζοντος τὰ ἅγια δῶρα Κυρίῳ τῷ Θεῷ ἡμῶν, τοῦ δεῖνος εὐλαβεστάτου ἱερέως, καὶ ὑπὲρ τῶν βασιλέων (на полѣ: ὀνομαστὶ μνημονεύειν ἐνταῦθα χρὴ τῶν βασιλέων), ὑπὲρ τοῦ στρατοῦ, ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, καὶ πάντων καὶ πασῶν . . . Ὁ μὲν ἱερεὺς προσεύχεται ... ὡς εἰκὸς (т. е. читаетъ молитву: Πρόσχες, Κύριε), ὁ δὲ διάκονος, ἔξω ἱστάμενος, προσμένει μετρίως πῶς συντηρῶν, ἕως ἂν λάβῃ ὁ ἱερεὺς τὸν ἄρτον ταῖς χερσὶν αὐτοῦ τοῦ ὑψῶσαι αὐτόν, καὶ τότε λέγει μεγάλῃ τῇ φωνῇ· Πρόσχωμεν. Καὶ ὁ ἱερεύς· Τὰ ἅγια τοῖς ἁγίοις. Εἰσέρχεται δὲ εὐθέως ὁ διάκονος καὶ λέγει τῷ ἱερεῖ· Μέλισον, δέσποτα, τὸν θεῖον ἄρτον. Καὶ ὁ ἱερεύς, μελίζων τὸν ἄρτον, λέγει· Μελίζεται ὁ ἀμνὸς τοῦ Θεοῦ, εἶτα πάλιν ὁ διάκονος· Πλήρωσον, δέσποτα, τὸ ἅγιον ποτήριον. Καὶ ὁ ἱερεύς, βαλὼν μερίδα μίαν εἰς τὸ ἅγιον ποτήριον καὶ εὐλογήσας αὐτό, λέγει· Πλήρωμα Πνεύματος ἁγίου. Ἀμήν. Καὶ ὁ διάκονος, κρατῶν τὸ ζέον ὕδωρ, λέγει· Εὐλόγησον, δέσποτα, τὴν ζέσιν. Καὶ τοῦ ἱερέως εὐλογήσαντος αὐτό, ὡς ἔθος, βάλλει ὁ διάκονος, συγκιρνῶν τὸ ἅγιον ποτήριον καὶ καθ' ἑαυτὸν ἐπιλέγων· Θεοῤῥύτῳ αἵματι. Καὶ μεταλαμβάνει ὁ ἱερεὺς τῶν ἀχράντων μυστηρίων (на полѣ: Ὀφείλει λαμβάνειν ὁ ἱερεὺς ἐν ταῖς χερσὶν αὐτοῦ τὸν θεῖον ἄρτον καὶ κύπτειν χαμαὶ καὶ λέγειν ἡσύχως· Τοῦ δείπνου σου τοῦ μυστικοῦ, εἶτα ἐσθίειν αὐτόν, καὶ οὕτω μετὰ φόβου καὶ κατανύξεως καὶ συντριβῆς καρδίας καὶ ἐκ τοῦ ποτηρίου μεταλαμβάνειν). Τοῦ δὲ διακόνου τὸ ὠράριον αὐτοῦ περιζωσαμένου, φησὶ πρὸς αὐτὸν ὁ ἱερεύς· Διάκονε, πρόσελθε τῷ Βασιλεῖ τῆς δυνάμεως. Τοῦ δὲ προσερχομένου καὶ λέγοντος· Εὐλογητὸς ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ἐπιδίδωσιν αὐτῷ ὁ ἱερεὺς μερίδα μίαν ἐκ τοῦ ἁγίου σώματος, ἣν καὶ λαβὼν καὶ ἀσπασάμενος τήν τε χεῖρα καὶ τὴν μορφὴν τοῦ ἱερέως, ἀπέρχεται, καί, κύπτων χαμαί, λέγει καθ' ἑαυτόν· Τοῦ δείπνου σου τοῦ μυστικοῦ, εἶτα μεταδίδωσιν ὁ ἱερεὺς καὶ τοῦ ἁγίου αἵματος (на полѣ: Εἰ οὐκ ἔστι διάκονος, ἐνταῦθα ὀφείλει λέγειν ὁ ἱερεὺς καθ' ἑαυτὸν τὴν εὐχήν· Εὐχαριστοῦμέν σοι, Δέσποτα). Τῆς δὲ ἁγίας μεταλήψεως τελεσθείσης, λαμβάνει ὁ διάκονος ἐν ταῖς χερσὶν αὐ-

τοῦ τὸ ἅγιον ποτήριον καὶ στραφεὶς πρὸς τὸν λαόν, λέγει· Προσέλθετε. Ὁ λαός· Ἀμήν. Εὐλογητός. Ὁ δὲ ἱερεὺς εὐλογεῖ τὸν λαόν, λέγων ἡσύχως· Σῶσον, ὁ Θεός, τὸν λαόν σου, κρατοῦντος τοῦ διακόνου τῇ ἀριστερᾷ χειρὶ τὸ ἑαυτοῦ, ὡς ἔθος, ὠράριον. Εἶθ' οὕτω, τίθησι μὲν ὁ διάκονος τὰ ἅγια δῶρα ἐν τῇ θείᾳ τραπέζῃ, λαβὼν δὲ θυμιατόν, θυμιᾷ ταῦτα σταυροειδῶς, λέγων ἐκ γ'· Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς. Εἶτα εὐθύς, λαβόντες τὰ ἅγια, ἀπέρχονται ἄμφω εἰς τὴν πρόθεσιν, τοῦ ἱερέως καθ' αὐτὸν μὲν λέγοντος· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, μεγαλοφώνως δέ· Πάντοτε νῦν. Ὁ λαός· Ἀμήν. Πληρωθήτω. . . Ὁ διάκονος· Ἐν εἰρήνῃ προέλθωμεν. . . Καὶ εἰσελθόντες ἐν τῷ ἁγίῳ βήματι, ὅ τε ἱερεὺς καὶ ὁ διάκονος, ἀπαμφιέννυνται τὴν ἱερατικὴν στολήν, ψάλλοντες Τρισάγιον καὶ τὰ τῆς ἡμέρας τροπάρια καὶ θεοτοκίον, εἶτα, ποιήσαντες καθ' ἑαυτοὺς ἀπόλυσιν, ἐξέρχονται.

[л. 293). Ἀκολουθία καὶ διάταξις τῆς προηγιασμένης.

Χρὴ εἰδέναι, ὅτι ἐν τῇ ἁγίᾳ μ' προσκομιδὴ οὐ γίνεται, πλὴν σαββάτου καὶ κυριακῆς. Τῇ γοῦν κυριακῇ ποιεῖ ὁ ἱερεὺς παρακαταθήκην, ἣν δὴ καὶ προηγιασμένην καλοῦμεν, ἧς ἡ ἀκολουθία ἐστὶν αὕτη. Ψαλλόντων τῶν ἀδελφῶν τὴν θ' ὥραν μετὰ τοὺς μακαρισμοὺς καὶ τὸ Πιστεύω, ποιεῖ ὁ ἱερεὺς μετανοίαν καὶ εἰσέρχεται εἰς τὸ ἅγιον βῆμα καί, φορέσας τὴν ἱερατικὴν στολὴν ἅπασαν, ἀπέρχεται ἐν τῇ προθέσει καί, λαβὼν τὸν ἄρτον, τίθησιν ἐν τῷ δίσκῳ, εἶτα καὶ ἐν τῷ ποτηρίῳ ἕνωσιν ποιήσας, καλύπτει ταῦτα, ὡς εἴθισται, εἶθ' οὕτω τὴν τῆς προθέσεως εὐχὴν ἐπειπών· Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ὑποδείξας, ποιεῖ εὐλογητόν, λέγων· Εὐλογημένη ἡ βασιλεία, καὶ οἱ ἀδελφοὶ ψάλλουσι τὸ λυχνικόν, ὁ δὲ ἱερεὺς λέγει καθ' ἑαυτὸν ἐν τῷ ἁγίῳ βήματι τὰς εὐχὰς τοῦ λυχνικοῦ· Κύριε, οἰκτίρμον καὶ ἐλεῆμον· Κύριε, μὴ τῷ θυμῷ σου· Κύριε, ὁ Θεὸς ἡμῶν, μνήσθητι ἡμῶν. Μετὰ δὲ τὴν πλήρωσιν τοῦ λυχνικοῦ, ποιεῖ τὴν μεγάλην συναπτήν, μετὰ δὲ τὴν ἐκφώνησιν στιχολογοῦσι τὸ κάθισμα. Ἐν ἑκάστῳ δὲ ἀντιφώνῳ ποιεῖ ὁ ἱερεὺς μικρὰν συναπτήν, εἶτα τὸ Κύριε ἐκέκραξα, ἐν ᾧ θυμιᾷ ὁ ἱερεύς, εἰς δὲ τὸ Δόξα καὶ νῦν γίνεται εἴσοδος μετὰ τοῦ θυμιατοῦ, εὐχὴ τῆς εἰσόδου· Ἑσπέρας καὶ πρωΐ, εἶτα ὁ ἱερεύς· Σοφία, ὀρθοί, ὁ ψάλτης· Φῶς ἱλαρόν, εἶτα ἀναγνώσματα, πρῶτον ἡ Γένεσις, εἶθ' οὕτω μετὰ τὸ προκείμενον, κρατῶν ὁ ἱερεὺς ἐν μὲν τῇ δεξιᾷ χειρὶ τὸν θυμιατόν, ἐν δὲ τῇ ἀριστερᾷ μετὰ κηροῦ μανουάλιον, λέγει· Φῶς Χριστοῦ φαίνει πᾶσι, καὶ εὐθὺς ἡ παροιμία, εἶτα τὸ Κατευθυνθήτω, ὁ ἱερεύς· Εἴπωμεν πάντες καὶ τὰς λοιπὰς ἱκεσίας, μνημονεύων τῶν συνήθων.

[л. **293** об.). Διάταξις περὶ τῆς ὑπὲρ τοῦ βασιλέως γινομένης ἀγρυπνίας καὶ παρακλήσεως.

Служится вечерня обычно. Τῇ δὲ α′ ὥρᾳ τῆς νυκτὸς σημαίνει τὰς βαρέας τὸ μέγα καὶ τὸ σιδηροῦν καὶ ψάλλομεν τὰ ἀπόδειπνα, μετὰ δὲ τὸ Δόξα ἐν ὑψίστοις Θεῷ, ψάλλομεν κανόνας δύο, εἰς μὲν τὸν ἕνα δευτεροῦντες τοὺς εἱρμοὺς καὶ τὰ τροπάρια ποιοῦντες ϛ′, εἰς δὲ τὸν ἕτερον τὰ τροπάρια δ′, ἀντὶ δὲ τῶν συνήθων στίχων λέγομεν· Κύριε, σῶσον τὸν βασιλέα καὶ ἐπάκουσον ἡμῶν, ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε. По 3 пѣсни ектенья, что на литіи, съ помпновеніемъ имени царя, послѣ 6 пѣсни прокименъ, евангеліе отъ Луки, «Спаси Боже», по 9 пѣсни ектенья и отпустъ.

[л. **295**). Ἀκολουθία τῆς κοινῆς παρακλήσεως.

[л. **296**). Ἀκολουθία ἁγιασμοῦ.

Τὸ Τρισάγιον, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν, καὶ εὐθὺς Κύριε, εἰσάκουσον τῆς προσευχῆς, Ἀλληλούια ἦχος πλ. β′. Στίχος· Ἐκ νυκτὸς ὀρθρίζει. Στίχος β′· Ἀρθήτω ὁ ἀσεβής. Στίχος γ′· Ζῆλος λήψεται. Τροπάρια· Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον, Δόξα, Κύριε ἐλέησον, Καὶ νῦν, Τῆς εὐσπλαγχνίας, ὁ ν′ καὶ εὐθὺς τὰ κδ′ τροπάρια τῆς Θεοτόκου· Ἡ τὸ χαῖρε δι' ἀγγέλου κτλ., ὡσαύτως καὶ ταῦτα· Νῦν ἐπέστη ὁ καιρὸς κτλ. Πρόσχωμεν. Εἰρήνη πᾶσιν. Σοφία. Ψαλμὸς τῷ Δαβίδ. Προκείμενον· Ἐγὼ εἶπα, Κύριε, ἐλέησόν με. Στίχος· Μακάριος ὁ συνιών, ὁ ἀ π ό σ τ ο λ ο ς κ α θ ο λ ι κ ῆ ς ἐ π ι σ τ ο λ ῆ ς Ἰ α κ ώ β ο υ· Ἀ δ ε λ φ ο ί, ὑ π ό δ ε ι γ μ α λ ά β ε τ ε. Ἀλληλουάριον. Εὐαγγέλιον κατὰ Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ διήρχετο ὁ Ἰησοῦς τὴν Ἱεριχὼ καὶ εὐθύς· Ἐν εἰρήνῃ, καὶ τὰς λοιπὰς συνήθεις αἰτήσεις. Εὐλογῶν δὲ τὸ ἐν τῇ λεκάνῃ ὕδωρ, λέγει· Ὑπὲρ τοῦ εὐλογηθῆναι τὸ ὕδωρ τοῦτο τῇ δυνάμει καὶ ἐνεργείᾳ καὶ ἐπιφοιτήσει. . . и т. д. Послѣ молитвы καὶ εὐθὺς λαμβάνει τὸν σταυρὸν ὁ ἱερεὺς καὶ ἐμβάπτων αὐτὸν ἐν τοῖς ὕδασι, λέγει καθ' ἑαυτόν· Εἰς τὸ ὄνομα τοῦ Πατρός (На полѣ рукою писца рукописи: Ἐν ἄλλοις· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι εὗρον), εἶτα ἐκφωνεῖ· Τῶν σῶν δωρεῶν ἀξίους, ἐκ γ′ σταυροτύπως βάπτων τὸν σταυρὸν ἐν τῷ ὕδατι, καὶ ἡμεῖς αὖθις τὸ αὐτό. ὁ δὲ ἱερεὺς ῥαντίζει τὸν λαὸν ἅπαντα ἐκ τοῦ ἁγιάσματος καὶ τὸν οἶκον, ψαλλόντων ἡμῶν· Π η γ ὴ ν ἰ α μ ά τ ω ν. Ἀ τ ε λ ε ύ τ η τ ο ς ὑ π ά ρ χ ε ι ς. Μ ε τ α β ο-

λὴ τῶν θλιβομένων. Οὐδεὶς προστρέχων. Εἶτα ἐκτενὴ καὶ ἀπόλυσις. См. т. II Εὐχολόγια ч. I, стр. 375.

[л. 296). Διάταξις περὶ τοῦ βαπτίσματος.

Вопросы написаны такъ: Καὶ ἐρωτᾷ αὐτῷ οὕτως· Ἀποτάσσῃ τῷ σατανᾷ; Καὶ ἀποκρίνεται ὁ βαπτιζόμενος, ἢ ἀνάδοχος αὐτοῦ, λέγων· Ἀποτάσσομαι τῷ σατανᾷ. Καὶ αὖθις ἐρωτᾷ αὐτῷ· Καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ; Καὶ ἀποκρίνεται· Καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ. Καὶ αὖθις ἐρωτᾷ· Καὶ πάσῃ τῇ λατρείᾳ αὐτοῦ; Καὶ ἀποκρίνεται· Καὶ πάσῃ τῇ λατρείᾳ αὐτοῦ. Καὶ πάλιν· Καὶ πᾶσι τοῖς ἀγγέλοις αὐτοῦ; Καὶ ἀποκρίνεται· Καὶ πᾶσι τοῖς ἀγγέλοις αὐτοῦ. Καὶ πάλιν ἐρωτᾷ· Καὶ πάσῃ τῇ πομπῇ αὐτοῦ; Καὶ ἀποκρίνεται· Καὶ πάσῃ τῇ πομπῇ αὐτοῦ. Καὶ μετὰ ταῦτα ἐρωτᾷ πάλιν ὁ ἱερεὺς γ'· Ἀπετάξασθε τῷ σατανᾷ; Καὶ ἀποκρίνεται· Ἀπεταξάμεθα. Καὶ ὅτε εἴπωσι τοῦτο γ', λέγει ὁ ἱερεύς· Καὶ ἐμπτύσατε αὐτῷ. Καὶ μετὰ τὸ ἐμπτῦσαι γ', στρέφει αὐτὸν κατὰ ἀνατολὰς ὁ ἱερεύς, κάτω τὰς χεῖρας ἔχοντα (л. 297). Послѣ мѵропомазанія поется 3-жды: Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ γίνεται εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, καὶ τελεῖται ἀκολούθως πᾶσα ἡ θεία λειτουργία, ἐν ᾗ ἀντὶ τοῦ Τρισαγίου ψάλλομεν· Ὅσοι εἰς Χριστόν. Εἰ δὲ οὐκ ἔστι λειτουργία, μετὰ τὸ χρισθῆναι μύρῳ τὸν βαπτισθέντα, ὡς δεδήλωται, εἰσοδεύει ὁ ἱερεύς, κυκλῶν ἢ τὸν θεῖον λουτῆρα, ἢ τὸν ναὸν ἐκ γ' μετὰ τοῦ διακόνου καὶ τοῦ ἀναδόχου, καὶ ψάλλων σὺν τῷ λαῷ· Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, εἶθ' οὕτω ποιεῖ ἐκτενὴν ὁ διάκονος, μνημονεύων τοῦ τε νεοφωτίστου καὶ τοῦ ἀναδόχου αὐτοῦ καὶ τοῦ περιεστῶτος λαοῦ, καὶ οὕτω γίνεται ἀπόλυσις. См. тамъ же стр. 373—374.

[л. 299). Εἴδησις περὶ τοῦ πῶς δεῖ ἀπολούειν τὸν νεοφώτιστον. Здѣсь же изложено и пострижение власовъ новопросвѣщеннаго.

[л. 299 об.). Περὶ τοῦ πῶς δεῖ ῥασοφόρον ποιῆσαι τὸν μέλλοντα εἰσιέναι ἐν μοναστηρίῳ τοῦ λαβεῖν τὸ μοναχικὸν καὶ ἅγιον σχῆμα.

Ὁ μέλλων εἰσιέναι ἐν μοναστηρίῳ τοῦ λαβεῖν τὸ μοναχικὸν σχῆμα, ὀφείλει προσέρχεσθαι τῷ ἁγίῳ ναῷ καὶ ποιῆσαι μετανοίας γ' ἔμπροσθεν τῶν ἁγίων θυρῶν, ἢ τῆς ἁγίας εἰκόνος, ἔπειτα τῷ καθηγουμένῳ καὶ τοῖς ἀδελφοῖς, εἶθ' οὕτω, τοῦ ἱερέως Εὐλογητὸν ποιήσαντος, καὶ γινομένου Τρισαγίου παρὰ τῶν ἀδελφῶν, ψάλλονται τροπάρια ταῦτα, ἦχος πλ. β'· Ἐλέησον ἡμᾶς, Δόξα, Κύριε ἐλέησον, Καὶ νῦν, Τῆς εὐσπλαγχνίας. εἶτα εὐθὺς ἐνδύεσθαι.

[л. 299 об.). Ἀκολουθία εἰς τὸ ποιῆσαι μικρόσχημον.

Τῆς ἱερᾶς ἀρχομένης λειτουργίας, ἵσταται ὁ μέλλων ἀποκαρῆναι ἀδελφὸς μετὰ ῥάσου, ἱματίου, ἀσκεπὴς ἔμπροσθεν τῶν ὡραίων πυλῶν, δεόμενος τοῦ Θεοῦ ὑπὲρ ἀφέσεως τῶν ἁμαρτιῶν αὐτοῦ. Τῶν δὲ ἀντιφώνων τῆς θείας λειτουργίας ψαλλομένων, ἢ τῶν τυπικῶν, δίδοται παρὰ τοῦ ἐκκλησιάρχου κηρία τοῖς μοναχοῖς, καὶ μετὰ τὴν εἴσοδον ψάλλεται τὸ ἀπολυτίκιον καὶ τὸ κοντάκιον τῆς ἡμέρας, εἶθ' οὕτως ἀπέρχεται ὁ ἐκκλησιάρχης μεθ' ἑτέρου ἀδελφοῦ καί, κρατοῦντες ἐξ ἀμφοτέρων τῶν μερῶν τὸν τὸ σχῆμα μέλλοντα λαμβάνειν, εἰσάγουσιν ἐν τῷ ναῷ, ψάλλοντες γεγονωτέρᾳ τῇ φωνῇ τὸ Ἀγκάλας πατρικάς. Τούτου δὲ ψαλλομένου, ποιεῖ αὐτὸς μετανοίας γ' ἔσωθεν τῶν ὡραίων πυλῶν, ὡσαύτως καὶ εἰς τὸ μέσον τοῦ ναοῦ μετανοίας γ', καὶ τῶν θυρῶν ἔμπροσθεν ἑτέρας μετανοίας γ', τῶν μοναχῶν τὸ δηλωθὲν ψαλλόντων ἐκ γ' τροπάριον, ποιεῖ δὲ καὶ τῶν καθηγουμένων μετάνοιαν καὶ τοῖς ἀδελφοῖς, εἶτα ἐγείρει αὐτὸν ὁ ἡγούμενος καὶ ἐπερωτᾷ οὕτως· Τί προσῆλθες; Καὶ τὰς λοιπὰς ἐρωτήσεις, ἐν αἷς ὀφείλει ὁ λαμβάνων τὸ σχῆμα ἀποκρίνεσθαι νουνεχῶς τὸ Ναί, τοῦ Θεοῦ συνεργοῦντος, τίμιε πάτερ. . . Далѣе порядокъ обычный. Ἐπὶ δὲ τῶν μοναζουσῶν προστίθεται καὶ αὕτη ἡ εὐχή· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν παρθενίαν οὕτως ἀγαπήσας т. е. послѣ молитвы главопреклоненія: Κύριε, ὁ Θεὸς ἡμῶν, ἡ ἐλπὶς καὶ καταφυγὴ τῶν ἐλπιζομένων. Объ облаченіи замѣчено: Καὶ εἰ ἔστι κοσμικός, ἐν πρώτοις μὲν φοραίνει αὐτὸν καμηλαύκη ἔπειτα καὶ ῥάσον, ἱμάτιον καὶ τὸ παλίον, ὕστερον δὲ καὶ τὸν μανδύαν. Послѣ пострижения слѣдуетъ ектенья. Εἶτα τὸ Τρισάγιον καὶ ἡ λοιπὴ ἀκολουθία τῆς λειτουργίας, ὁ δὲ νεοκουρίτης, εἰσελθὼν εἰς τὴν ἐκκλησίαν, ἵσταται, ἔνθα ἂν προσταχθῇ, μέχρι τῆς ἀπολύσεως· ὀψικεύει δὲ καὶ τὰ ἅγια μετὰ τῆς λαμπάδος αὐτοῦ, καὶ μετὰ τὴν ἀπόλυσιν ἀπερχόμεθα εἰς τὴν τράπεζαν μετὰ τοῦ νεοκούρου, ψάλλοντες τὸ Ἐπιγνῶμεν ἀδελφοί.

[л. **301**). Διάταξις τῆς ἀκολουθίας τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος. См. т. II Εὐχολόγια ч. 1, стр. 1028—1035.

[л. **304** об.). Ἀκολουθία εἰς κηδείαν μοναχοῦ. Тамъ же, стр. 770.

[л. **306** об.). Ἀκολουθία εἰς κηδείαν κοσμικοῦ.

Εἰς δὲ κοσμικὸν οὐχ οὕτως (т. е. какъ надъ монахами), οὐδὲ γὰρ εἰς δύο διαιρεῖται ὁ Ἄμωμος, ἀλλὰ κατὰ στάσιν γίνεται ἐκτενὴν καὶ μνημονεύεται ὁ θανών. Μετὰ δὲ τὸ ψαλθῆναι τὸν Ἄμωμον καὶ τὰ τούτου τροπάρια, γίνεται καὶ αὖθις ἐκτενὴ καὶ εὐθὺς ἀρχόμεθα ψάλλειν τὰ κατ' ἦχον νεκρώσιμα τῆς Ὀκτωήχου τροπάρια, ἦχος α'· Ποία τοῦ βίου. Ἔργῳ Σωτήρ μου, ἦχος β'· Ὡς ἄνθος μαραίνεται. Οἴμοι,

οἷον ἀγῶνα ἔχει, ἦχος γ'· Πάντα ματαιότης. Ἄνθρωποι, τί μάτην, ἦχος δ'· Μετὰ πνευμάτων δικαίων. Εἰς τὴν κατάπαυσιν Κύριε, ἦχος πλ. α'· Ἐμνήσθην τοῦ προφήτου. Σὺ ἔπλασάς με, ἦχος πλ. β'· Ἀρχή μοι καὶ ὑπόστασις. Ἐτίμησας εἰκόνι σου· ἦχος βαρύς· Κατ' εἰκόνα σήν. Ἀνάπαυσον Σωτὴρ ἡμῶν· ἦχος πλ. δ'· Ὁ θάνατός σου, Κύριε. Θρηνῶ καὶ ὀδύρομαι, Δόξα καὶ νῦν, Δέσποινα πρόσδεξαι, εἶτα εὐθὺς μακαρισμούς, μετὰ δὲ τούτους προκείμενον· Ἡ ψυχὴ αὐτοῦ. Στίχος· Πρὸς σέ, Κύριε, ἀπόστολος καὶ εὐαγγέλιον, εἶθ' οὕτω Δόξα, ἦχος πλ. β'· Ὁρῶντές με ἄφωνον, Καὶ νῦν, Θεὸν ἐκ σοῦ σαρκωθέντα. Τούτων δὲ ψαλλομένων, γίνεται ὁ ἀσπασμός, προστιθεμένων καὶ τῶν προδηλωθέντων στιχηρῶν, πρός· Ὅτε ἐκ τοῦ ξύλου. Δεῦτε τελευταῖον. Μετὰ δὲ ταῦτα Τρισάγιον, Μετὰ τῶν δικαίων, καὶ τὰ λοιπά, ἐκτενὴ καὶ ἀπόλυσις.

[л. 306 об.). Διάταξις ἐπὶ χειροτονίᾳ, ἤτοι σφραγῖδι ἀναγνώστου καὶ ψάλτου.

[л. 367). Διάταξις χειροτονίας ὑποδιακόνου.

— Διάταξις ἐπὶ χειροτονίᾳ διακόνου.

[л. 307 об.). Διάταξις ἐπὶ χειροτονίᾳ ἱερέως.

[л. 309). Διάταξις ἐπὶ χειροτονίᾳ ἐπισκόπου.

[л. 310). Διάταξις ἐπὶ καθιερώσει ναοῦ.

[л. 315). Διάταξις ἐπὶ σαλευθείσης ἁγίας τραπέζης.

[л. 316). Διάταξις ἑτέρα ἐπὶ σαλευθείσης τραπέζης.

XXXVII. № 245. Τυπικόν, рукопись Аѳинской національной библіотеки на бомбицинѣ, въ 24 долю листа писана мелкою витіеватою скорописью XIV в. Листовъ 302.

Составъ Типикона и оглавленіе обычные для древнѣйшихъ Типиконовъ. Надписаніе также обычное. Вводная часть безъ раздѣленій на главы. Синаксарь отличается краткостію и переполненъ по полямъ киноварными схоліями (Σχόλιον) изъ другихъ Типиконовъ иной практики. Ссылки на Марковыя главы имѣются вездѣ, но въ Благовѣщенскихъ главахъ сохранены и древнѣйшія указанія съ замѣчаніемъ, что онѣ взяты изъ Синаксарей Студійскаго и Іерусалимскаго и др. Марковыхъ главъ 95 (Μάρκῳ, ἁμαρτωλῷ ἱερομονάχῳ, σύνταγμα, πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ Τυπικοῦ). Въ концѣ прибавлены тропари и кондаки на важнѣйшіе дни Синаксаря и Тріодей постной и

цвѣтной и статьи: *Περὶ τοῦ κύκλου τῆς σελήνης* и *Περὶ τῆς ἡμέρας τοῦ νομικοῦ Πάσχα*.

XXXVIII. № 1104. *Τυπικόν* (безъ начала), рукопись Синайской библ. въ 16 долю, на бомбицинѣ, писана мелкимъ почеркомъ XIV вѣка, 182 листа. Типиконъ обрывается статьею о кажденіи священника.

Типиконъ начинается: *λέγει τῇ μεγάλῃ φωνῇ· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ. . . οἱ ἀδελφοὶ τὸ Ἀμήν, καὶ εὐθὺς ἄρχονται ψάλλειν τὸ Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ· Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν. Εἶτα λέγει γεγονωτέρᾳ φωνῇ· Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν*. Излагается чинъ всенощнаго бдѣнія [**л. 7** об.). *Χρὴ δὲ γινώσκειν, ὅτι, ὁπότε μέλλει γενέσθαι ἀγρυπνία, ἤτοι σαββάτῳ κατὰ τὸ ψάλλειν τὴν θ' ὥραν, ψάλλομεν ἐν τῷ νάρθηκι τοῦ ναοῦ μικρὸν ἑσπερινόν*. Порядокъ вечерни, ужинъ и повечеріе. Недостаетъ нѣкоторыхъ листовъ.

[**л. 8**). Чинъ вседневной вечерни, полунощницы, утрени и перваго часа. Здѣсь же замѣчаніе о поведеніи канонарха, объ откровеніи главъ, о кажденіи іереемъ, о службахъ отъ Антипасхи до Пятидесятницы, замѣчаніе не пѣть «Утверди Боже», когда положено только великое славословіе, о пѣніи поліелея въ пятницу, если полагается «Богъ Господь», о псалмахъ, неизмѣнно поемыхъ (на Богъ Господь, на хвалитѣхъ и т. д.). о поведеніи монаховъ въ церкви и о наблюденіи за ними со стороны екклисіарха, о начальныхъ хорахъ, о пѣніи каноновъ въ воскресенье и во всю седмицу, служба въ четыредесятницу Рождества Христова, замѣчанія объ екклисіархѣ и епистимонархѣ, о чтеніи Евангелія и толкованій его, о совершеніи литургій Василія Великаго и др., о чтеніи утреннихъ евангелій, запрещеніе пить воду послѣ вечерней трапезы, о томъ, что чтецомъ на трапезѣ долженъ быть канонархъ, о канонѣ на повечеріяхъ, о раздачѣ воды послѣ трапезы и замѣчаніе о количествѣ всенощныхъ бдѣній въ теченіе цѣлаго года.

[**л. 16** об.). *Τυπικὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας τῆς σεβασμίας λαύρας τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα*. Синаксарныя службы.

14 Сентября выносъ креста, какъ въ іерусалимскомъ Типиконѣ XVI в. св. Троицы. См. ниже.

28 Октября воспоминаются Стефанъ Савваитъ и Іоаннъ Хозевитъ.

Ἑτέρα ἑρμηνεία περὶ τῆς ἑορτῆς τοῦ Εὐαγγελισμοῦ. Εὑρέθη ἐν τοῖς κατὰ τὸν Ὄλυμπον (Ὀλυμπων стоитъ) τυπικοῖς γινομένη, ἔχει δὲ οὕτως· Εἰ φθάσῃ γενέσθαι ὁ Εὐαγγελισμὸς τῆς ὑπεραγίας Θεοτόκου ἢ τῇ μεγάλῃ πέμπτῃ ἑσπέρας, εἰς τὰ ἅγια πάθη δηλονότι, ἢ τῷ μεγάλῳ σαββάτῳ ἑσπέρας, ἤγουν ἐπιφωσκούσης τῆς μεγάλης κυριακῆς, ὅ ἐστι Κύριον Πάσχα, εἰς μὲν τὸν ε' ἑσπερινὸν ψαλλέσθωσαν ἀμφότεραι αἱ ἑορταί, ὡς εἴρηται, εἰς δὲ τὸν ὄρθρον. ἐπεὶ ἀγρυπνία ἐστί, καταλιπὼν τὴν συνήθη παννυχίδα, ἄρξει ἀφ' ἑσπέρας τοῦ ἐξαψάλμου καὶ ποίησον πᾶσαν ἀκολουθίαν μόνον τοῦ Εὐαγγελισμοῦ, καὶ στιχολόγησον τὸν πολυέλεον, καθίσματα λέγομεν, καὶ ἀναγινώσκομεν μετὰ τῶν κανόνων τὰ στιχηρὰ καὶ πάντα ὁμοίως μόνον τοῦ Εὐαγγελισμοῦ. Καὶ μετὰ τὴν τελείαν [1]) τῆς ἀκολουθίας ἐκπλήρωσιν, πρόσθες ἀνάγνωσιν, ὡς συνήθως, εἰς τὸν Πραξαπόστολον, καὶ μετὰ τὸ τέλος τῆς ἀναγνώσεως, κρουομένου τοῦ ξύλου, εἰ μὲν ἔστι παρασκευή, ἄρξαι πάλιν ἑτέρου ἐξαψάλμου καὶ γενέσθω ἡ ἀκολουθία τῶν ἁγίων παθῶν. Εἰ [2]) δὲ μεγάλη κυριακή ἐστί, ποίησον, καθὼς ἐν τῷ Συναξαρίῳ τῆς μεγάλης κυριακῆς διήλειπται τελεῖσθαι πᾶσαν τὴν τῆς ἡμέρας αὐτῆς μόνης ἀκολουθίαν, ψάλλων ἄχρι πρωίας αὐτῆς καὶ μηδὲν μηδόλως τῆς τοῦ Εὐαγγελισμοῦ ἀκολουθίας τῇ τοῦ Πάσχα συνεισενέγκῃς, ἢ τῇ ἀκολουθίᾳ τῆς μεγάλης παρασκευῆς, καὶ γενήσεται ἡ ἀκολουθία ἀτάραχη καὶ ἀπαράλλακτη, κατὰ τὴν τάξιν αὐτῶν. Ὁμοίως καὶ ἐν τῇ λειτουργίᾳ, εἰ ἐστὶν εὐκτήριον τῆς ὑπεραγίας Θεοτόκου [3]), τελεῖται [4]) ἡ προσκομιδὴ καὶ πᾶσα ἡ ἀκολουθία [5]) τοῦ Εὐαγγελισμοῦ. [**л. 88** об.) (Сн. выше стр. 68.

[**л. 115**). Службы четыредесятницы.

---

[1]) Варіанты Τυπικά τ. 1: τὴν τελείωσιν τῆς τοῦ ὄρθρου πάσης ἀκολουθίας ἀπολύει καὶ προτίθεται ἡ ἐν τοῖς Πραξαποστόλοις ἀνάγνωσις καί, πληρωθείσης αὐτῆς, ἄρξαι πάλιν ἕτερον ἐξάψαλμον [2]) ἢ ἐὰν ἐστὶ μεγάλη κυριακὴ τοῦ Χριστος ἀνέστη, καὶ ἀρξάμενος μέχρι πρωίας πλήρωσον πάλιν τὴν ἀκολουθίαν μόνης τῆς ἡμέρας, μηδενὸς μηδόλως τοῦ Εὐαγγελισμοῦ τῇ τῆς ἡμέρας αἱ ἀκολουθίαι (sic) συνεισφερομένου, καὶ γενήσονται αἱ δύο ἀκολουθίαι ἀταράχως καὶ ἀπαραλείπτως κατὰ τὴν τάξιν αὐτῶν [3]) Нѣтъ [4]) τελεσθήτω [5]) τῆς Θεοτόκου ὡς ἐν τάξει προλειτουργίας. Ἐν δὲ τῷ μέσῳ τελεσθήτω μόνη ἡ ἀκολουθία τῆς ἡμέρας ἀκωλύτως. Ὁ κρατῶν καὶ τούτοις ἐντυγχάνων, ἣν θέλεις ἀκολουθίαν ἑλοῦ.

Евангеліе въ первые три дня страстной седмицы читается: Ἀναγινώσκεται δὲ τὸ τετραευαγγέλιον παρὰ τοῦ ἱερέως οὕτω, μὴ ἐξαρκούντων, ἀναγινώσκεται καὶ παρὰ μεγαλοσχήμων, ἢ ἐκκλησιαστικῶν ἀδελφῶν.

О перемѣнѣ индитій въ великій четвертокъ и о началѣ литургіи въ субботу см. Тип. Савв. библ. XV в. № 305. Начало утрени въ первый день Пасхи, а равно и вся служба по Тріодямъ постной и цвѣтной изложена, какъ въ Типиконѣ св. Троицы (XVI в. библ. Савв.),

Типиконъ обрывается службою въ недѣлю всѣхъ святыхъ.

XXXIX. № 1099. Τυπικὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας τῆς εὐαγοῦς λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα τοῦ ἡγιασμένου. Ркп. Синайской библіотеки въ 16 долю, 235 листовъ, на бомбицинѣ, писана прекраснымъ мелкимъ почеркомъ XIV вѣка. Въ концѣ имѣется слѣдующая приписка: Τὸ παρὸν Τυπικὸν ἐγράφη εἰς τὴν μονὴν τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, ἥτις διάκειται πλησίον τοῦ ἐν ποταμοῖς ἁγιωτάτου Ἰορδάνου, διὰ χειρὸς ἐμοῦ Διονυσίου, ἁμαρτωλοῦ τάχα ἱερομονάχου, ἡγουμενεύοντος τοῦ μακαριωτάτου Γρηγορίου ἱερομονάχου, χάριν ἀφέσεως τῶν πολλῶν μου σφαλμάτων· εἴ τις δὲ βουληθῇ ἀποξενῶσαι τοῦτο τῆς τοιαύτης μονῆς, ἵνα κληρονομήσῃ τὰς ἀρὰς τῶν τιη′ θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ καὶ ἡ μερὶς αὐτοῦ μετὰ τοῦ Ἰούδα τοῦ προδότου. Ἀμήν.

[л. 1). Διάταξις σὺν Θεῷ καὶ ὑποτύπωσις τοῦ μικροῦ ἑσπερινοῦ.

[л. 1 об.). Διάταξις τοῦ μεγάλου ἑσπερινοῦ.

[л. 7 об.). Περὶ τῶν ἀγρυπνιῶν τοῦ ἐνιαυτοῦ.

[л. 8). Διάταξις σὺν Θεῷ καὶ ὑποτύπωσις ἐν ἀκριβείᾳ πάσης τῆς ἐκκλησιαστικῆς ἀκολουθίας.

[л. 20). Σύνοψις σὺν Θεῷ καὶ ἀκριβὴς ὑποτύπωσις τῆς ἀκολουθίας τῶν ιβ′ μηνῶν τοῦ ὅλου ἐνιαυτοῦ.

[л. 126). Σύνοψις ἀκριβεστάτη τῆς ἁγίας καὶ μεγάλης καὶ ψυχωφελοῦς τεσσαρακοστῆς.

[л. 186). Ἀκολουθία τοῦ νιπτῆρος.

[л. 189). Μάρκου μοναχοῦ σύνταγμα, πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ Τυπικοῦ.

Здѣсь статьи не раздѣлены на главы, какъ въ Типиконахъ позднѣйшаго времени. Сюда входятъ слѣдующія статьи: 1) Περὶ τῆς ἰνδίκτου καὶ τοῦ ὁσίου Συμεὼν τοῦ στυλίτου въ воскресенье. 2) Обновленіе храма въ воскресенье. 3) О памяти 7 вселенскаго собора. 4) О службѣ суточной въ постъ Рождества. 5) Объ отданіи праздника Введенія во храмъ въ воскресенье. 6) О предпразднествѣ Р. Христова. 7) О недѣлѣ предъ Р. Христовымъ. 8) О недѣлѣ по Р. Христовѣ 26 Декабря. 9) Объ отданіи Р. Христова. 10) О службѣ Обрѣзанія и Василія Великаго въ недѣлю. 11) О предпразднествѣ Богоявленія. 12) О Срѣтеніи въ одну изъ предуготовительныхъ недѣль. 13) Объ отданіи праздника въ эти недѣли. 14) О Срѣтеніи въ субботу мясопустную. 15) О Срѣтеніи въ понедѣльникъ сырной недѣли. 16) О попразднествѣ этого праздника. 17) О Срѣтеніи, если оно придется въ субботу сырную. 18) Объ отданіи этого праздника въ недѣлю сырную. 19) Объ отданіи его въ субботу сырную. 20) Обрѣтеніе главы Іоанна Предтечи въ одну изъ предуготовительныхъ недѣль. 21) Если Обрѣтеніе случится въ одинъ изъ дней сырной недѣли. 22) Если случится въ субботу задушную. 23) Если случится въ субботу сырную. 24) Если случится въ одинъ изъ первыхъ дней первой недѣли. 25) Если случится въ субботу первой недѣли. 26) Въ первую недѣлю поста и въ 3 недѣлю поста. 27) О службѣ 40 мучениковъ въ субботу или воскресенье первой недѣли и въ воскресенье третьей недѣли. 28) Въ субботу акаѳиста. 29) О праздникѣ Благовѣщенія, если онъ случится въ недѣлю крестопоклонную. 30) Въ субботу акаѳиста. 31) Въ 5 недѣлю поста. 32) Въ субботу пр. Лазаря. 33) Въ недѣлю вайй. 34) Въ понедѣльникъ страстной седмицы. 35) Во вторникъ. 36) Въ среду. 37) Въ четвергъ. 38) Въ великую пятницу. 39) Въ великую субботу. 40) Въ Пасху. 41) Въ понедѣльникъ Пасхи. 42) О праздникѣ св. великомученика Георгія въ недѣлю Пасхи. 43) Въ недѣлю Ѳомы. 44) Въ недѣлю муроносицъ. 45) Въ преполовеніе пятидесятницы. 46) Въ недѣлю самарянины. 47) О праздникѣ Іоанна Богослова въ одну изъ послѣпасхальныхъ недѣль (какъ св. Георгію). 48) Въ преполовеніе пятидесятницы. 49) Въ недѣлю самарянины. 50) Въ недѣлю св. Отецъ. 51) Въ празд-

никъ отданія Пасхи. 52) Въ самый праздникъ Вознесенія. 53) О постѣ святыхъ апостоловъ. 54) О Богородичныхъ праздникахъ въ недѣлю. 55) О Господскихъ праздникахъ въ недѣлю. 56) Объ отданіи Господскихъ праздниковъ (въ числѣ ихъ Срѣтеніе и Успеніе). 57) Объ отданіи ихъ въ недѣлю. 58) Объ отданіи Богородичныхъ праздниковъ. 59) О предпразднествахъ и попразднествахъ Господскихъ праздниковъ въ недѣлю. 60) О предпразднествахъ и попразднествахъ ихъ съ двумя святыми. 61) О томъ же въ недѣлю. 62) О предпразднествахъ и попразднествахъ и о памяти двухъ святыхъ съ двумя кондаками. 63) О предпразднествахъ Господскихъ праздниковъ и попразднествахъ ихъ съ поліелеемъ. 64) О стихо́словіи «Честнѣйшую.» 65) О тропаряхъ праздниковъ и случившихся святыхъ. 66) О тропаряхъ святыхъ въ недѣлю. 67) О предпразднествахъ, попразднествахъ и о святомъ съ тропаремъ въ недѣлю. 68) О святомъ съ бдѣніемъ въ недѣлю. 69) О канонахъ за упокой. 70) О тропаряхъ на повечеріяхъ. 71) О тропаряхъ двухъ Господскихъ праздниковъ въ недѣлю. 72) О Богородичныхъ въ субботу и недѣлю. 73) О святомъ въ среду и пятницу, имѣющемъ стихиры на 8 и поліелей. 74) О святомъ въ тѣ же дни съ стихирами на 6, съ «Блаженъ мужъ» и поліелеемъ. 75) О святомъ, имѣющемъ входъ. 76) О святомъ, имѣющемъ евангеліе на утрени, «Господеви поемъ» не поемъ. 77) О литіяхъ на цѣлый годъ утромъ и вечеромъ. 78) О святомъ съ поліелеемъ и стихирами на 8-мь въ субботу. 79) О канонахъ въ недѣлю и другіе дни седмицы.

Два листа въ началѣ рукописи и два въ концѣ содержатъ въ себѣ отрывки изъ Марковыхъ главъ, писанные тѣмъ же писцомъ.

Первая часть Типикона безъ раздѣленій на части и ничего особеннаго не заключаетъ. Вторая синаксарная тоже самое, если не считать нѣкоторыхъ указаній на обычаи другихъ уставовъ. Тріодныя службы тоже обычны, но здѣсь есть и нѣсколько интересныхъ замѣчаній: Ἰστέον δέ, ὅτι ἐν τούτοις τοῖς τροπαρίοις τῶν ὡρῶν εὑρήσεις ἰσότητα· λέγουσι γὰρ ἕκαστος ἣ βούλεται, καὶ διὰ τοῦτο γέγονε σύγχυσις ἐν ταῖς μεταγραφαῖς, ἑκάστου τὸ οἰκεῖον τιθέντος. — На преждеосвященной литургіи αἴρει δὲ τὰ καλύμματα ὁ ἱερεὺς

ἐκ τῶν ἁγίων, ἤτοι τὸν ἀέρα· οὕτω γὰρ ὀνομάζεται ἐν τοῖς τῶν Ἱεροσολύμων μέρεσι, καὶ σκεπάζει τὴν ἀναφοράν.—Παρελάβομεν ἐν τῇ Παλαιστίνῃ ἐν τοῖς ἰδίοις κελλίοις ψάλλειν τὸ Ψαλτήριον... Въ пятидесятницу на первомъ чтеніи читали только Дѣянія. Καὶ ὅταν πληρωθῶσι, πάλιν ἀρχόμεθα αὐτῶν. Что касается Марковыхъ замѣчаній, то они здѣсь не подраздѣлены на главы, соглашены съ Синаксаремъ и по составу во многомъ разнятся отъ позднѣйшихъ главъ, такъ какъ ближе стоятъ къ замѣчаніямъ въ Синаксарѣ. Такъ, напр., излагается въ Марковыхъ главахъ начало утрени на Пасху въ Благовѣщеніе. Послѣ полунощницы καὶ ἀνάγνωσις τῆς ἡμέρας καὶ ἑρμηνεία, καθὼς διαλαμβάνει τὸ Τυπικόν. Μετὰ τὸ τελεσθῆναι ἅπασαν τὴν ἀκολουθίαν ἔξω τοῦ νάρθηκος, καὶ τῶν πυλῶν ἀνοιγομένων, τῶν λαμπάδων προπορευομένων καὶ ἀδελφῶν ψαλλόντων τὸ Καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος, τοῦ ἱερέως εἰσελθόντος ἐν τῷ ἱερατείῳ, δοξάζομεν εἰς ἦχον δ′ καὶ λέγομεν τὸ τροπάριον τῆς ἑορτῆς, ἦχος δ′ Σήμερον σωτηρίας, Καὶ νῦν, τὸ αὐτό, εἶθ' οὕτω συναπτὴ [л. 222). О службѣ св. Георгію великомученику здѣсь замѣчено, что ἐνταῦθα γέγραπται ἔν τισιν, ὅτι, εἰ θέλει ὁ προεστώς, ποιεῖ ἀγρυπνίαν, а изложеніе случаевъ для нея начинается съ недѣли пасхальной. Что касается другихъ главъ, напр., службы Благовѣщенія въ недѣлю ваій и въ другіе дни, то Маркъ почти дословно повторяетъ особенности Синаксаря въ своихъ главахъ.

XL. № 96. Α. Τυπικόν (заглавіе обычное), ркп. библ. лавры пр. Аѳанасія Аѳонскаго въ 4 долю листа писана мелкимъ почеркомъ XIV в. Въ рукописи есть нѣсколько замѣтокъ владѣльцевъ рукописи о кончинѣ и о постриженіи монаховъ. Самое раннее замѣчаніе относится къ ͵ςωνζ′ = 1349. Составъ обычный. Первая часть безъ раздѣленій на главы. Марковыя главы. Имѣется 264 листа во всей рукописи.

XLI. № 309. Рукопись безъ начала патріаршей библіотеки въ Іерусалимѣ въ 16 долю листа, 221 листъ, писана на бомбицинѣ почеркомъ XIV вѣка. Начинается рукопись словами: Ὁ δὲ ἱερεὺς μετὰ τοῦ κανδηλάπτου, ἐξελθὼν τοῦ ἁγίου θυσιαστηρίου καὶ ποιήσας μετάνοιαν κατέναντι τῶν ἁγίων

θυρῶν . . . т. е. чиномъ всенощнаго бдѣнія. Вся первая часть подѣлена на обычныя главы, при чемъ въ изложеніи ихъ сдѣлано по бокамъ рукописи немало замѣчаній, выписанныхъ изъ разныхъ Типиконовъ. Такъ, напр., на [**л. 8.**): Ἐν τῷ τοῦ Ἰγνατίου καὶ τῆς Περιβλέπτου οὕτως· Ἰστέον, ὅτι ὁ ταχθεὶς μοναχός, ψάλλων τὸ προκείμενον, ὁ αὐτὸς ἀναγινώσκει καὶ τὰς προφητείας καὶ τα ἑξῆς [**л. 8** об.). Ἐν τῷ τοῦ Ἰγνατίου καὶ τῆς Περιβλέπτου, ὁ ψάλλων τὸ προκείμενον, τὸ Θεὸς Κύριος καὶ τὰ λοιπά, ἀναγινώσκει καὶ ἐν τῇ τραπέζῃ. Тамъ же. Ἰστέον καὶ τοῦτο, ὅτι τινὰ τῶν ἀντιγράφων ἐν τῇ τελευταίᾳ εὐχῇ τῆς ἀπολύσεως ἀσκεπεῖς ἡμᾶς ἵστασθαι λέγουσιν. [**л. 10** об.). Δεῖ εἰδέναι, ὅτι ἔν τισι τῶν μοναστηρίων, ὅτε ἔστι Θεὸς Κύριος, οὐ ψάλλονται ἐν τῇ συνάξει τὰ μεσώρια, ἐπεὶ οὔτε τὰ συνήθη προκείμενα λέγομεν, οὔτε μετανοίας ποιοῦμεν, ἀλλὰ χωρὶς μετανοίας ψάλλομεν τὰς ὥρας, λέγοντες καὶ τὸ τροπάριον τοῦ ἑορταζομένου ἁγίου. Οὕτω δὴ γίνεσθαι ὀφείλει ἐν πάσαις ταῖς δευτέραις, ταῖς τετράσι τε καὶ ταῖς παρασκευαῖς τοῦ ὅλου χρόνου. Τὸ μετὰ τῶν μακαρισμῶν, οὔτε ἐν τῷ τοῦ Ἰγνατίου, οὔτε ἐν τῷ τῆς Περιβλέπτου εὗρον. Ἐν τοῖς αὐτοῖς Τυπικοῖς εὕρηται· καὶ πάλιν ἀπερχόμεθα ἐν τοῖς ψιαθίοις καὶ ἱστάμεθα κατὰ τὴν προτέραν τάξιν, λέγοντες τὸ Μνήσθητι ἡμῶν, Κύριε [**л. 12** об.). Ἐν τῷ τοῦ Ἰγνατίου καὶ τῆς Περιβλέπτου. ἐν τῷ ὄρθρῳ συνήθως ὁ ἑξάψαλμος χωρὶς τοῦ Τρισαγίου κτλ. См. у Κεραμ.-Παπαδ. Ἱεροσολυμ. βιβλιοθ. τ. β', σελ. 437—438.

[**л. 14**). Ἡ ἀκολουθία τῆς ἐκκλησιαστικῆς συνάξεως καὶ ψαλμῳδίας τοῦ ὅλου ἐνιαυτοῦ, ἀρχομένη ἀπὸ τοῦ μηνὸς Σεπτεμβρίου καὶ καταλήγουσα εἰς τὸν αὐτὸν Σεπτέμβριον.

Здѣсь имѣются такія же замѣчанія, какъ и въ первой части: [**л. 16**) Ἐν μόνῳ τῷ τοῦ Φωτίου τὰ τοπικὰ καὶ ἐκ τῶν κανόνων τῶν ἁγίων ἡ γ' καὶ ἡ ϛ' ᾠδή. — Ἐν μόνῳ τῷ τοῦ Ἰγνατίου καὶ ὁσιακὸν εὕρηται εὐαγγέλιον. — [**л. 21**). Ἰστέον, ὡς ὁ Πετρινὸς ἐν τῇ παννυχίδι ψάλλει τὴν ἀκολουθίαν τοῦ Χρυσοστόμου, ὥστε, ὅταν δόξῃ ψάλλειν τὴν τοιαύτην παννυχίδα εἰς τιμὴν τοῦ ἁγίου κατὰ τὴν 13 Σεπτεμβρίου μηνὸς ἀντὶ τοῦ μεσονυκτικοῦ, οὐκ ἀπὸ σκοποῦ γενήσεται ἡ διάκρισις. [**л. 22**). Δεῖ γινώσκειν, ὅτι τὸ Κύριε ἐλέησον ἐν ταῖς κατὰ πόλιν (Солунъ) ἐκκλησίαις καὶ ἐν τοῖς μοναστηρίοις πεντακόσια ψάλλεται (на пятомъ воздвиженіи креста), ἐν δὲ τῇ ἁγίᾳ Σοφίᾳ ἐν Θεσσαλονίκῃ χίλια διακόσια ἑβδομήκοντα ἕν. [**л. 26**). Ἰστέον, ὅτι ψαλλόμενα θεοτοκία (26 Сентября) πρὸς τὴν τάξιν τῆς Ὀκτωή-

χου εἰσί· δύο γὰρ εἰσὶ τὰ παρ' αὐτοῦ τοῦ Δαμασκηνοῦ ποιηθέντα καὶ δογματικόν, ἃ καὶ ψάλλειν, δοκεῖ μοι καλόν, τὸ μὲν ἓν ἐν τῷ μικρῷ ἑσπερινῷ, τὸ δὲ ἕτερον ἐν τῇ λιτῇ· οὐδὲ γὰρ ἐᾶσθαι ταῦτα τῶν ἐνδεχομένων ἐστίν, ἢ ὡς ἐν παραβύστῳ ἐν ἄλλαις ἡμέραις ψάλλεσθαι, πῶς δὲ παρηκολούθησε τὸ τρίτον ἀντὶ τοῦ πρώτου ψάλλεσθαι καὶ ἐν τῷ μεγάλῳ ἑσπερινῷ ὡς πρῶτον ψάλλεσθαι, οὐκ οἶδα· νομίζω δὲ ὅμως, ὅτι διὰ τὸ ὑπεραῖρον ἐν τούτῳ τῶν δογμάτων οὐ συναριθμεῖσθαι τοῖς ἄλλοις θεοτοκίοις ὁ τυπικάρης ἠβουλήθη, ἐπεὶ ὁ Εὐεργετινὸς καὶ ὁ Πετρινὸς ἐν τῷ ἑσπερινῷ ἓν ἐκ τῶν δύο ψάλλουσι, καὶ τοῦτο λέγουσι πρῶτον. — [л. 36). Подъ 8 Ноября Τὸ πολυέλεον ἐν μόνῳ τῷ τοῦ Ἰσαὰκ εὗρον καὶ τοὺς ἀναβαθμοὺς καὶ εὐαγγέλιον.

Въ Іюлѣ мѣсяцѣ имѣется предпразднество и попразднество памяти св. Аѳанасія Аѳонскаго (л. 89 об.—91). Замѣчаніе: Τῇ αὐτῇ θ' (Іюля) μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Φωτίου, τ ο ῦ κ τ ί τ ο ρ ο ς τ ῆ ς μ ο ν ῆ ς τ ο ῦ Ἀ κ α π ν ί ο υ [л. 91).

[л. 101 об.). Περὶ τῶν ἑορτῶν, ἐν αἷς ψάλλεται τὸ Θεὸς Κύριος, καὶ περὶ μεγάλων ἑορτῶν καὶ μέσων καὶ μικρῶν.

Есть замѣчаніе по поводу совершенія чина водоосвященія въ праздникъ Богоявленія. Χρὴ καὶ τοῦτο γινώσκειν ἡμᾶς, ὅτι τὸ Τυπικὸν τῆς Μεγάλης Ἐκκλησίας ἅπαξ προτρέπει φ ω τ ί ζ ε ι ν ἐ ν τ ῷ ἑ σ π ε ρ ι ν ῷ κ α ὶ μ ό ν ῳ, καὶ τὰ Τυπικὰ δὲ ὁμοίως τῶν εὐαγῶν μονῶν, ἤγουν τοῦ Στουδίου καὶ τῶν ἐν τοῖς Ἱεροσολύμοις, ἑσπέρας, καὶ μόνον, προτρέπει, νῦν δὲ ὁρῶμεν τινὰς καὶ ἑσπέρας καὶ πρωῒ τοῦτο ποιοῦντας ἄ ν ε υ γ ρ α φ ι κ ῆ ς μ α ρ τ υ ρ ί α ς, ο ὐ κ ὀ ρ θ ῶ ς δ η λ ο ν ό τ ι· ὁ Χ ρ ι σ τ ὸ ς γ ὰ ρ ἅ π α ξ κ α ὶ ο ὐ χ ὶ δ ὶ ς ἐ β α π τ ί σ θ η [л. 103 об.).

[л. 103). Ἡ ἀκολουθία τῆς ἁγίας καὶ μεγάλης τεσσαρακοστῆς. Эта часть также съ извлеченіями изъ Типиконовъ по полямъ. О недѣлѣ мытаря и фарисея замѣчено: ἐν μόνῳ τῷ τ ο ῦ Ἰ σ α ὰ κ τὸ πολυέλεον εὕρηται [л. 103 об.).

Ἔν τισι δὲ τῶν Τυπικῶν εὑρίσκομεν γίνεσθαι καὶ προηγιασμένην ἐν ταῖς τοιαύταις ἡμέραις, εἴπερ ἐν μιᾷ τούτων τύχοι γενέσθαι τὴν ἑορτὴν τοῦ ἁγίου Τρύφωνος, καί, οὐκ οἶδα, εἰ γίνεται [л. 104 об.).

Χρὴ γινώσκειν, ὅτι διὰ πάσης τεσσαρακοστῆς οὐκ ἀσπάζεται, ὡς κατὰ συνήθειαν, ἐν τῷ κοινωνεῖν ὁ ἱερεὺς εἰς τὸ πρόσωπον, ἀλλ' εἰς τὴν χεῖρα καὶ τὸν ὦμον, πλὴν σαββάτου καὶ κυριακῆς. Ἐν δὲ τῇ ἑνώσει τῶν ἁγίων ποτηρίων βάλλεται καὶ ὕδωρ καὶ θερμόν. Μετὰ δὲ τὴν

ἀπόλυσιν τῶν προηγιασμένων, εἰσερχόμεθα εἰς τὴν τράπεζαν, ἤγουν τῇ δ', καὶ ἐσθίομεν ξηροφαγίαν, πίνοντες καὶ ζωμὸν σὺν μέλιτος [л. 116 об.).

Δεῖ εἰδέναι, ὅτι ἐφ' ὅλην τὴν ἁγίαν τεσσαρακοστὴν ἅπαξ παρελάβομεν ἰχθύας ἐσθίειν τῇ ἑορτῇ μονῇ τοῦ Εὐαγγελισμοῦ, τινὰ δὲ τῶν Τυπικῶν ὁρίζουσι τοῦτο καὶ ἐν τῇ τῶν Βαΐων, οὐχ εὑρίσκεται δὲ ἐν τοῖς κανόσιν· εἰ γὰρ καὶ τῆς κατὰ τοῦ ἅδου νίκης σύμβολον ἡ τῶν Βαΐων φέρει ἑορτή, ἀλλὰ καὶ τῶν ἁγίων τοῦ Σωτῆρος παθῶν προεόρτιον ἔχει τὴν δήλωσιν, διὸ καὶ οὐδὲ παρὰ τῶν κανόνων λυομένην τὴν ἰχθυοφαγίαν εὑρίσκομεν τῇ τοιαύτῃ ἡμέρᾳ, ἀλλ' ἢ μόνον ἐν ἑορτῇ τοῦ Εὐαγγελισμοῦ [л. 119 об.).

[л. 166 об.). Μάρκῳ ἱερομονάχῳ σύνταγμα, πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ Τυπικοῦ. 95 главъ. Съ боку также имѣются краткія замѣчанія изъ Типиконовъ Игнатія, Фотія, Перивлепта и Исаака.

[л. 208). Εὐχή, ἣν εὔχεται ὁ πνευματικὸς πατὴρ ὑπὲρ πνευματικοῦ αὐτοῦ παιδός, ἐξομολογηθέντος αὐτῷ τὰ ἴδια ἁμαρτήματα· Κύριε, Ἰησοῦ Χριστέ, Υἱὲ καὶ Λόγε τοῦ Θεοῦ τοῦ ζῶντος, ποιμὴν καὶ ἀμνέ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Goar. Εὐχολογ. pag. 536.

[л. 209—210). Ἡ ἀκολουθία τῆς ἁγίας μεταλήψεως· Βασιλεῦ οὐράνιε, τὸ Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, Κύριε ἐλέησον, δωδεκάκις, Δεῦτε προσκυνήσωμεν, τρίς, ὁ ν'· Ἐλέησόν με ὁ Θεός, Πιστεύω εἰς ἕνα Θεόν, Τοῦ δείπνου σου τοῦ μυστικοῦ, Κύριε ἐλέησον, τεσσαρακοντάκις, μετάνοιαι ιε' καὶ ἡ παροῦσα εὐχὴ τοῦ Μεγάλου Βασιλείου· Δέσποτα Κύριε, Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἡ πηγὴ τῆς ζωῆς καὶ τῆς ἀθανασίας, ὁ πάσης ὁρατῆς καὶ ἀοράτου κτίσεως δημιουργός, ὁ τοῦ ἀνάρχου πατρὸς συναΐδιος Υἱὸς καὶ συνάναρχος, ὁ δι' ὑπερβολὴν ἀγαθότητος ἐπ' ἐσχάτων τῶν χρόνων σάρκα φορέσας, καὶ σταυρωθεὶς καὶ τυθεὶς ὑπὲρ τῶν ἀχαρίστων ἡμῶν, καὶ τῷ οἰκείῳ σου αἵματι ἀναπλάσας τὴν φθαρεῖσαν ὑπὸ τῆς ἁμαρτίας φύσιν ἡμῶν, αὐτός, φιλάνθρωπε βασιλεῦ, πρόσδεξαι κἀμοῦ τοῦ ἁμαρτωλοῦ τὴν μετάνοιαν . . . Τοῦ Χρυσοστόμου· Κύριε, οἶδα, ὅτι οὐκ εἰμὶ ἄξιος οὐδὲ ἱκανός, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς τοῦ οἴκου τῆς ψυχῆς, διότι ὅλη ἔρημος καὶ καταπεσοῦσά ἐστι, καὶ οὐκ ἔχεις παρ' ἐμοὶ τόπον ἄξιον τοῦ κλῖναι τὴν κεφαλήν. . . Ἀπερχόμενος δὲ μεταλαβεῖν λέγε οὕτω· Δέσποτα φιλάνθρωπε, μὴ εἰς κρῖμά μοι γένοιτο τὰ ἅγια ταῦτα, ἀλλ' εἰς κάθαρσιν καὶ ἁγιασμὸν ψυχῆς τε καὶ σώμα-

τος... Εὐχὴ μετὰ τὴν ἁγίαν μετάληψιν τοῦ Μεγάλου Βασιλείου· Εὐχαριστῶ σοι, Κύριε Ἰησοῦ Χριστὲ Θεοῦ, ὅτι οὐκ ἀπῶσω με τὸν ἁμαρτωλόν, ἀλλὰ κοινωνὸν γενέσθαι με τῶν ἁγιασμάτων σου καταξιώσας. . . Χρυσοστόμου· Εὐχαριστῶ σοι, φιλάνθρωπε, ὅτι διὰ τὴν πολλήν σου ἀγαθότητα ἠνέσχου κοινωνόν με γενέσθαι τοῦ ἀχράντου σώματος καὶ τοῦ τιμίου αἵματος, καὶ οὐκ ἐβδελύξω ὡς μεμολυσμένον, οὐδὲ ὡς τῆς ὑποδοχῆς τοῦ ἁγιασμοῦ ἀνάξιον ἀοράτῳ σου καὶ θεία δυνάμει ἀπώσω. . . Τοῦ αὐτοῦ· Τοῦ ἀχράντου σώματος καὶ τοῦ τιμίου αἵματός σου μυστικῶς ἀξιωθεὶς γενέσθαι συμμέτοχος, εὐχαριστῶ, ἀνυμνῶ, προσκυνῶ, δοξάζω, μεγαλύνων τὰς σωτηρίας σου, Κύριε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Κύριε ἐλέησον γ'. Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν. . . ἐλέησαν ἡμᾶς.

[л. 211). Отрывки словъ аскетическаго содержанія неизвѣстныхъ авторовъ. Письмо XIII вѣка.

[л. 214 об.). Τοῦ ἁγίου Μαξίμου λόγος ἀσκητικὸς κατὰ πεῦσιν καὶ ἀπόκρισιν.

XLII. № 447. Τυπικόν, (безъ начала), ркп. Аѳона-Діонисіатской библіотеки въ 4 долю, 270 листовъ, писана скорописью XIV в. на бомбицинѣ. Первой части нѣтъ. Мѣсяцесловъ начинается 24 числомъ Сентября. Есть ссылки на Типиконъ Петры. Говорится о поздравленіи игумена братіею обители наканунѣ Рождества Христова и Богоявленія, о предпразднествѣ и попразднествѣ Аѳанасію Аѳонскому, на самый праздникъ коего положено совершать бдѣніе. Въ Тріоди особеннаго ничего нѣтъ. Марковыя главы обрываются на 65 главѣ. Конца Типикона не имѣется. Въ Типиконѣ записаны панихиды по ктиторамъ (позднѣйшею рукою) тѣ самыя, которыя отмѣчены нами въ соборномъ, нынѣ практикуемомъ въ Аѳоно-Діонисіатской обители Типиконѣ. (См. ниже).

XLIII. № 54. Τυπικὸν (начала нѣтъ), рукопись библ. Чаушскаго монастыря въ Солунѣ въ 16 долю листа, 161 листъ, писана на тонкомъ пергаменѣ мелкимъ четкимъ почеркомъ XIV вѣка. Типиконъ не имѣетъ первой вводной части и изъ Мѣсяцеслова не достаетъ службъ съ 1-го Сентября до праздника Рождества Христова, т. е. до 25 Декабря. Въ наличной части Синаксаря ничего нѣтъ особеннаго.

Составъ службъ по Тріодямъ постной и цвѣтной обычный. Въ Пентикостарій вставлено нѣсколько листовъ, писанныхъ рукою XVI в. Статья: Μάρκῳ, ἁμαρτωλῷ ἱερομονάχῳ, σύνταγμα, πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ Τυπικοῦ, состоитъ изъ 94 главъ. Въ заключеніи имѣются статьи: a) Περὶ τῶν ἡμερῶν τῆς ἑβδομάδος, πῶς ψάλλονται οἱ κανόνες αὐτῶν μετὰ τῶν θεοτοκίων, b) εὐχή, λεγομένη ἐπὶ πάσας ὀπώρας, c) Ἀκολουθία τῆς ζύμης и д. Ἀπολυτίκια διάφορα τῶν ἁγίων μαρτύρων.

Настоящій Типиконъ замѣчателенъ, во-первыхъ, тѣмъ, что нерѣдко въ немъ дѣлаются указанія на особенности практики лавры Преподобнаго Саввы Освященнаго, а, во-вторыхъ, на поляхъ его разсѣяно весьма много замѣчаній, выбранныхъ писцомъ рукописи изъ другихъ Типиконовъ, а также замѣчаній, имѣющихъ личный характеръ. Вотъ эти замѣчанія для примѣра: Ἰστέον, ὅτι εὑρίσκεται ἐν τῷ Τυπικῷ τῆς Πέτρας περὶ τοῦ Εὐαγγελισμοῦ. (См. ркп. 1528 г. моей библ.).

Χρὴ γινώσκειν, ὅτι, εἰ συμβῇ τῷ σαββάτῳ τῆς ἀκαθίστου μετὰ τὰ ἀπόδειπνα, δοκεῖ μοι, εἶναι μᾶλλον ψάλλεσθαι τὸν κανόνα τῆς ἀκαθίστου μετὰ τοῦ τετραῳδίου τοῦ σαββάτου καὶ οὕτω γίνεσθαι τὴν λιτὴν καὶ τὴν ἄλλην πᾶσαν ἀκολουθίαν τῆς ἀγρυπνίας τῆς ἑορτῆς, κἂν καὶ οὐχ ὁρίζει. Εἰ σαββάτῳ τύχοι, μὴ ψάλλειν и т. д.

Ὅρα ἐν ταύτῃ τῇ ἡμέρᾳ πῶς οὐχ ὁρίζει ἀγρυπνίαν, διὰ τὴν ἀγρυπνίαν, οἶμαι, τῆς κυριακῆς τῶν βαΐων· ταύτην γὰρ νωχελῶς γενέσθαι ἀδύνατον.

Οἶμαι, ὅτι, καὶ ὁ ναὸς εἰ ἔστιν εἰς ὄνομα τῆς Θεοτόκου, οὐ μὴ γένηται ἀγρυπνία· ἀδιάκριτον γὰρ αἱ β′ ἀγρυπνίαι κατὰ διαδοχήν· τῷ δὲ μεγάλῳ σαββάτῳ μὴ γενέσθαι ἀγρυπνίαν, ἐπιφωσκούσης τῆς μεγάλης κυριακῆς, ἀδύνατον καὶ ἐν ταύτῃ πάλιν τῇ μεγάλῃ κυριακῇ ἀγρυπνίαν, βαρὺ καὶ παντελῶς ἀδιάκριτον, καὶ ταῦτα μεσούσης μεγάλης παρακλήσεως ἀπὸ μειζοτέρας νηστείας.

Ἐν τισι τῶν Τυπικῶν εὑρίσκεται γίνεσθαι καὶ προηγιασμένας ταῖς τοιαύταις ἡμέραις, εἴπερ ἐν μιᾷ τούτων τύχοι γίνεσθαι τὴν ἑορτὴν τοῦ ἁγίου Τρύφωνος, οὐκ οἶδα δέ, εἰ γίνεται.

Εἰς τὴν λάβραν τοῦ Σάββα μόνον τὸν τρίψαλμον σὺν τῇ γ′ ὥρᾳ ὁμοίως καὶ τὰς λοιπὰς ὥρας μετὰ ἑνὸς ψαλμοῦ, ὅταν στιχολογοῦσιν.

Δεῖ γινώσκειν, ὅτι εἰς τὴν λαύραν τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα

εἰς τὴν πρώτην ὥραν λέγομεν τὴν προφητείαν, διὰ τὸ μὴ πάντας συνάγεσθαι εἰς τὰς λοιπὰς ὥρας.

Τινὰ τῶν Τυπικῶν, μετὰ τὰς γ' μετανοίας, ὁρίζουσι λέγεσθαι τὴν εὐχὴν τὴν Δέσποτα Κύριε, Ἰησοῦ Χριστέ, εἰ καὶ πρὸ τούτων εὐχὴν τὴν Ὁ ἐν παντὶ καιρῷ, οὐ δηλοῦσιν, οὐκ οἶδα πῶς.

Ἰστέον, ὅτι τὸ Κελεύσατε, οὐχ ὁρῶμεν γινόμενον πάντοτε, οὔτε περὶ τοῦ κανδηλάπτου, οὔτε περὶ τοῦ διακόνου, ὡς ἔν τισι δηλούμενον εὑρίσκομεν, τινὰ δὲ τῶν Τυπικῶν λέγουσι γίνεσθαι περὶ τοῦ διακόνου ἔξω τοῦ βήματος, ὅπερ οὐ δοκεῖ μοι ἐνδεχόμενον, ὄντος ἱερέως, ἐκφωνεῖν τὸν διάκονον.

Ἰστέον, ὡς ἔν τισι τῶν Τυπικῶν, ἰδίως τὴν σήμερον, οἱ πρόσφοροι τῇ ἡμέρᾳ ἐν ταῖς ὥραις ψαλμοί, ἐν δὲ τοῖς ἀκριβεστέροις τῶν Τυπικῶν οὐ δηλοῦται τοῦτο, ὅτε οἱ συνήθεις ψαλμοὶ ἀναγκαιότεροι τῶν ἰδιορρύθμων δοξάντων τισίν.

Ἐν δέ τισι τῶν μονῶν οὐδὲ ψάλλονται αἱ ὧραι εἰς τὸν μέσον πρὸ τῆς λειτουργίας, ἀλλὰ μετὰ τὴν ἀπόλυσιν τῆς λειτουργίας, εἰ γένηται τὴν τάξιν αὐτῶν.

XLIV. № 785. Ἀρχὴ σὺν Θεῷ. Τυπικὸν τῆς ἐκκλησιαστικῆς π α ρ α δ ό σ ε ω ς κ α ὶ ἀ κ ο λ ο υ θ ί α ς τῆς ἐν Ἱεροσολύμοις ἁγίας λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα τοῦ ἡγιασμένου. Αὕτη δὲ ἡ ἀκολουθία γίνεται καὶ ἐν ταῖς λοιπαῖς τῶν ἐν Ἱεροσολύμων ἁγίων μονῶν. Рукопись Ватиканской библіотеки въ 24 долю, 142 листа, писана на пергаменѣ скорописью XIV вѣка (Toscani. Ad Typica graecorum, pag. 7 относитъ эту рукопись къ XV или XVI в.) Писецъ рукописи назвалъ свое имя въ слѣдующей приписке: Πόνος Μ α ν ο υ ή λ, ἀλιτροῦ Κεραμέους, δούλου ταπεινοῦ τῆς ψυχὴν εὐγενίας [л. 169).

Составъ рукописи:

[л. 1). Τοῦ ἁγίου Βασιλείου ἐπιτίμια μοναζουσῶν 18.

[л. 3). Εἴδησις τοῦ μικροῦ ἑσπερινοῦ.

[л. 3 об.). Διάταξις τῆς ἀγρυπνίας.

[л. 9). Εἴδησις τῶν ἀγρυπνιῶν τοῦ ὅλου ἐνιαυτοῦ.

[л. 9 об.). Ἔκφρασις ἐν ἐπιτομῇ τῆς ἐκκλησιαστικῆς διατάξεως τῶν ἐν Ἱεροσολύμοις ἁγίων μοναστηρίων.

Эта часть вводная безъ раздѣленія на главы. Новыя статьи начинаются: Δεῖ γινώσκειν, Χρὴ εἰδέναι, Ἰστέον и т. д.

[л. 19). Ἀκολουθία τῆς ἐκκλησιαστικῆς ψαλμῳδίας τε καὶ τάξεως τοῦ ὅλου ἐνιαυτοῦ, ἀρχομένη ἀπὸ μηνὸς Σεπτεμβρίου μέχρι μηνὸς Αὐγούστου.

15 Декабря. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Παύλου ἐν τῷ Λάτρῳ.

Часы подъ Рождество, Крещеніе и въ великую пятницу съ обычными псалмами.

Упоминается служба трехъ святителей, приписываемая Іоанну Евхаитскому.

[л. 95 об.). Ἀκολουθία τῆς ἁγίας καὶ μεγάλης τεσσαρακοστῆς. Изложеніе обычное, но есть особенность въ великой субботѣ. Выходъ съ Евангеліемъ дѣлаетъ священникъ въ бѣлыхъ одеждахъ, и послѣ входа поютъ или «Благообразный Іосифъ», или «Содержай концы».

[л. 140). Воскресные прокимны предъ апостоломъ 8 гласовъ, аллилуаріи, недѣльные аллилуаріи, прокимны и причастны, прокимны воскресные предъ евангеліемъ и свѣтильны восьми гласовъ.

[л. 139). Περὶ τοῦ πῶς δεῖ θυμιᾶν.

XLV. № 326 (937). Τυπικὸν τῆς ἐκκλησιαστικῆς διατάξεως τῆς ἐν Ἱεροσολύμοις ἁγίας λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα. Αὕτη δὲ ἡ ἀκολουθία καὶ ἐν τοῖς λοιπαῖς τῶν ἐν Ἱεροσολύμοις ἁγίων μονῶν. Рукопись Авоно-Ватопедской библ. въ 16 долю, 135 листовъ, писана плохою скорописью XIV—XV вѣка. На рукописи есть подпись Арсенія Суханова.

[л. 1). Εἴδησις τοῦ μικροῦ ἑσπερινοῦ.

— Περὶ τῆς ἀγρυπνίας διάταξις, πῶς ὀφείλει τοῦ ὅλου ἐνιαυτοῦ ψάλλειν.

[л. 8). Εἴδησις τῶν ἀγρυπνιῶν τοῦ ὅλου χρόνου.

[л. 9). Ἔκφρασις ἐν ἐπιτομῇ τῆς ἐκκλησιαστικῆς διατάξεως τῶν ἐν Ἱεροσολύμοις ἁγίων μοναστηρίων.

[л. 19 об.). Αὕτη ἡ ἀκολουθία ψάλλεται ἐν τοῖς σάββασιν, ἐν οἷς γίνεται Ἀλληλούια

[л. 20 об.) Службы по Мѣсяцеслову.

[л. 88). Ἀκολουθία τῆς ἁγίας καὶ μεγάλης τεσσαρακοστῆς.

[л. 134). Εἴδησις περὶ τοῦ πῶς δεῖ θυμιᾶν τὸν ἱερέα.

[л. 135). Ἀλληλουάρια τὰ ἄμνημα.

— Ἕτερα ἀλληλουάρια τὰ ἄμνημα.

Въ первой части дѣленій на главы нѣтъ. Текстъ сходенъ съ Галисійскимъ Типикономъ, но безъ всякихъ замѣчаній и ссылокъ на практику другихъ монастырей. Мѣсяцесловъ большею частію состоитъ изъ однихъ именъ съ «Аллилуія». Службы положены на праздники и на дни важнѣйшихъ святыхъ. Текстъ тріодныхъ службъ сходенъ съ Галисійскимъ Типикономъ лавры пр. Аѳанасія № 99 А.

XLVI. № 161. А Τυπικόν, ркп. библ. лавры пр. Аѳанасія Аѳонскаго въ 16 долю листа, 209 листовъ, писана мелкою скорописью XIV—XV в. Начала нѣтъ. Начинается 17 числомъ Января. Особеннаго ничего не заключаетъ въ себѣ эта рукопись. Въ Синаксарѣ имѣются ссылки на Типиконъ Петры. Марковыхъ главъ 95. Въ прибавленіи находятся тропари, кондаки, богородичны и т. п.

XLVII. Г. α. 11. Τυπικόν, рукопись Крипто-Феррарской близъ Рима библіотеки (0,15 × 0,11) писана на бомбицинѣ небрежною скорописью XIV—XV в. Листовъ въ рукописи, во многихъ мѣстахъ деффектной, нынѣ считается 149. Поля ихъ испещрены нерѣдко замѣчаніями иной практики, хотя эти примѣчанія можно читать съ большими усиліями. Конца въ рукописи не имѣется, и Типиконъ оканчивается службою въ постъ св. Апостоловъ. Въ составныхъ своихъ главныхъ частяхъ этотъ Типиконъ ничего достойнаго замѣчанія не содержитъ, хотя и былъ предметомъ вниманія ученаго аббата Ѳеодора Тоскани въ его трудѣ: «Animadversiones ad Typica graeca». Roma 1864 an.

XLVIII. № 386. Τυπικὸν τῆς εὐαγεστάτης μονῆς τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα, περιέχον πᾶσαν ἀκολουθίαν καὶ διάταξιν ἐκκλησιαστικὴν τῶν ἐν Ἱεροσολύμοις σεβασμίων μονῶν. Αὕτη ἡ διάταξις καὶ ἡ ἀκολουθία γίνεται (καὶ) τῶν λοιπῶν ἐν τοῖς Ἱεροσολύμοις ὄντων μοναστηρίων. Рукопись Парижской національной библіотеки (du Fonds) въ 16 долю листа, 278 листовъ, писана на бумагѣ скорописью XIV—XV в. На рукописи имѣются позднѣйшія приписки историческаго характера: 1) Τὸ Τυπικὸν τοῦτο τὸ προσκλονῶ εἰς ἁγίαν Ἀνάστασιν ἐγὼ Θωμᾶς ἱερεὺς καὶ μέγας οἰκονόμος τῆς ἐν Θεσσαλονίκῃ ἁγίας τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, καί, εἴ τις ἀποξενώσῃ

αὐτὸ ἐκεῖθεν, (*ἐκεῖνος*) *νὰ εἶναι ἀφοριζόμενος*; 2) *ἔτους ,ςϠξη΄ ἔπεραν οἱ ἄθεοι ἀγαριανοὶ τὰ νησιὰ Σαμοθράκι καὶ τὴν Τάσσον* [л. **55**) и 3) *,ςϠξα΄ ἰνδικτιῶνος α΄ Θεοδοσίας, ἔπειραν ἡ πόλις οἱ ἄθεοι ἀγαριανοί*. (Очевидно, разумѣется городъ Солунь).

Вводная первая часть безъ раздѣленія на главы и по изложенію сходна съ Типиконами XIII и XIV вѣковъ. Имѣются ссылки и на практику другихъ Типиконовъ.

[л. **29** об.). Мѣсяцесловъ и службы на цѣлый годъ.

[л. **143**). Службы по Тріодямъ постной и цвѣтной.

[л. **221**). *Μάρκῳ ἁμαρτωλῷ σύνταγμα, πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ Τυπικοῦ*.

XV вѣкъ.

XLIX. № 93. Λ *Τυπικόν* (заглавіе вытерто), ркп. библ. лавры пр. Аѳанасія Аѳонскаго въ 4 долю листа, 338 листовъ, писано скорописью 1425 г., какъ видно изъ приписки: *Ἐπληρώθη ἡ παροῦσα δέλτος ,ςϠλγ΄, μηνὶ Ὀκτωβρίῳ, ἰνδ. γ΄*. Первая часть съ раздѣленіями на главы: *Δήλωσις* и *Εἴδησις*. Марковыхъ главъ 86.

L. № 38. Рукопись (Пандекты) Парижской національной библіотеки (Coislian) въ большой александрійскій листъ, 402 листа, писаны чоткимъ почеркомъ 1432 года, какъ значится въ припискѣ этой рукописи въ концѣ: *Ἐπὶ τῆς βασιλείας τῶν πανευσεβεστάτων βασιλέων καὶ αὐτοκρατόρων Ῥωμαίων Ἰωάννου καὶ Μαρίας τῶν Παλαιολόγων ἐγράφη ἡ παροῦσα βίβλος διὰ χειρὸς ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ εὐτελοῦς Διονυσίου ἱεροδιακόνου δι᾽ ἐξόδου καὶ σπουδῆς τοῦ ὁσιωτάτου ἐν μοναχοῖς κὺρ Μελετίου ἐν ἔτει ,ςϠμ*=1432, *μηνὶ Νοεμβρίῳ ι΄, καὶ οἱ ἀναγινώσκοντες καὶ ψάλλοντες ἐν αὐτῇ εὔχεσθε ὑπὲρ ἐμοῦ, διδόντες συγγνώμην τοῖς πολλοῖς μοι σφάλμασιν, ὅτι ἔν τισι μὲν ἐσφάλην ἐκ ῥαθυμίας, ἔν τισι δὲ ἐξ ἀπροσεξίας, τὰ πλείω ἐξ ἀμαθίας, ὁ δὲ τὰ πάντα πληρῶν Θεὸς γένοιτο ἵλεως κἀμοὶ καὶ ὑμῖν, ἀλλὰ δὴ καὶ τοῦ εἰς τοῦτο θεμένου τὴν ἀρχὴν τῆς σπουδῆς, ἐν τῇ φοβερᾷ καὶ ἐνδόξῳ αὐτοῦ δευτέρᾳ παρουσίᾳ, αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Δόξα τῷ ἁγίῳ Θεῷ, τῷ δόντι ἀρχὴν καὶ τέλος. Ἐγράφη ἐν τῇ ἐμῇ μονῇ τῇ μεγάλῃ λαύρᾳ, τῇ συγκειμένῃ τῷ τοῦ Ἄθωνος ὄρει*. [л. **402** об.). Какъ на выходныхъ листахъ, такъ и внутри рукописи сдѣлано

весьма много приписокъ позднѣйшихъ рукъ, удостовѣряющихъ принадлежность данной рукописи Аѳонской лаврѣ и заклинающихъ ея переносъ въ другое мѣсто. Рукопись заключаетъ въ себѣ выдержки изъ Типикона и полныя Тріоди постную и цвѣтную.

[л. 1). Τυπικὸν τῆς ἁγίας καὶ μεγάλης τεσσαρακοστῆς (Монфаконъ pag. 112 читаетъ: μονῆς), ἀρχόμενον τῇ κυριακῇ τοῦ τελώνου καὶ τοῦ φαρισαίου ἄχρι τῶν Ἁγίων Πάντων.

Въ недѣлю мытаря и фарисея о пѣніи стихиры: «Покаянія отверзи ми двери» не говорится, но μετὰ τὸν ν', ἀντὶ τοῦ Ἀναστὰς ὁ Ἰησοῦς ψάλλομεν, στιχηρὰ ἰδιόμελα ἦχος πλ. β'· Τὰ πλήθη τῶν πεπραγμένων μοι [л. 1). Въ недѣлю блуднаго въ тоже время положено: στιχηρὸν ἰδιόμελον εἰς ἦχον πλ. δ'· Τῆς μετανοίας ἄνοιξόν μοι πύλας. Χρὴ γινώσκειν, ὅτι ταῦτα τὰ δύο ἰδιόμελα, τὸ προγραφὲν ἐν τῇ κυριακῇ τοῦ τελώνου καὶ τοῦ φαρισαίου καὶ τὸ νῦν, ψάλλονται ἓν παρ' ἓν καθ' ἑκάστην κυριακὴν μετὰ τὸν ν', ἀντὶ τοῦ Ἀναστὰς ὁ Ἰησοῦς, μέχρι καὶ τῆς πέμπτης κυριακῆς τῶν ἁγίων νηστειῶν [л. 1 об.). Монахи цѣлуютъ иконы въ своихъ стасидіяхъ [л. 5). О будителѣ говорится въ службѣ поста [л. 5). Ἐσθίομεν ξηροφαγίαν, πίνοντες καὶ ζωμὸν μετὰ μέλιτος [л. 6). Діаконъ говоритъ: «Свѣтъ Христовъ». Εἰ δὲ ἴσως ἐστὶ καὶ διάκονος, συλλειτουργῶν μετὰ τοῦ ἱερέως, αὐτὸς χαράττει τὸν σταυρὸν ἔμπροσθεν τῶν ἁγίων θυρῶν μετὰ τοῦ μανουαλίου καὶ θυμιατοῦ καὶ ἐκφωνεῖ τὸ Φῶς Χριστοῦ φαίνει πᾶσι [л. 6). Канонъ великій на повечеріи начинался послѣ псалмовъ 69 и 73 [л. 6 об.). Поминается на повечеріи преподобный Аѳанасій [л. 6 об.). Въ пятницу коливо въ честь муч. Θеодора [л. 7 об.). Δεῖ εἰδέναι, ὅτι ἐφ' ὅλην τὴν ἁγίαν μ' ἅπαξ παρελάβομεν ἐσθίειν τὸ ὀψάριον, ἤγουν ἐν τῇ ἑορτῇ τοῦ Εὐαγγελισμοῦ [л. 7 об.). Δεῖ γινώσκειν, ὅτι ἐντὸς τοῦ βήματος ἀναγινώσκονται οἱ οἶκοι. οὗτοι καὶ τὸ κοντάκιον παρὰ τοῦ ἱερέως, ἐνδεδυμένου φελώνιον [л. 10 об.), замѣчается объ акаѳистѣ. Въ субботу Лазаря въ утрени пѣли тропари воскресные: Τῶν ἀγγέλων ὁ δῆμος καὶ τὰ ἕτερα [л. 11 об.). Въ недѣлю ваій ἐν τῇ τραπέζῃ γίνεται παράκλησις τοῖς ἀδελφοῖς, οὐ μέντοι ἐσθίομεν ἰχθύν, εἰ καὶ ποῦ γέγραπται [л. 12 об.). Съ понедѣльника чтеніе Евангелія [л. 13). Часы въ великую пятницу съ обычными псалмами, но съ пѣніемъ 12 тропарей [л. 15—16). Выходъ въ субботу на утрени съ Евангеліемъ [л. 17). О ка-

нонѣ на Пасху замѣчено: Ἰστέον, ὅτι εἰς τὸν παρόντα κανόνα οὔτε στίχους λέγομεν, οὔτε μὴν Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι, ὡς πολλάκις εἴωθε γίνεσθαι, ἀλλὰ μόνον τοὺς εἱρμοὺς ἁπλῶς καὶ τὰ τροπάρια ὁμοίως· ἔσχατον γὰρ μόνον λέγομεν· Δόξα, ὁ εἷς χορός, Καὶ νῦν, ὁ ἕτερος [л. 17 об.).

[л. 26). Ὠδαὶ τοῦ Ψαλτῆρος.

[л. 32). Διάταξις εἰς τὰ ἀπορούμενα τοῦ Τυπικοῦ τῆς ἁγίας τεσσαρακοστῆς ἄχρι τῆς Πεντηκοστῆς. Выборки изъ Марковыхъ главъ.

[лл. 41—45). Чистые.

[л. 46). Τριῴδιον, ἀρχόμενον ἀπὸ τῆς κυριακῆς τοῦ τελώνου καὶ τοῦ φαρισαίου καὶ καταλῆγον ἄχρι τῆς κυριακῆς τῶν Ἁγίων Πάντων, ἔχον τὴν Ὀκτώηχον, τοὺς ἀποστόλους, τὰ εὐαγγέλια, τὸν Ξανθόπουλον. Но Октоиха, апостола и евангелія, Ксанѳопула нѣтъ, если не считать, что все это размѣщено по недѣлямъ и днямъ четыредесятницы и пятидесятницы.

LI. № 95. Λ Τυπικόν, ркп. библ. лавры пр. Аѳанасія Аѳонскаго въ 4 долю листа, 277 листовъ, писана почеркомъ 1433 года. Криптографическая приписка читается такъ: Ἐτελειώθη τὸ παρὸν Τυπικὸν διὰ μνήμης καὶ ἐξόδου τοῦ τιμιωτάτου ἐν μοναχοῖς κυροῦ Ἀκακίου, ἔτει ,ςϠμα', ἰνδ. α'=1433. Въ первой части нѣтъ дѣленій. Тріодь и Мѣсяцесловъ обычные. Въ прибавленіи много статей кононико-литургическихъ.

[л. 160). Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Θεολόγου, λόγος εἰς τὸ ἅγιον Πάσχα καὶ εἰς τὴν βραδύτητα· Ἀναστάσεως ἡμέρα, καὶ ἡ ἀρχὴ δεξιὰ καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει καὶ ἀλλήλους περιπτυξώμεθα.

[л. 163). Τάξις ἀρίστη τῶν ἐξαγορευόντων.

Χρὴ τὸν ἐξαγορεῦσαι μέλλοντα ἐν ἐκκλησίᾳ εἶναι, ἢ ἀνακεχωρισμένῳ τόπῳ καὶ συνεύχεσθαι αὐτῷ τὸν τὰς ἐξομολογήσεις δεχόμενον, δηλονότι ὄντος αὐτοῦ ἱερέως· τοῖς ἀρχιερεῦσι καὶ τοῖς πρεσβυτέροις μόνοις δεδώρηται παρὰ Χριστοῦ τὸ δεσμεῖν καὶ λύειν καὶ ἀφιέναι τοῖς ἀνθρώποις τὰ ἁμαρτήματα· τοῖς μὲν γὰρ καὶ χειροτονεῖν ἔξεστι, τοῖς δὲ καὶ χειροθετεῖν, ὃ δὲ οὐ δεδώρηται αὐτῷ ἀπὸ Πνεύματος ἀγαθότητος καὶ θείας δωρεᾶς τοῦτο ποιεῖν, ἀδύνατόν ἐστι πάντη καὶ μάταιον καὶ ἀνένδεκτον καταλλαγὴν διδόναι τοῖς ἁμαρτάνουσιν. Χρὴ οὖν τὴν ἱερατικὴν περιβεβλῆσθαι τὸν ἀνάδοχον καὶ θυμιᾶν, πρότερον ἅψας καὶ

κηρούς, εἶθ' οὕτως εὐλογεῖν καὶ ὑμνεῖν τὸ Τρισάγιον, τὸ Πάτερ ἡμῶν καὶ τὸ Πιστεύω εἰς ἕνα Θεόν, Δεῦτε προσκυνήσωμεν γ', Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου, Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι· Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, Ἀγκάλας πατρικάς, Ὡς ὁ περιπεσὼν εἰς τοὺς λῃστάς, Δάκρυά μοι δός, ὁ Θεός, Ἐγώ, Παρθένε ἁγία Θεοτόκε, Κύριε παντοκράτωρ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν τοῦ Ἀβραάμ. Μετὰ δὲ τὸ πληρῶσαι τὴν εὐχήν, εὔχεται καὶ καθ' ἑαυτοῦ ὁ ἱερεύς, ὁ ἀνάδοχος, οὕτως· Ὁ εὔσπλαγχνος καὶ ἐλεήμων Θεός, ὁ ἐτάζων καρδίας καὶ νεφρούς, ὁ τὰ κρύφια τῶν ἀνθρώπων ἐπιστάμενος· οὐ γάρ ἐστι πρᾶγμα ἀφανὲς ἐνώπιόν σου, ἀλλὰ πάντα γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς σου, ὁ γινώσκων καὶ τὰ κατ' ἐμὲ μὴ βδελύξῃ με, μηδὲ τὸ πρόσωπόν σου ἀποστρέψῃς ἀπ' ἐμοῦ, ἀλλὰ πάριδέ μου τὰ παραπτώματα ἐν τῇ ὥρᾳ ταύτῃ, ὁ παρορῶν ἀνθρώπων τὰ ἁμαρτήματα εἰς μετάνοιαν, καὶ ἀπόπλυνόν μου τὸν ῥύπον τοῦ σώματος καὶ τὸν τῆς ψυχῆς, καὶ ὅλον με ἁγίασον ὁλοτελῶς τῇ ἀοράτῳ σου καὶ πνευματικῇ δεξιᾷ, ἵνα μή, ἐλευθερίαν ἄλλοις ἐπαγγειλάμενος, καὶ ταύτην παρέχων τῆς σῆς ἀφάτου φιλανθρωπίας, αὐτός, ὡς δοῦλος ἀδόκιμος ἁμαρτίας, γένωμαι· μή, Δέσποτα, ὁ μόνος ἀγαθὸς καὶ φιλάνθρωπος, μὴ ἀποστραφείην ταπεινωμένος, ἀλλ' ἐξαπόστειλόν μοι δύναμιν ἐξ ὕψους ἁγίου σου, λόγον σοφίας, νοῦν γνώσεως, χάριν διακρίσεως τῶν πνευματικῶν. Καὶ ἐνίσχυσόν με πρὸς τὴν διακονίαν τοῦ προκειμένου ἐνδόξου μυστηρίου τοῦ μεγάλου καὶ ἐπουρανίου, καὶ μόρφωσόν μου τὸν Χριστὸν ἐν τοῖς μέλεσί μου. Καὶ τὸν μέλλοντα δοῦλον ἀναγεννᾶσθαι, διὰ τῆς ἐμῆς ἐλεεινότητος, τῇ τῆς μετανοίας καὶ ἐξαγορεύσεως μετανοήσει, οἰκοδόμησον ἐν τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν. Καὶ μὴ καθέλῃς, ἀλλὰ φύτευσον αὐτὸν φύτευμα ἀληθείας ἐν τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, στήριξον τὴν εἰς ἐμὲ αὐτοῦ πίστιν καὶ ἀνυπόκριτον ταύτην τοῦτον φυλάξαι ἐνίσχυσον. Ἄνοιξον αὐτοῦ τὰ ὦτα τοῦ εὐμενῶς ἀκούειν ταῖς ὑφ' ἡμῶν αὐτῷ ῥηθήσεσθαι μελλούσαις ἀληθείαις, σύζευξον λόγους αὐτοῦ, κατάνοιξον αὐτοῦ τὴν καρδίαν καὶ τὴν ψυχήν, ἵνα μετὰ πάσης πίστεως καὶ ἀγάπης καὶ ἀληθείας ἐκπομπεύσῃ τὴν ἀνομίαν αὐτοῦ, ὡς ἀξίαν ὕβρεως· ἄφες αὐτῷ πάντα τὰ κακῶς πεπραγμένα, καὶ ἐνίσχυσον αὐτὸν ἐν ὁσιότητι καὶ δικαιοσύνῃ λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, ὅπως, προκόπτοντος αὐτοῦ, δοξάζῃ διὰ παντὸς τὸ πανάγιον ὄνομά σου τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Εἶτα μετανοίας ἀμφότεροι ιβ'. Καὶ

*

ὁ μετανοῶν εἰς ὕψος τὰς χεῖρας διάρας, λεγέτω δωδεκάκις τὸ Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, καὶ πάλιν, πεσὼν ἐπὶ τὴν γῆν, λεγέτω ἐκ τρίτου· Ἐξομολογοῦμαί σοι, Κύριε ὁ Θεὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς, πάντα τὰ κρύφια τῆς καρδίας μου. Καὶ ὁ ἀνάδοχος εὔχεται οὕτως· Ὁ ὤν, Δέσποτα Κύριε, ὁ ποιήσας τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν καὶ δοὺς αὐτῷ ἐξουσίαν ζωῆς αἰωνίου, εἶτα, ἐκπεσόντα διὰ τῆς ἁμαρτίας, μὴ παριδών, ἀλλ' οἰκονομήσας διὰ τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ σου τὴν σωτηρίαν τοῦ κόσμου. Αὐτὸς καὶ τὸν δοῦλόν σου τοῦτον, λυτρωσάμενος ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ, πρόσδεξαι εἰς τὴν εὐθεῖαν ὁδὸν τῶν ἐντολῶν σου, διάνοιξον αὐτοῦ τοὺς ὀφθαλμοὺς εἰς τὸ ὀπτάζεσθαι τὸν φωτισμὸν τοῦ εὐαγγελίου σου, σύζευξον τὴν ζωὴν αὐτοῦ ἄγγελον φωτεινόν, ῥυόμενον αὐτὸν ἀπὸ πάσης ἐπιβουλῆς τοῦ ἀντικειμένου, ἀπὸ συναντήματος πονηροῦ, ἀπὸ φαντασμάτων πονηρῶν καὶ ἀπὸ δαιμονίου μεσημβρινοῦ, ἐξέλασον ἀπ' αὐτοῦ πᾶν πονηρὸν καὶ ἀκάθαρτον πνεῦμα, κεκρυμμένον καὶ ἐμφωλεῦον τῇ καρδίᾳ αὐτοῦ· πνεῦμα πλάνης, πνεῦμα πονηρίας, πνεῦμα εἰδωλολατρείας, πνεῦμα πλεονεξίας, πνεῦμα ψεύδους καὶ ἀκαθαρσίας, πνεῦμα πορνείας καὶ πάσης αἰσχρουργίας, τῆς ἐνεργουμένης κατὰ τὴν διδασκαλίαν τοῦ διαβόλου, καὶ ποίησον αὐτὸν πρόβατον λογικὸν τῆς ἁγίας ποίμνης τοῦ Χριστοῦ σου, μέλος τίμιον τῆς ἐκκλησίας σου, σκεῦος ἡγιασμένον, υἱὸν φωτὸς καὶ κληρονόμον τῆς βασιλείας σου, ἵνα κατὰ τὰς ἐντολάς σου πολιτευσάμενος, καὶ φυλάξας τὴν σφραγῖδα τῆς μετανοίας ἄθραυστον, καὶ διατηρήσας τὸν τῆς ψυχῆς αὐτοῦ χιτῶνα ἀμόλυντον, τύχῃ τῆς μακαριότητος τῶν ἐκλεκτῶν σου ἐν τῇ βασιλείᾳ σου. Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τοῦ παναγίου καὶ ἀγαθοῦ καὶ ζωοποιοῦ σου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ἐπερωτᾷ αὐτὸν μετὰ πάσης ἱλαρότητος καὶ χαρᾶς πνευματικῆς, προσμειδιῶν οὕτως·

Πῶς, κύριε, ἢ ἀδελφέ, ἢ τέκνον, ἢ κυρία ἀδελφή, ἐν πρώτοις ἐφθάρη ἡ παρθενία σου; διὰ πορνείας, ἢ διὰ νομίμου γάμου, διὰ μαλακίας, ἢ τῶν παρὰ φύσιν τινός; Πάλιν ἐρωτᾷν· εἰς πόσας ἐμολύνθης γυναῖκας πρὸ τοῦ νόμιμον σχεῖν, καὶ εἰς πόσας μετὰ τὸ λαβεῖν τὴν νόμιμον, ἢ μετὰ τὸ χηρεῦσαι, καὶ εἰ ἄρα ἦσαν ἐξ αὐτῶν δοῦλαι, πόσαι χῆραι, καὶ πόσαι ὕπανδραι, καὶ πόσαι πόρναι, πόσαι μονάζουσαι, πόσαι μικρόσχημαι, καὶ πόσαι μεγαλόσχημαι, πόσαι ἱερωμέναι, ἤγουν διακόνισσαι, ἢ πρεσβύτεραι; Καὶ μετὰ ταῦτα ἐρωτᾷν

καὶ περὶ ἀρσενοκοιτιῶν τρίς, παθεῖν παρ' ἄλλου, καὶ κουφότερον τοῦ ποιῆσαι, ὃ καὶ βαρύτερον. Εἶτα πάλιν· πόσον ἐν ταῖς γυναιξὶ κατὰ φύσιν μολυνόμενος χρόνον διήνυσε, καὶ πόσας ὁμοῦ περιέπεσεν· ὁ γὰρ ἀριθμὸς ὑπὲρ πάντων ζητεῖται, καὶ τῶν προσώπων διαφορά· δοῦλαι, πόρναι, χῆραι, ὕπανδραι, μονάζουσαι καὶ ἱερωμέναι. Καὶ πάλιν ζητεῖν, εἰ, γυναῖκα ἔχων, εἰς τὰ παρὰ φύσιν ἐξέπεσε, καὶ εἰ πρὸ τοῦ εἰκοστοῦ πέμπτου χρόνου τῆς αὐτοῦ ἡλικίας, ἢ μετὰ τοῦτο, καὶ εἰ ἅπαξ τοῦτο συνέβη, ἢ καὶ πολλάκις. Καὶ μετὰ τούτων ἐρωτάσθω περὶ μαστροποιΐας, καὶ εἰ εἰς κτῆνός ποτε ἐξεπόρνευσε, πάντα δὲ τὰ κτηνώδη μίαν κέκτηνται τὴν διαφοράν. Καὶ περὶ μαλακίας ἐρωτάσθω· ἡ δὲ μαλακία δύο κέκτηται τὰς διαφοράς· διὰ τῆς οἰκείας χειρός, καὶ τὸ δι' ἄλλλου προστρίβεσθαι. Εἶτα ἐρωτάσθω καὶ περὶ τῆς πολυπλόκου αἱμομιξίας, πολλαὶ δὲ καὶ ποικίλαι ταύτης αἱ διαφοραί. Ἄλλο γὰρ τὸ εἰς δύο ἀδελφὰς περιπεσεῖν ἐκ πατρὸς καὶ μητρός, καὶ ἕτερον τὸ εἰς ἄλλου πατρὸς καὶ εἰς ἄλλης μητρός, ἄλλο τὸ εἰς δύο ἐξαδέλφας, καὶ ἄλλο τὸ εἰς νύμφην, γυναῖκα ἀδελφοῦ, ἢ υἱοῦ γνησίου, ἄλλο τὸ εἰς πενθεράν, καὶ ἕτερον εἰς μητέρα, ἢ εἰς προγονήν, ἢ εἰς παλακὴν πατρός, ἢ ἀδελφοῦ, ἢ ἐξαδέλφου. Σφάλλονται δέ τινες καὶ εἰς τὰς ἰδίας αὐτῶν μητέρας καὶ ἀδελφάς· ἄλλο πάλιν τὸ εἰς τὴν ἰδίαν σύντεκνον, καὶ ἄλλο τὸ εἰς ἣν ἐδέξατο ἀπὸ τοῦ ἁγίου βαπτίσματος· ἄλλο τὸ εἰς ἰδίαν θυγατέρα, ἢ ἐξαδέλφην, ἕτερον τὸ εἰς θείαν, ἢ γυναικοθείαν, μέγα τὸ εἰς τὸν ἴδιον ἀδελφὸν πεσεῖν, μεῖζον δὲ τὸ παθεῖν ἐξ αὐτοῦ καὶ ποιῆσαι εἰς αὐτόν, τὸ δὲ παθεῖν τὸ δεύτερον παρὰ τοῦ πρώτου, καὶ εἰς τὸ τρίτον ποιῆσαι, ὅμοιον τοῦ προτέρου ἐστίν. Φθάνουσι δέ τινες καὶ εἰς γυναῖκας ἀνδρομανούσας. Εἶτα ἐρωτάσθω καὶ περὶ φόνου, καὶ κλοπῆς· ἄλλο δὲ τὸ μετὰ μελέτης ἄνθρωπον ἀποκτεῖναι καὶ ἄλλο τὸ συμβῆναι ἐκ συμπλοκῆς, ἄλλο τὸ διὰ φαρμάκου, καὶ ἕτερον τὸ διὰ μαχαίρας, ἢ καὶ ἀγχόνης τοῦτο ἐργάσασθαι· ἄλλο τὸ συναινέσει καὶ ἀφορμὰς ἄλλῳ παρασχεῖν εἰς τὸ ἐκτελέσαι τὸν φόνον. Ἐρωτάσθω πρὸς τούτοις καὶ περὶ ἱεροσυλίας, καὶ τυμβωρυχίας, καὶ ἀρνήσεως τῆς πρὸς τὸν Χριστόν. Καὶ εἰ ἐπῳδὸς καὶ γόης ἦν, ἢ μάντευσιν ἐπηκολούθησε, καὶ εἰ αἱρετικοῖς, ἢ Ἰουδαίοις ἐν ταῖς εὐχαῖς ἐκοινώνησεν, ἢ ἐν βρώμασιν, ἢ συνελούσατο τούτοις καὶ δῶρα, ἤγουν βρώματα, εἴληφεν ἐξ αὐτῶν, ἢ περὶ ᾄσματα καὶ ἐπᾴσματα θεραπευτικά, ἢ ποτὰ ἐδέξατο ἐξ αὐτῶν. Ἐρωτάσθω περὶ ὅρκου, ἐπιορκίας, εὐορκίας, καὶ περὶ ὅρκων ἑλληνικῶν. Εἰ γυναικὶ συνελούσατο, ἢ χιτῶνας αὐτῶν ἐνδυσάμενος, ἢ μετὰ σκηνικῶν καὶ μίμων ἐλάλησεν, ἢ ὠρχήσατο. Ἐρωτάσθω

περὶ κυβίας, καὶ μέθης, καὶ εἰ, μεταλαβὼν τῶν ἀχράντων μυστηρίων, ἐξέμεσεν. Καὶ εἰ, ἀφορισθεὶς τοῦ μὴ κοινωνεῖν, ἐκοινώνησεν, ἢ βρώσεως μετέλαβεν, ἢ ἀπώσεως δεσμῶν ἀπὸ ἱερέα δεξάμενος, ἐξ ἑτέρου δῆθεν συγχωρηθεὶς παρὰ γνώμην τοῦ ἀφορίσαντος. Καὶ εἰ βέβρωκεν εἰδωλόθυτα, ἢ θνησιμαῖα, ἢ κρέα ἐν αἵματι, ἢ πνικτόν, ἢ θηριάλωτον φαγών, ἢ σαρκικῶς μολυνθεὶς ἐκοινώνησεν, ἢ κοινωνήσας γυναικὶ ἐνεφθάρη. Καὶ εἰ ἐν ἐκκλησίᾳ ἐπόρνευσεν, ἢ ἐν ἑορτῇ, ἢ ἐν τῇ ἁγίᾳ τεσσαρακοστῇ, καὶ εἰ, τοῦτο πράξας, ἐκοινώνησε, καταφρονῶν τοῦ Θεοῦ. Ἐρωτάσθω καὶ περὶ τῶν ψυχικῶν παθῶν, ἤγουν θυμοῦ καὶ ὀργῆς, καὶ φθόνου καὶ ζήλου, ἔριδος καὶ μνησικακίας, καταλαλιᾶς, δόλου καὶ ψεύδους, κενοδοξίας, ὑπερηφανίας, βλασφημίας, φιλαργυρίας, ἀσπλαγχνίας, φειδωλείας, ἀσυμπαθείας, ἀδικίας, πλεονεξίας, καὶ εἰ χήραν ἔθλιψεν, ἢ ὀρφανόν, ἢ τοὺς ἰδίους οἰκέτας λιμῷ ἐκακοπάθησε καὶ πληγαῖς ἐβασάνισεν, εἰ μοναχόν, ἤτινα τῶν ἱερωμένων ὕβρισεν, ἢ ἔτυψεν. Ἐρωτάσθω καὶ περὶ πλαστογραφίας καὶ ψευδοῦς μαρτυρίας, καὶ περὶ συνωμοσίας, καὶ φατρίας, καὶ περὶ τόκου, γαστριμαργίας, καὶ λαθροφαγίας, καὶ ὀκνηρίας, καὶ εἰ μὴ τὰς εὐχὰς ἐποιεῖτο ἐν ἑσπέρᾳ καὶ πρωῒ καὶ μεσημβρίᾳ, καὶ τοῦτο πρὸ πάντων διδασκέτω ἐργάζεσθαι. Ταῦτα μὲν κοινὰ καὶ πάντες περὶ αὐτῶν ἐρωτάσθωσαν. Τοὺς δὲ ἐπισκόπους καὶ πρεσβυτέρους καὶ διακόνους καὶ ἀναγνώστας οὐκ ὀφείλει δέχεσθαί τις εἰς ἐξομολόγησιν, πρὶν ἂν συνθήκας ἐγγράφως ποιήσαντας· οἱ μὲν ἱερεῖς τοῦ μηκέτι ἱερατεύειν, εἴ γε ἀνάξιοι εὑρεθήσονται ἐρευνόμενοι, οἱ δὲ ἀναγνῶσται καὶ ψάλται τοῦ μὴ δέξασθαι ψαλμὸν ἱερατικόν. Ἐξεταζέσθωσαν ἀκριβῶς οἱ ἐπίσκοποι, οἱ πρεσβύτεροι καὶ οἱ διάκονοι, εἰ κατὰ τὸν νενομισμένον χρόνον τὰς χειροτονίας ἐδέξαντο, καὶ εἰ δῶρα παρέσχον τοῖς ψηφισαμένοις, ἢ τοῖς χειροτονήσασιν, ἢ χρήματα λαβὼν ἐχειροτόνησεν ἐπίσκοπος, ἢ ὑποκείμενος ἁμαρτήμασι τὴν χειροτονίαν ἐδέξατο, ἢ ἀπαιτητὴς δημοσίων τελῶν, ἢ μισθωτής, ἢ κτίσεως ἀλλοτρίων κουράτωρ, ἢ οἴκου, ἢ ἐντολεὺς δίκης, ἢ ἐγγυητὴς μετὰ τὴν χειροτονίαν ἐγένετο, ἢ παρανόμως γαμοῦντας ἐχειροθέτησεν, ἢ ἐξεβλήθη, ἢ ἀπὸ κοινωνίας ἐγένετο, καὶ εἰ ἀδίκως δεσμῷ τινα περιέβαλεν, ἢ ὡς κοσμικὸς μετὰ τὴν χειροτονίαν ἐπολιτεύσατο ἀξίωμα, ἢ στρατείαν ἀναλαβόμενος. Ἐρωτάσθω καὶ εἰ ἐν καπηλείῳ, ἢ πανδοχείῳ μετέσχε τροφῆς, ἢ συνηπίστατο ἁμαρτάνοντας καὶ οὐκ ἤλεγχεν, ἢ ἔλαιον, ἢ κηρὸν ἀπὸ τῆς ἐκκλησίας εἴληφεν, ἢ τὸν ἀποστρέφοντα ἀπὸ τῆς ἁμαρτίας οὐκ ἐδέξατο. Ἐρωτάσθω, εἰ ἔσχεν, ἢ καὶ ἀνέγνω βιβλία αἱρετικῶν, καὶ εἰ θυσίαν παρήγαγε παρὰ τοῦ αἱρετικοῦ, ἢ δαιμονῶντας

ἐβάπτισεν, ἢ προσφορὰν ὑπὲρ τοῦ ἑαυτὸν ἀνελόντος προσήγαγεν, ἢ ὀνειρευθεὶς καὶ μολυνθεὶς ἐτόλμησε βάπτισμα, ἢ θυσίαν, ἢ χειροθεσίαν ἐπιτελέσαι· εἰ καρποφορὰς ἀπὸ μοιχῶν, καὶ πορνῶν, καὶ πανδοχέων, καὶ ἐκθλιβόντων χήραν καὶ ὀρφανά, καὶ τοὺς ἑαυτῶν οἰκέτας λιμῷ καὶ πληγαῖς πιεζόντων ἐδέξατο, ἢ πόρνῳ καὶ μοιχῷ συνελειτούργησε, καὶ εἰ καθῃρημένοις ὡς κληρικῷ, ἢ ἀκοινωνήτῳ συνηύξατο, ἢ ἔτυψε πιστοὺς ἁμαρτάνοντας, ἢ ἀπίστους ἀδικήσαντας. Καὶ εἰ, δικαίως καθαιρεθεὶς καὶ ἐπ' ἐγκλήμασι φανεροῖς, ἐτόλμησεν αὖθις τῆς λειτουργίας ἐφάψασθαι, καὶ εἰ ἔξω τῶν ἑαυτοῦ ὅρων χειροτονίας ἐποίησεν. Οἱ δὲ πρεσβύτεροι καὶ διάκονοι, εἰ ἄνευ γνώμης τοῦ ἰδίου ἐπισκόπου θυσιαστήρια ἐπήξαντο, καὶ εἰ, ταῖς ἰδίαις συζεύξαντες γυναιξί, τὴν μυστικὴν ἐτόλμησαν προσενεγκεῖν θυσίαν, ἢ ὅλως ἅψασθαι σκεύους τινὸς ἱεροῦ. Ἐρωτάσθωσαν ἅπαντες, εἰ χωλόν, ἢ τυφλόν, ἢ κωφόν, ἢ τὰς βάσεις πεπληγμένον ἐχλεύασαν, ἢ σκεῦος ἁγιασθὲν εἰς οἰκείαν φύσιν ἐσφετερίσαντο. Ἐρωτάσθωσαν οἱ τοῦ βήματος, εἰ ἐκ σωματικῆς ἀσθενείας τὴν ἁγίαν τεσσαρακοστὴν τοῦ Πάσχα, ἢ τετράδα καὶ παρασκευὴν οὐ νηστεύοντες διετέλουν, ἢ σαρκικῶς τολμήσαντες ἐμολύνθησαν. Ταῦτα καὶ τὰ ἤδη προεκτιθέντα πάντες ἱερωμένοι ἐρωτάσθωσαν· καὶ εἰ χήραν, ἢ ἐκβεβλημένην, ἢ ἑταίραν, ἢ οἰκέτην, ἢ τὸν ἐπὶ σκηνῆς πρὸς ἑαυτοὺς ἔλαβον, ἢ ἐμοιχεύθησαν αἱ γυναῖκες αὐτῶν· οὐδεὶς γὰρ ἐκ τούτων εἶναι ἐπίσκοπος δύναται, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ ἱερατικοῦ καταλόγου συνάριθμος. Ὅτι καὶ οἱ μοναχοὶ ἐρωτάσθωσαν πρὸς τούτοις καὶ περὶ τῶν τῆς ψυχῆς κινημάτων, τοῦ τε λογικοῦ, καὶ ἐπιθυμητικοῦ, καὶ θυμοειδοῦς. Κακία δὲ τοῦ λογικοῦ τῆς ψυχῆς ἐστὶν ἡ πρὸς τὸ θεῖον ἀσέβεια καὶ ἡ ἀκρασία περὶ τῶν ὄντως καλῶν καὶ ἡ ἐσφαλμένη περὶ τὴν τῶν πραγμάτων φύσιν ὑπόληψις, ὥστε τιθέναι τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς. Τοῦ δὲ ἐπιθυμητικοῦ τῆς ψυχῆς μέρους παρατροπὴ καὶ ἁμαρτία ἐστὶ τοῦ μετάγειν τὴν ἐπιθυμίαν περὶ τὴν ἀνυπόστατον πλεονεξίαν, ἢ καὶ πρὸς τὸ ἐπικεχρωσμένον τοῖς σώμασιν ἄνθος· ὅθεν γίνεται ἡ φιλοχρηματία καὶ ἡ φιλοδοξία καὶ πάντα, ὅσα τοῦ τοιούτου ἤρτηνται τῆς κακίας γένους. Ἀποπτώματα δὲ τοῦ μέρους τῆς θυμοειδοῦς διαθέσεώς εἰσιν φθόνος, μῖσος, λοιδορία, φιλονεικία τε καὶ ἀμυντικὴ διάθεσις, αἱ μέχρι πολλοῦ παρατείνουσαι τὴν μνησικακίαν, εἰς φόνους καὶ αἵματα καταλήγουσαι. Λοιπὸν ἀκριβῶς καὶ ἐπεσκεμμένως μᾶλλον οἱ μοναχοὶ καὶ αἱ μονάζουσαι περὶ τῶν ὀκτὼ τῆς κακίας παθῶν ἐρωτάσθωσαν, ἤγουν γαστριμαργίας, ἀκολασίας, φιλαργυρίας, ὀργῆς, λύπης, ἀκηδίας, κακοδοξίας καὶ ὑπερηφανίας. Εἶτα πάλιν ἐρωτᾷ καὶ ἐξετάζει περὶ τῆς ἐν τῷ

κόσμῳ σχέσεως, περὶ τῆς τῶν ὑλικῶν προσπαθείας, περὶ ἀνυποταξίας, περὶ ἀφοβίας θανάτου, περὶ σκληρότητος καρδίας, περὶ τῆς τοῦ πλησίον κατακρίσεως, περὶ πολυλογίας, περὶ γέλωτος ἀκρατοῦς, περὶ ἀναισθησίας, περὶ ἀμελείας καὶ ὕπνου ἀμετρήτου, περὶ δειλίας καὶ βλασφημίας, περὶ πορνείας καὶ ὑποκρίσεως, εἶτα περὶ κλοπῆς καὶ αἰχμαλωσίας τῶν λογισμῶν. Ἐρωτάσθωσαν περὶ προσβολῆς καὶ συνδυασμοῦ καὶ συγκαταθέσεως, περὶ ἁμαρτίας, ἀργίας, ἀμελείας, πάθους καὶ πτώματος, πλὴν προσεκτέον, ὅτι οὐ τοῖς αὐτοῖς οἱ νέοι καὶ γέροντες πολεμοῦνται πάθεσιν, ἀλλ' ἐναντίας εἰς ἅπαντας νόσους κέκτηνται, διὸ καὶ πολλὴ χρεία τῆς νήψεως εἰς τὸ ἀμφοτέροις πρόσφορα προσφέρειν τὰ φάρμακα. Ἁμαρτία λέγεται ἡ πάσης θείας ἐντολῆς παράβασις, ἀργία δὲ τὸ μὴ πονεῖν καὶ ἐργάζεσθαι τὰ ἔργα τοῦ Θεοῦ. Ἀμέλεια δέ, τὸ ἄρξασθαι μὲν ῥάθυμοι δέ, οἷον ἀρξάμενοι, χαυνωθῆναι, πάθος δέ, ἡ πεπηγυῖα καὶ δυσέπνηκτος καὶ μόνιμος ἐπὶ τὰ βραχέα τῆς διανοίας ῥοπή, πτῶμα δέ, τὸ ἐξ ὕψους τῆς ἀρετῆς κατενεχθῆναι εἰς ἀπιστίαν, ἢ εἴς τι τῶν σωματικῶν παθῶν ὀλισθῆσαι. Λοιπὸν οἱ μονάζοντες ἐν λεπτῷ καὶ περὶ τούτων καὶ περὶ τῆς τῶν λεπτοτάτων λογισμῶν κινήσεως καὶ ῥοπῆς καὶ τροπῆς ἀκριβῶς ἐξεταζέσθωσαν, καὶ τὰς ἐπιτιμήσεις δὲ δικαίας παναντιῤῥήτους δεχέσθωσαν, ἐπεὶ καὶ δυνατοὶ δυνατῶς ἐξετασθήσονται. Ἤδη δὲ καὶ περὶ τῶν εὐνούχων ἐρῶ ἐν συντόμῳ, πλὴν δὲ ἐν ἀκατασχέτῳ φόβῳ καὶ τρόμῳ περιών. Εἰ μή μοι ἀνάγκη ὑπέκειτο κατὰ πᾶσαν τὴν ἀλήθειαν προτιμᾶν, οὐκ ἂν τὴν χεῖρα ἐξέτεινον γραφῇ παραδοῦναι τὰ κατ' αὐτῶν, ἀλλὰ ναρκῶς ἔπεισον ἄν. Ὁ εἰς ἐξαγόρευσιν προσδεχόμενος τοὺς ἀνδρογύνους, τὴν αἰτίαν πρότερον τῆς τῶν γεννητικῶν μορίων ἐκτομῆς προσήκει τοῦ ἐξετάζειν, καὶ εἰ ἐξ ἐπηρείας ἀνθρώπων, ἢ ἐν διωγμῷ ἀφῃρέθη τὰ ἀνδρός, ἢ οὕτως ἔφη, ἢ δι' ἀσθένειαν ὑπὸ ἰατρῶν ἐχειρουργήθη, συγγνώσεται τὸ θεῖον αὐτόν. Εἰ δὲ ἑαυτὸν ἐξέτεμεν, ἢ ὑπὸ τῶν αὐτοῦ φυτοσπόρων, ἢ συγγενῶν διὰ βλακίαν ἀπρόσκοπος γέγονεν, δυσχερὴς αὐτῷ ἡ μετάνοια, καὶ τῷ χειρουργήσαντι καὶ τοῖς συναινέσασιν· οὗτοι γάρ, ὡς οἱ φωστῆρες τῆς ἐκκλησίας καὶ μάλιστα ὁ Μέγας Βασίλειος διηγόρευσε, καὶ ἐν γυναιξὶ τῶν ἀνδρῶν, καὶ ἐν ἄνδρασι τὰ τῶν γυναικῶν ἐκπληροῦσιν. Εὐνοῦχος τοίνυν ἀπὸ τὰ ἓξ καὶ δέκα ἔτη γυναῖκα συμπίπτων, εἰς ἱερωσύνην μὴ ἐρχέσθω τὸ σύνολον. Εἰ δὲ καὶ ἀνδρὶ συμμιγῇ καὶ διὰ τῆς ἕδρας αὐτοῦ πάθῃ, μήτε οὗτος τολμήσει ποτὲ εἰς ἱερωσύνην ἐλθεῖν, εἰ καὶ λίαν ἐνάρετος γένηται καὶ ἀγωνιστὴς εἰς τοσοῦτον, ὥστε καὶ νεκροὺς ἐγεῖραι ἐκ μνημάτων, κἂν ἅπαξ, κἂν δίς, κἂν διὰ νηπιότητα, ἢ πτω-

χείαν, ἢ ἐξουσίαν τοῦτο πέπονθεν. Ἐρωτάσθω οὖν ἀκριβῶς καὶ ἐν τοῖς λοιποῖς ἅπασι προλελεγμένοις. Γυνὴ δὲ ἡ μετὰ εὐνούχου ἑνουμένη φαίνεται κατὰ τὸ Πρόχειρον, ὅτι τὰς συλλήψεις τῆς τεκνολογίας ἐκφεύγουσα, καὶ μάλιστα αἱ χῆραι καὶ παρθένοι καὶ μονάζουσαι, ὡς δὲ ἡ ἀλήθεια καὶ ἡ φύσις ἔχει τοῦ πράγματος, διὰ τὸ ταύτας ἀκορέστως ἔχειν πρὸς τὰς μίξεις καὶ τοὺς εὐνούχους βραδυρευστήν, τούτου ἕνεκα τοῖς εὐνούχοις συμφθείρονται, αἳ καὶ τῶν ἀσώτων καὶ τῶν προϊσταμένων χεῖρον κρίνονται καὶ πλεῖον ἐπιτιμάσθωσαν αὗται, εἰ τύχοιεν μᾶλλον καὶ οὐχ ἅπαξ, ἢ δίς, ἀλλὰ καταχρηστικῶς καὶ τὸ πλεῖστον εὐνούχῳ συναμαρτάνειν, ἴσον μοιχείας τοῦτό ἐστιν. Τὰς δὲ τῶν ἱερέων γυναῖκας τότε δέχεσθαι χρὴ εἰς ἐξομολόγησιν, ὅταν τοὺς ἰδίους ἄνδρας αὐτῶν ἐπερωτήσωσιν. Τὰς δὲ γυναῖκας, μὴ ὡς ἔτυχε δέχεσθαί τις εἰς ἐξαγόρευσιν, εἰ μὴ τοῦτο λίαν ἐμπειρότατός ἐστι καὶ πρὸς ἀπάθειαν ἐφθακότα (sic), μακρὰν δὲ τὸν νοῦν ἔχων ἀπὸ τὴν γῆν. Καὶ ὅλος ὅλῳ Θεῷ προσκείμενος, εἰ μή τι ἂν πρὸς θάνατον εἶεν, ἢ προβεβηκυῖα ἐν ἡμέραις πολλαῖς· πολλὴ γὰρ καὶ μακρὰ αὐτῶν ἡ κακία· διὸ ἐνδέχεταί τινα βεβυθισμένον ὄντα ταῖς ἁμαρτίαις καὶ μηδὲν ἐπὶ Κύριον ἔχοντα ἀγαθόν, σοφῶς δὲ καὶ ἐπισταμένως αὐτὰς μετερχόμενον, καὶ μετὰ τῶν χερουβὶμ ἐν τῇ βασιλείᾳ αὐτοῦ εὑρεθῆναι, ἢ πάλιν, ἅγιον ὄντα καὶ τοῖς ἀγγέλοις συναμιλλόμενον, κατενεχθῆναι ἀπὸ τῶν οὐρανῶν καὶ μετὰ τῶν δαιμόνων γενέσθαι, διὸ καὶ πλείονα τῶν γραφέντων δήλωσιν ἐξετάζεσθαι· φθάνουσι γὰρ καὶ ἕως φαρμακειῶν καὶ παντοίων γοητειῶν, περὶ ὧν οὐδὲ γραφῇ παραδοῦναι δυνατόν, καὶ φόνων δὲ διαφόρων, ἔν τε ταῖς συλλήψεσι, καὶ ἐν τοῖς τοκετοῖς, καὶ πολλαὶ δὲ αὐτῶν καὶ κατὰ μῆνα ἡμερῶν φόνον ποιοῦσι διὰ βοτάνων τινων. Ἐρευνάσθω οὖν τὰς γυναῖκας, ὡς εἶπον, περὶ πάντα μετὰ πάσης τῆς ἀκριβείας, ὅσα ἐν τοῖς ἀνδρᾶσιν ἐγγέγραπται, καὶ πόσα παιδία ἐφόνευσαν, μάλιστα αἱ χῆραι καὶ μονάζουσαι, ἢ καὶ τὸ δοκεῖν παρθενεύουσαι, καὶ διὰ ποίων καὶ πόσων τρόπων· ἄλλο γὰρ τὸ ποιεῖν φάρμακον καὶ μηκέτι ἐν γαστρὶ δέξασθαι, ὃ καὶ πάντων ἐπιβαρύτερον, οὐκ οἶδα γὰρ πόσα παιδία ἤμελλον ἄρα ποιῆσαι, καὶ ἄλλο τὸ διὰ τριμμάτων, καὶ ἕτερον τὸ διὰ βοτάνης ἔμβρυον ἀποκτείνειν καθ' ἕκαστον χρόνον, ὃ τῶν ἄλλων ἐστὶν ὠμότερον καὶ ὀλεθριώτερον. Ἐρωτάσθωσαν καὶ εἰ ἐν τῷ καιρῷ τῆς ἀκαθαρσίας αὐτῶν, ἢ ἐν τῇ ἐκκλησίᾳ εἰσελθεῖν κατετόλμησαν, ἢ εἰκόνων ἥψαντο καὶ σκεύους τινὸς ἱεροῦ, ἢ μετέλαβον τῶν ἀχράντων μυστηρίων, ἢ ἁγιάσματος, ἢ ἀνδρᾶσιν οὕτως ἔχουσαι, ἢ ἐν τῷ καιρῷ τῆς λογείας αὐτῶν συνεγίνοντο, ἢ παρὰ τῆς

ἕδρας ἔπαθον, ἢ μετὰ τῆς ἰδίας χειρός, ἢ τοῦ ποδός, ἢ ἑτέρου τινὸς ὀργάνου οἰστρούμεναι ἑαυτὰς ἐμαλάκισαν, ἢ ἐβιάσθησαν ὑπὸ κτήνους, ἢ πρὸς ἀλλήλας μαινόμεναι ἐμολύνοντο, ἢ ὑπὸ παίδων ἔτι ἀφηλίκων, ἢ εὐνούχων, τῷ ἀτοκίῳ θαρροῦσαι, κατεῤῥυποῦντο, ἢ τῶν ἀκαθάρτων αὐτῶν αἱμάτων, ἢ τριχῶν κόνιν, ἢ τὸν ῥύπον τῶν ἀγκαλῶν καὶ τῶν ἀκαθάρτων μορίων αὐτῶν, ἢ τὰ οὖρα, ἢ τὴν κόπρον ἀνδρᾶσιν εἰς πόσιν μεταδεδώκασιν. Ἐρωτάσθωσαν αὐταὶ μᾶλλον περὶ οἰωνισμῶν, καὶ κληδονισμῶν, καὶ παρατηρήσεως, καὶ πάντων ἁπαξαπλῶς τῶν τῇ τοῦ Θεοῦ προνοίᾳ ἀνθεστηκότων.

Καὶ ὅταν ταῦτα καλῶς ἐρωτήσῃ καὶ ἐρευνήσῃ, κἀκεῖνος εἴπῃ τινὰ ἐξ αὐτῶν, ἢ ἕν, ἢ δύο, ἢ τὰ ἥμισυ, ἢ καὶ τὰ ὅλα εὑρίσκεσθαι, τότε ῥίπτειν αὐτὸν τὸν ἐξομολογούμενον ἔμπροσθεν τοῦ θυσιαστηρίου, καί, κειμένου αὐτοῦ, ἐπεύχεται ὁ ἀνάδοχος αὐτοῦ οὕτως· Ὁ ἐλεήμων Θεὸς καὶ φιλάνθρωπος, ὁ συγχωρήσας διὰ τοῦ προφήτου αὐτοῦ Νάθαν τῷ πρᾳοτάτῳ Δαβὶδ τὰ ἴδια ἐξομολογησαμένῳ πταίσματα καὶ τῷ κορυφαίῳ Πέτρῳ.... Καὶ μετὰ τοῦτο ἐγερεῖ αὐτόν, καὶ ποιεῖ σκεπάζεσθαι καὶ συγκαθέζεσθαι μετ' αὐτοῦ καὶ ἐρωτᾷ αὐτόν, τίνα ἰσχύει φυλάξαι ἐντολήν· οὐ γὰρ ὃ θέλει ὀφείλει διδόναι ὁ ἐπιτιμῶν τὸ ἐπιτίμιον, οὐδὲ ὃ πρέπει καὶ ἀπαιτεῖ, ἀλλ' ὃ φυλάξαι προαιρεῖται ὁ ἐπιτιμώμενος. Ὅτι οὐ πρὸς τὴν ἀναλογίαν τῶν ἁμαρτημάτων παρὰ τοῖς χριστοσπλάγχνοις καὶ καλῶς διακρίνειν δυναμένοις πρόσωπά τε καὶ φύσιν, καὶ ὥραν, καὶ τόπον, καὶ γνῶσιν, καὶ ἄγνοιαν, καὶ νεότητα, καὶ γῆρας, διδόναι τὰ ἐπιτίμια, ἀλλὰ πρὸς τὴν οἵαν, ὡς εἶπον, σύγκρισιν καὶ διάκρισιν καὶ τοῦ διακρῖναι ὀφείλοντος ἀναλόγως τὸν ἐξομολογούμενον. Ἐνδέχεται γὰρ τὸν ὀλιγοαμάρτητον καὶ πρόθυμον μέγα λαβεῖν ἐπιτίμιον, ὅπως μὴ μόνον ἄφεσιν κακῶν, ἀλλὰ καὶ στέφανον κομίσηται, τὸν δὲ πολυαμάρτητον καὶ ῥάθυμον ὀλίγον, ἵνα μὴ καταποθῇ ὑπὸ τοῦ βάρους, καὶ ἀθυμήσας πάντα ἀφήσῃ· οὐ γὰρ προσετάγημεν ἐπιβαρύνειν καὶ βάρη ἐπιτιθέναι. Χρηστὸς ὁ τοῦ Κυρίου ζυγὸς καὶ τὸ φορτίον ἐλαφρόν· δεῦτε γάρ, φησι, πρός με καὶ ἀναπαύσω ὑμᾶς. Καὶ ἐνδέχεται πάλιν τὸν εἰς μικρὰ ἁμαρτήματα ἐμπεσόντα, ἢ καὶ εἰς πολλά, ἐλάττονα δέ, ἀπολαύσαντα δὲ ἐν ἔτεσι πλείστοις τῶν ἐπιθυμιῶν αὐτοῦ, πλείονα λαβεῖν ἐπιτίμησιν τοῦ εἰς μεγάλα καὶ βαρέα πεσόντος, τάχιον δὲ διὰ τὸν τοῦ Θεοῦ φόβον ἀποκόψαντος· οὐ γὰρ χρόνῳ κρίνεται μετάνοια, ἀλλὰ διαθέσει ψυχῆς, ὥς φησιν ὁ θεῖος Χρυσόστομος, καὶ πάλιν ὁ Μέγας Βασίλειος· ὅτι οὐ χρόνῳ κρίνομεν τὰ τοιαῦτα, ἀλλὰ τῷ τρόπῳ τῆς μετανοίας προσέχομεν. Καὶ

ὅτι ἐξουσίαν ἔχει ὁ ἐμπιστευθεὶς παρὰ τῆς τοῦ Θεοῦ φιλανθρωπίας ψυχήν, εἰ φιλανθρωπότερον ὡς ἡμεῖς κελεύσει τοῦ ἁγίου Πνεύματος ἐγράψαμεν, εἰς τὸ ἐλαττῶσαι τὸν χρόνον τῶν ἐπιτιμίων. Οὐκ ἔστι γὰρ καταγνώσεως ἄξιος, ὥς φησι καὶ ὁ θεολόγος Γρηγόριος, ὅτι μὴ ἀπαξιώσῃς ἐξαγορεῦσαι σου τὴν ἁμαρτίαν, εἰδὼς ὅπως Ἰωάννης ἐβάπτισε· μέρος γὰρ καὶ τοῦτο κολάσεως. Ὢ τοῦ θαύματος, ὢ πόσην ἑρμηνείαν μᾶλλον δὲ παραμυθίαν, ἵνα μὴ εἴπω εὐελπιστίαν, ἔχει τὸ ῥῆμα τοῦτο. Καὶ ὁ Χρυσόστομος πάλιν· «ὅτι Νινευῖται οὐ πολλῶν ἐδεήθησαν ἡμερῶν, ἀλλὰ τριῶν μόνον». Καὶ ὁ λῃστὴς δέ, οὐδὲ τρεῖς, ἢ μίαν ἡμέραν, ἀλλ' ὅσην ἄν τις ὥραν ἀναλώσῃ ἓν ῥῆμα φθεγγόμενος, τὴν τοῦ παραδείσου ἤνοιξεν εἴσοδον. Ταῦτα δὲ παρεξῆλθον διὰ τοὺς βαρύνοντας τὰ ἐπιτίμια, καὶ εἰς ἅπαντας κατὰ τὸν ὁρισμὸν τῶν θείων κανόνων ἐκλαμβάνοντας, οὐ καλῶς, οὐδὲ ὀρθῶς, οὐδὲ δικαίως, ἀλλ' ἀπανθρώπως, καὶ ἀσυγγνώστως τοῦτο ποιοῦντας. Καὶ ταῦτα μὲν περὶ τῆς ἀκριβοῦς ἐρεύνης καὶ ἐξομολογήσεως διαφορᾶς, καὶ πῶς δεῖ ἐξομολογεῖσθαι. Αἱ δὲ ἐπιτιμήσεις καὶ αἱ διαφοραὶ τῶν ἐπιτιμήσεων, αὗται ὅσαι ἐγένοντο πρὸ ἐτῶν 30, ἔν τε ἀνδράσι καὶ γυναιξίν, εὔγνωστα καὶ ταχυσυγχώρητα ἔστωσαν· οἷα κἂν εἰσιν, ὥς τε καὶ ἕως τριῶν ἐτῶν, ἢ δύω ἔχει τὴν ἐπιτίμησιν, ἐὰν οὐκ ἔστι φόνος οἱοσδήποτε, οὔτε μεγάλη αἱμομιξία, ἂν δὲ μετὰ τριάκοντα ἔτη γεγόνασι, καὶ ἕως τρία ἢ καὶ τέσσαρα, ὅπου δὲ ἐστὶ φόνος, ἢ φόνοι, ἢ ἀπὸ τῶν ὑψηλῶν αἱμομιξιῶν, ἤγουν περὶ γνησίας ἀδελφῆς, ἢ καὶ ἐκ πατρὸς καὶ μητρός, ἢ υἱοῦ γυναικός, καὶ τέσσαρα καὶ πέντε. Ἐὰν δὲ τύχῃ συντέκνου, ἢ θυγατρός, ἣν ἐδέξατο, καὶ μητρός, ἕως πέντε καὶ ἕξ. Ἐὰν δὲ κατὰ φύσιν τις ἥμαρτε μόνον, οὐ περιέπεσε δὲ εἰς τὰ παρὰ φύσιν, οὔτε εἰς αἱμομιξίαν, οἷαι κἂν εἰσι καὶ ὅσαι, καὶ εἰς δύο ἔτη ἐπιτιμᾶσθαι μόνον. Καὶ ταῦτα δέ, ὅσα καταχρηστικῶς ἐπράχθησαν καὶ ἐχρόνισαν, πολλάκις δὲ καὶ ἕως γήρως· ὅσα δὲ ἅπαξ, ἢ δεύτερον, ἢ τρίτον γεγόνασι καὶ ἐξεκόπησαν, οἷα κἂν εἰσι καὶ ἕως χρόνου, ἢ καὶ ἥμισυ ἐπιτιμάσθωσαν. Ἐὰν δὲ ἐπὶ γυναικῶν φόνοι καὶ μαγεῖαι ἐπράχθησαν, ἢ καὶ ἕως τοῦ παρὰ φύσιν καὶ ἕως ὀκτὼ καὶ δέκα ἐπιτιμᾶσθαι ἐνιαυτῶν. Ταύτας δὲ τὰς διαφορὰς καὶ τὰς ἐπιτιμήσεις περὶ τῆς κοινωνίας ὁρίζομεν. Πάντων γὰρ βαρύτερον ἁμάρτημα τὸ ἀναξίως κοινωνεῖν, ὃ καὶ διέλαθεν ἡμᾶς ἐρωτᾶσθαι τοῖς ἐξομολογουμένοις μετὰ τὴν ἅπασαν τῶν ἁμαρτημάτων ἐξομολόγησιν, τὸ εἰ ἆρα τὰ προεξομολογηθέντα ἕκαστος τούτων ποιῶν ἐκοινώνει, ὅπερ ἐὰν εἴπῃ ναί, καὶ μάλιστα ἔξω τοῦ Πάσχα, τοῦτο πάντων χεῖρον, οἷον ἂν ἐστι τὸ ἐλάχιστον ἁμάρτημα, καὶ πλείονα μᾶλλον ποιεῖσθαι ἀποχὴν τῆς ἁγίας κοινωνίας.

Περὶ δὲ βρώσεως καὶ πόσεως, ὡς ἡ ἑκάστου δύναται φύσις καὶ γνώμη, ἢ προαίρεσις, ἢ ἰσχύς, ἢ διάθεσις. Ἡμεῖς δὲ τέως δύο διαφορὰς ἔχομεν, ἐξ ὧν καὶ ποιοῦμεν καὶ διδάσκομεν τοῖς ἡμῖν ἐξομολογουμένοις, οἷα κἂν ὦσι τὰ ἁμαρτήματα, καὶ ἐν τοῖς μεγάλοις, ἢ καὶ μικροῖς ἡμαρτηκόσι· προείπομεν γάρ, ὅτι ἐν τοῖς ἐξομολογουμένοις ἐστὶ καὶ ἐν τοῖς τούτους ἀναδεχομένοις, ἡ ἐλαφρὰ καὶ βαρεῖα τῶν ἐπιτιμίων δόσις. Ἡ γὰρ τοῦ ἐξομολογουμένου ἀδίστακτος πίστις καὶ ἐξ ὧν ἔχει μετάδοσις, ἣν ὁ μακάριος ἀπόστολος καρπὸν πίστεως ὀνομάζει, καὶ ἡ τοῦ ἀναδεχομένου τὸν ἐξομολογούμενον εὐσύγκριτος σύγκρισις καὶ γνῶσις καὶ συμπαθητικὴ συγκατάβασις, πάντα ἐλαφρὰ ποιεῖν οἶδε, καὶ τὰ περὶ βρώσεως καὶ πόσεως, καὶ εὐχῆς καὶ κοινωνίας. Μάλιστα εἰ τύχῃ ὁ ἐξομολογούμενος, πρὸ τοῦ ἐξομολογήσασθαι, ἀποκόψας τὸ ἁμαρτάνειν, ἢ ὁμολογεῖν, κἂν μετὰ τὴν ἐξομολόγησιν ἀποκόπτειν· πολλοὶ γάρ εἰσιν οἱ ἐξομολογούμενοι καὶ λυπούμενοι, ἀλλ' ὅμως πάλιν ἁμαρτάνοντες, ἢ φύσει, ἢ κακογνωμίᾳ, ἢ καὶ πονηρᾷ συνηθείᾳ· οἱ οὖν τοιοῦτοι, ἵνα πάντοτε ἐξομολογοῦνται, ὁσάκις πέσωσιν. Εἰ δὲ καὶ τὰ ἐπιτίμια αὐτῶν ἐπλήρωσαν καὶ μέλλουσι κοινωνεῖν, μηδὲ τότε, εἰ ὅλως αὐτοὺς ἐλεῶσι, κοινωνήσουσιν, ἀλλὰ παραφυλαττέσθωσαν τὴν ἄχραντον κοινωνίαν ἕως ἂν ἀποκόψωσιν, ἐλέους γὰρ καὶ τούτου ἕνεκα μόνου ἐν τῇ κρίσει ἀξιωθήσονται. Ἐπειδὴ δὲ εἰσί τινες βίᾳ πονηρᾶς ἕξεως, μηδὲ ἐν τῇ μεγάλῃ καὶ ἁγίᾳ τεσσαρακοστῇ ἑαυτοὺς κρατῆσαι ἀπὸ ἁμαρτιῶν ἰσχύοντες, καὶ αὐτοὶ δὲ πολλάκις οἱ γυναῖκας ἔχοντες, χρὴ καὶ τούτους μετὰ τὸ πληρῶσαι τὰ ἑαυτῶν ἐπιτίμια καὶ διέλθωσι χρόνοι πολλοί, καὶ οὐκ ἔχωσι πῶς κοινωνῆσαι, διὰ τὸ αὐτοὺς ἀεὶ περιπίπτειν, κρατήτωσαν κἂν τὴν ἁγίαν τεσσαρακοστὴν πᾶσαν τὸ μὴ ἁμαρτῆσαι, καὶ οὕτω μετὰ φόβου καὶ τρόμου, τὰς τρεῖς τοῦ Πάσχα κοινωνήτωσαν ἡμέρας, τοῦτο δὲ κατὰ ἀπορίαν λέγομεν, τὸ μηδέποτε ἑαυτοὺς ἀπὸ σαρκικῶν μολυσμῶν κρατῆσαι δύνασθαι, καὶ οὐ κατ' ἄλλην γίνεσθαι διαφοράν. Ἐὰν δὲ καὶ εἰς μαλακίαν ἐμπέσωσιν ἐν σαρακοστῇ, μηδὲ οὕτω κοινωνήτωσαν, ἐὰν ἔχωσί τινες μοναχοὶ καὶ ἅγιοι εἶναι. Τὸ γὰρ ἐλεεινὸν τοῦτο καὶ παντοκράτιστον καὶ δυσαπόστατον πάθος εἶναι καὶ μόνας τεσσαράκοντα ἡμέρας παρὰ τῶν ἁγίων ἡμῶν κεκανόνισται πατέρων τοῦ μὴ κοινωνεῖν τοὺς ἐν τούτῳ παραπίπτοντας, ἀλλ' ὅμως τὰς ἄλλας τοῦ ἐνιαυτοῦ, οὐχὶ δὲ τῆς ἁγίας τεσσαρακοστῆς ὥρισται ἡμέρας.

[Л. 171). Ἐκλογὴ ἐπιτιμίων πάντων τῶν πατέρων.

[Л. 173). Παρασημειώσεις τῶν ἐκκλησιαστικῶν κανόνων. Раз-

ныя каноническія статьи, акаѳистъ, канонъ на исходъ души, крестобогородичны на нотахъ и безъ оныхъ.

LII. № 450. Τυπικὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας τῆς ἐν Ἱεροσολύμοις ἁγίας λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα. Αὕτη ἡ ἀκολουθία γίνεται καὶ ἐν ταῖς λοιπαῖς τῶν ἐν Ἱεροσολύμοις ἁγίων μονῶν. Ркп. Александрійской патріаршей библіотеки въ Каирѣ, въ 16 долю листа, 295 листовъ, писана мелкимъ четкимъ почеркомъ 1442 года. Годъ написанія рукописи мы опредѣляемъ началомъ пасхаліи съ 6950 года. На выходныхъ листахъ есть нѣсколько замѣтокъ 1524 и 1523 и др. годовъ и подпись: Τυπικὸν τῆς Ἀλεξανδρείας ἐκκλησίας τοῦ ἁγίου Σάββα, ὑπάρχει ἐδικό μου Ἰωακείμ, πατριάρχου Ἀλεξανδρείας.

[л. 1). Вводная часть безъ раздѣленія на отдѣльныя статьи съ особыми заглавіями. Каждая статья начинается: Χρὴ γινώσκειν, Δεῖ εἰδέναι κτλ. Въ статьяхъ нерѣдко дѣлаются ссылки на иную практику.

[л. 21 об.). Ἀκολουθία τῆς ἐκκλησιαστικῆς ψαλμῳδίας καὶ συνάξεως τοῦ ὅλου ἐνιαυτοῦ, ἀρχομένη ἀπὸ μηνὸς Σεπτεμβρίου ἕως μηνὸς Αὐγούστου.

Ничего особеннаго въ Мѣсяцесловѣ нѣтъ.

[л. 133 об.). Ἀρχὴ τῆς πεφωτισμένης μ', ἀρχομένης ἀπὸ τοῦ τελώνου καὶ τοῦ φαρισαίου.

[л. 205 об.). Ἀρχὴ τῆς μ' τῶν ἁγίων ἀποστόλων.

[л. 208). Προκείμενα καὶ ἀλληλουάρια τῶν ὀκτὼ ἤχων ἀναστάσιμα, ἤγουν ἄμνημα εἰς τὴν λειτουργίαν.

[л. 211 об.). Оглавленіе Марковыхъ 95 главъ.

[л. 213). Μάρκῳ, ἁμαρτωλῷ ἱερομονάχῳ, σύνταγμα, πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ Τυπικοῦ.

[л. 264). Πασχάλιον.

Типиконъ принадлежитъ къ обычному типу церковнаго Устава. Его особенность заключается лишь въ относительномъ согласіи Марковыхъ главъ въ Синаксарѣ съ Марковыми самостоятельными главами и въ существованіи въ Тріоди цвѣтной замѣчаній нѣкоего Нила. Замѣчанія эти въ родѣ слѣдующихъ: Ἰστέον, ὅτι οὐ σχολάζουσιν οἱ στίχοι, οὓς ψάλλομεν τῇ κυριακῇ, πώ-

ποτε, πλὴν τῇ μεγάλῃ κυριακῇ καὶ πάσῃ τῇ Διακαινησίμῳ ἑβδομάδι. Τοῦτο δέ, ὃ λέγει, ὅτι τῷ Κυρίῳ ᾄσωμεν οὐ λέγομεν, μόνον ἐν ὅλῃ τῇ ν' οὐ ψάλλομεν αὐτό, ἀλλ' οὐδ' ἐν μιᾷ ἑτέρᾳ Δεσποτικῇ ἑορτῇ, ἢ ἁγίου μεγάλου μνήμῃ, ὁπόταν δηλονότι οὐ ψάλλομεν τὴν Ὀκτώηχον. 2) Ἰστέον, ὅτι μετὰ τὸν Ἀπρίλιον μῆνα καὶ ἡ εὐλόγησις γίνεται τῶν ἄρτων, ἀλλ' οὐ κλῶμεν αὐτούς, οὔτε ἐσθίομεν, διὰ τὸ σμικρυνθῆναι τὴν νύκτα, ἀλλὰ τὸ πρωῒ ἐσθίομεν αὐτοὺς μετὰ τὴν διάδοσιν τοῦ πρώτου. Нужно, однако, замѣтить, что такихъ замѣчаній немного.

LIII. № 100. Λ. Τυπικόν, рукопись библіотеки лавры пр. Аѳанасія Аѳонскаго въ 4 долю листа, 282 листа, писана въ 1449 году, какъ видно изъ приписки: Ἐτελειώθη δὲ τὸ παρὸν Τυπικὸν διὰ χειρὸς καὶ ἐξόδου ἐμοῦ, τοῦ ἁμαρτωλοῦ Ἰωσὴφ ἱερομονάχου, εἰς ἰδίαν περιποίησιν ἐν τῇ τοῦ Ἄθῳ λαύρᾳ, καὶ μετὰ τὸν θάνατόν μου εὔχεσθε οἱ κεκτημένοι τοῦτο, ἔτους ͵ςϠνζ', ἰνδ. ιβ'. Начала въ рукописи не достаетъ. Начинается чиномъ утрени въ обычные дни. Первая часть не имѣетъ раздѣленій на главы, а каждая статья начинается: Δεῖ γινώσκειν. Марковыя главы ничего не представляютъ особеннаго. Въ прибавленіи прокимны, ипакои и т. п. статьи.

LIV. № 197. Τυπικόν, рукопись въ Аѳоно-Дохіарской библ. 16 долю, 178 листовъ, писана весьма мелкою скорописью 1458 года, какъ это видно изъ слѣдующей приписки въ концѣ: Ἐγράφη τὸ παρὸν βιβλίον διὰ χειρὸς κἀμοῦ τοῦ ταπεινοῦ ἐπισκόπου κυροῦ Ἰωακείμ, ἐν ἔτει ͵ςϠξς' 1458, ἐν μηνὶ Μαρτίῳ κ'.

[л. 1—39). Слова и житія разныхъ отцевъ.

[л. 39). Ἀρχὴ σὺν Θεῷ. Τυπικὸν τῆς ἐκκλησιαστικῆς τάξεως, περιέχον ἅπασαν τὴν ἀκολουθίαν τῆς τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα μονῆς τῆς ἐν Ἱεροσολύμοις.

[л. 39). Εἴδησις τοῦ μικροῦ ἑσπερινοῦ.

[л. 39 об.). Εἴδησις τοῦ μικροῦ ἑσπερινοῦ.

[л. 16 об.). Εἴδησις τῶν ἀγρυπνιῶν τοῦ ἐνιαυτοῦ ὅλου.

[л. 47). Ἔκφρασις ἐν ἐπιτομῇ τῆς ἐκκλησιαστικῆς διατάξεως περὶ τοῦ πῶς δεῖ στιχολογεῖσθαι τὸ Ψαλτήριον τοῦ ὅλου ἐνιαυτοῦ. Статья эта безъ всякихъ раздѣленій и самой простой древнѣйшей редакціи Типиконовъ XIII в.

[л. 56 об.). Ἀρχὴ τῆς ἰνδίκτου, ἤτοι τοῦ νέου ἔτους.

[л. **126**). Ἀκολουθία τῆς ἁγίας καὶ μεγάλης μ'.

[л. **156**]. Службы по Тріоди цвѣтной.

[л. **176** об.). Ἰστέον, ὅτι οὕτω δεῖ θυμιᾶν ὁ ἱερεύς, ἢ ὁ διάκονος.

[л. **152** об.). Εἴδησις τῶν ἡμερινῶν παθῶν τῆς ἁγίας καὶ μεγάλης παρασκευῆς, ποίημα Κυρίλλου, πατριάρχου Κωνσταντινουπόλεως (sic).

LV. № 285. Τυπικόν, рукопись Императорской Вѣнской библіотеки, въ 16 долю листа, 304 листа, писана почеркомъ 1459 года, какъ о томъ свидѣтельствуетъ слѣдующая приписка: Θεοῦ τὸ δῶρον, Ἀθανασίου ἱερομονάχου πόνος, ἔτους ,ςϠξζ' Ἰουλίου ιε', ἰνδικτιῶνος ζ'.

Вводная часть безъ раздѣленія на главы.

[л. **19**). Ἀκολουθία τῆς ἐκκλησιαστικῆς διατάξεως, ψαλμῳδίας τε καὶ συνάξεως τοῦ ὅλου ἐνιαυτοῦ, ἀρχομένη ἀπὸ μηνὸς Σεπτεμβρίου μέχρι μηνὸς Αὐγούστου.

[л. **138** об.). Ἀκολουθία τῆς ἁγίας καὶ μεγάλης τεσσαρακοστῆς.

[л. **200**). Службы на постъ рождественскій.

[л. **203**). Прокимны, аллилуаріи 8 гласовъ, прокимны воскресные и свѣтильничные на 8 гласовъ.

[л. **206**). Εὐχή, ἐπιλεγομένη εἰς πάσας τὰς ὀπώρας μετὰ τὸ τελέσαι τὴν θείαν μυσταγωγίαν τὸν ἱερέα καὶ τὴν τοῦ ἀντιδώρου διάδοσιν.

[л. **207**). Μάρκῳ, ἁμαρτωλῷ ἱερομονάχῳ, σύνταγμα, πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ Τυπικοῦ. 95 главъ.

[л. **246**). Ἀρχὴ σὺν Θεῷ. Οἱ εἱρμοί. Ирмосы Октоиха всѣхъ 8 гласовъ, ирмосы на Рождество Христово, Успеніе Богоматери, въ недѣлю Ѳомину и т. д. Подъ этимъ заглавіемъ помѣщенъ весь Ирмологій, за исключеніемъ прибавочныхъ къ нему статей. Конецъ этой статьи такой: Τέλος τοῦ Εἱρμολογίου.

Настоящій Типиконъ подробно описывается въ «Catalogus sive recensio specialis omnium codicum manuscriptorum graecorum bibliothecae Caesaria Vindobon. D. de Nessel Vindob. et Norimb. 1690 an. pag. 390 и 391 и болѣе подробно P. Lambecii Hamburgens. Commentar. de augustissima bibliotheca caesarea Vindobonens. ed Vindobon. 1778 an. lib. V, pag. 602. Этимъ Типикономъ пользовался и Левъ Алляцій въ своемъ извѣстномъ сочи-

неніи: «De libris et rebus ecclesiasticis Graecornm». Paris. 1646 an., pag. 4—16.

LVI. № 16. В. Типиконъ библ. лáвры пр. Аѳанасія Аѳонскаго, рукопись, 9 сантиметровъ длины и 7 ширины (7 и 4 текстъ), писана скорописью чрезвычайно мелкою на пергаменѣ. Время происхожденія этой рукописи можно видѣть изъ пасхаліи въ концѣ рукописи. Здѣсь начальный годъ пасхаліи ͵ϛϠοα´ (1461 г.) и конечный ͵ϛϠϞθ´. Всѣхъ листовъ 242. Рукопись не имѣетъ начала. Начинается: Ἡ σύναξις τῶν ο´ ἀποστόλων καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοκτίστου τοῦ ἐν Κουκούμῃ τῆς Σικελίας т. е., 4 Января мѣсяца. Въ этомъ Типиконѣ нѣтъ никакихъ замѣчаній относительно праздника Срѣтенія Господня, нѣтъ указанія на перемѣну одеждъ багряныхъ на бѣлыя во время литургіи въ великую субботу, а говорится, что священникъ одѣтъ въ бѣлыя одежды при самомъ началѣ ея [л. **112** об). Имѣются и нѣкоторыя другія весьма незначительныя особенности въ текстѣ. Послѣ замѣчаній о службѣ въ постъ святыхъ Апостоловъ [л. **142** об.—**143**) и [л. **144**) Ἀντίφωνα τῆς Μεταμορφώσεως, [л. **146**—**182**) слѣдуетъ замѣчаніе о кажденіи священникомъ и діакономъ, [л. **142** об.—**143**) чистые, [л. **182** об.) Блаженны 8 гласа, апостолъ и евангеліе, [лл. **186**—**194** чистые, [л. **197** об.) Στιχηρὰ παρακλητικὰ εἰς τὴν ὑπεραγίαν Θεοτόκον, [л. **197** об.) Ἐν τῷ ὄρθρῳ κανὼν παρακλητικὸς εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, [л. **204** об.) Ἕτερος κανών, [л. **207**—**210**) чистые, [л. **211**) Пасхалія, [л. **223** об.) Προσόμοια τῆς Θεοτόκου, [л. **226**) Κανὼν παρακλητικός, [л. **235**) Ἕτερα προσόμοια εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ εἰς τὴν τούτου Μητέρα καὶ Θεοτόκον.

LVII. № 1109. Τυπικόν, ркп. Синайск. библ. въ 8 долю листа, 260 листовъ, писана четкою скорописью 1464 г. Время написанія рукописи опредѣляется слѣдующею припискою: Ἐτελειώθη τὸ παρὸν Τυπικὸν διὰ χειρὸς ἐμοῦ ἐλαχίστου ἱερέως Γεωργίου τοῦ Τζεγγαροπούλου, οἰκέτου τῆς ἁγίας ἐνδόξου μεγαλομάρτυρος καὶ πανσόφου Αἰκατερίνης, διὰ ἐξόδου τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἡμῶν πατρὸς καὶ οἰκονόμου τῆς αὐτῆς ἁγίας κὺρ Ἀθανασίου μοναχοῦ ἐν τῇ Κρήτῃ, εἰς ͵αυξδ´, εἰς τὸν μῆνα τὸν Νοέμβριον εἰς τὴν γ´ αὐτοῦ, εἰς ͵ϛϠογ´ ἔτος.

Ἐν ταύτῃ δὲ τῇ ἡμέρᾳ, ἦλθεν ὁ αὐθέντης ὁ μισὲρ Ἰάκωβος, λόρδης ὁ καπιτάνιος τετζενεράλ εἰς τὸ μοναστήριον, ἐρχόμενος ἀφ' ἑσπερίας μὲ λη' κάτεργα λιγνὰ καὶ χοντρά, ὅς ἐστι περκουραδόρος τοῦ μοναστηρίου, καὶ ἐδέχθηκεν αὐτὸν ὁ εἰρημένος ἁγιώτατος οἰκονόμος, ὡς ἔπρεπε, καὶ ἐξοδίασε πολλὰ καὶ ηὐχαρίστησεν αὐτῷ ὁ εἰρημένος ἐνδοξώτατος ἄρχων· ἐξ οὗ γὰρ καὶ οὐκ ἔλαβεν ἐφ' ὅλην τὴν χώραν οὐδὲν δωρεάν, εἰ μὴ μόνον εἰς τὸ μοναστήριον ἔλαβεν· εἴ τι ἄρα ἔδωκεν ὁ εἰρημένος οἰκονόμος, μετὰ μεγάλην χαρὰν καὶ ηὐχαρίστησεν. Ἔγραφα δὲ αὐτὸ ἐγὼ ὁ διὰ ἕνα μῆνα καὶ ἔγραφα καὶ ἄλλα τινά, ὃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ, καὶ δέομαι ὑμῶν, πατέρες, τοῦ μέμνησθαι κἀμοῦ τοῦ ἁμαρτωλοῦ. Ἀμήν. Есть и другія приписки: ͵αχιθ', Ἰουλίῳ 27, εὐγῆκαν τὸν Κεαφὲρ πασὰ καὶ ἔκαμεν εἰς τὸ σκαμνὶ μῆνας 6 и β) Ἔτει ἀπὸ Χριστοῦ 1799, ἐν μηνὶ Μαΐῳ 7, ἡμέρᾳ σαββάτῳ, ὥρᾳ τετάρτῃ σεισμὸς γέγονε κατὰ τὸ μέρος τοῦ ἁγίου ὄρους Σινᾶ καὶ εἰς τὸ μοναστήριον, ὅτε καὶ οἱ σκλάβοι ἐπάτησαν τὸ περιβόλιον.

[л. 1). Πίναξ ἄριστος τῆς παρούσης πυξίδος.

[л. 6). Μάρκου, ἁμαρτωλοῦ ἱερομονάχου, σύνταγμα, πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ Τυπικοῦ. Всѣхъ главъ 100. Образовались онѣ такимъ образомъ. Статьи Марка разбиты на болѣе мелкія части, или, вѣрнѣе, мелкимъ частямъ придано названіе главъ, и внесены нѣкоторыя новыя главы. Такъ, напр., изъ двухъ статей, о службѣ въ постъ Р. Христова образовались главы: 4) Общее замѣчаніе объ этомъ постѣ и о чинѣ вечерни, 5) О повечеріи, 6) О первомъ днѣ поста, 7) Объ утрени, канонахъ и часахъ, 8) О службѣ съ Аллилуія въ понедѣльникъ, среду и пятницу, 9) О повечеріи, 10) О полунощницѣ и утрени и о постѣ св. Апостоловъ. Прибавлены 21 глава: О Срѣтеніи въ субботу сырную, 37) Если Благовѣщеніе случится въ субботу и 38) если оно же падаетъ на воскресенье. Послѣ главы 75 о предпразднественныхъ и попразднественныхъ канонахъ съ двумя святыми Минеи слѣдуютъ главы: 76) О двухъ святыхъ, имѣющихъ два тропаря въ воскресенье. 77) О предпразднественныхъ и попразднественныхъ тропаряхъ съ святымъ, имѣющимъ тропарь, 78) О тропаряхъ Господскихъ праздниковъ въ воскресенье, 79) О тропаряхъ предпразднествъ и попразднествъ и каждодневныхъ святыхъ, 80) О святыхъ двухъ, имѣющихъ кондаки съ предпразднествомъ и попраздне-

ствомъ, 81) О предпразднествахъ и попразднествахъ съ двумя святыми въ воскресенье, 81) О святомъ, имѣющемъ всенощное бдѣніе въ воскресенье, 83) О святомъ, имѣющемъ поліелей и празднуемомъ на 6 въ вескресенье, 84) О святомъ, празднуемомъ на 6 безъ поліелея, въ воскресенье, 85) О предпразднествахъ Господскихъ праздниковъ въ воскресенье, 86) О святомъ, имѣющемъ поліелей и празднуемомъ на 8, въ субботу, 87) О предпразднествахъ и попразднествахъ съ святымъ, имѣющимъ литургію въ субботу, 88) О литургіи въ субботу, когда есть Аллилуія, 89) О тропаряхъ святымъ и первобогородичныхъ въ пятницу вечеромъ, въ субботу и въ воскресенье, 90) О святомъ, празднуемомъ на 8, имѣющемъ «Блаженъ мужъ» и поліелей, если случится въ среду или пятницу, то какіе богородичны поются, 91) О томъ же, если празднуется святой на 6, 92) О первобогородичныхъ въ субботу и въ воскресенье, 93) О святомъ, имѣющемъ входъ и первобогородиченъ въ стихирахъ, 94) Когда не поемъ «Господеви поемъ», 95) Когда поется «Честнѣйшую» и когда не поется, 96) Когда бываетъ литія и когда не бываетъ, 97) О тропаряхъ повечерій предпразднествъ, святыхъ и дней недѣли, 98) О пѣніи заупокойныхъ каноновъ, 99) О послѣдованіи въ субботу, когда случится Аллилуія съ памятью святаго и 100) О канонахъ въ теченіе всей недѣли съ Минеею.

Къ этимъ главамъ есть слѣдующія добавленія съ именемъ на полѣ: Νικηφόρος: a) *Περὶ τοῦ πῶς δεῖ γίνεσθαι τῇ παρασκευῇ ἑσπέρᾳ ἡ ὑπὲρ τῶν κεκοιμημένων ἀκολουθία* и b) *Περὶ τῆς ἀνάψεως τῶν κηρίων τῶν τῆς ἑορτῆς καὶ τῶν καθημερινῶν* на всѣхъ службахъ круга суточнаго и въ теченіе цѣлаго года.

[л. 43 об.). *Τυπικὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας τῆς ἐν Ἱεροσολύμοις ἁγίας λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα. Αὕτη ἡ ἀκολουθία γίνεται καὶ ἐν τοῖς τῶν Ἱεροσολύμων ἁγίων μονῶν καὶ πάσαις ταῖς ἐν ταῖς λοιπαῖς ἁγίαις ἐκκλησίαις.*

— Κεφ. α'. Εἴδησις τοῦ μεγάλου (sic) ἑσπερινοῦ.

— Κεφ. β'. Περὶ τῆς ἀγρυπνίας διάταξις, ἤτοι περὶ τοῦ μεγάλου ἑσπερινοῦ καὶ περὶ (τοῦ) τῆς κυριακῆς ὄρθρου.

[л. 48 об.). Κεφ. γ'. Εἴδησις καὶ ὑποτύπωσις τῶν ἀγρυπνιῶν τοῦ ὁλουἐνιαυτοῦ.

[л. 49). Κεφ. δ'. Ἔκφρασις ἐν ἐπιτομῇ τῆς ἐκκλησιαστικῆς διατάξεως τῶν ἐν Ἱεροσολύμοις ἁγίων μοναστηρίων. Περὶ τοῦ πῶς δεῖ στιχολογεῖσθαι τὸ Ψαλτήριον ἐν ὅλῳ τῷ ἐνιαυτῷ.

[л. 49 об.). Κεφ. ε'. Εἴδησις τοῦ σημάντρου. Περὶ τοῦ πῶς δεῖ σημαίνειν καθ' ἑκάστην ἡμέραν, ἐν ᾧ καὶ διάταξις τῆς ἀκολουθίας τοῦ ἑσπερινοῦ, τοῦ μεσονυκτικοῦ καὶ τοῦ ὄρθρου τῶν ἡμερῶν τῆς ἑβδομάδος, ἐν αἷς ψάλλομεν Ἀλληλούια, καὶ περὶ τῆς πρώτης ὥρας.

[л. 51 об.). Κεφ. ς'. Περὶ τοῦ προκειμένου καὶ τοῦ ἀλληλουαρίου, καὶ τοῦ ἀποστόλου, καὶ τῆς ἐν τῇ ἀγρυπνίᾳ καὶ τῇ τραπέζῃ ἀναγνώσεως, παρὰ τίνος τελεῖσθαι ὀφείλουσιν. Здѣсь и о покровеніи главъ.

— Κεφ. ζ'. Εἴδησις μερικὴ περὶ τοῦ μικροῦ ἑσπερινοῦ, πῶς ὀφείλει ψάλλεσθαι παρ' ὅλην τὴν ἑβδομάδα, ὅτε μὴ ἔστιν ἑορταζόμενος ἅγιος. Здѣсь же и о кажденіи священникомъ.

[л. 246 об.). *Περὶ τῆς μνήμης τῶν ἁγίων μ΄, εἰ τύχοι τῇ β΄ κυριακῇ τῶν νηστειῶν, ἢ ἄλλῃ.*

Такимъ образомъ, настоящій Типиконъ нельзя считать спискомъ съ Типикона № 1109 въ буквальномъ смыслѣ слова (такъ думаетъ Гардгаузенъ). Онъ во многомъ повторяетъ этотъ Типиконъ, но въ своемъ стремленіи обнять обычаи всѣхъ извѣстныхъ писцу монастырей и Типиконовъ онъ ушелъ значительно дальше перваго. Здѣсь мы видимъ всѣ поля испещренными замѣчаніями о разностяхъ службъ, и составитель не беретъ на себя даже труда свести ихъ къ единству, согласить. Онъ въ собственномъ смыслѣ копировщикъ, почему здѣсь противорѣчія на каждомъ шагу. Кромѣ главъ Марка монаха, имѣются и другія изложенія тѣхъ же службъ въ Синаксарѣ съ монограммою на полѣ: «*Μάρκος*». Въ силу этого описываемый Типиконъ расходится иногда даже въ текстѣ съ Типикономъ № 1109, включая на свои страницы новыя статьи, не бывшія въ Типиконахъ № 1106 и № 1107 (замѣчаніе о многолѣтствованіи царя), или же исключая прежнія (напр., тропари «Ангельскій соборъ» пѣть и въ чинѣ погребенія умершихъ).

LXIII. № 1107. *Τυπικόν* (обычное заглавіе), рукопись Синайск. библ. въ 8 долю листа, 222 листа, писана мелкою скорописью XV вѣка (Гардгаузенъ и этотъ Типиконъ считаетъ подобнымъ Типиконамъ № 1108, № 1109 и № 1110). По составу Типиконъ отличается отъ подобныхъ Типиконовъ XV и XIV вв. лишь тѣмъ, что въ самомъ началѣ имѣетъ *Μάρκῳ, ἁμαρτωλῷ ἱερομονάχῳ, σύνταγμα, πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ Τυπικοῦ*. Затѣмъ слѣдуютъ, по обычаю, вводная часть, Синаксарь, Тріоди постная и цвѣтная. Типиконъ оканчивается статьями о кажденіи, о соблюденіи Устава, прокимнами, аллилуаріями и свѣтильнами. Марковыя главы безъ раздѣленія на главы и въ изложеніи сходны съ Типикономъ 1392 г. № 1098, хотя и не дословно и не во всѣхъ частяхъ. Соглашенія этихъ главъ съ Синаксаремъ нѣтъ. Что же касается осталь-

ныхъ частей Типикона, то онѣ не представляютъ ничего особеннаго, обычны. Въ водной и въ другихъ частяхъ Типикона дѣлаются ссылки на практику другихъ монастырей. Первая часть Типика безъ раздѣленія на главы или отдѣлы.

LXIV. № 57. Τυπικόν, рукопись Аѳоно-Ксенофской библ. въ 8 долю листа, 264 листа, писана на тонкой бумагѣ прекраснымъ почеркомъ XV в. По заглавію, расположенію статей, по тексту ихъ и даже почти по составу самихъ статей Типиконъ сходенъ съ соборнымъ Пантократорскимъ Типикономъ XV—XVI в. Отсутствуютъ въ послѣдней части самыя незначительныя статьи, какъ напр., молитвы ангелу хранителю. Упоминается здѣсь о Типиконѣ Петры въ службахъ Благовѣщенія. Есть предпразднество, праздникъ и попразднество св. Аѳанасію Аѳонскому. Съ этой стороны настоящій Типиконъ особенной важности сравнительно съ другими не представляетъ, но интересъ его заключается во многочисленныхъ замѣчаніяхъ на поляхъ, писанныхъ мелкимъ почеркомъ XVII в. и указывающихъ на практику Ксенофскаго монастыря въ прежнее время. Эти замѣчанія, иногда очень обширныя, за немногими исключеніями, и легли въ основу нынѣшняго церковнаго Типикона въ этомъ монастырѣ. Многія Благовѣщенскія главы прямо были выписаны въ церковный Типиконъ изъ этой рукописи (см. ниже).

Въ этомъ Типиконѣ есть интересныя примѣчанія, не встрѣчающіяся въ другихъ Типиконахъ. Такъ, напр., о службѣ пр. Саввы и св. Николая замѣчается: Ἰστέον, ὅτι τὸν ἕνα χρόνον ποιοῦμεν τὸν ἅγιον Σάββα ἀγρυπνίαν, τὸν δὲ ἕτερον χρόνον τὸν ἅγιον Νικόλαον.

Ἐπειδὴ δὲ ἔχομεν ἡμεῖς τὴν δεξιὰν (иараклисъ) τῆς ἁγίας Μαρίνης (τυχούσης τῆς μνήμης αὐτῆς ἐν τῇ κυριακῇ τῶν Πατέρων) ποιοῦμεν οὕτως ἀγρυπνίαν. (Эта глава попала въ церковный Типиконъ съ незначительными измѣненіями).

Μετὰ τὴν πρώτην ὥραν τῆς ἡμέρας τῆς μεγαλης πέμπτης, γίνεται τὸ εὐχέλαιον τῶν Χριστουγέννων τῶν ἀδελφῶν, ψάλλουσιν οἱ δομέστικοι· Τὴν παγκόσμιον δόξαν καὶ τὰ λοιπὰ θεοτοκία τῆς Ὀκτωήχου. Γίνεται δὲ οὕτω τὸ εὐχέλαιον (чинъ обычный).

Μετὰ τὸ Θεὸς Κύριος, νὰ βάλλεται ἀνάγνωσις ἕως τῆς ἑτοιμασίας τοῦ ἐπιταφίου, καὶ νὰ αἴρηται ἡ καθήλωσις τότε, καὶ νὰ βάλληται ὁ ἐπιτάφιος, μετὰ δὲ τὴν ἀνάγνωσιν ἀρχόμεθα τῶν μεγαλυναρίων.

Ὅταν ἄρξηται τῆς μεγάλης δοξολογίας, ἐξέρχεται ὁ ἐπιτάφιος ἀπὸ τῶν ἁγίων θυρῶν, προπορευομένων ἓξ μανουαλίων, προπορεύονται δὲ καὶ οἱ διάκονοι μετὰ θυμιατῶν καὶ κανιστρίων, οἱ δὲ δομέστικοι ψάλλουσι τὸ Ἅγιος ὁ Θεός, καὶ οἱ ἱερεῖς ἅπαξ ἀργῶς· ἐξέρχεται δὲ διὰ τῶν βασιλικῶν πυλῶν καὶ περιέρχονται τὴν ἐκκλησίαν λιτανεύοντες, καί, εἰσελθόντες ἔνδον τοῦ ναοῦ, ἔρχονται εἰς τὸ πορφυροῦν, καὶ ἵσταται ὁ διάκονος ἔμπροσθεν τοῦ ἐπιταφίου καὶ ποιεῖ σταυρὸν μετὰ τοῦ θυμιατοῦ, λέγουν ὅλοι· Σοφία, ὀρθοί. Καὶ οἱ ἱερεῖς· Ὁ εὐσχήμων Ἰωσὴφ ἕως τοῦ· Κηδεύσας ἀπέθετο. Ἔτι, λεγομένου τούτου, εἰσέρχονται ὅλοι εἰς τὸ βῆμα διὰ τῶν ἁγίων θυρίων καὶ τιθέασι τὸ ἐπιτάφιον ἐπὶ τῆς ἁγίας τραπέζης, καὶ εὐθὺς τὴν προφητείαν.

LXV. № 59 (402). Τυπικὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας τῆς ἐν Ἱεροσολύμοις ἁγίας λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα. Αὕτη ἡ ἀκολουθία γίνεται καὶ ἐν ταῖς λοιπαῖς τῶν ἐν Ἱεροσολύμοις ἁγίων μονῶν. Рукопись библ. Святогроб. метоха въ Константинополѣ въ четвертку, 316 листовъ, писана скорописью весьма мелкою и со множествомъ словосокращеній XV в. Рукопись въ началѣ и концѣ имѣетъ нѣсколько прибавочныхъ статей. Въ концѣ одной изъ нихъ, въ началѣ рукописи, можно видѣть слѣдующую приписку: 1674, Ἰουνίῳ μηνί. Ἐλάβομεν τὸ παρὸν ἀπὸ τῆς παρὰ τὸ Μελένικον μονῆς τοῦ Ῥοζινοῦ νὰ εἶναι εἰς τὴν περιήγησιν ἡμῶν καὶ τῶν μεθ' ἡμᾶς πατριαρχῶν Ἱεροσολύμων.

† Ὁ Ἱεροσολύμων Δοσίθεος.

[л. 1). Θεοτοκία, κατ' ἦχον ψαλλόμενα καθ' ἑκάστην ἡμέραν σὺν τοῖς τροπαρίοις τῶν ἐπιλανθανόντων ἁγίων, εἰ οὐχ ἑορτάζονται.

[л. 5—7). Разные тропари и стихиры.

[л. 8). Εἴδησις τοῦ μικροῦ ἑσπερινοῦ. Чинъ малой вечерни и начало великой.

[л. 10). Εἴδησις τοῦ μικροῦ ἑσπερινοῦ. Чинъ малой вечерни и полный чинъ всенощнаго бдѣнія.

[л. 16 об.). Εἴδησις τῶν ἀγρυπνιῶν τοῦ ὅλου ἐνιαυτοῦ.

[л. 17). Περὶ τοῦ Ψαλτηρίου, πῶς στιχολογεῖται.

[л. 17 об.). Εἴδησις τοῦ σημαντῆρος, τὸ πότε σημαίνει. Содержится въ этой главѣ порядокъ и подробное изложеніе седмичной вечерни и утрени съ первымъ часомъ.

[л. 22). Περὶ τὸν κανονάρχην.

[л. 22 об.). Πότε ἀποσκεπαζόμεθα.

— Πῶς ψάλλειν τὸν ἑσπερινόν.

— Πότε δεῖ θυμιᾶν τὸν ἱερέα.

— Πῶς ψάλλονται τὰ τῶν Δεσποτικῶν ἑορτῶν στιχηρὰ ἐν ὅλῃ τῇ ἰνδίκτῳ.

[л. 23). Πῶς ψάλλειν τὰς παρασκευὰς ἐν ὅλῃ τῇ ἰνδίκτῳ ἑσπερινόν.

— Πῶς ψάλλειν τὸν πολυέλεον ἐν ταῖς παρασκευαῖς.

— Περὶ συντυχίας.

— Παραγγελία τοῖς ἐν τῷ νάρθηκι ἀδελφοῖς.

[л. 23 об.). Περὶ τοῦ ἐναρξαμένου χοροῦ.

— Περὶ κατὰ τίνα αἰτίαν.

— Περὶ τῆς μ′ τῶν Χριστουγέννων καὶ τῶν ἁγίων Ἀποστόλων, ὅτε τύχῃ Ἀλληλούια.

[л. 24). Δήλωσις τῶν μεσωρίων.

[л. 25). Πότε ψάλλειν τοὺς τυχόντας Ἀλληλούια.

— Πότε γίνονται αἱ μετάνοιαι.

— Τὰ μεσώρια τῆς α′ ὥρας.

[л. 25 об.). Τίς τάσσει ἐν τοῖς χοροῖς.

— Πῶς ψάλλονται οἱ κανόνες.

— Πρὸ τοῦ σημᾶναι τὸν ἑσπερινόν, τί δὲ ποιεῖ τῇ παρασκευῇ ἑσπερινόν. Здѣсь изложенъ порядокъ службъ субботнихъ.

[л. 27 об.). Χρὴ γινώσκειν, πῶς ἀναγινώσκεται τὰ εὐαγγέλια καὶ αἱ αὐτῶν ἑρμηνεῖαι.

— О литургіяхъ.

[л. 28). О чтеніи воскресныхъ утреннихъ евангелій.

[л. 28 об.). Перечисленіе дванадесятыхъ и важнѣйшихъ праздниковъ.

[л. 29). Μάρκῳ, ἁμαρτωλῷ ἱερομονάχῳ, σύνταγμα, πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ Τυπικοῦ. Главъ 36, и онѣ не содержатъ въ себѣ того, что извѣстно въ нашемъ Типиконѣ съ этимъ именемъ. У насъ излагаются особенности въ службахъ праздниковъ Господскихъ, Богородичныхъ и важнѣйшихъ святыхъ, а здѣсь

только особенности общія на цѣлый годъ, безъ указаній на ту или другую праздничную службу въ частности. Особенности же службъ круга годичнаго изложены въ Мѣсяцесловѣ непосредственно послѣ самыхъ праздниковъ.

[л. 46). Ἀκολουθία τῆς ἐκκλησιαστικῆς ψαλμῳδίας τε καὶ συνάξεως τοῦ ὅλου ἐνιαυτοῦ, ἀρχομένη ἀπὸ μηνὸς Σεπτεμβρίου ἕως μηνὸς Αὐγούστου.

[л. 225). Ἀρχὴ τῆς πεφωτισμένης ἁγίας καὶ μεγάλης τεσσαρακοστῆς, ἀρχομένης ἀπὸ τοῦ τελώνου καὶ φαρισαίου.

[л. 269). Службы Тріоди цвѣтной, начиная отъ Пасхи.

[л. 291). Ἀρχὴ τεσσαρακοστῆς τῶν Ἁγίων Ἀποστόλων.

]л. 293). Περὶ τῶν ἀποδείπνων.

[л. 294). Περὶ τοῦ πῶς δεῖ θυμιᾶν τὸν ἱερέα.

[л. 294 об.). О времени открытія и закрытія царскихъ вратъ.

[л. 295). Περὶ τοῦ πάσῃ σπουδῇ φυλάττειν τὸν προεστῶτα καὶ μὴ παρορᾶσθαι τὰ ἐν τῷ Τυπικῷ ἅπαντα καὶ περὶ τοῦ μὴ διατρίβειν τοῦτον ἔξω τῆς μονῆς καὶ ἀμελεῖν τῶν πιστευθέντων αὐτῷ ψυχῶν ἄνευ μεγάλης ἀνάγκης.

Δεῖ τοίνυν τὸν προεστῶτα πᾶσαν ἐνδείκνυσθαι σπουδήν, ἵνα μήτι μετὰ τῶν ἐν τῷ παρόντι Τυπικῷ μίκρὸν ἢ μεῖζον, κατὰ τίνα αἰτίαν παροραθῇ, ἀλλὰ φυλάττηται ἡ ἐκκλησιαστικὴ ἀκολουθία, τάξις τε καὶ κατάστασις ἅπαντα [1]) ἀπαράθραυστος καὶ ἀμεταποίητος, καθὼς παρὰ τῶν πρὸ ἡμῶν πατέρων παρεδόθη ἡμῖν, καὶ ἐν ταῖς ἁγίαις αὐτῶν μοναῖς τε καὶ λαύραις νενομοθέτηται. ἤγουν Εὐθυμίου τοῦ μεγάλου, Σάββα τοῦ ἡγιασμένου, Θεοδοσίου τοῦ κοινοβιάρχου, Γερασίμου τοῦ ἐν τῷ Ἰορδάνῃ, ᾧ δεδούλευκεν ὁ θήρ, Χαρίτωνος τοῦ ὁμολογητοῦ καὶ Κυριακοῦ τοῦ ἀναχωρητοῦ, οἵτινες ἀλληλοπαρόχως, ὡς περί τινα κλῆρον, ταύτην ἀπὸ τῶν παρόντων οἱ μετὰ ταῦτα διαδεξάμενοι δηλαδή, ὡς παρὰ πατέρων υἱοί, ἵνα μήπως τῇ ἀγράφῳ ἐκδόσει καὶ χρονίᾳ παραδρομῇ λήθης βυθοῖς ἐμπεσοῦσα ἀμαυρωθείη, ζήλῳ θείῳ κινηθεὶς ὁ ἐν πατριάρχαις μέγας Ἱεροσολύμων Σωφρόνιος, ἐγγράφως ταύτην τοῖς εἰς μετέπειτα παρέδωκεν [2]), ὡς δὲ λόγος, ὅτι τὴν ἁγίαν λαύραν τοῦ μεγάλου Σάββα οἱ βάρβαροι ἐνεπύρισαν, καὶ τὸ πονηθὲν σύγγραμμα τῷ μακαρίτῃ Σωφρονίῳ πυρὸς παρανάλωμα γέγονε. Καὶ ὁ τὰ θεῖα σοφὸς

[1]) Варіанты по ркп. 1392 и 1528 гг. πᾶσα [2]) παραδέδωκεν

Ἰωάννης ὁ πάνυ, ὁ Δαμασκηνὸς τὸ ἐπώνυμον, καὶ ὡς φιλεργὸς μέλισσα τὰς γλυκυτέρας κηρίου καὶ μέλιτος ἱερὰς πατρικὰς παραδόσεις συλλεξάμενος, ἔκτοτε καὶ μέχρι νῦν ἑκάστῃ γενεᾷ διασώζονται. Τοίνυν καὶ ἔτι στερεωθῆναι τὴν ἀκολουθίαν ταύτην γλιχόμενοι καὶ ἡμεῖς εἰς ἀνάμνησίν [1]) τε τῶν ῥημάτων τῶν ἁγίων πατέρων ἡμῶν, τῶν ταύτην ἐκδεδωκότων, καὶ ἐξιλασμὸν τῶν ἡμετέρων ἁμαρτημάτων ἐγγράφως ταύτην διαλαμβάνομεν, δεδοικότες μήπως ἐκ τοῦ μὴ λεπτολογεῖσθαι τὰ τῆς ἐκκλησιατικῆς ἀκολουθίας καταστάσεως τε καὶ τάξεως ἀφανισθείη, παραῤῥυέντα καὶ κατὰ μικρὸν εἰς τὸ μηδὲν καταντήσαντα [2]), ὅπου γε καὶ τὰ ἐγγράφως τυπωθέντα ὁρῶμεν ὁσημέραι κατ' ὀλίγον διαφθειρόμενα καὶ ἀφανιζόμενα καὶ εἰς τὸ μὴ ὂν [3]) καταλήγοντα. Αὐτὸς δὲ οὗτος ὁ προεστὼς οὐχ ἕξει ἄδειαν ἐν ταῖς τρισὶ ταύταις ἁγίαις τεσσαρακοσταῖς, τῇ μεγάλῃ φημὶ καὶ τῶν Χριστουγέννων καὶ τῶν ἁγίων Ἀποστόλων, τῆς μονῆς ὅλως ἐξέρχεσθαι καὶ ἀλλαχόσε διάγειν, ἀλλ' οὐδὲ τὸν ὅλον σχεδὸν ἐνιαυτόν, εἰ μήπω μεγάλη τίς καὶ ἀναγκαία χρεία τῆς μονῆς εἴη κατεπείγουσα [4]) αὐτόν, ἣν ἐκπληρώσας τάχιον, ὑποστρέψει πρὸς τὴν μονὴν καὶ τῶν αὐτῷ ἀνηκόντων πάλιν ἐφάψηται· προτιμητέα γάρ ἐστι πασῶν δουλειῶν ἡ τῶν ἀνθρωπίνων ψυχῶν ἐπιμέλεια, καὶ οὐ μόνον αὐτὸς οὐκ ἐξελεύσεται τῆς μονῆς, ἀλλ' οὐδ' ἑτέρῳ τινὶ παραχωρήσει τῶν ἀδελφῶν κατὰ ταύτας δηλαδὴ [5]) τὰς ἁγίας τεσσαρακοστὰς τῆς μονῆς ὅλως ἐξέρχεσθαι, πάρεξ τῶν διακονητῶν καὶ μόνον. Ὑμεῖς δὲ πατέρες καὶ ἀδελφοὶ ἅπαντες, οἱ τῇ μοναδικῇ πολιτείᾳ προσελθόντες καὶ τὴν [6]) τῶν οὐρανῶν βασιλείαν ἀντὶ τῶν μικρῶν τούτων καὶ οὐδαμινῶν κόπων ἀπεκδεχόμενοι, ὁρᾶτε μὴ καταφρονητικῶς τὸ ἔργον τοῦ Θεοῦ μετέρχησθε [7]), ἵνα μὴ ἀντὶ μισθῶν [8]) κατάραν ἑαυτοῖς ἐπισπάσησθε [9]), ἐπικατάρατος γὰρ φημὶ [10]) πᾶς ὁ τὸ ἔργον Κυρίου ποιῶν ἀμελῶς, μὴ οὖν ἀμελῶς καὶ ῥαθύμως, μὴ ἐκ βίας ἢ ἐξ ἀνάγκης· ἱλαρὸν γὰρ φησὶ [11]) δότην ἀγαπᾷ ὁ Θεός, εἰ δὲ καὶ ἑαυτοὺς βιάσωμεν, ἀντὶ τῆς μικρᾶς ταύτης βίας τὴν τῶν οὐρανῶν βασιλείαν ἑαυτοῖς ἀνταλλαξόμεθα· βιαστὴ γάρ ἐστιν αὕτη καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν, ὡς τὸ ἱερὸν [12]) ἡμᾶς διδάσκει [13]) εὐαγγέλιον· καὶ γὰρ ἀδελφοί μου ἀγαπητοί, ὃ σπείρει ἕκαστος, τοῦτο καὶ θερίσει [14]). Καὶ πάντα μὲν τὰ ἐν τῷ κοινοβίῳ εὐσχημόνως καὶ κατὰ

---

[1]) εἰς μνήμην. [2]) καταλήγοντα [3]) Вмѣсто μὴ ὂν стоитъ: μηδὲν [4]) χρεία κατεπείγη αὐτὸν [5]) Вмѣсто сего. κατὰ ταύτας δὴ τὰς ἁγίας [6]) και την σωτηρίαν ὑμῶν ἐπιζητοῦντες καὶ τὴν τῶν οὐρανῶν [7]) μετερχόμενοι [8]) μισθοῦ [9]) προξενήσητε [10]) φησὶν [11]) этого слова нѣтъ [12]) τὰ ἱερὰ εὐαγγέλια [13]) διδάσκουσιν ἡμᾶς [14]) θερίσει καὶ τοῦ ἰδίου κόπου λήψεται τὸ γεώργιον.

τάξιν γινέσθω, ἐξαιρέτως δὲ τὰ τῆς ἐκκλησιαστικῆς ἀκολουθίας καὶ τάξεως ὁμοῦ καὶ τῆς στάσεως· εἰ γὰρ ὁ ἐπιγείῳ βασιλεῖ παριστάμενος οὐ μικρὰς δίδωσι δίκας, εἰ φανείη καταπεφρονημένην ποιῶν τὴν παράστασιν, τί ἄρα πείσεται ὁ τῷ φοβερῷ καὶ ταῖς ἄνω δυνάμεσι παντοδυνάμῳ Θεῷ παριστάμενος καὶ τὸν νοῦν πρὸς ἃ μὴ δεῖ ῥεμβόμενον καὶ περιπλανώμενον ἔχων; Κἂν γὰρ τὸ σῶμα ἴσως τὴν οἰκείαν δοκῇ συντηρεῖν ἔξωθεν εὐσχημοσύνην τε καὶ κατάστασιν, οὐδὲν ἐκ τούτου ὄφελος, τοῦ νοὸς οὕτω διακειμένου. Καὶ μετὰ τοιαύτης περιπλανήσεως καὶ καταστάσεως [1]), ὦ ἀδελφοί, καὶ τῆς ἔσωθεν ἐπιμελήσωμεν [2]) ἐργασίας, βιασώμεθα ἑαυτοὺς εἰς τὸ ἔργον τοῦ Θεοῦ, τὸν μισθὸν ἀπεκδεχόμενοι τοῦ κόπου, ἀγωνισώμεθα δὲ πρωτοτύπως, καὶ μάλιστα οἱ μὴ ἔν τισι διακονίαις ἀσχολούμενοι, ἅμα τῇ τοῦ σημαντῆρος ἀποδόσει [3]) προθύμως ἐν τῇ ἐκκλησίᾳ ἀπαντᾶν καὶ τῇ ἐνάρξει ἐκεῖσε εὑρίσκεσθαι καὶ τὸν νοῦν ὅλον ἐπισυνάγειν ἐν αἰσθήσει [4]) καρδίας καὶ μᾶλλον ἐν τῇ τῶν θείων ὕμνων πρωτολογίᾳ, ἤως [5]) τῷ ἀμώμῳ, ὅπως μή, τῆς ἀρχῆς ἀδοκίμου εὑρισκομένης, καὶ τὸ πᾶν φανείη ἀπόβλητον. Μετὰ οὖν τὴν τῶν προοιμιακῶν ὕμνων ἀκολουθίαν τοῦ ὄρθρου, ψαλλέτω ὁ ἐκκλησιάρχης, ἢ ὁ ταχθείς, ὡς ἔθος, ἐπὶ τὸ ἑξάψαλμον ἀργῶς καὶ μεθ' ὅσης ἂν εἴποις συντριβῆς τε καὶ προσοχῆς, ὁμοίως καὶ πάντες καθ' ἑαυτούς, ὡς αὐτῷ τῷ Θεῷ προσλαλοῦντες καὶ ὑπὲρ τῶν ἰδίων ἐξιλεούμενοι ἁμαρτιῶν. Ὀφείλει δὲ ψάλλειν πραείᾳ καὶ ἡσύχῳ φωνῇ εἰς ἐπήκοον πάντων, βῆξαι δὲ ἢ πτῦσαι, ἢ ὅλως τοῦ ἰδίου τόπου σκυλλῆναι, ἢ μετακινηθῆναι, ἢ ἀπὸ τοῦ ἔξω νάρθηκος ἐν τῷ θείῳ ναῷ εἰσελθεῖν, ἐν τῷ ψάλλεσθαι τὸν ἑξάψαλμον, ἐξουσίαν οὐδεὶς ἔχει· ἀφοβίας γὰρ τοῦτο καὶ ἀκαταστασίας σημεῖόν ἐστιν. Εἰ δέ τις ἴσως τῷ γήρατι [6]) καμπτόμενος, ἢ ἀσθενὴς τετρυχωμένος οὐ πρὸς ἰσχύος ἔχει φυλάττειν ἑαυτὸν ἄσκυλτον [7]), ὡς ἐγράψαμεν, μενέτω ἐν τῷ προνάῳ, ἄχρι τῆς τοῦ ἑξαψάλμου συμπληρώσεως, καὶ τότε εἰσερχέσθω. Εἴτε Θεὸς Κύριος ψάλεται, εἴτε Ἀλληλούια, σχολαιότερον ψαλλέσθω καὶ μᾶλλον οἱ τριαδικοὶ ὕμνοι πάντων προσεκτικῶς καὶ ἀργῶς. Ὁμοίως καὶ ἡ τοῦ Ψαλτηρίου στιχολογία πραεῖα ἔστω καὶ ἴση καὶ γαληνῇ τῇ φωνῇ, ὡσαύτως καὶ ἡ λοιπὴ ἅπασα ἀκολουθία ἐξ ἰσότητος· ἀπρόσεκτον [8]) γὰρ καὶ ἀπαίδευτον ἐστὶ τὸ ἐπιτεταμμένως

---

[1]) τοίνυν μετὰ τῆς ἔξωθεν σεμνοπρεπείας τε καὶ καταστάσεως, ὦ ἀδελφοὶ [2]) ἐπιμεληςώμεθα ἑαυτοὺς εἰς τὸ ἔργον τοῦ Θεοῦ [3]) ἀπηχήσει [4]) συναισθήσει καρδίας [5]) ἤγουν [6]) γήρᾳ κατακαμπτόμενος [7]) ἄσκυλον, ὡς προέφημεν [8]) ἀπροσέκτων γὰρ καὶ ἀπαιδεύτων

ψάλλειν καὶ ἀνίσως. Ὑμεῖς δέ, ὦ πατέρες καὶ ἀδελφοί, σπεύσατε, ὅση δύναμις, μὴ τῆς παρούσης ἀκολουθίας καθυστερεῖσθαι τὸ σύνολον τοῦτο, καλῶς εἰδότες, ὡς εἰ ταῦτα ἐπιμόνως διατηρήσητε τῆς τῶν οὐρανῶν βασιλείας οὐκ ἀστοχήσητε, τῇ τοῦ ἐλεήμονος Θεοῦ φιλανθρωπίᾳ καὶ χάριτι, πρεσβείαις τῆς ὑπεραγίας [1]) Θεοτόκου καὶ πάντων τῶν ἁγίων. Ἀμήν.

[л. 297). Ἀκολουθία τῆς ὅλης ἑβδομάδος τῶν προκειμένων καὶ ἀλληλουαρίων καὶ κοινωνικῶν τῆς θείας λειτουργίας, ὅτε οὐκ ἔστιν ἑορταζόμενος ἅγιος.

[л. 298). Ἀκολουθίαι ἕτεραι. Тоже самое, но общимъ святымъ.

[л. 299). Ἀρχὴ τῶν ἀποκρίσεων τῆς θείας λειτουργίας.

[л. 300). Χερουβικὸν τῆς ἁγίας καὶ μεγάλης μ', ψαλλόμενον εἰς τὴν λειτουργίαν τῶν προηγιασμένων.

[л. 300 об.). Τροπάρια θεοτοκία, ψαλλομένα εἰς τὴν θείαν λειτουργίαν πρὸ τοῦ Τρισαγίου, μετὰ τὸ εἰπεῖν τὸ ἀπολυτίκιον καὶ τὸ κοντάκιον τοῦ ἁγίου, ἢ τῆς ἡμέρας.

[л. 301]. Μετὰ τὴν ἀπόλυσιν τῆς θείας λειτουργίας καὶ τὴν διάδοσιν τοῦ κατακλαστοῦ, εἴπέρ ἐστιν ἑορταζόμενος ἅγιος, ἔχων κόλυβα· Ὁ πάντα τελεσφορήσας τῷ λόγῳ σου, Κύριε, καὶ κελεύσας τῇ γῇ παντοδαποὺς ἐκφύειν καρποὺς εἰς ἀπόλαυσιν. Goar. pag. 524.

[л. 301 об.). Τῇ κυριακῇ. Изложенъ общій порядокъ воскресной утрени, начиная съ тропарей послѣ непорочныхъ.

[л. 302). Правила о постѣ неизвѣстнаго лица, о постѣ наканунѣ Богоявленія Ѳеофила Александрійскаго, Іоанна Китрскаго, Нила, о яденіи сыра и яицъ въ среду и пятницу на масляницѣ Китрскаго и Никифора, константинопольскаго исповѣдника и Ἐπιστολὴ τοῦ μητροπολίτου Σταυροπόλεως καὶ προέδρου Κρήτης Προχόρου.

Τῷ τιμιωτάτῳ ἐν ἱερομονάχοις κυρίῳ Νείλῳ καὶ ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ υἱῷ τῆς ἡμῶν ταπεινότητος, χάρις εἴη σοι ἀπὸ Θεοῦ. Ἡ γραφή σου ἐδίδαξεν ἡμᾶς τὴν ἐνοῦσάν σοι εὐλάβειαν καὶ ἀρετήν, ὅτι ζητεῖς διάκρισιν τοῦ καλοῦ τε καὶ πονηροῦ. Ἴσθι μὲν οὖν, ἂν ἡ γυνὴ παρθένος, ὁ δ' ἀνὴρ τρίγαμος καὶ λήψεται ὁ τρίγαμος τὴν παρθένον, τετραγαμία λογίζεται καὶ ἕνι τῶν ἀπηγορευμένων καὶ ἀφορισμῷ καὶ

---

[1]) τῆς ὑπεραμώμου Θεομήτορος. Ἀμήν.

ἀναθέματι ὑπόκειται, καὶ ὁ λαβὼν τοῦ ἀδελφοποιητοῦ τὴν γυναῖκα, τὴν νύμφην αὐτοῦ ἔλαβε καὶ ἔστιν ἐκκήρυκτος τῆς μερίδος τῶν χριστιανῶν, καὶ οὗτος καὶ οἱ ταῦτα ποιοῦντες ἱερεῖς καθῃρημένοι καὶ ἀπογεγυμνωμένοι πάσης ἱερατικῆς τιμῆς εἰσίν· ὁ γὰρ στεφανώσας, εἶτα λαβὼν τὴν γυναῖκα αὐτοῦ (;) μενέτω τὸ συνοικέσιον ἄλυτον, ποιησάτωσαν δὲ ἐλευθερίαν αἰχμαλώτου καὶ οὕτως ἔστωσαν συγχωρημένοι· ἡ ἀπὸ τοῦ ἁγίου μύρου συντεκνία ἀπαραίτητον ἔχει τὴν εὐθύνην. Περὶ δὲ τῶν ἀναξίως χειροτονηθέντων μηδένα δέξησθε, ποῖα κάθαρσις ἡ τοῦ βεβήλου, ἢ ποῖος ἁγιασμὸς ἔσεται ὑμῖν ἐκ τοῦ μιαροῦ; Περὶ δὲ τοῦ πυροὺς ἔχοντος τοὺς ὀφθαλμοὺς ἴσθι οὖν, ὅτι σωματικὴν λώβην οὐ ζητοῦμεν, ἀλλὰ ψυχικήν, εἴπερ οὖν ὑγιαίνει κατὰ ψυχὴν οὐδὲν κωλύει ἡ τῶν ὀφθαλμῶν πήρωσις. Ταῦτά σοι ἐγράφησαν διὰ τὴν ζήτησιν ὑμῶν, οἶμαι δ' οὐκ ἀγνοεῖν σε τὸ δέον, καὶ ὡς τοῦ Πνεύματος τὰ τοῦ Πνεύματος ἐργάζου, διαπτύων τὰ πονηρά.

[л. **304** об.). Αἱ ἀπολύσεις τῶν ἡμερῶν.

[л. **305**). Περὶ τῶν ἀπολύσεων τῶν Δεσποτικῶν ἑορτῶν.

[л. **306**). Εὐχὴ εἰς τὸ εὐλογῆσαι τυρὸν καὶ ὠὰ καὶ κρέας τῇ ἁγίᾳ καὶ μεγάλῃ κυριακῇ τοῦ Πάσχα·

«Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ καταξιώσας ἡμᾶς εἰς τὴν ἁγίαν σου τριήμερον καταντῆσαι ἀνάστασιν καὶ προσκυνῆσαι καὶ δοξᾶσαι τὴν σὴν ἀνείκαστον ἀγαθότητα . . .

Въ концѣ рукописи разнаго рода замѣчанія, изъ которыхъ заслуживаетъ вниманія способъ отыскивать мясопустъ (ὅπως εὑρίσκεται ἡ ἀπόκρεως). Здѣсь приложено и нѣсколько изображеній рукъ для этого вычисленія.

LXVI. № 459. Τυπικὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας τῆς ἐν Ἱεροσολύμοις ἁγίας λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα. Рукопись той же библ. въ четверку, 302 листа, написана четкою скорописью XV столѣтія. На выходномъ листѣ въ началѣ рукописи имѣется позднѣйшая приписка такого содержанія: Τὸ παρὸν Τυπικὸν ὑπάρχει κἀμοῦ Γερασίμου, ἱερομονάχου ἁμαρτωλοῦ, τείνει 1702.

[л. 1). Εἴδησις τοῦ μικροῦ ἑσπερινοῦ.

[л. 1 об.). Περὶ τοῦ μεγάλου ἑσπερινοῦ.

[л. 9 об.). Εἴδησις τῶν ἀγρυπνιῶν τοῦ ὅλου ἐνιαυτοῦ.

*

[л. **10**). Ἔκφρασις ἐν ἐπιτομῇ τῆς ἐκκλησιαστικῆς διατάξεως τῶν ἐν Ἱεροσολύμοις ἁγίων μοναστηρίων. Подъ этой рубрикою изложенъ порядокъ суточной службы съ замѣчаніями относительно канонарха, екклисіарха, епистимонарха, чтенія евангелій и проч.

[л. **24**). Ἀκολουθία τῆς ἐκκλησιαστικῆς ψαλμῳδίας τε καὶ συνάξεως τοῦ ὅλου ἐνιαυτοῦ, ἀρχομένη ἀπὸ μηνὸς Σεπτεμβρίου μέχρι μηνὸς Αὐγούστου.

[л. **145**). Ἀκολουθία τῆς ἁγίας καὶ μεγάλης τεσσαρακοστῆς.

[л. **199**). Службы по Тріоди цвѣтной.

[л. **215**). Περὶ τοῦ πῶς θυμιᾶν.

[л. **216**). Τὰ ἀναστάσιμα προκείμενα τῶν ὀκτὼ ἤχων, ἤτοι τὰ ἄμνημα.

[л. **216** об.). Τὰ ἀναστάσιμα ἀλληλουάρια τῶν ὀκτὼ ἤχων τὰ ἄμνημα.

[л. **217**). Τὰ ἐν τῇ ἑβδομάδι ψαλλόμενα ἀλληλουάρια, τροπάρια καὶ κοινωνικά, ὅτε οὐκ ἔστιν ἑορτάσιμος ἅγιος.

[л. **217** об.). Προκείμενα ἀναστάσιμα, ἃ λέγονται ἐν τῷ εὐαγγελίῳ τοῦ ὄρθρου.

[л. **218**). Τὰ φωταγωγικὰ τῶν ὀκτὼ ἤχων.

[л. **218** об.). Προκείμενα τῇ μεγάλῃ μ', ψαλλόμενα τῇ κυριακῇ ἑσπέρᾳ.

[л. **219**). Πίναξ τῶν ἀπορρήτων κυροῦ Μάρκου.

[л. **224**). Μάρκῳ, ἁμαρτωλῷ ἱερομονάχῳ, σύνταγμα, πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ Τυπικοῦ. Число главъ 95. Число и ихъ расположеніе, какъ въ № 487 М. Синодал. библ. См. у Мансветова Церковн. Уставъ, Прилож. стр. 411.

LXVII. № 76 (362). Τυπικόν, рукопись Аѳоно-Иверск. библ. въ четвертку, 179 листовъ, писана чоткою скорописью XV столѣтія [1]). Послѣ вводной статьи имѣется слѣдующая приписка:

---

[1]) Въ Каталогѣ библіотеки Типиконъ этотъ отнесенъ къ XIV столѣтію. На выходномъ листѣ написано: «Τυπικὸν 14-ου αἰῶνος 76», но это опредѣленіе, намъ думается, невѣрно сдѣлано. Почеркъ письма, а главное полнота Марковыхъ главъ, приписки на поляхъ—все это говоритъ за болѣе позднее его написаніе. Проф. С. С. Ламбросъ въ своемъ Каталогѣ аѳонскихъ рукописей (Catal. of the

Καὶ τόδε σὺν τοῖς ἄλλοις τοῦ ἱεροῦ μοναστηρίου τῶν Ἰβήρων, φερμένο(ν) ἀπὸ τὸ μετόχι μας Γομάτη. Въ концѣ рукописи читаемъ: Παμμεδέοντι Πατρὶ σὺν Υἱῷ καὶ Πνεύματι δόξα, μηνὶ Μαΐῳ θ' ἡμέρᾳ. Προστασίαις, Κύριε, τῶν 'Ασωμάτων κατάπεμψον ταῖς ψυχαῖς ἡμῶν τὸ φῶς σου τὸ ἀΐδιον.

Χεῖρας μὲν αὐτὸς εἰς περάτωσιν ἔχει
Ἔργων ἀεικῶν εὐκινήτους καὶ λίαν,
Ὁ γράψας ἄρτι τὴν παροῦσαν πυξίδα,
Πρὸς δ' αὖ γε καλῶν χρησίμων καὶ βελτίων
Ἔργων ἀγαθῶν καὶ Θεῷ φιλουμένων
Καὶ χεῖρας ἅμα καὶ ψυχὴν αὐτὴν φέρει
Λίαν ῥαθύμους καὶ κατησθενημένας.
Πόθον δὲ πλουτεῖ καὶ ψυχῇ καὶ καρδίᾳ
Πρὸς εὐτρεπισμὸν τῆς παρούσης πυξίδος,
Ἥνπερ προηγόρευσαν οἱ θεηγόροι
Στάθμην ἀκλινῆ τῶν ὅρων 'Εκκλησίας.
Καὶ Κροίσου τυχεῖν καὶ Μίδου τῶν χρυσίων,
Εἰ γοῦν Θεοῦ πέφυκε τοῦτο καὶ μόνου,
Ὁρᾶν λογισμοὺς καὶ διαθέσεις βλέπειν,
Πολλῷ δὲ μᾶλλον καὶ σκοπὸν τῆς καρδίας,
Ποθεῖν χρυσίων ἀντὶ μυρίων ὅσων.
Καὶ σύ, παναμώμητε Μῆτερ Κυρίου,
Ψυχῶν ἰατήριον καὶ σωτηρία,
Ἅγνισμα, καλλώπισμα τῆς οἰκονομίας,
Ψυχῆς ἐποπτάουσα τὴν προθυμίαν,
Δέχου προσηνῶς τὴν παροῦσαν πυξίδα,
Ἣν δουλικῶς ἔγραψε, σῇ δὲ δαπάνῃ,
'Εμὴ ῥυπαρὰ δεξιά, καθὼς ἔφην,
Δίδου δὲ λύτρα τῶν ἐμῶν ἁμαρτάδων.

Въ концѣ рукописи есть еще нѣсколько приписокъ, но онѣ читаются плохо, а посему здѣсь мы и не отмѣчаемъ ихъ.

По составу своему рукопись эта напоминаетъ Типиконъ того же времени въ Руссиковской библіотекѣ. Здѣсь не достаетъ лишь молитвы на благословеніе винограда, но зато въ концѣ рукописи имѣются каноны, писанные другою рукою. Пер-

Greek manuscript on mont Athos. Cembr. 1900, t. II, p. 366) принимаетъ ту же дату—XIV в.

вый канонъ озаглавливается: Πρὸς τὸ Ἤθελον δάκρυσιν ἐξαλεῖψαι, а второй: «κανὼν εἰς τὴν θείαν μετάληψιν, ἦχος β'. Кромѣ этого, въ концѣ рукописи находится весьма испорченная статья о способѣ отыскиванія утреннихъ евангельскихъ чтеній и о чтеніи изъ Апостола въ теченіи года. Что же касается текста самаго Типикона и его интерполяцій, то мы видимъ здѣсь нѣкоторую особенность. Для примѣра мы возьмемъ тѣ же замѣчанія, на которыя мы обратили вниманіе въ руссиковскомъ Типиконѣ.

Выносъ креста 1 Августа:

Типиконъ.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις. Δεῖ εἰδέναι, ὅτι μετὰ τὴν συμπλήρωσιν τοῦ ὄρθρου, ποιοῦμεν τὴν προσκύνησιν τοῦ τιμίου σταυροῦ κατὰ τάξιν τῆς γ' κυριακῆς τῶν νηστειῶν. Μετὰ δὲ τὴν ἀπόλυσιν διέρχεται ὁ τίμιος σταυρὸς μετὰ λιτῆς ἐντὸς τοῦ μοναστηρίου, ἤγουν εἰς τὸ ἡγουμενεῖον, εἰς τὴν τράπεζαν, εἰς τὸ κελλάριον, εἰς τὸ ὡρεῖον, εἰς τὸ οἰνοχεῖον, καὶ ἐν πάσαις ταῖς κελλίαις τῶν ἀδελφῶν, καί, ὑποστρεφόντων ἡμῶν, γίνεται τελεία ἀπόλυσις. Ἐν δὲ τῇ λιτῇ ἁγιάζεται ὕδωρ καὶ μεταλαμβάνουσιν ἐξ αὐτοῦ πάντες. Μετὰ δὲ τὴν ἀπόλυσιν τοῦ ἑσπερινοῦ, ἀποκομίζεται τὸ τίμιον ξύλον πάλιν ἐν τῷ σκευοφυλακίῳ διὰ τοῦ ἱερέως καὶ τῶν λοιπῶν, ὡς προδεδήλωται.

Поле его.

Εἰς τὸ Τρισάγιον ὕμνον εἰσοδεύει ὁ ἱερεὺς καὶ μετὰ τὴν συμπλήρωσιν αὐτοῦ· Σοφία ὀρθοί. Ὁ λαός· Σῶσον, Κύριε, τὸν λαόν σου ἐκ τρίτου. Εἶτα Τὸν σταυρόν σου προσκυνοῦμεν, καὶ στιχηρά· Δεῦτε, πιστοί, καὶ πάλιν· Τὸν σταυρόν σου προσκυνοῦμεν, ἐκ τρίτου, καὶ στιχηρά· Σύ μου σκέπη, καὶ πάλιν· Τὸν σταυρόν σου προσκυνοῦμεν, ἐκ τρίτου, Δόξα καὶ νῦν, Σταυρὲ τοῦ Χριστοῦ, χριστιανῶν.

Выносъ креста на Воздвиженіе:

[л. 23 об.). Δοξολογία μεγάλη. Καὶ ψαλλόντων δὲ τῶν μοναχῶν, ἀλλάσσει πᾶσαν τὴν ἱερατικὴν στολὴν ὁ ἱερεύς, καὶ εἰσέρ-

χεται μετὰ τοῦ θυμιατοῦ καὶ λαμπάδων ἐν τῇ ἁγίᾳ τραπέζῃ καὶ αἴρει τὸν τίμιον σταυρὸν μετὰ τοῦ δίσκου ἐπὶ τῆς κεφαλῆς καὶ φέρει αὐτὸν μέχρι τῶν βασιλικῶν πυλῶν τοῦ ναοῦ, κἀκεῖσε ἀφίσταται, καί, πληρουμένης τῆς δοξολογίας σὺν τῷ Τρισαγίῳ [1]), λέγει· Σοφία, ὀρθοί. Καὶ ἀρχόμεθα τοῦ τροπαρίου· Σῶσον, Κύριε, καὶ οὕτως εἰσοδεύει ὁ ἱερεὺς μετὰ τοῦ τιμίου σταυροῦ. Καὶ ὄντος εὐτρεπισμένου τετραποδίου, τίθεται ὁ δίσκος ἐπάνω αὐτοῦ, καὶ θυμιᾷ ὁ ἱερεὺς σταυροειδῶς. Εἶθ' οὕτω, βαλὼν μετάνοιαν γ', κἂν σάββατόν ἐστι, καὶ λαβὼν ἐπὶ χεῖρας τὸν τίμιον σταυρὸν μετὰ βασιλικῶν κλάδων, ἵσταται ἔμπροσθεν τοῦ τετραποδίου, βλέπων κατ' ἀνατολὰς καὶ λέγει εἰς ἐπήκοον πάντων· Ἐλέησον ἡμᾶς.

LXVIII. № 92. Λ. Τυπικὸν τῆς ἐκκλησιαστικῆς διατάξεως τῆς ἐν Ἱεροσολύμοις εὐαγεστάτης λαύρας τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα. Рукопись библ. лавры пр. Аѳанасія Аѳонскаго въ 16 долю листа писана мелкимъ почеркомъ XV столѣтія. Въ концѣ рукописи имѣется приписка: Αὐτοῦ βασιλεύοντος ἔλαττον σμικρὸν ὀλίγον τόδε ξανθὸν γένος ἅμα μετὰ τῶν πρακτόρων ὅλον Ἰσμαὴλ τροπώσας τὴν ἑπτάλοφον ἐπαροῦν μετὰ καὶ τῶν προνομίων τότε πόλεμον συνάψας ἐκ φυλῆς ἀνδριωμένης μέχρι τῆς πέμπτης ὥρας καὶ φωνῇ βοήσει τρίτον σπιχιστὴν μετὰ φόβου· σπεύσατε πολλὰ σπουδαίως εἰς τὰ δεξιὰ τὰ μέρη, ἄνδρα εὕρετε γενναῖον, θαυμαστὸν καὶ ῥωμαλέον, τοῦτον ἕξετε δεσπότην· φίλος γὰρ ἐμὸς ὑπάρχει καὶ αὐτὸν παραλαβόντες θέλημα ἐμὸν πληροῦτε. Замѣчено: Ὅρα, ὅτι πρωτίστην ἀρετὴν οἶμαι τὸ γλῶτταν ἐπισχεῖν. Всѣхъ листовъ въ рукописи 285.

[л. 1) Εἴδησις τοῦ μικροῦ ἑσπερινοῦ, ὅταν μέλλῃ ψάλλεσθαι ἀγρυπνία.

[л. 1 об.). Εἴδησις κατὰ τάξιν τοῦ μεγάλου ἑσπερινοῦ.

[л. 8 об.). Εἴδησις τῶν ὅλων ἀγρυπνιῶν τοῦ ὅλου ἐνιαυτοῦ.

[л. 9 об.). Ἔκφρασις ἐν ἐπιτομῇ τῆς ἐκκλησιαστικῆς διατάξεως τῶν ἐν Ἱεροσολύμοις ἁγίων μοναστηρίων. Статья, какъ и въ Типиконахъ XIII и XIV вѣковъ, не раздѣлена на части, а изложена вся слитно. Противъ каждаго новаго отдѣла замѣчено на поляхъ: Χρὴ εἰδέναι, Δεῖ γινώσκειν, Ἰστέον и т. д. и киноварью замѣчено: σημείωσαι, а иногда: σημείωσαι ὅρα.

---

[1]) На полѣ: Εἰς τὸ Τρισάγιον εἰσοδεύει ὁ ἱερεύς, προπορευομένων τῶν λαμπάδων, καὶ ὁ διάκονος μετὰ τοῦ θυμιατοῦ.

Текстъ и порядокъ по изложенію въ большинствѣ случаевъ не разнится отъ статей Типиконовъ XIII—XIV в. Изъ новыхъ статей мы отмѣтили здѣсь лишь краткое замѣчаніе: Ἰστέον, ὅτι τοὺς κατά τινα αἰτίαν, ἢ διακονίαν, ἢ ἀσθένειαν παραλείψαντας τῆς συνάξεως οὐκ ὀφείλει ὁ ἐκκλησιάρχης ἐνόρδινον κρατεῖν, ἀλλὰ παραλείψωσιν, ὅτε φθάσει ἐλθεῖν, χρὴ διδόναι τούτους ἀναγινώσκειν. Нельзя, однако, сказать, чтобы текстъ суточныхъ службъ остался безъ измѣненія. Правда, эти измѣненія незначительны, но они все таки отдѣляютъ Типиконы этого времени отъ Типиконовъ древнѣйшей эпохи. Для примѣра въ сравнительномъ столбцѣ мы имѣемъ изложеніе утрени (см. выше стр. 107—109). Кромѣ того, въ службѣ суточной явилось немало замѣчаній въ родѣ слѣдующихъ: Τὸ Κύριε ἐλέησον λ', говорится о почасіи 3 часа и прибавляется: Ἔν τισι δὲ τῶν Τυπικῶν εὑρήσεις μ' [л. 15 об.). О молитвѣ девятаго часа: Δέσποτα, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν замѣчается: Ἰστέον δέ, ὅτι ἐν τοῖς πλείοσι τῶν Τυπικῶν οὐ διαλαμβάνεται ἡ εὐχὴ αὐτή, ἤγουν οὐδὲν ὁρίζεται λέγειν, τινὲς δὲ ἀγράφως ἀπὸ συνηθείας λέγουσι καὶ τὰς ἑτέρας εὐχὰς εἰς τὴν τάξιν αὐτῶν, ἤγουν ἐν μὲν τῷ μεσωρίῳ τῆς τρίτης ὥρας [л. 16 об.), въ почасіи перваго часа о 92 псалмѣ τινὲς δὲ λέγουν καὶ ν' (50) и о молитвѣ—«Οἷαν ἕκαστος βούλεται ἢ Χριστέ, τὸ φῶς τὸ ἀληθινόν, ἢ Ὁ ἀποστέλλων τὸ φῶς [л. 17 об.) и др.

[л. 23). Изложеніе службъ тоже немногимъ разнится отъ текста въ Типиконахъ древнѣйшаго времени. Изъ этихъ разностей можно указать на замѣчаніе относительно литургіи въ день Благовѣщенія въ великую пятницу [л. 124) въ храмовыхъ церквахъ, несуществовавшее въ древнѣйшихъ рукописяхъ (см. выше примѣч.), но замѣчаніе о тропарѣ Іоанна Богослова читается: Καὶ γὰρ ἐν ἄλλοις οὕτως εὕρηται, οἶμαι, διὰ τὸ ἐξαίρετον τοῦ τοιούτου ἰδιομέλου, εἰ σὺ οὖν, πῶς βούλεσαί (sic) τοῦτο εἰπεῖν, δόξασον. [л. 128) на то, что обрядъ выноса креста описывается безъ всякихъ оговорокъ: Γίνεται μεγάλη δοξολογία ἀργῶς καὶ μετὰ μέλους καὶ ἐξέρχεται ὁ ἱερεὺς μετὰ τοῦ τιμίου σταυροῦ [л. 146), съ прибавленіемъ, однако, и практики предшествующаго времени. Καὶ ἐξέρχεται ὁ σταυρὸς μετὰ τοῦ ἁγιάσματος, говорится въ Типиконѣ, послѣ краткаго описанія обряда водоосвященія, τοῦ ἱερέως ἐνηλ-

λαγμένου καὶ τῶν αὐτῶν ψαλλόντων καὶ περιέρχεται ἐντὸς τῆς μονῆς, ἕως ἄρχεται ἀπὸ τοῦ ἡγουμενείου εἰς τὴν τράπεζαν καὶ εἰς τὸ οἰνοχεῖον καὶ πᾶσι τοῖς ἐνδοθέοις τοῦ μοναστηρίου καὶ τοῖς κελλίοις τῶν ἀδελφῶν καί, ὑποστρεψάντων ἡμῶν, ψάλλομεν τὴν α′ ὥραν [л. **126**), на большое количество памятей, такъ напр., подъ 5 Іюля здѣсь находится память св. Аѳанасія Аѳонскаго и есть тропарь съ кондакомъ [**л. 109**), на то, что здѣсь нѣкоторымъ святымъ сдѣланы краткія замѣчанія о службѣ, тогда какъ прежде указывалось только Ἀλληλούια и нѣкоторыя другія незначительныя особенности.

Подъ 2 Февраля нѣтъ указаній на особенность службъ на праздникъ Срѣтенія, всѣ же другія замѣчанія, какъ то: относительно праздника Благовѣщенія, сорока мучениковъ и Іоанна Богослова налицо, не смотря на то, что въ концѣ Типикона имѣется особый отдѣлъ и статья Марковыхъ главъ на тѣже случаи, при чемъ только подъ 23 Апрѣля дѣлается ссылка на эти главы: Εἰ τύχοι ἡ μνήμη τοῦ αὐτοῦ ἁγίου ἐν τῇ Διακαινησίμῳ καὶ ἑξῆς ταῖς τῆς πεντηκοστῆς ἡμέραις, ζήτει εἰς τὴν ἑρμηνείαν ἔμπροσθεν κεφάλιον μζ′ [**л. 25** об.). Въ силу сего обстоятельства настоящій Типиконъ весьма нерѣдко преподноситъ несходныя указанія для одного и того же случая, а иногда даже прямо противорѣчивыя. Укажемъ примѣры того и другого.

[**л. 119**).

Τῇ κυριακῇ τῶν Βαΐων ἑσπέρας ἐν τῇ ἀγρυπνίᾳ, στιχολογοῦμεν τὸ α′ ἀντίφωνον, τὸ Μακάριος ἀνήρ, εἰς ἦχον πλ. δ′. Εἰς τὸ Κύριε ἐκέκραξα, στιχηρὰ τοῦ Εὐαγγελισμοῦ προσόμοια ἦχος πλ. β′ ἀνὰ β′, εἶτα τὰ γ′ ἰδιό-

[**л. 250**).

Τῇ κυριακῇ τῶν Βαΐων ἑσπέρας, ἐν τῷ μικρῷ ἑσπερινῷ [1]) στιχηρὰ τῆς ἑορτῆς, ὡσαύτως καὶ ἀπολυτίκιον. Ἐν τῷ μεγάλῳ ἑσπερινῷ, στιχολογοῦμεν τὸ α′ ἀντίφωνον, τὸ Μακάριος ἀνήρ. Εἰς τὸ Κύριε ἐκέκραξα [2]), στιχηρὰ

---

[1]) Ркп. Аѳоно-Ватоп. библ. 1346 г. № 320 (931) л. 161—162; той же библ. № 321 (932) л. 152—153: Εἰς τὸ Κύριε ἐκέκραξα, στιχηρὰ προσόμοια τῆς ἑορτῆς ἦχος δ′ πρός· Ὁ ἐξ ὑψίστου κληθείς, Δόξα καὶ νῦν τῆς ἑορτῆς· οἷον βούλει. Εἰς τὸν στίχον, στιχηρὰ ἰδιόμελα τῆς ἑορτῆς τους γ′, δευτεροῦντας μετὰ τῶν στίχων αὐτῶν, Δόξα και νῦν, ἦχος ὁ αὐτός, Σήμερον χαρᾶς, τροπάριον τῆς ἑορτῆς, αἱ μεγάλαι γ′ μετάνοιαι καὶ ἀπόλυσις. [2]) ἱστῶμεν στίχους ι′ καὶ ψάλλομεν στιχηρὰ προσόμοια τῆς ἑορτῆς, ἦχος πλ. β′ εἰς ς′, καὶ γ′ ἰδι-

μελα τῶν Βαΐων, τοὺς πλ. δ', δευτεροῦμεν τὸ α', Δόξα, ἦχος πλ. α', τῶν Βαΐων· Ὁ ἔχων θρόνον οὐρανόν, Καὶ νῦν, Ἀπεστάλη ἐξ οὐρανοῦ, εἴσοδος, προκείμενον τῆς ἡμέρας, ἀναγνώσματα τῆς ἑορτῆς τὰ γ'. Εἰς τὴν λιτήν, ἰδιόμελα τῆς ἑορτῆς τὰ προγραφέντα, εἰς τοὺς στίχους τῆς ἡμέρας ἰδόμελα, ὁ ἦχος β' καὶ ἦχος γ' καὶ ἦχος βαρύς, Δόξα τὸ α'· Ἐκ βαΐων καὶ κλάδων, Καὶ νῦν τῆς ἑορτῆς· Τὸ ἀπ' αἰῶνος μυστήριον. Ἀπολυτίκιον τῆς ἑορτῆς καὶ ἡ ἀκολουθία τῆς ἀγρυπνίας, στιχολογοῦμεν δὲ τὰ γ' καθίσματα καὶ τὸν πολυέλεον καὶ ἀναγινώσκομεν πρῶτον τῆς ἑορτῆς, ἔπειτα τῆς ἡμέρας. Οἱ ἀναβαθμοί, προκείμενον τῆς ἡμέρας, ὁ κανὼν τοῦ κὺρ Κοσμᾶ. Ἀπὸ γ' ᾠδῆς, κοντάκιον τῆς ἡμέρας, ἀφ᾽ ἕκτης τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους στιχηρὰ τῆς ἑορτῆς. Εἰς τὸν στίχον, στιχηρὰ τῆς ἡμέρας ἰδιόμελα, τὸν ἦχον α', καὶ τοὺς τέσσαρας, ἦχος πλ. α'· Δευτέραν Εὔαν τὴν Αἰγυπτίαν, Καὶ νῦν, ὁ αὐτὸς τῆς ἑορτῆς· Εὐφραινέσθωσαν οἱ οὐρανοί, ἐκτενὴ καὶ ἀπόλυσις. Συνάπτομεν δὲ καὶ τὴν α' ὥραν, τῆς ἑορτῆς προσόμοια ἦχος πλ. β'· Βουλὴν προαιώνιον, εἰς ἕξ, καὶ τὰ γ' ἰδιόμελα τῶν Βαΐων, ἦχος πλ. δ'· Χαῖρε καὶ εὐφραίνου, δευτεροῦντες τὸ α', Δόξα, τῶν Βαΐων· Ὁ ἔχων θρόνον οὐρανόν, Καὶ νῦν, ἦχος ὁ αὐτός· Ἀπεστάλη ἐξ οὐρανοῦ, ἀναγνώσματα τῆς ἑορτῆς τὰ γ', εἰς τὴν λιτὴν τῆς ἑορτῆς ἰδιόμελα τὰ πρῶτα, Δόξα καὶ νῦν ἦχος β'· Εὐαγγελίζεται ὁ Γαβριήλ. Εἰς τὸν στίχον στιχηρὰ τῆς ἡμέρας ἰδιόμελα, ὁ β', ὁ γ' καὶ ὁ βαρὺς μετὰ [1]) τῶν στίχων αὐτῶν, Δόξα, τὸ πρῶτον ἦχος β'· Ἐκ βαΐων καὶ κλάδων, Καὶ νῦν, τῆς ἑορτῆς ὁ αὐτός· Τὸ ἀπ' αἰῶνος μυστήριον. Εἰς τὴν εὐλόγησιν τῶν ἄρτων, τροπάριον τῆς ἑορτῆς ἐκ γ' καὶ ἀνάγνωσις τῆς ἑορτῆς, εἰς [2]) τὰ καθίσματα τῆς στιχολογίας, τὰ β' καθίσματα τῆς ἡμέρας καὶ ἀνάγνωσις τῆς ἡμέρας, εἰς δὲ τὸ γ' κάθισμα καὶ ἀνάγνωσις τῆς ἑορτῆς, ὁ πολυέλεος καὶ κάθισμα τῆς ἑορτῆς, ὡσαύτως καὶ ἀνάγνωσις, οἱ ἀναβαθμοί, τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου, προκείμενον, Πᾶσα πνοὴ καὶ εὐαγγέλιον τῆς ἑορτῆς, ὁ ν', καὶ στιχηρὰ τῆς ἑορτῆς [3]), ὁ κα-

όμελα τῶν Βαΐων, ἦχος πλ. δ'· Χαῖρε καὶ εὐφραίνου, δευτεροῦντες τὸ α', Δόξα τῶν Βαΐων πλ. β'· Ὁ ἔχων θρόνον, Καὶ νῦν, τῆς ἑορτῆς ἦχος πλ. β'· Ἀπεστάλη ἐξ οὐρανοῦ, εἴσοδος, προκείμενον τῆς ἡμέρας.

[1]) Нѣтъ μετὰ τῶν στίχων αὐτῶν [2]) Ἐν τῷ ὄρθρῳ εἰς τὸ Θεὸς Κύριος, τροπάριον τῆς ἑορτῆς ἐκ γ', στιχολογοῦμεν καθίσματα γ' καὶ τὸ πολυέλεον καὶ λέγομεν μετὰ τὸ α' καὶ β' κάθισμα, καθίσματα τῆς ἡμέρας καὶ ἀνάγνωσις αὐτῆς. Μετὰ δὲ τὸ γ' κάθισμα καὶ τὸ πολυέλεον καθίσματα τῆς ἑορτῆς καὶ ἀνάγνωσις αὐτῆς [3]) ἦχος πλ. β'

σχολάζουσι δὲ καὶ αἱ μετάνοιαι καθόλου, ἄνευ τῶν τριῶν μεγάλων μετανοιῶν. Περὶ δὲ ὥραν γ' ἡμέρας γίνεται ἡ λιτὴ καί, ὑποστρεφούσης, ἀρχόμεθα τῆς τριθέκτης κατὰ τὴν τάξιν αὐτῶν, ἀναγινώσκεται δὲ καὶ τὸ εὐαγγέλιον. Περὶ δὲ ὥραν ἕκτην σημαίνει τὴν θ' καὶ γίνεται ἡ ἀκολουθία, ὡς συνήθως, τὰ τυπικὰ χύμα καὶ ἀρχόμεθα τοῦ λυχνικοῦ χωρὶς στιχολογίας. Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ι' καὶ ψάλλομεν στιχηρὰ τῆς ἡμέρας ἰδιόμελα τοὺς δ' πλ. α', εἶτα τῆς ἑορτῆς ἰδιόμελον, ἦχος δ'· Τῷ ἕκτῳ μηνί, καὶ τὰ ἕτερα β', καὶ τοῦ ἀρχαγγέλου προσόμοια γ', Δόξα, ἦχος πλ. δ'· Τῆς ξηρανθείσης συκῆς, Καὶ νῦν τῆς ἑορτῆς, ἦχος πλ. β'· Ἀπεστάλη ἐξ οὐρανοῦ Γαβριὴλ ὁ ἀρχάγγελος, εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, τὸ Φῶς ἱλαρόν, προκείμενον τῆς ἑορτῆς, τὰ β', τὸ Κατευθυνθήτω, εἶτα συναπτὴ τοῦ Τρισαγίου, προκείμενον, ὁ ἀπόστολος, Ἀλληνῶν τῆς ἑορτῆς μετὰ τῶν εἱρμῶν εἰς ἕξ [1]) καὶ ἡ ᾠδὴ τοῦ Τριῳδίου [2]) εἰς η', καταβασία τὸν εἱρμὸν τοῦ Τριῳδίου ὁμοῦ οἱ δύο χοροί [3]), ἔνθα δὲ οὐκ ἔστιν ᾠδὴ τοῦ Τριῳδίου, ὁ κανὼν τῆς ἑορτῆς μετὰ τῶν εἱρμῶν εἰς ιδ' καὶ τὴν καταβασίαν τῶν εἱρμῶν ὁμοῦ οἱ δύο χοροί, ἀπὸ γ' ᾠδῆς, κοντάκιον τῆς ἡμέρας καὶ ἀνάγνωσις· Πάλιν χαρᾶς εὐαγγέλια, ἀφ' ς' κοντάκιον τῆς ἑορτῆς. Ἐν [4]) τῇ θ' ᾠδῇ Ἡ τιμιωτέρα οὐ στιχολογεῖται, ἐξαποστειλάριον τῆς ἑορτῆς δίς. Εἰς τοὺς αἴνους, στιχηρὰ προσόμοια τῆς ἑορτῆς ἦχος α' εἰς δ', Δόξα, τῆς ἑορτῆς ἦχος β'· Τὸ ἀπ' αἰῶνος μυστήριον, Καὶ νῦν, τῆς ἡμέρας πλ. δ'· Τῆς ξηρανθείσης συκῆς. Εἰς τὸν στίχον στιχηρὰ τούτων· Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου, Κύριε, καὶ τοὺς ἑτέρους, Δόξα τῆς ἡμέρας, ἦχος πλ. δ'· Δευτέραν Εὔαν τὴν Αἰγυπτίαν, Καὶ νῦν ὁ αὐτὸς τῆς ἑορτῆς· Εὐφραινέσθωσαν οἱ οὐρανοί, τροπάριον τῆς ἑορτῆς, ἐκτε-

---

[1]) εἰς η' [2]) μετὰ τῶν εἱρμῶν ὁμοίως εἰς η' [3]) Ἀπὸ γ' ᾠδῆς, κοντάκιον τῆς ἡμέρας καὶ τὸν οἶκον. Εἶτα κάθισμα τῆς ἡμέρας, Δόξα καὶ νῦν τῆς ἑορτῆς καὶ ἀνάγνωσις αὐτῆς· Πάλιν χαρᾶς [4]) Μετὰ τὴν θ' ἐξαποστειλάριον τῆς ἑορτῆς ἐκ τρίτου. Εἰς τοὺς αἴνους, στιχηρὰ προσόμοια τῆς ἑορτῆς ἦχος α' πρός· Τῶν οὐρανίων ταγμάτων γ' καὶ ἰδιόμελον τῆς ἡμέρας ἦχος αὐτός, Δόξα τῆς ἡμέρας, ἦχος πλ. δ'· Τῆς ξηρανθείσης συκῆς, Καὶ νῦν ὁ αὐτός· Δευτέραν Εὔαν. Εἰς τὸν στίχον, στιχηρὰ ἰδιόμελα τῆς ἡμέρας, τοὺς δ' πλ. α' μετὰ τῶν στίχων αὐτῶν. Εἰς δὲ ὕστερον αὐτῶν λέγομεν· Δόξα καὶ νῦν τῆς ἑορτῆς ὁ αὐτός· Εὐφραινέσθωσαν οἱ οὐρανοί τροπάριον τῆς ἑορτῆς, Κύριε ἐλέησον μ', αἱ γ' μεγάλαι μετάνοιαι καὶ ἡ α' ὥρα, ἐν ᾗ λέγομεν τροπάριον καὶ κοντάκιον τῆς ἑορτῆς. Μετὰ τὸ θ', ἤγουν τὸ Τί σε καλέσωμεν, τὸ εὐαγγέλιον τοῦ ὄρθρου τῆς ἡμέρας. [π. 162). Ἐν τῷ τέλει αἱ γ' μεγάλα μετάνοιαι, ἡ εὐχή, ἡ κατήχησις καὶ ἀπόλυσις. Περὶ δὲ ὥραν γ' σημαίνει τὸ μικρὸν καὶ γίνεται λιτὴ ἔξω τῆς μονῆς.

λούια τῆς ἑορτῆς, εὐαγγέλιον τῆς ἑορτῆς, εἶτα τῆς ἡμέρας, καὶ καθ' ἑξῆς ἡ θεία λειτουργία τοῦ Χρυσοστόμου.

νή, καὶ αἱ μεγάλαι τρεῖς μετάνοιαι. Εἶτα Δεῦτε προσκυνήσωμεν γ' καὶ ἡ πρώτη ὥρα, ἐν τῷ τέλει αὐτῆς αἱ μεγάλαι γ' μετάνοιαι, ἡ εὐχή, ἡ κατήχησις καὶ ἀπολύει. Ἡ συνήθης λιτὴ ἐν τῷ νάρθηκι. Περὶ ὥραν γ' σημαίνει τὸ μικρὸν καὶ γίνεται ἡ λιτὴ ἔξω τῆς μονῆς, τελειωθείσης δὲ αὐτῆς, ψάλλονται αἱ ὧραι μετὰ τῆς στιχολογίας αὐτῶν καὶ τῶν ἀναγνώσεων τοῦ Τετραευαγγελίου, λέγεται δὲ ἐν αὐταῖς τροπάριον καὶ κοντάκιον τῆς ἑορτῆς, ὡσαύτως καὶ ἐν τῇ ἐννάτῃ [1]), μεθ' ἣν ψάλλομεν τὰ τυπικά, ἕως τὸ Μνήσθητι ἡμῶν, Κύριε, καὶ τοὺς μακαρισμοὺς ἄνευ μέλους καὶ τὰ λοιπά, τὸ κοντάκιον τῆς ἑορτῆς, τὸ Κύριε ἐλέησον μ', αἱ μεγάλαι τρεῖς μετάνοιαι καὶ εὐθύς· Δεῦτε προσκυνήσωμεν, καὶ ἀρχόμεθα τοῦ λυχνικοῦ ἄνευ μετανοίας καὶ στιχολογίας. Εἰς τὸ Κύριε ἐκέκραξα, στιχηρὰ ἰδιόμελα τῆς ἡμέρας τοὺς δ' πλ. α', καὶ τῆς ἑορτῆς ἰδιόμελα γ' τοὺς τετάρτους, καὶ τοῦ ἀρχαγγέλου προσόμοια γ', Δόξα, ἦχος πλ. δ'· Τῆς ξηρανθείσης συκῆς, Καὶ νῦν, πλ. β'· Ἀπεστάλη ἐξ οὐρανοῦ, εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, τὸ Φῶς ἱλαρόν, προκείμενον τῆς προφητείας, τὰ

[1]) ὥρα, ἣν καὶ συνάπτομεν ἄνευ στιχολογίας, μεθ' ἣν οἱ μακαρισμοὶ χύμα καὶ τὰ λοιπά.

ἀναγνώσματα μετὰ τῆς ἡμέρας καὶ τῆς ἑορτῆς τὰ δύο, τὸ Κατευθυνθήτω, αἱ τρεῖς μετάνοιαι, ἡ συναπτή, Τρισάγιον, προκείμενον, ἀπόστολος, ἀλληλουάριον τῆς ἑορτῆς, εὐαγγέλιον τῆς ἑορτῆς καὶ τῆς ἡμέρας καὶ καθ' ἑξῆς ἡ θεία λειτουργία τοῦ Χρυσοστόμου, κοινωνικὸν τῆς ἑορτῆς. Ἐν τῇ τραπέζῃ καταλύομεν ἔλαιον καὶ οἶνον. Εἰς τὰ ἀπόδειπνα οὐ ποιοῦμεν μετανοίας, εἰ μὴ μετὰ τὸ Δόξα ἐν ὑψίστοις Θεῷ, εἰς τὸ Τρισάγιον μετανοίας γ', καὶ ὕστερον τὰς τρεῖς μεγάλας καὶ τὰς ιβ' μικρὰς καὶ εἰς τὸ Τρισάγιον τὰς γ', ψάλλομεν ἐν αὐτοῖς καὶ τὸ Τριῴδιον τοῦ κυροῦ Ἀνδρέου.

Иногда имѣются прямо противорѣчивыя указанія на одинъ и тотъ же день и для одного и того же случая.

[л. 111 об.).

Σημείωσαι. Ἐὰν δὲ τῇ κυριακῇ τοῦ Πάσχα, ὅ ἐστὶ κύριον Πάσχα, τύχῃ γενέσθαι ἡ ἑορτὴ τοῦ Εὐαγγελισμοῦ, ἑσπέρας τῷ μεγάλῳ σαββάτῳ εἰς τὸ Κύριε ἐκέκραξα, προηγοῦνται τὰ στιχηρὰ τῆς ἡμέρας, εἶτα τοῦ Εὐαγγελισμοῦ. Μετὰ δὲ τὴν εἴσοδον καὶ τὸ Φῶς ἱλαρόν, λέγει Σοφία, ὀρθοί, καὶ ἀναγινώσκεται τὸ πρῶτον ἀνάγνωσμα τῆς ἡμέρας, ἤως· Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεός, εἶτα τὰ γ' ἀναγνώσματα μετὰ τοῦ Εὐαγγελισμοῦ, εἶθ' οὕτω τὰ ἐπίλοιπα ἀναγνώσματα, ὅλα τοῦ Πάσχα, κατὰ τὴν τάξιν αὐτῶν, καὶ καθ' ἑξῆς ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας καὶ ἡ λοιπὴ ἀκολουθία τοῦ Μεγάλου Βασιλείου,

[л. 258 об.).

Χρὴ εἰδέναι, ὅτι, ἐὰν τύχῃ ὁ Εὐαγγελισμὸς τῇ μεγάλῃ κυριακῇ τοῦ Πάσχα, ἑσπέρας τῷ μεγάλῳ σαββάτῳ [1]) εἰς τὸ Κύριε ἐκέκραξα [2]) ἱστῶμεν στίχους ι' καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα τρία ἦχος α', καὶ τοῦ μεγάλου σαββάτου ἰδιόμελα γ', πλ. δ', καὶ τῆς ἑορτῆς ἰδιόμελα τοὺς δ', Δόξα, ἦχος πλ. β'· Τὴν σήμερον μυστικῶς, Καὶ νῦν, Ἀπεστάλη, εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, τὸ Φῶς ἱλαρόν, προκείμενον δὲ οὐ λέγεται, ἀλλ' εὐθὺς ὁ ἱερεύς. Σοφία, καὶ ἀναγινώσκεται τὸ πρῶτον ἀνάγνωσμα τῆς ἡμέρας τὸ Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεός, εἶτα τὰ ε' ἀναγνώσματα τοῦ Εὐαγγελισμοῦ καὶ τὰ

---

[1]) 1346 г. Типик. Ват. библ. ἐν τῷ λυχνικῷ - [2]) τὰ στιχηρά, ὡς ἐδηλώθη. Μετὰ τὸ Φῶς ἱλαρόν, ὁ ἱερεύς· Σοφία, καὶ λέγεται.

εἶθ' οὕτω ποιοῦμεν, καθὼς ἐν τῷ Συναξαρίῳ τοῦ μεγάλου σαββάτου διείληπται, προστιθέντες εἰς τὴν παννυχίδα τὸν κανόνα τοῦ Εὐαγγελισμοῦ εἰς δ', εἰς δὲ τὸν ὄρθρον τῇ μεγάλῃ κυριακῇ.

ἐπίλοιπα ἀναγνώσματα τοῦ Πάσχα κατὰ τὴν τάξιν αὐτῶν καὶ ἡ λοιπὴ ἀκολουθία τοῦ Μεγάλου Βασιλείου [1]). Εἰς τὴν παννυχίδα τοῦ μεγάλου σαββάτου, ὁ κανὼν τῆς ἑορτῆς [2]) μετὰ τῶν εἱρμῶν εἰς ς' καὶ τῆς ἡμέρας μετὰ τῶν εἱρμῶν εἰς η', καταβασίαν τὸν εἱρμὸν τῆς ἡμέρας ὁμοῦ οἱ δύο χοροί, ἀπὸ γ' ᾠδῆς κοντάκιον τῆς ἑορτῆς καὶ ὁ οἶκος, εἶτα κάθισμα τῆς ἡμέρας, Δόξα καὶ νῦν τῆς ἑορτῆς, καὶ ἀνάγνωσις· Πάλιν χαρᾶς εὐαγγέλια, ἀφ' ς', κοντάκιον τῆς ἡμέρας καὶ ὁ οἶκος καὶ ἀνάγνωσις τῆς ἡμέρας, ἐν [3]) τῇ ἐννάτῃ ᾠδῇ ἡ Τιμιωτέρα οὐ στιχολογεῖται, μετὰ τὴν ἐννάτην, Τρισάγιον, τροπάριον· Ὅτε κατῆλθες, Δόξα καὶ νῦν, τῆς ἑορτῆς, ἡ ἐκτενὴ καὶ ἀπόλυσις [4]) καὶ ἀνάγνωσις τῆς ἡμέρας, εἰ ἔχῃ ὥρα, ἐν ᾗ ὁ ἐκκλησιάρχης διανέμει τὰ κηρία, ὁ δὲ κανδηλάπτης σημαίνει τὸ μέγα καὶ τὸ σιδηροῦν, καὶ μετὰ τὴν ἀνάγνωσιν ἐξερχόμεθα πάντες ἐν τῷ νάρθηκι, προπορευομένου τοῦ ἱερέως μετὰ λαμπάδων, καί, κλεισθεισῶν τῶν πυλῶν, θυμιᾷ ὁ ἱερεὺς ἐν τῷ νάρθηκι ἅπαντας, ὡς

[1]) σαββάτῳ [2]) ἦχος πλ. β' μετὰ τῶν εἱρμῶν [3]) Μετὰ τὴν θ ᾠδὴν Τρισάγιον [4]) Εἶθ' οὕτω τίθεται ἀνάγνωσις τῆς ἡμέρας, ἐν ᾗ διανέμει ὁ ἐκκλησιάρχης τοῖς ἀδελφοῖς κηρία. Μετὰ δὲ τὴν ἀνάγνωσιν τῆς ἁρμοζούσης ὥρας, τοῦ ὄρθρου φθάσαντος, οἱ κανδηλάπται ἀνέρχονται καὶ σημαίνουσιν, ὡς συνήθως, καὶ ἐξερχόμεθα πάντες ἐν τῷ νάρθηκι, προπορευομένου τοῦ ἱερέως καὶ τοῦ διακόνου μετὰ λαμπάδων καὶ θυμιατῶν, καὶ κλεισθεισῶν τῶν πυλῶν

ἔθος ἐστίν, εἶτα ἵσταται [1]) ἔμπροσθεν τῶν βασιλικῶν πυλῶν καὶ θυμιᾷ σταυροειδῶς κατὰ ἀνατολὰς [2]) ἐκ γ', λέγων· Δόξα τῇ ἁγίᾳ, καί, ἡμῶν ἀποκρινομένων τὸ Ἀμήν, ἄρχεται ὁ ἱερεὺς τροπάριον ἦχος πλ. α'· Χριστὸς ἀνέστη [3]), ὁμοίως καὶ οἱ ἀδελφοί [4])· λέγεται δὲ τρίτον παρὰ τοῦ ἱερέως καὶ τρὶς παρὰ τῶν ἀδελφῶν, εἶτα ὁ ἱερεὺς στίχον πρῶτον· Ἀναστήτω ὁ Θεός, στίχ. β'· Ὡς ἐκλείπει καπνός . . ., στίχ. γ'· Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοί, στίχ. δ'· Αὕτη ἡ ἡμέρα. Λέγει [5]) δὲ ὁ λαὸς καθ' ἕκαστον στίχον τὸ Χριστὸς ἀνέστη [6]), καὶ εὐθὺς ὁ ἱερεὺς λέγει μεγαλοφώνως· Χριστὸς ἀνέστη, καί, ἀνοιγομένων τῶν πυλῶν, εἰσοδεύει, προπορευομένων τῶν λαμπάδων καὶ τοῦ [7]) προεστῶτος συνεφεπομένου, καὶ τῶν ἀδελφῶν ψαλλόντων τὸ Καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος. Μετὰ δὲ τὸ εἰσελθεῖν τὸν ἱερέα εἰς τὸ ἱερατεῖον, Δόξα ἦχος δ' καὶ λέγομεν· Σήμερον τῆς σωτηρίας ἡμῶν, Καὶ νῦν τὸ αὐτό. Εἶθ' οὕτως ἡ συναπτὴ [8]) καὶ μετὰ τὴν ἐκφώνησιν ἄρχεται ὁ προεστώς· Ἀναστάσεως ἡμέρα [9]), καὶ ψάλλομεν τὸν κανόνα τοῦ Πάσχα μετὰ τῶν εἱρμῶν εἰς η' καὶ τῆς ἑορτῆς μετὰ τῶν εἱρμῶν εἰς η', καταβασίας τοὺς εἱρμοὺς τῶν δύο κανόνων ἀνὰ μέρος οἱ δύο χοροί. ἀπὸ γ' ᾠδῆς κοντάκιον τοῦ Πάσχα [10]) καὶ ἀνάγνωσις εἰς τὸν Θεολόγον· Ἐπὶ τῆς φυλακῆς μου, ἀφ' ς', κοντάκιον τῆς ἑορτῆς καὶ ἀνάγνωσις· Ἀναστάσεως ἡμέρα, καὶ εἶτα προκείμενον τῆς ἑορτῆς· Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας, στίχ. Ἄσατε τῷ Κυρίῳ, Πᾶσα πνοή, εὐαγγέλιον τῆς Θεοτόκου, κατὰ Λουκᾶν· Ἀναστᾶσα Μαριάμ, εἶτα τὸ Ἀνάστασιν Χριστοῦ θεασάμενοι ἐκ γ' ἄνευ τοῦ πεντηκοστοῦ [11]), εἶθ' οὕτως ἡ ἑβδόμη ᾠδή, ἐν τῇ ἐννάτῃ Τιμιωτέρα οὐ στιχολογεῖται, ἐξαποστειλάριον· Σαρκὶ ὑπνώσας, ἅπαξ, καὶ τῆς ἑορτῆς δίς. Εἰς τοὺς αἴνους, Πᾶσα πνοή, ἱστῶμεν στίχους ς', στιχηρὰ ἀναστάσιμα ἦχος α' τέσσαρα καὶ τῆς

---

[1]) σταθεὶς [2]) НѢТЪ [3]) Καὶ λέγεται τρὶς παρ' αὐτοῦ, συμψάλλοντος αὐτῷ καὶ τοῦ διακόνου [4]) τὸ αὐτὸ ἐκ τρίτου. Εἶτα ὁ ἱερεὺς στίχος α'· Ἐξομολογεῖσθε τῷ Κυρίῳ, στίχος β'· Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, στίχος γ'· Συστήσασθε ἑορτὴν [5]) Λέγουσι δὲ οἱ ἀδελφοὶ [6]) καὶ ἀνοιγομένων τῶν πυλῶν [7]) ἡγουμένου ἐφεπομένου ἅμα τοῖς ἀδελφοῖς. Εἰσελθὼν δὲ ὁ ἱερεὺς εἰς τὸ ἱερατεῖον λέγει· Δόξα, ἦχος δ' καὶ ἡμεῖς τὸ τροπάριον τῆς ἑορτῆς, Καὶ νῦν τὸ αὐτὸ [8]) μεγάλη παρὰ τοῦ ἱερέως [9]) τοὺς εἱρμοὺς ἀνὰ δ', τὰ δὲ τροπάρια εἰς ς' ἄνευ στίχων, τοῦ δὲ κανόνος τῆς ἑορτῆς τοὺς εἱρμοὺς δευτεροῦμεν, ἐν δὲ τοῖς τροπαρίοις ἱστῶμεν στίχους ς', ἤγουν ἀπὸ τοῦ ἕως ἂν παρέλθῃ, καταβασία τοὺς εἱρμοὺς τῶν δύο κανόνων ἀνὰ μέρος οἱ δύο χοροί, πρότερον δὲ λέγομεν τῆς ἑορτῆς, εἶτα τοῦ Πάσχα. Ἀπὸ γ' ᾠδῆς [10]) τὸν οἶκον· ἡ γὰρ ὑπακοὴ ἐνταῦθα οὐ λέγεται, καὶ ἀνάγνωσις εἰς τὸν Θεολόγον [11]) ὁμοίως καὶ τὸ στιχηρὸν ἐκ τρίτου· Ἀναστὰς ὁ Ἰησοῦς, ἐξαποστειλάριον· Σαρκὶ ὑπνώσας, ἐκ δευτέρου, καὶ τῆς ἑορτῆς ἅπαξ. Εἰς τοὺς αἴνους.

ἑορτῆς εἰς τὸν αὐτὸν ἦχον προσόμοια [1]) καὶ δευτεροῦμεν τὸ α' μετὰ τῶν στίχων· Εὐαγγελίζεσθε ἡμέραν· στίχ. Ἄσατε τῷ Κυρίῳ, ἔπειτα· Ἀναστήτω ὁ Θεός, καὶ εὐθὺς στιχηρὰ τοῦ Πάσχα μετὰ τῶν στίχων αὐτῶν, Δόξα τῆς ἑορτῆς, πλ. δ'· Εὐφραινέσθωσαν οἱ οὐρανοί, Καὶ νῦν, πλ. α'· Ἀναστάσεως ἡμέρα, Χριστὸς ἀνέστη, ὁ ἀσπασμὸς τοῦ Εὐαγγελίου, ἡ κατήχησις τοῦ Χρυσοστόμου, ἡ ἐκτενὴς παρὰ τοῦ ἱερέως καὶ ἀπόλυσις. Λιτὴ δὲ οὐ γίνεται.

И такъ, по одной статьѣ три чтенія праздника, а по другой пять, по одной стихи произносятся: «Да воскреснетъ Богъ» и др., а по другой: «Исповѣдайтеся Господеви» и т. д. Въ одномъ мѣстѣ говорится относительно праздника Благовѣщенія въ страстную недѣлю: Ἰστέον δέ, ὅτι, ἐν ᾗ ἂν ἡμέρᾳ τῆς ἑβδομάδος τύχῃ ὁ Εὐαγγελισμός, ἐν ταύτῃ τελεῖται ἡ ἀγρυπνία μετὰ τῶν ἀποδείπνων, καὶ ἐν τῇ τραπέζῃ ἐσθίομεν ὀψάριον, πίνοντες καὶ οἶνον διὰ τὴν ἀντίληψιν καὶ δόξαν τῆς ὑπεραγίας Θεοτόκου [л. 221 об.), въ другомъ: καταλύομεν ἔλαιον καὶ οἶνον [л. 225), а въ пятницы: ἐσθίομεν ξηροφαγίαν καὶ πίνομεν καὶ οἶνον [л. 256 об.). О службѣ: великомуч. Георгію замѣчается въ одномъ мѣстѣ: εἰ δόξῃ τῷ προεστῶτι, ποιοῦμεν ἀγρυπνίαν [л. 124 об.), а въ другомъ подробно предусматриваются всѣ случаи, могущіе быть при столкновеніи этой службы съ другими праздествами года [л. 261—264) и т. д. и т. д.

[л. 156). Службы по Тріоди постной и цвѣтной.

[л. 221 об.). Περὶ τοῦ πῶς δεῖ θυμιᾶν τὸν ἱερέα.

[л. 222). Πίναξ τῶν κεφαλαίων τὰ ἀπορούμενα.

Τὰς δυσχερείας τῆς Τυπικοῦ πυξίδος.
Πολλοῖς πρὸς διάγνωσιν λύει.

[л. 225). Μάρκῳ, ἁμαρτωλῷ ἱερομονάχῳ, σύνταγμα, πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ Τυπικοῦ.

Τέλος, τῶν καλῶν Θεῷ χάρις, μετὰ Θεὸν τέλος τε τῶν γεγραμμένων ἐτελειώθη τὸ παρὸν Τυπικὸν μὲ πόθου καὶ ἐξόδου καὶ διὰ χειρὸς Γεωργίου ἱερέως τοῦ Μαδκ ἐπὶ ἔτους ͵ςϠμς', ἰνδ. α', εὑρισκομένου ἐν τῇ μονῇ τῆς ἁγίας καὶ μεγάλης μάρτυρος Μαρίνας.

---

[1]) ἦχος ὁ αὐτός, λέγοντες καὶ στίχους τῆς ἑορτῆς, ἔπειτα Ἀναστήτω ὁ Θεός.

[л. **249**). Ὑπόθεσις κανονικὴ περὶ τοῦ πῶς καταλύομεν τὸ δωδεκαήμερον.

[л. **282**). Воскресные прокимны.

[л. **284**). Τὰ ἐν τῇ ἑβδομάδι ψαλλόμενα πρὸς κανόνα ἀλληλουάρια καὶ κοινωνικά, ὅτε οὐκ ἔστιν ἑορτάσιμος ἅγιος, εἰσὶ ταῦτα.

[л. **284** об.). Τὰ φωταγωγικὰ τῶν ὀκτὼ ἤχων.

Текстъ тріодныхъ службъ и особенно Тріоди постной подвергся значительнымъ измѣненіямъ и дополненіямъ (См. примѣръ выше). Кромѣ этого, въ службѣ стали появляться замѣчанія о порядкахъ въ другихъ уставахъ чаще, чѣмъ это было прежде, о большемъ просторѣ дѣйствій настоятеля и канонарха, напр.: «Χρὴ γινώσκειν, ὅτι ἐν τῇ λαύρᾳ τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα οὐ ψάλλει τὰ ἀπόδειπνα ἐν τῇ ἐκκλησίᾳ, ἀλλ' ἐν τοῖς ἰδίοις κελλίοις ἕκαστος. Οὕτω γὰρ παρελάβομεν, εἰς τὰ κοινόβια τῆς Παλαιστίνης ψάλλονται οὕτως (л. **171** об.). Ἰστέον, ὅτι εὕρομεν ἔν τισιν, ἵνα κατὰ τὴν τετάρτην ταύτην κυριακὴν ψάλληται ἡ ἀκολουθία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τῆς κλίμακος ἔν τε τῷ ἑσπερινῷ καὶ τῷ ὄρθρῳ, ἀλλὰ δὴ καὶ ἐν τῇ λειτουργίᾳ λέγεται ὁ τῆς ἡμέρας ἀπόστολος καὶ ὁσιακός, ὡσαύτως καὶ εὐαγγέλιον. Κατὰ δὲ τὴν ε' κυριακὴν ψάλλεται ἡ ἀκολουθία τῆς ὁσίας μητρὸς ἡμῶν **Μαρίας** τῆς Αἰγυπτίας ὁμοίως, τῶν δὲ ἐπιλαχόντων ἁγίων αἱ ἀκολουθίαι ψάλλονται ἐν τοῖς ἀποδείπνοις, ἢ ὅτε ὁ ἐκκλησιάρχης διακρίνει [л. **181**). Ὁ δέ γε ἑβδομαδάριος ἱερεὺς ἀπέρχεται (въ пятницу 5 недѣли) ἐν τῷ κοιμητηρίῳ καὶ ψάλλομεν τὸν νεκρώσιμον κανόνα τοῦ ἤχου, καί, εἰ βούλῃ τῷ προεστῶτι, ψάλλομεν καὶ τὸ τετραῴδιον τοῦ σαββάτου, εἰ δ' οὖν ψάλλεται εἰς τὸν ὄρθρον τοῦ αὐτοῦ σαββάτου κατὰ τὴν τάξιν αὐτοῦ [л. **183**). Ἰστέον δέ, ὅτι τινὰ τῶν Τυπικῶν ὁρίζουσι (дѣло идетъ о канонѣ въ субботу акаѳиста) ψάλλεσθαι καὶ τὰ τετραῴδια σὺν τῷ κανόνι τῆς μονῆς τοῦ ἁγίου καὶ τῆς ἀκαθίστου, εἰ δὲ βούλει, καταλιμπάνεται ὁ κανὼν τοῦ ἁγίου τῆς μονῆς καὶ ἁπλῶς οὕτω ποιήσει ἀνενοχλήτως [л. **183** об.). Въ службѣ субботы Лазаря, μετὰ δὲ τὴν δευτέραν ἀνάγνωσιν ἀναβαθμοὺς οὐ λέγομεν, ἀλλ' οὐδ' εὐαγγέλιον, εἰ μὴ εἰς τὸν ναὸν τοῦ ἁγίου Λαζάρου, ἀλλ' εὐθύς· Ἀνάστασιν Χριστοῦ θεασάμενοι... [л. **184** об.). Τῷ δὲ μεγάλῳ σαββάτῳ ψάλλομεν τὸν Ἄμωμον [л. **186** об.), а ниже объяснено прямо, что разумѣть подъ этими непорочными: «εἶθ' οὕτως ἄρχομεν τὸ Ἄμωμον εἰς ἦχον πλ. α', ἕως τὸ ἐπιτάφιον εἰς στάσεις γ' (л. **196**). Ψαλλόντων ἡμῶν τὸ Τρισάγιον, замѣчаетъ

Уставъ въ службѣ великой субботы на утрени, τούτου δὲ τελεσθέντος, ἐκφωνεῖ ὁ ἱερεύς· Σοφία, ὀρθοί, εἰσοδικὸν τροπάριον ὁρίζουσι τινὰ τῶν Τυπικῶν· Ὁ εὐσχήμων Ἰωσήφ, καὶ ἄλλα παρευθὺς τὸ τροπάριον τῆς προφητείας [л. **195** об.). Ἰστέον δὲ καὶ τοῦτο, ὅτι ἐν πάσαις ταῖς δευτέραις καὶ ταῖς τετάρταις καὶ ταῖς παρασκευαῖς τῆς ἁγίας πεντηκοστῆς, ἄνευ δὲ τῆς διακαινησίμου ἑβδομάδος καὶ τῆς ἐσχάτης ἑβδομάδος τοῦ ἁγίου Πνεύματος, οὔτε τυρὸν ἐσθίομεν, οὔτε ὠόν, εἰ μὴ μόνον οἴνου καὶ ἐλαίου δὶς τὴν ἡμέραν (л. **206** об.). и др.

Марковыя главы въ количествѣ 95. Первыя до 59 тѣ же, что у Мансвет. Церк. Уставъ стр. 411. 60) О праздникѣ отцевъ 6 вселенскаго собора 16 Іюля. 61) О предпразднествахъ праздниковъ Богородичныхъ: Рождества, Входа, Срѣтенія, Благовѣщенія и Успенія въ воскресенье. 62) О Господскихъ праздникахъ—Воздвиженія, Рождества, Богоявленія, Пятидесятницы и Преображенія въ воскресенье. 63) Объ отданіи Господскихъ праздниковъ. 64) Объ отданіи Господскихъ праздниковъ въ воскресенье. 65) Объ отданіи Богородичныхъ праздниковъ. 66) Объ отданіи ихъ въ воскресенье. 67) О предпразднественныхъ тропаряхъ и кондакахъ въ воскресенье вмѣсто ипакои гласа. 68) О предпразднественныхъ и попразднественныхъ канонахъ съ Минеею святыхъ. 69) О предпразднественныхъ и попразднественныхъ кондакахъ съ двумя святыми, имѣющими кондаки. 70) О предпразднествахъ и попразднествахъ въ воскресенье съ двумя святыми. 71) О предпразднествахъ и попразднествахъ съ святымъ, имѣющимъ литургію въ субботу. 72) О литургіи въ субботу. 73) Когда не стихословится «Господеви поемъ». 74) Когда не стихословится «Честнѣйшую». 75) О предпразднествахъ и попразднествахъ и святыхъ, ежедневно празднуемыхъ. 76) О двухъ святыхъ съ тропарями въ воскресенье. 77) О предпразднественныхъ и попразднественныхъ тропаряхъ въ воскресенье съ тропаремъ святого. 78) О святомъ, имѣющемъ бдѣніе въ воскресенье. 79) О святомъ, имѣющемъ полієлей и празднуемомъ на 6, если случится въ воскресенье. 80) О святомъ на 6 въ воскресенье. 81) О пѣніи каноновъ умершихъ на панихидѣ. 82) О тропаряхъ повечерій предпразднествъ, попразднествъ и святыхъ ежедневныхъ. 83) О тропаряхъ Господскихъ праздниковъ, если случатся вмѣстѣ съ воскресеньемъ. 84) О тропаряхъ святыхъ

и первобогородичныхъ, какъ говорить ихъ въ пятницу вечеромъ, въ субботу и въ воскресенье. 85) О святыхъ на 8, если случатся въ среду и пятницу, какъ говорить богородичны. 86) Какіе говорятся богородичны, если празднуется святой на 6 и имѣетъ поліелей. 87) О первобогородичныхъ въ субботу и воскресенье. 88) О святомъ, имѣющемъ входъ и первобогородиченъ въ стихирахъ. 89) Когда стихословится «Честнѣйшую». 90) О святомъ, имѣющемъ евангеліе, когда «Господеви поемъ» не стихословится. 91) О литіи, когда бываетъ и когда не бываетъ. 92) О предпразднествахъ Господскихъ праздниковъ въ воскресенье 93) О святомъ, имѣющемъ поліелей и празднуемомъ на 8, если случится въ субботу Аллилуія. 95) О дняхъ недѣли, какъ поются каноны ихъ съ Минеею.

Текстъ Марковыхъ главъ исправленъ и согласованъ съ особенностями службъ въ Тріоди постной и цвѣтной, но синаксарныя службы почему-то не были приняты во вниманіе составителемъ. Въ Синаксарѣ, какъ мы уже сказали, остались изложенія службъ на важнѣйшіе праздники безъ измѣненія и стали прямымъ противорѣчіемъ тому, что говорится о нихъ въ Марковыхъ главахъ.

Καὶ μετὰ τοῦτο τὸ Δεῦτε προσκυνήσωμεν γ', καὶ μετανοίας γ', ἤγουν ἐν ἑκάστῳ Δεῦτε προσκυνήσωμεν μετάνοιαν μίαν, καὶ ἄρχεται ὁ μοναχός, ὁ ταχθεὶς εἰς τὸν προοιμιακὸν ψαλμόν, καὶ λέγει τὸ Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μετὰ τοῦτο Ἀλληλούια τρὶς καὶ μετανοίας γ'. Εἶθ' οὕτω γίνεται συναπτὴ παρὰ τοῦ ἱερέως καὶ μετὰ ταῦτα στιχολογοῦμεν κάθισμα ἓν τοῦ ὀρδίνου, ποιοῦντες ἐν ἑκάστῳ ἀντιφώνῳ εἰς τὸ Ἀλληλούια μετανοίας γ', ἔπειτα τὸ Κύριε ἐκέκραξα εἰς τὸν ἦχον τοῦ Μηναίου τοῦ κατὰ τὴν ἡμέραν ἁγίου, ἐν ᾧ καὶ θυμιᾷ ὁ ἱερεύς, ἱστῶμεν δὲ στίχους ς' καὶ δευτεροῦμεν αὐτά, εἰς δὲ τὸν τελευταῖον στίχον, τὸ Ὅτι ἐκραταιώθη, ἵσταται ὁ κανονάρχος ἀσκεπὴς μέσῳ τοῦ ναοῦ εἰς τὸν ὀμφαλόν, καὶ οἱ δύο χοροὶ κατὰ τάξιν συναγόμεθα, ἔνθεν κἀκεῖθεν ἵστανται στοιχηδόν, καί, ποιοῦντος μετάνοιαν τοῦ κανονάρχου, ποιοῦσι καὶ οἱ χοροὶ ὁμοίως, οὐ γόνυ κλίνοντες, ἀλλὰ τράχηλον μετ' εὐταξίας, καί, ἀναῤῥοοῦντες τὴν φωνήν, ψάλλομεν, ὡς προείληπται, Δόξα καὶ νῦν θεοτοκίον, τὸ ἰσάζον τοῖς τοῦ Μηναίου προσομοίοις, εἶτα τὸ Φῶς ἱλαρόν, μετὰ δὲ τοῦτο ἀντὶ τοῦ προκειμένου Ἀλληλούια ἦχος πλ. β'· λέγομεν δὲ τούςδε τοὺς στίχους· τῇ δευτέρᾳ ἑσπέρας· Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, τῇ γ' ἑσπέρας καὶ τῇ ε'· Καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, τῇ δ' ἑσπέρας· Καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης. Εἶθ' οὕτως ὁ ψάλτης γεγονωτέρᾳ τῇ φωνῇ· Καὶ εἰς τοὺς αἰῶνας, καὶ οἱ ἀδελφοὶ ὁμοίως εἰς τὴν αὐτὴν φωνὴν τὸ Ἀλληλούια καὶ ὁ ψάλτης τὸ ἀκροτελεύταιον τὸ Ἀλληλούια καί, ποιήσας μετάνοιαν ἔμπροσθεν τῶν ἁγίων θυρῶν καὶ ὄπισθεν τοῖς ἀδελφοῖς, ἀπέρχεται εἰς τὸ στασίδιον αὐτοῦ, καὶ ὁ ταχθεὶς μοναχὸς εἰς τὸ Κύριε ἐκέκραξα τὸ Καταξίωσον, Κύριε, ἐν ᾧ καὶ ποι-

οῦμεν μετανοίας γ' οἱ δύο χοροὶ ὁμοῦ. Δεῖ εἰδέναι, ὅτι πάντοτε εἰς τὰς μετανοίας ἀκολουθεῖν ὀφείλουσι πάντες τῷ ἡγουμένῳ καί, ἀπόντος αὐτοῦ, τῷ ἐκκλησιάρχῃ· οὗτοι γάρ εἰσὶ τῆς ἐκκλησιαστικῆς τάξεως ἔνοχοι καὶ ὀφείλουσιν ἕπεσθαι πάντως ἐνί, κἂν τῶν εἰδημόνων καὶ πολυϊστόρων εἰσὶ τινὲς τῶν ἀδελφῶν. Μετὰ δὲ τὸ Καταξίωσον, τῆς συνήθους συναπτῆς γενομένης, μετὰ τὴν ἐκφώνησιν, πάλιν ὁμοίως συναχθέντες ἐν τῷ μέσῳ οἱ δύο χοροί, ψάλλομεν τὰ στιχηρὰ τῆς Ὀκτωήχου, Δόξα καὶ νῦν θεοτοκίον καί, ποιήσαντες τὴν πρὸς ἀλλήλους προσκύνησιν, ἀπερχόμεθα εἰς τὰ στασίδια ἡμῶν, ψάλλοντος τοῦ ταχθέντος μοναχοῦ τὸ Νῦν ἀπολύεις, εἶτα Τρισάγιον μετὰ τῶν μετανοιῶν, τὸ Πάτερ ἡμῶν, καὶ ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ψάλλομεν τροπάριον· Θεοτόκε Παρθένε καὶ μετάνοιαν α', Δόξα, Βαπτιστὰ τοῦ Χριστοῦ, μετάνοιαν α', Πρεσβεύσατε ὑπὲρ ἡμῶν, μετάνοιαν α', Ὑπὸ τὴν σὴν εὐσπλαγχνίαν, χωρὶς μετανοίας, τὸ Κύριε ἐλέησον μ' πραείᾳ φωνῇ καὶ μετὰ ἰσότητος, ὕστερον δὲ Δόξα καὶ νῦν, Ἐν ὀνόματι Κυρίου εὐλόγησον, καὶ λέγει ὁ ἱερεύς· Ὁ ὢν εὐλογητός, καὶ ἡμεῖς· Ἐπουράνιε βασιλεῦ, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν στερέωσον, τὴν πίστιν στήριξον, τὰ ἔθνη πράϋνον, τὸν κόσμον εἰρήνευσον, τὴν ἁγίαν μονὴν ταύτην διαφύλαξον, τοὺς προαπελθόντας πατέρας καὶ ἀδελφοὺς ἡμῶν ἐν σκηναῖς δικαίων ἀνάπαυσον, καὶ ἡμᾶς ἐλέησον ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Εἶτα ποιοῦμεν μετανοίας μεγάλας γ', λέγοντες καθ' ἑαυτοὺς ἕκαστος καὶ τὴν εὐχὴν τὸ Κύριε καὶ Δέσποτα τῆς ζωῆς μου, καὶ μικρὰς μετανοίας ιβ', ὡς συνήθως, λέγοντες καθ' ἑαυτοὺς ἕκαστος· Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. Εἶτα μετάνοιαν μίαν μεγάλην τῆς εὐχῆς, καὶ ἄρχεται ὁ προεστώς, ἢ ὁ ἐκκλησιάρχης τὸ τελευταῖον Τρισάγιον, ποιοῦμεν δὲ καὶ ἐν τούτῳ μετανοίας γ', τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, τὸ Κύριε ἐλέησον ιβ', ὁ ἡγούμενος, ἢ ὁ ἱερεύς· Δόξα σοι, ὁ Θεὸς ἡμῶν, καὶ γίνεται ἀπόλυσις. Ὁ δὲ ἐκκλησιάρχης, προευτρεπίσας τὸν θυμιατὸν καὶ ἔχων ἐξ ἑτοίμου, δίδωσι τῷ ἱερεῖ καὶ οὕτω πορεύεται μετὰ τῆς λαμπάδος, καὶ ἡμεῖς ψάλλομεν τὸ ἰδιόμελον τοῦ ἁγίου τῆς μονῆς καὶ ἐξερχόμεθα εἰς τὸν νάρθηκα, καὶ μετὰ τὸ ἰδιόμελον λέγει ὁ ἱερεύς· Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ μνημονεύει τοὺς κτίτορας καὶ τοὺς προαπελθόντας πατέρας καὶ ἀδελφοὺς ἡμῶν, καὶ οὕτω γίνεται τελεία ἀπόλυσις καὶ εἰσερχόμεθα εἰς τὴν τράπεζαν. Οὕτως οὖν ποιοῦμεν ὅλον τὸν ἐνιαυτὸν εἰς τὸ λυχνικόν, ὅτε ψάλλομεν Ἀλληλούια, μετὰ δὲ τὰς ὥρας, ἐν τῷ προσήκοντι καιρῷ, ψάλλομεν τὸν ἑσπερινόν.

(л. 11). Διάταξις μεσονυκτικοῦ καθημερινοῦ. См. выше стр. 102—107.

[л. 13). Διάταξις ὄρθρου καθημερινοῦ. См. выше стр. 107—112.

[л. 16 об.). Διάταξις τῆς ἀκολουθίας ἀπὸ τοῦ Πάσχα μέχρι τῆς Πεντηκοστῆς. Замѣчанія относительно поведенія хоровъ, предстоящихъ въ церкви и др.

[л. 18). Διάταξις περὶ τῶν μεσωρίων.

[л. 20). Ἀκολουθία σαββάτου, ἔχοντος μνήμην μεγάλου ἁγίου.

[л. 23). Διάταξις περὶ τῶν δ' εὐαγγελιστῶν.

[л. 23 об.). Διάταξις περὶ τῶν ἑωθινῶν εὐαγγελίων.

[л. 24 об.). Мѣсяцесловъ.

Здѣсь описанъ обрядъ величанія царей и игумена въ навечеріе Рождества Христова: Μετὰ τὴν ἀπόλυσιν, εἴτε λειτουργία γένηται εἴτε οὔ, ἅψαντες μανουάλια ἐν μέσῳ τοῦ ναοῦ καὶ στάντες στοιχηδὸν οἱ ἀδελφοὶ ψάλλουσι τὸ τῆς ἑορτῆς ἀπολυτίκιον καὶ τὸ κοντάκιον [1]), ἔπειτα ἵσταταί τις μοναχὸς [2]) εἰς τὸ μέσον, ἢ ὁ διάκονος [3]) ἠλλαγμένος καὶ μετὰ τὸ κοντάκιον φημίζει [4]) τοὺς βασιλεῖς καὶ τὸν ἀρχιερέα τῆς ἐνορίας [5]) τῆς μονῆς. Εἰς δὲ τὸν προεστῶτα λέγει· Σῶσαι ὁ Θεὸς καὶ συγχωρήσαι τὸν πανοσιώτατον πατέρα ἡμῶν καὶ καθηγούμενον σὺν πάσι τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος, ἕως τρίτου, καὶ οὕτω πληροῦται ὁ πολυχρονισμός, καὶ εἰσερχόμεθα εἰς τὴν τράπεζαν, ἐσθίοντες ἔλαιον, πίνοντες καὶ οἶνον εἰς δόξαν Θεοῦ, ἰχθὺν δὲ οὐκ ἐσθίομεν. Ἔν τισι δὲ τῶν Τυπικῶν οὐχ ὁριστικῶς γέγραπται ἐσθίειν ἡμᾶς ἔλαιον, ἀλλ' ἀπὸ συνηθείας.

Ἀλλ' οὐδὲ περὶ τῆς εἰς τὸ κελλίον τοῦ προεστῶτος ἰδίας πολυχρονίσεως δεδήλωται, οἶμαι, ὡς μηδὲ τούτου τότε γινομένου· ποῦ γὰρ τὸ κολακεύειν οἰκεῖον τοῖς μοναχοῖς καὶ τὸ ἀπὸ τῆς τραπέζης εἰς ἄλλην καταντᾶν παράκλησιν· γλυκισμάτων καὶ οἰνοποσίας ἀφορμὴν γὰρ οἱ διαφοροῦντες λαμβάνοντες, εἰς ἀκόρεστον ἐμπίπτουσιν ὄρεξιν, τέως δὲ διὰ τὴν συνήθειαν τὸ γινόμενον, εἰ καὶ ἀνάρμοστον, ἤδη δηλώσωμεν. Μετὰ γὰρ τὴν ἀπὸ τῆς τραπέζης μετάνοιαν, προευτρεπισθέντων σκά-

---

[1]) Ркп. Савв. библ. № 306, τὸ Ἡ Παρθένος σήμερον τὸν ὑπερούσιον τίκτει [2]) ὁ δομέστικος [3]) нѣтъ [4]) πολυχρονίζει [5]) οὗτινος ἡ μονή, ἔπειτα λέγομεν.

μνων εἰς τὸ ἡγουμενεῖον οἴνου τε καὶ γλυκύσματος, ἀπέρχεται ὁ καθηγούμενος εἰς τὸ κελλίον αὐτοῦ, κλείων τὴν θύραν. Ὁ δὲ οἰκονόμος μετὰ τοῦ ἐκκλησιάρχου καὶ τῶν λοιπῶν ἀδελφῶν ἀπέρχεται εἰς τὸ ἡγουμενεῖον καὶ ψάλλουσιν ἐκφωνητικῶς τὸ Ἡ γέννησίς σου Χριστὲ ὁ Θεός, εἶτα τὸ κοντάκιον καὶ τὸ Σῶσον, ὁ Θεός, ὡς καὶ ἐν τῇ ἐκκλησίᾳ. Καὶ οὕτω τοῦ ἡγουμένου ἐξελθόντος, πάντων καθεσθέντων, γλυκίσμασι καὶ ἀνὰ ποτηρίου ἑνὸς οἴνου δεξιοῦται αὐτούς, καὶ οὕτως ἄρχεται ὁ κανονάρχης κρούειν τὸν σημαντῆρα. Βλέπε δέ, ὡς πάντη ἀνοίκεια μοναχοῖς τὰ τοιαῦτα [л. **72** об.—**73**). Conf. Мансветовъ Церковн. Уставъ стр. 431).

На освященіи воды въ канунъ Богоявленія всѣ стояли со свѣчами (δίδονται τὰ κηρία τοῖς ἀδελφοῖς). По прочтеніи молитвъ, священникъ λαβὼν τὸν σταυρὸν ἀπὸ τῆς κορυφῆς μετὰ τῶν δύο χειρῶν αὐτοῦ, εὐλογεῖ τὰ ὕδατα σταυροειδῶς μετὰ τοῦ σταυροῦ, κατάγων αὐτὸν ὄρθριον ἐν τῷ ὕδατι, καὶ λέγων: Ἐν Ἰορδάνῃ βαπτιζομένου σου. . . Ψάλλουσι δὲ τοῦτο καὶ πάντες οἱ ἀδελφοί. Καὶ μετὰ τὸ πληρωθῆναι τὸ τροπάριον, ἀνάγει αὖθις ἀπὸ τῶν ὑδάτων τὸν σταυρὸν καὶ πάλιν εὐλογεῖ αὐτὰ μετὰ τοῦ σταυροῦ, ὡς καὶ τὸ πρῶτον, κατάγων αὐτὸν ὄρθριον ἐν τῷ ὕδατι [л. **83**),

[л. **148** об.). Ἀκολουθία τοῦ Τριῳδίου. Службы по Тріоди постной, и цвѣтной.

[л. **226** об.). Замѣчанія о томъ, въ честь какого святого совершается литургія въ дни седмичные, о повечеріи и о прощеніи игумена съ братіею послѣ него.

[л. **227**). Διάταξις περὶ τοῦ πῶς δεῖ θυμιᾶν.

[л. **229**). Περὶ τοῦ πάσῃ σπουδῇ φυλάττειν τὸν προεστῶτα μὴ παροράσθαι τὰ ἐν τῷ Τυπικῷ πάντα καὶ περὶ τοῦ μὴ διατρίβειν τοῦτον ἔξω τῆς μονῆς καὶ ἀμελεῖν τῶν πιστευθέντων αὐτῷ ψυχῶν ἄνευ μεγάλης ἀνάγκης. См. выше стр. 255—258 и варіанты.

[л. **232**). Πίναξ τοῦ παρόντος βιβλίου.

[л. **235**). Μάρκου, ἁμαρτωλοῦ μοναχοῦ, σύνταγμα, πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ Τυπικοῦ. 81 глава.

[л. **276**). Μηνὶ Σεπτεμβρίῳ α', ἀργία τῶν μοναχῶν καὶ κατάλυσις τῆς νηστείας εἰς ἔλαιον καὶ οἶνον ἀπὸ τοῦ ἥμισι τῆς ἡμέρας. См. выше стр. 146—151.

[л. **278**). Προστάσσουσι δὲ τὰ Τυπικά, ἵνα ἐν τῇ νηστείᾳ τῶν ἁγίων Ἀποστόλων καὶ τῶν Χριστουγέννων γίνηται κατάλυσις ἐλαίου καὶ οἴνου

τῇ γ' ἡμέρᾳ καὶ τῇ ε', ὡς ἤδη προειρήκαμεν, οὐ μέντοι καὶ εἰς ἰχθύας, εἰ μὴ τύχοι ἐν ταύταις ταῖς δυσὶν ἡμέραις μνῆμαι ἁγίων τῶν πάνυ μεγάλων καὶ ἐπισήμων. Δεῖ οὖν καὶ τούτων ἐν τῷ κοινῷ γίνεσθαι, ἐν δὲ τοῖς καθεζομένοις ἰδίᾳ, οὐχί· ἔλαιον γὰρ καὶ οἶνον τῇ γ' καὶ τῇ ε' οὐ βρωθήσηται παρ' αὐτοῖς. Εἰ μή τοι γε ἐν ταύταις ἐπιστῇ μνήμη ἁγίου τῶν μεγάλων, ἢ ἀποστόλων, ἢ τυχὸν δι' ἀσθένειαν, ἢ γήρους, ἢ ἀδυναμίαν. Ταῦτα πάντα, ἀδελφοί, οὐχ' ἁπλῶς καὶ ὡς ἔτυχεν ἐτέθησαν παρ' ἡμῶν, ὡς ἄν τις οἰηθῇ, ἀλλὰ διάφορα Τυπικὰ ἐντυχόντες, τὴν πραγματείαν τοῦ λόγου διὰ τὴν ὑπακοὴν ἐποιήσαμεν, σὺ δὲ τὰς συνήθεις εὐχὰς τῷ Θεῷ ὑπὲρ ἡμῶν προσάγων μὴ διαλείπῃς, σωθείημεν πάντες. Ἀμήν.

[л. 278 об.). Κεφάλαια κανονικά. (Κεφ. α'). Κανονικῶν ἀποστολικῶν διδασκάλων, ἐκλεγεῖσα παρὰ πατρὸς πνευματικοῦ, πρὸς τοὺς θέλοντας θεαρέστως ζῆν, ἄνευ ἀσθενείας σωματικῆς καὶ κατεπειγούσης βίας.

(Κεφ. β'). Ἀπὸ μὲν τῆς λαμπρᾶς καὶ ἁγίας κυριακῆς τοῦ Πάσχα μέχρι τῆς κυριακῆς τοῦ Θωμᾶ καταλύειν ἑκάστῃ ἡμέρᾳ, οἱ μὲν κοσμικοὶ κρέας, οἱ δὲ μοναχοὶ εἰς τυρόν.

(Κεφ. γ'). Ἀπὸ δὲ τὴν δευτέραν τὴν μετὰ τὴν κυριακὴν τοῦ Θωμᾶ σὺν τῇ δ' τῆς μεσοπεντήκοστῆς οὐκ ἐσθίομεν ἐν ταῖς τετραδοπαρασκευαῖς, οὔτε κρέα, οὔτε τυρόν, ἀλλὰ μόνον ἔλαιον οἱ μοναχοὶ καὶ οἱ λαϊκοὶ ἰχθύας.

(Κεφ. δ'). Τὴν δὲ ἅπασαν ἑβδομάδα τοῦ ἁγίου Πνεύματος καταλύομεν ἅπαντες ἐν παντὶ βρώματι καὶ πόματι, καθὼς καὶ τῇ Διακαινησίμῳ διεταξάμεθα.

(Κεφ. ε'). Ἀπὸ δὲ τῇ β' μετὰ τὴν κυριακὴν τῶν Ἁγίων Πάντων, ἐν ᾗ καὶ ἀρχόμεθα τῆς νηστείας τῶν Ἁγίων Ἀποστόλων, διαφυλάττομεν ἐν πάσαις ταῖς τετραδοπαρασκευαῖς σὺν τῇ β' τό τε ἔλαιον καὶ τὸ ὀψάριον, ἄνευ ἀσθενείας.

(Κεφ. ς'). Εἰ δήσσως (sic) τύχωσιν ἐν δ' ἢ παρασκευῇ αἱ μνῆμαι τῶν ἁγίων Ἀποστόλων, ἢ καὶ τῶν ιβ', ἢ ἑτέρων ἁγίων μεγάλων, οὐ καταλύομεν οὔτε ἔλαιον, οὔτε ἰχθύν. Ἐν μόναις δὲ ταῖς Δεσποτικαῖς ἑορταῖς καταλύομεν ἔλαιον καὶ ἰχθύν, εἰ τύχωσιν ἐν δ', ἢ παρασκευῇ.

(Κεφ. ζ'). Ὡς γὰρ διεταξάμεθα τὴν τῶν ἁγίων Ἀποστόλων νηστείαν, οὕτω γράφομεν καὶ περὶ ἑτέρων νηστειῶν, τῆς τοῦ Αὐγούστου, φημί, καὶ τῶν Χριστουγένων· ἀλλ' οὐδ' εἰ τύχωσιν αἱ παραμοναὶ τῶν ἁγίων Θεοφανείων ἐν δ' καὶ παρασκευῇ, οὐ καταλύομεν εἰς ἔλαιον, ἢ εἰς ἰχθύας,

ἀλλ' ἢ μόνον εἰς οἶνον. Εἰ δέ γε τύχωσιν ἐν σαββάτῳ, ἢ ἐν κυριακῇ μετὰ τὴν τοῦ Χρυσοστόμου λειτουργίαν, ὥραν γ' τελεσθεῖσαν, ἐσθίομεν τὸ κατακλαστὸν καὶ πίνομεν καὶ οἶνον ἀφ' ἑνὸς ποτηρίου καὶ ὀπωρικῶν, καρτεροῦντες τὴν τῶν ἑσπερινῶν ἀπόλυσιν· καὶ οὕτως ἐσθίομεν τὰ μαγηρευτὰ μετ' ἐλαίου μόνον, οὐχὶ δὲ ἰχθύας, καταλύομεν δὲ καὶ τὸ ὅλον δωδεκαήμερον εἰς ἰχθύας. Ὁμοίως δὲ καὶ τῇ ἑβδομάδι τῆς πρωταποκρέου καὶ κρέα, τυρόν, ἐξαιρέτως οἱ ὁρμώμενοι ἐκ τῆς φυλακῆς καὶ συρᾶς τῶν Ἀρμενίων. Ὁμοίως δὲ καταλύουσι τινὲς εἰς τυρὸν ἐν τῇ δ' καὶ παρασκευῇ τῆς τυροφάγου.

(Κεφ. η'). Ἐν δὲ τῇ μ', ἐν ἑκάστῃ ἡμέρᾳ ἐσθίομεν ἄρτον καὶ ὄσπρια ἄνευ ἐλαίου. Ἐν μόνοις δὲ τοῖς σάββασι καὶ ταῖς κυριακαῖς ἐσθίομεν ἔλαιον, πίνοντες καὶ οἶνον, ἀλλ' οὐδὲ τῇ δ' τῆς μεσονηστίμου, ἢ ἐν τῇ μεγάλῃ ε' ἐσθίομεν ἔλαιον.

(Κεφ. θ'). Τὸ δέ γε ὀψάριον ἐσθίομεν ἅπαντες κατ' αὐτὴν καὶ μόνην τὴν ἡμέραν τοῦ Εὐαγγελισμοῦ. Οὐδ' εὕρηται ἐν τοῖς κανόσι καταλύειν οἱ κοσμικοὶ ἐν τῷ τοῖς σάββασιν, εἰ καὶ νῦν τοῦτο βλέπομεν.

(Κεφ. ι'). Βλέπομεν δέ, ὅτι, εἰ φθάσει ὁ Εὐαγγελισμὸς ἐν τῇ μεγάλῃ ἑβδομάδι, οὐκ ἐσθίομεν ὀψάριον, κἂν καὶ ὁ κανὼν λέγει, ὅτι, ὅτε τύχοι, καταλύομεν. Ἀλλ' οὐδὲ τοῦ Λαζάρου, ἢ τῇ βαϊοφόρῳ ὁρίζει καταλύειν τοὺς πιστοὺς ὀψάριον ὁ κανών· οὐδὲ τῷ μεγάλῳ σαββάτῳ ἐσθίομεν ἔλαιον ἢ ἰχθύας, ἀλλὰ μετὰ τὴν ἀπόλυσιν τῆς λειτουργίας ἐσθίομεν ἄρτον, ὀπώρας τε καὶ οἶνον καὶ πλέον οὐδέν.

Κεφ. ια'. Φησὶ γὰρ ὁ μέγας Ἀθανάσιος, μὴ καταλύειν νηστείαν Κυρίου ἐν ἰχθῦσι τε καὶ ἐλαίῳ, εἰ μή γε ἐπὶ νόσῳ βεβάρησαι, ἤγουν τῇ δ' καὶ τῇ παρασκευῇ. Ὁ γὰρ καταλύειν(ων) ταύτας συνσταυροῖ τὸν Χριστόν, ὥσπερ καὶ οἱ Ἰουδαῖοι· ἐν γὰρ τῇ δ' παρεδόθη καὶ ἐν τῇ ς' ἐσταυρώθη. Εἰ μὴ ἐν μόναις ταῖς τῶν Ἐπιφανείων καὶ ταῖς ἐν τῇ Πεντηκοστῇ· ταύταις γὰρ ὁ καταλύων ἀνεύθυνος ἔστω.

Κεφ. ιβ'. Ὅτι δεῖ ἐν ταῖς μνήμαις τῶν ἁγίων καὶ ταῖς λοιπαῖς Δεσποτικαῖς ἑορταῖς οὐ δεῖ καταλύειν ἡμᾶς τῆς νηστείας τῇ δ' καὶ τῇ παρασκευῇ, διότι διδάσκει ἡμᾶς ὁ ἐν θεολόγοις Γρηγόριος ἐν τῷ λόγῳ τῷ εἰς Χριστοῦ γέννησιν, ἀποφαινόμενος ἑλληνικὰς εἶναι τὰς μετὰ τρυφῆς καὶ οἰνοποσίας ἑορτάς, καὶ ὁ μέγας δὲ πατὴρ ὁ τῆς Κλίμακος εἰς τὸν περὶ νηστείας λόγον παραινεῖ λέγων· «Μὴ πρόφασιν γαστριμαργίας ποιεῖσθαι τὰς ἑορτάς».

Κεφ. ιγ'. Ἀλλ' οὐδὲ κατὰ ταύτην τὴν μνήμην τῶν ἁγίων Ἀπο-

στόλων, τῇ δ' καὶ τῇ παρασκευῇ λύειν ἡμᾶς χρεὼν καὶ διαφορεῖν. Οἱ γὰρ αὐτοὶ νενομοθετήκασι τὴν τῶν τοιούτων ἡμερῶν νηστείαν καὶ ὁ τιμῆσαι θέλων αὐτοὺς νηστεύει πάντως καὶ οὐ καταλύει τῶν τοιούτων ἡμερῶν νηστείαν [л. 278).

[л. 281 об.). Ἑρμηνεία τῶν στιχολογιῶν τῶν ἐπισήμων ἁγίων καὶ ἑορτῶν τοῦ ὅλου χρόνου.

— Προκείμενα καὶ ἀλληλουάρια κατὰ κυριακὴν τῶν ὀκτὼ ἤχων εἰς τὸν ἀπόστολον.

(л. 282 об.). Ἀπόστολοι καὶ εὐαγγέλια τῶν ἡμερῶν τῆς ἑβδομάδος.

[л. 283 об.). Φωταγωγικὰ τῆς ἑβδομάδος.

[л. 284). Χρὴ εἰδέναι περὶ τῶν ἁγίων Θεοφανείων, ὅτι τὸ Τυπικὸν τῆς Μεγάλης Ἐκκλησίας μίαν προτρέπει φωτίζειν ἀφ' ἑσπέρας καὶ μόνον ἀπὸ τῶν ἁγίων πατέρων παραδοθέντας, ὁμοίως καὶ τὰ Συναξάρια καὶ αὐτὰ ὁμοίως τὰ θεῖα Εὐαγγέλια καὶ ὁ Ἀπόστολος καὶ τὰ ἀναγνώσματα τῶν προφητῶν καὶ εἰς τὸ κοινὸν παραδοθέντα, ὁμοίως καὶ εἰς μοναχοὺς τὰ Τυπικὰ τῶν τῆς εὐαγοῦς μονῆς τῶν Στουδίων καὶ τῶν Ἱεροσολύμων ἀφ' ἑσπέρας καὶ μόνον προτρέπει, πλεῖον οὐδέν. Ἄρτι δὲ ὁρῶμέν τινας ἀφ' ἑσπέρας καὶ πρωΐ, καὶ ἐν τούτῳ οὐκ ἐνέτυχον γραφικὴν μαρτυρίαν, ἐὰν δέ τις τῶν φιλοπόνων γραφικὴν ἔνθεσμον μαρτυρίαν περὶ τούτου ἐνέτυχε, φωτισάτω ἡμᾶς, ὅτι τὸ μιμεῖσθαι δίχα γραφῆς θείας πολὺν κίνδυνον ἐπιφέρει, μᾶλλον δὲ καὶ ἄρτι, ὅτι διὰ τὸ μὴ ἀκολουθεῖν τὰς θείας γραφὰς παρεδόθημεν τοῖς ἔθνεσιν, ἐὰν δὲ ἔχῃ ἡ ἔνθεος γνῶσις, ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς μίαν ἐβαπτίσθη καὶ οὐχὶ δεύτερον, ὅμως, οὐκ οἶδα, ὁ ἔνθεον γνῶσιν ἔχων φωτισάτω ἡμᾶς. Эта статья написана другимъ почеркомъ, хотя рукою того же времени.

Типиконъ принадлежитъ по составу къ Типиконамъ уже вполнѣ образовавшимся. Въ немъ нерѣдко дѣлается попытка указать на разности въ другихъ подобныхъ Типиконахъ, при чемъ эти замѣчанія идутъ отъ перваго лица. Для примѣра сдѣлаемъ выдержки: Ἰστέον δέ, ὅτι τὸ Πᾶσα πνοὴ (предъ евангеліемъ) οὐ παρελάβομεν ἐν Παλαιστίνῃ ψάλλειν κατ' ἦχον, ἀλλ' εἰς ἦχον πλ. β' πάντοτε [л. 6). Ἰστέον δέ, ὅτι τινὰ τῶν ἀντιγράφων λέγουσιν, ὅτι, καὶ τοῦ ἱερέως μὴ εὐλογοῦντος, μετὰ τὴν ἀνάγνωσιν καὶ μετὰ τὸ σημᾶναι τὸ μέγα, ἄρχεται ὁ προεστώς, ἢ ὁ ἐκκλησιάρχης τὸν

ἐξάψαλμον [л. 5 об.). Ἰστέον, ὅτι ἐν τοῖς πλείοσι τῶν Τυπικῶν οὐ διαλαμβάνεται ἡ εὐχὴ αὕτη (т. е. «Владыко Господи Іисусе Христе»), τινὲς δὲ ἀγράφως ἀπὸ συνηθείας λέγουσι καὶ τὰς ἑτέρας δύο εὐχὰς εἰς τὴν τάξιν αὐτῶν, ἤγουν ἐν μὲν τῷ μεσωρίῳ τῆς γ' ὥρας [л. 18). Ἰστέον δέ, ὅτι τινὰ τῶν Τυπικῶν ὁρίζουσι τὸν κανόνα τοῦ μηνός, τῆς Θεοτόκου καὶ τὸν νεκρώσιμον, ἀνάρμοστον δὲ τοῦτο πάντη, τὰ γὰρ νεκρώσιμα εἰς τὸ μέσον καταλιμπάνονται ὁλοτελῶς [л. 21). Πρόσχες, ὦ ἱερεῦ, ἐὰν τὸ ῥηθὲν εὐαγγέλιον τύχῃ κυριακὴν ἑτέραν πρὸ ταύτης τῆς κυριακῆς τῶν Προπατόρων, ἵνα φυλάσσῃς αὐτὸ διὰ ταύτην τὴν κυριακὴν καὶ τότε λέγε ἀντ' αὐτοῦ ἕτερον, τὸ κείμενον παρέμπροσθεν. Ἰστέον, ὅτι ἐὰν τύχῃ τινὸς ἄλλου ἁγίου μνήμη τῇ κυριακῇ ταύτῃ τῶν Προπατόρων πάντων, ὀφείλει, καθὼς ὁρίζει τὸ Τυπικόν, ψάλλεσθαι τὸν τοιοῦτον ἅγιον ἐν τοῖς ἀποδείπνοις τῆς παρασκευῆς. Εἰ δὲ τύχοι τῶν ἁγίων τριῶν παίδων καὶ Δανιὴλ τοῦ προφήτου, πῶς ὀφείλουσιν οὗτοι μεῖναι ἀνεόρταστοι καὶ ὡς ἐν παραβύστῳ γενέσθαι τὴν ἀκολουθίαν αὐτῶν. Πάλιν δὲ ψάλλεσθαι τὸν ἀναστάσιμον κανόνα μετὰ τῶν δύο κανόνων, τῶν τε ἁγίων παίδων καὶ τοῦ προφήτου καὶ τῶν Προπατόρων, καὶ ἐκβαίνειν ἐπέκεινα τῶν ιβ' στίχων, τοῦτο οὐχ εὑρίσκεται ἐν τοῖς ἐν Ἱεροσολύμοις Τυπικοῖς, δοκεῖ οὖν μοι, εἰ δόξῃ τῷ προεστῶτι, ἢ τῷ ἐκκλησιάρχῃ, καταλεῖψαι τὸν εἱρμὸν τοῦ ἀναστασίμου κανόνος καὶ τὸ θεοτοκίον καὶ ψάλλειν τὰ β' ἀναστάσιμα μόνον τῆς ᾠδῆς. Εἶθ' οὕτω λέγει τῶν Προπατόρων κανόνα καὶ τοὺς ἑτέρους β' τόν τε γ' παίδων καὶ τῶν κανόνων καὶ τοὺς ἑτέρους β' τοῦ προφήτου Δανιήλ, εἰ δ' οὖν, ὡς βούλει [л. 67 об.).

Изложеніе службъ по Мѣсяцеслову и по главамъ Марка согласно. Поэтому подъ праздниками Срѣтенія Господня, 40 мучениковъ и др. нѣтъ изложенія всѣхъ случаевъ, а подъ праздникомъ Благовѣщенія, хотя и сохранены службы, но начинаются онѣ съ субботы Лазаря. Въ Марковыхъ главахъ доведены случаи до этого дня, а далѣе сдѣлано такое замѣчаніе: Περὶ τῶν ἀπορουμένων τοῦ Εὐαγγελισμοῦ ζήτει εἰς τὰς κε' Μαρτίου [л. 257). Поэтому главъ Марковыхъ здѣсь 81, и текстъ службъ изложенъ въ редакціи переходного времени. (Сн. Типик. Ватоп. библ. 1346 г.).

LXXXVI. Ἀρχὴ σὺν Θεῷ ἁγίῳ. Τυπικὸν τοῦ ὅλου ἐνιαυτοῦ, ἔχον τὴν ἅπασαν ἀκολουθίαν τῆς ἐκκλησιαστικῆς τῆς ἐν Ἱεροσολύμοις ἁγίας λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα. Αὕτη δὲ

ἡ ἀκολουθία γίνεται ἐν ταῖς λοιπαῖς τῶν ἐν Ἱεροσολύμοις ἁγίων μονῶν. Рукопись Аѳоно-Кутлумушск. библ. въ 16 долю листа, 321 листъ, на бумагѣ писана почеркомъ 1538 года, какъ это видно изъ слѣдующей приписки: Ἐτελειώθη τὸ παρὸν βιβλίον διὰ χειρὸς καὶ κόπου ἐμοῦ, ἀναξίου δούλου Θεοῦ Γεωργίου, τάχα καὶ γραμματικοῦ, εὔχεσθε καὶ μὴ καταρᾶσθε διὰ τὸν Κύριον καὶ ὅπερ παρεσφάλημεν, ἄνθρωποι, μὴ κρίνεσθε, βροτὸς κἀγὼ δὲ καὶ σφαλμάτων πέπλησμαι, ἀλλ' εὔχεσθε ὑπὲρ ἀμφοτέρων, ἵνα θεῖον ἔλεος εὕρωμεν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως· ἔτους ,ζμς' νια'.

По составу Типиконъ сходенъ съ № 346 той же библіотеки. Есть небольшія разности въ текстѣ и прибавлены слѣдующія статьи:

[л. **308**). Ἀποκρίσεις κανονικαὶ τοῦ ἁγιωτάτου ἐπισκόπου Ἀλεξανδρείας Τιμοθέου, ἑνὸς τῶν ρν' ἁγίων πατέρων τῶν ἐν Κωνσταντινουπόλει, πρὸς τὰς ἐπενεχθείσας αὐτῷ ἐρωτήσεις παρά τινων ἐπισκόπων καὶ κληρικῶν.

[л. **311**). Περὶ τῶν παρ' αἱρετικῶν καὶ χειροτονημένων ἐκ τῶν ἐκκλησιαστικῶν, ἱστορίας συλλογὴ μερική.

Замѣчаніе о пасхаліи, грамата духовному отцу и о чинахъ Великой Церкви.

LXXXVII. № 1100. Τυπικὸν τῆς ἐκκλησιασιαστικῆς ἀκολουθίας τῆς ἐν Ἱεροσολύμοις ἁγίας λαύρας τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα. Αὕτη ἡ ἀκολουθία γίνεται καὶ ἐν τοῖς λοιποῖς τῶν Ἱεροσολύμων ἁγίων μοναστηρίων. Рукопись Синайск. библ. на бумагѣ въ 8 долю листа, 198 листовъ, писана скорописью 1540 года, какъ это видно изъ слѣдующихъ приписокъ: ,αφμ', μηνὶ Ἰουλίῳ κη', ὥρας δ', ἡμέρας β'. Χεὶρ μὲν ἡ γράψασα σήπεται τάφῳ, ἡ δὲ γραφὴ μένεται εἰς αὐλικῶν τοὺς κύκλους [л. **139** об.) и Ἀγοράσθη τὸ παρὸν Τυπικὸν διὰ ἐξόδου καὶ συνδρομῆς τοῦ κὺρ Κώνστα Καβαλλάβου κρητικοῦ, καὶ ἔδωσεν αὐτὸ τοῦ πνευματικοῦ Μακαρίου τὰς χεῖρας, ἵνα ἔχῃ αὐτὸ ἐν ὅλῃ τῇ ζωῇ αὐτοῦ, ἵνα μνημονεύηται ὁ ἄνωθεν κὺρ Κώνστας, καὶ ὁ πνευματικὸς πατὴρ ἐν τῷ τέλει αὐτοῦ νὰ τὸ ἀφιερώσῃ ἐν μοναστηρίῳ, ἵν' ὅπως μνημονεύεται ὁ ἄνωθεν κὺρ Κώνστας. Ἐν ἔτει ,αφμβ', ἰνδικτιῶνος ιε', ἡλίου κύκλος κβ', σελήνης κύκλος α', μηνὸς Δεκεμβρίου ια' [л. **14** об.). Въ концѣ есть приписка: Τὰ δυσχερῆ πῶς τῆς Τυπικοῦ πυξίδος.

Πολλοῖς ὁ πολὺς πρὸς διάγνωσιν λύει.

Составъ Типикона обычный. Вводная часть безъ раздѣленій даже и въ тѣхъ мѣстахъ, гдѣ говорится о количествѣ всенощныхъ, о чтеніи Псалтири и о суточномъ богослуженіи. Ясно, что оригиналомъ служилъ Типиконъ болѣе ранняго времени. Въ Синаксарѣ и Тріодяхъ особеннаго ничего нѣтъ. Часы наканунѣ Рождества, Богоявленія и въ великую пятницу съ особыми псалмами и ектеньями. Наканунѣ Рождества на первомъ часѣ псалмы: 5, 44 и 45, на третьемъ 66, 86 и 50, на шестомъ 71, 131 и 99 и на девятомъ 109, 84 и 85. Наканунѣ Богоявленія на первомъ часѣ псалмы: 5, 22 и 26, на третьемъ 28, 41 и 59, на шестомъ 73, 76 и 90 и на девятомъ 92, 113 и 85. Въ великую пятницу на первомъ часѣ: пс. 5, 58 и 40, на третьемъ 10, 34 и 50, на шестомъ 57, 139 и 90 и на девятомъ 21, 68 и 85. За Тріодью, послѣ статьи о кажденіи, прокимнахъ и аллилуаріяхъ, стоитъ статья: *Μάρκου, ἁμαρτωλοῦ ἱερομονάχου, σύνταγμα, πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ Τυπικοῦ*, 93 главы. Статьи тѣ же и въ томъ же порядкѣ, что и въ Типиконѣ № 1098, безъ раздѣленій. Противорѣчій въ этихъ главахъ съ Синаксаремъ нѣтъ, хотя изложенія ихъ и разнятся.

LXXXVIII. № 137. *Τυπικὸν κτλ.*, рукопись Симоно-Петрской Аѳонск. библ.[1]) въ 16 долю листа, на 302 листахъ, писана скорописью довольно плохою въ 1549 году, какъ видно изъ приписки: *Ἔτει τῷ ἀπὸ τῆς Χριστοῦ γεννήσεως χιλιοστῷ πεντακοσιοστῷ τεσσαρακοστῷ θ', μηνὸς Ἰουλίου λα'* [л. **288**).

[л. **1**). *Εἴδησις τοῦ μικροῦ ἑσπερινοῦ.*

— *Εἴδησις τοῦ μεγάλου ἑσπερινοῦ.*

[л. **7**). *Εἴδησις τῶν ἀγρυπνιῶν τοῦ ὅλου ἐνιαυτοῦ.*

[л. **8**). *Εἴδησις τοῦ σημαντῆρος, τὸ πότε δεῖ σημαίνειν.*

[л. **13**). *Περὶ τοῦ πότε ἀποσκεπαζόμεθα.*

[л. **13** об.). *Πῶς ψάλλονται τὰ τῶν Δεσποτικῶν ἑορτῶν στιχηρὰ ἐν ὅλῃ τῇ ν'.*

— *Πῶς ψάλλομεν τὰς παρασκευὰς ἐν ὅλῃ τῇ ν' ἑσπερινόν.*

---

[1]) Рукопись эта погибла въ пожарѣ 1890 года, когда сгорѣлъ Симоно-Петрскій на Аѳонѣ монастырь почти до основаній.

[л. 14). Πῶς ψάλλεται τὸν πολυέλεον ἐν ταῖς παρασκευαῖς.

— Περὶ συντυχίας.

— Παραγγελία τοῖς ἐν τῷ νάρθηκι ἀδελφοῖς.

[л. 14 об.). Περὶ τοῦ ἐναρξαμένου χοροῦ.

— Περὶ τοῦ κατὰ τίνα αἰτίαν (упраздняется екклисіархъ).

[л. 15). Περὶ τῆς μ' τῶν Χριστουγέννων καὶ τῶν ἁγίων Ἀποστόλων, ὅτε τύχῃ Ἀλληλούια.

— Δήλωσις τῶν μεσωρίων.

[л. 16). Πότε γίνονται αἱ μετάνοιαι.

[л. 17). Τίς δὲ τάσσει ἐν τοῖς χοροῖς.

— Πῶς ψάλλονται κανόνες.

— Πρὸ τοῦ σημᾶναι τὸν ἑσπερινόν, τί δεῖ ποιεῖν τῇ παρασκευῇ ἑσπέρᾳ.

[л. 19). Χρὴ γινώσκειν, πῶς ἀναγινώσκονται τὰ εὐαγγέλια καὶ αἱ τούτων ἑρμηνεῖαι.

[л. 20). Μάρκου, ἁμαρτωλοῦ μοναχοῦ, σύνταγμα, πονηθὲν εἰς τὰ ἀπορούμενα.

Всѣхъ главъ 36: 1) О праздникахъ Богородичныхъ въ недѣлю, 2) О Господскихъ праздникахъ въ недѣлю, 3) Объ отданіи Господскихъ праздниковъ, 4) О томъ же въ воскресенье, 5) Объ отданіи Богородичныхъ праздниковъ, 6) О предпразднествахъ и попразднествахъ Господскихъ праздниковъ, если случатся въ воскресенье, 7) О канонахъ предпразднеству и попразднеству въ воскресенье, 8) О предпразднествахъ и попразднествахъ, какъ они поются съ Минеею, 9) О кондакахъ и тропаряхъ двумъ святымъ съ предпразднествомъ и попразднествомъ, 10) О предпразднествахъ и попразднествахъ съ двумя святыми въ недѣлю, 11) О предпразднествахъ и попразднествахъ съ святымъ, имѣющимъ литургію въ субботу, 12) О литургіи въ субботу, когда поется Аллилуія, 13) О томъ, когда не стихословится «Господеви поемъ», 14) Когда стихословится «Честнѣйшую», 15) О тропаряхъ предпразднеству и попразднеству и ежедневнаго святого, 16) О тропаряхъ двухъ святыхъ въ недѣлю, 17) О тропаряхъ предпразднества и попразднества, если случатся въ воскресенье съ святымъ, имѣющимъ тропарь, 18) О святомъ съ бдѣніемъ въ недѣлю, 19) О святомъ, имѣющемъ поліелей въ недѣлю, 20) О святомъ на 6 въ недѣлю, 21) О пѣніи

каноновъ за усопшихъ на панихидахъ, 22) о тропаряхъ повечерій предпразднествъ и попразднествъ и святыхъ дневныхъ въ недѣли, 23) о тропаряхъ Господскихъ праздниковъ въ недѣлю, 24) о тропаряхъ святыхъ и первобогородичныхъ, какіе говорятся въ пятницу вечеромъ, въ субботу и въ воскресенье, 25) о святомъ на 8, если приходится въ среду и пятницу, какіе говорятся богородичны, 26) о святомъ на 6 и имѣющемъ поліелей, какіе богородичны говорятся, 27) о первобогородичныхъ, какъ говорятся въ субботу и въ воскресенье, 28) о святомъ, имѣющемъ входъ на первобогородичныхъ, 29) когда говорится «Честнѣйшую» въ воскресенье, 30) о святомъ, имѣющемъ евангеліе, когда не говорится «Господеви поемъ», 31) о литіи, когда бываетъ и когда не бываетъ, 32) о предпразднествахъ Господскихъ праздниковъ, если случатся въ воскресенье, 33) о святомъ на 8 съ поліелеемъ въ субботу, 34) если случится въ субботу Аллилуія, 35) о постѣ св. апостоловъ и 36) объ ирмосахъ недѣли, какъ поются каноны ихъ съ Минеею въ недѣлю.

[л. **30**). *Ἀρχὴ τῆς πεφωτισμένης ἁγίας καὶ μεγάλης μ', ἀρχομένης ἀπὸ τοῦ τελώνου καὶ φαρισαίου.* Службы Тріоди постной и цвѣтной, о постѣ апостоловъ и о повечеріяхъ.

[л. **97** об.). *Περὶ τοῦ πῶς δεῖ θυμιᾶν.* Здѣсь же статья о времени открытія царскихъ дверей.

[л. **99**). *Περὶ τοῦ πάσῃ σπουδῇ φυλάττειν τὸν προεστῶτα καὶ μὴ παροpᾶσθαι τὰ ἐν τῷ Τυπικῷ ἅπαντα καὶ περὶ τοῦ μὴ διατρίβειν τοῦτον ἔξω τῆς μονῆς καὶ ἀμελεῖν τῶν πιστευθέντων αὐτῷ ψυχῶν ἄνευ μεγάλης ἀνάγκης.*

[л. **101** об.). *Ἀκολουθία τῆς ὅλης ἑβδομάδος τῶν προκειμένων καὶ ἀλληλουαρίων καὶ κοινωνικῶν τῆς θείας λειτουργίας, ὅτε οὐκ ἔστιν ἑορταζόμενος ἅγιος.*

[л. **102**). Службы общимъ святымъ.

[л. **103**). *Ἀρχὴ τῶν ἀποκρίσεων τῆς θείας λειτουργίας.* Литургическая схема безъ молитвъ и описанія обрядовыхъ дѣйствій.

[л. **104** об.). *Τροπάρια θεοτοκία, ψαλλόμενα εἰς τὴν ἁγίαν λειτουργίαν.*

[л. **105**). Молитва надъ коливомъ.

— Порядокъ воскресной утрени, начиная съ непорочныхъ.

[л. **106**). Правила о постѣ разныхъ отцевъ.

[л. **108** об.). Отпусты.

[л. **109**). Ἀκολουθία τῆς ἐκκλησιαστικῆς ψαλμῳδίας καὶ συνάξεως τῶν ἑορτῶν τοῦ ὅλου ἐνιαυτοῦ τὰ ἀναγκαιότερα, ἀρχομένη ἀπὸ μηνὸς Σεπτεμβρίου καὶ ἕως Αὐγούστου μηνός.

Поэтому и службы здѣсь изложены не всѣ, но только на нѣкоторые дни. Въ мѣсяцѣ Сентябрѣ на 1, 8, 13, 14, 23, 26 и 28 (Харитона), въ Октябрѣ 1, 6 и 11 (безъ службы), служба седьмого вселенскаго собора и 26, въ Ноябрѣ 12 (Іоанна Милостиваго), 13, 14, 21 и 30, въ Декабрѣ 5, 6, недѣля отцевъ, 15, 17, недѣля праотцевъ, 24 (предпразднества), 20, 25, 26, 27 и 31, въ Январѣ, 1, 2, 5, 6, 11, 16, 17, 18, 20, 25, 27 и 30, въ Февралѣ 2 и 24, въ Мартѣ, 9, 24 и 25, въ Апрѣлѣ 23 и 25, въ Маѣ 1, 2, 8, 21 и 25, въ Іюнѣ 8, 14, 24, 29 и 30, въ Іюлѣ 1, 2, 8 (Прокопія) 15, 16, 20, 22, 25, 27 и 31 и въ Августѣ 1, 2, 6, 7, 13, 14, 15, 23 (отданіе праздника Успенія), 29 и 31. Марковыя главы безъ указанія автора на своихъ мѣстахъ подъ самыми праздниками. Есть особенная глава относительно службы трехъ святителей. Заканчивается эта часть припискою: Ἐτελειώθη τὸ παρὸν Τυπικὸν ἐν μηνὶ Ἰανουαρίῳ εἰς τὰς 25, τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου, τὸ πέρας εὑρὼν τῆς πυκτίδος ὑμνῆσαι τὴν πανσθενουργόφωτον ἁπλῆν Τριάδα. Ἀμὴν [л. **214**).

[л. **214**). Μηνολόγιον σὺν Θεῷ τοῦ ὅλου ἐνιαυτοῦ, ἔχον τὰ τροπάρια καὶ κοντάκια τῶν ἁγίων, χωρὶς τῶν Δεσποτικῶν ἑορτῶν καὶ τῶν μεγάλων ἁγίων. Ταῦτα δὲ ἐγράφησαν ὄπισθεν εἰς τὸ Τυπικὸν καθ' ἓν εἰς ὀρδίνιόν του.

[л. **252** об.). Ἀπολυτίκια ἀναστάσιμα.

[л. **254** об.). Богородичны Октоиха.

[л. **256**). Τροπάρια, ψαλλόμενα μετὰ τὸν Ἄμωμον ἐν ταῖς κυριακαῖς τοῦ ὅλου χρόνου.

[л. **256** об.). Τροπάρια νεκρώσιμα: «Святыхъ ликъ».

[л. **257**). Ἀκολουθία τῆς ἁγίας μεταλήψεως. Канонъ предъ причащеніемъ и молитвы.

[л. **273**). Τὴν εὐχαριστήριον ταύτην εὐχήν. Благодарственныя молитвы.

[л. 276). Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κυρίλλου, ἀρχιεπισκόπου Ἀλεξανδρείας, λόγος περὶ ἐξόδου ψυχῆς καὶ ἐπὶ τῆς δευτέρας κρίσεως.

[л. 288 об.). Κανών, ψαλλόμενος ἐπὶ ἐξόδου ψυχῆς.

[л. 291). Ἕτερος κανὼν τῆς ὑπεραγίας Θεοτόκου.

[л. 294 об.). Ἕτερος κανὼν παρακλητικὸς τῆς ὑπεραγίας Θεοτόκου.

[л. 296 об.). Ἐξαποστειλάρια τῆς ὅλης ἑβδομάδος.

[л. 299). Περὶ τοῦ ὅταν ὁ ἱερεὺς πέσῃ νύκτα, ὀφείλει ἐν γρηγορωτάτῳ ἐγερθῆναι τοῦ ποιεῖν οὕτως.

[л. 300 об.). Отпусты Господскихъ праздниковъ.

[л. 301). Εὐχὴ τοῦ οἴνου.

Δέσποτα ἀγαθέ, φιλάνθρωπε, ἔπιδε ἐφ' ἡμᾶς, ἐπὶ τὸν νέον οἶνον καὶ εὐλόγησον αὐτόν, ὡς εὐλόγησας τὸ φρέαρ τοῦ Ἰακώβ.

— Молитва Богородицѣ въ келліи: «Пресвятая, Госпоже Богородице, отжени отъ насъ всякаго лукаваго», отъ сна «Отъ сна воставъ благодаримъ Пресвятую Троицу» и лунникъ.

Типиконъ весьма сходенъ съ Типикономъ Свят.-гроб. библ. № 57, но лишь въ первой части, а далѣе представляетъ разницу. Текстъ службъ переходного времени. Противорѣчій нѣтъ.

LXXXIX. Τυπικὸν Аѳоно-Ксиропотамскій соборный «ктиторскій», рукопись въ 16 долю листа, 392 листа, писана скорописью 1565 года, какъ это видно изъ приписки: Ἐγράφη ἐπὶ ἔτους ͵ζογ', ἰνδικτ. η'.

По составу и тексту Типиконъ сходенъ съ Кутлум. № 509. Можно указать на его сходство и съ Типик. Пантократора, но лишь до Марковыхъ главъ. Въ настоящемъ Типиконѣ есть и прибавки въ концѣ: о соблюденіи праздниковъ и о таинствахъ и т. п.

Изъ достопримѣчательностей отмѣтимъ позднѣйшую прибавку подъ 28 Іюля: Πρόσχες ἐσύ, ὁ τὴν ἐπιστασίαν ἔχων τῆς ἐκκλησιαστικῆς ταύτης ἀκολουθίας, ὅτι κατὰ τὴν κη' τοῦ παρόντος μηνὸς ψάλλομεν τὴν ἀκολουθίαν τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Παύλου, τοῦ συστησαμένου τὴν καθ' ἡμᾶς ἱερὰν μονήν, τὴν ἐπονομαζομένην τοῦ Ξηροποτάμου. Αὕτη δὲ συντεθεῖσα ἐν ὑστέροις καιροῖς παρὰ

τοῦ ἐλλογιμωτάτου ἐν ἱεροδιδασκάλοις καὶ ῥήτορος κυροῦ Ἀθανασίου Γρηγορίου [л. **243** об.).

Въ пасхальной службѣ слово Златоуста имѣетъ прологъ Ѳ. Студита: Τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Θεοδώρου τοῦ Στουδίτου προοίμιον εἰς τὸν ῥηθέντα κατηχητικὸν λόγον τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου и т. д. [л. **282**). Внизу и по полямъ есть ссылки и на иную практику.

XD. № 136. Τυπικόν, безъ начала, рукопись Аѳоно-Симоно-Петр. библ.[1]), въ 16 долю листа, 450 листовъ, писана красивымъ мелкимъ почеркомъ со множествомъ словосокращеній. Годъ этой рукописи 1566 опредѣляется слѣдующею припискою: Δόξα σοι ὁ Θεὸς ἡμῶν, ἕνεκα πάντων δόξα. Θεοδώρου τὸ δῶρον καὶ Ἰωὴλ πόνος. Χριστέ, δίδου τῷ πονήσαντι τὴν πολύολβον ἀρωγήν. Γήθει μὲν λιμένα πλωτὴρ πολυβενθέα μάρων τῇ (;) γήθει δ' αὖ τε γραφεὺς στίχον ὕστατον ἐκτολυπεύων. Ἐν ἔτει ͵ζος', ἰνδικτ. ια', Μαρτίου η'. [л. **415**). Кромѣ этой приписки, отъ лица списателя есть другая приписка: Χριστός, ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρὸς καὶ πάντων τῶν ἁγίων τοῖς κοπιῶσι πατρᾶσι καὶ ἀδελφοῖς ἡμῶν μισθὸν οὐράνιον παράσχοι καὶ ἡμᾶς ἐλεῆσαι, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Ἀμήν [л. **378**).

Рукопись эта, по своему составу и расположенію входящихъ въ нее статей, сходна съ церковнымъ Типикономъ Пантократорскаго монастыря. Въ вводной части нѣтъ лишь нѣсколькихъ (не болѣе трехъ) небольшихъ статей, которыя опущены. Въ Синаксарѣ весьма подробно изложена слѣдующая служба 8 Ноября въ честь собора Михаила Архангела и прочихъ безплотныхъ силъ:

Ἡ σύναξις τοῦ ἀρχιστρατήγου Μιχαὴλ καὶ τῶν λοιπῶν ἀσωμάτων δυνάμεων. Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ς', ἦχος δ', στιχηρὰ προσόμοια· Ὡς γενναῖον, Τρισηλίου θεότητος, καὶ ἕτερα, δευτεροῦντες αὐτά, Δόξα, ἦχος πλ. β'· Συγχάρητε ἡμῖν ἅπασαι, Καὶ νῦν θεοτοκίον, εἴσοδος, τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα· τὸ α' Ἰησοῦ τοῦ Ναυῆ· Ἐγένετο ὡς ἦν Ἰησοῦς ἐν Ἱεριχῷ, τέλος· Ὁ γὰρ τόπος, ἐφ' ὃν σὺ ἕστηκας, τόπος ἅγιός ἐστιν. Τὸ δεύτερον Ἠσαΐου· Τάδε λέγει Κύριος· πᾶσα ἡ γῆ βοᾷ μετ' εὐφροσύνης,

[1]) Рукопись погибла въ пожарѣ 1890 г.

τέλος· Καὶ τὸν λαόν μου ἀπέκτεινας. Τὸ γ' Ζαχαρίου· Τάδε λέγει Κύριος· Εὐλαβείσθω πᾶσα σάρξ ἀπὸ προσώπου Κυρίου, τέλος· Ἀλλ' ἢ ἐν Πνεύματί μου, λέγει Κύριος παντοκράτωρ. Εἰς τὸν στίχον ἰδιόμελον ἦχος α'· Τῶν νοερῶν δυνάμεων ἀρχιστράτηγοι, στίχος· Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα· Ὁ ταξιάρχης τῶν ἄνω δυνάμεων. Ἕτερον, ἦχος β', στίχος· Αἰνεῖτε τὸν Κύριον πάντες οἱ ἄγγελοι· Τῆς ἀΰλου οὐσίας. Εἰ οὐκ ἔστι κυριακή, Δόξα καὶ νῦν, ἦχος πλ. δ'· Ὡς ταξιάρχης καὶ πρόμαχος. Τροπάριον ἦχος δ'· Τῶν οὐρανίων στρατιῶν ἀρχιστράτηγοι, δυσωποῦμεν ὑμᾶς οἱ ἀνάξιοι, ἵνα ταῖς ὑμῶν δεήσεσι τειχίσητε ἡμᾶς, σκέπῃ τῶν πτερύγων τῆς ἀΰλου ὑμῶν δόξης, φρουροῦντες ἡμᾶς, προσπίπτοντας ἐκτενῶς καὶ βοῶντας, ἐκ τῶν κινδύνων λυτρώσασθε ἡμᾶς, ὡς ταξιάρχαι τῶν ἄνω δυνάμεων. Εἰς τὸν ὄρθρον ἡ συνήθης στιχολογία· ἀνάγνωσιν δὲ ποιοῦμεν τὸ ἐγκώμιον Παντολέοντος, διακόνου τῆς Μεγάλης Ἐκκλησίας, καὶ ἕτερον λόγον τοῦ ἁγιωτάτου μητροπολίτου Εὐχαΐτων Ἰωάννου. Εἶτα ὁ πολυέλεος [1]), μετὰ δὲ τὸν πολυέλεον ἀντίφωνον τῆς ἐκλογῆς, ψαλμὸς ργ'· Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, Κύριε ὁ Θεός μου· ψάλλομεν δὲ εἰς τὴν ἐκλογὴν καὶ τὰ ἐγκώμια τὰ τριαδικά, ἅπερ εἰσὶ ταῦτα ὕμνοι εἰς ἀντίφωνα τῶν Ἀσωμάτων· Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις, δίς. Ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεὸς παντοκράτορ, δίς. Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ, δίς (ἅπερ λέγονται ἐκ δευτέρου). Δεῦτε πάντες ᾆσμα μέλψωμεν Χριστῷ τῷ Θεῷ ἡμῶν. Ἀλληλούια. Σοὶ τῷ πάντων ποιητῇ πρέπει αἶνος, ὕμνος πρέπει, δόξα καὶ μεγαλωσύνη εἰς πάντας τοὺς αἰῶνας. Σοὶ τῇ τριφώτῳ Τριάδι πρέπει Τρισάγιος ὕμνος. Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ, πλήρης ὁ οἶκος τῆς δόξης σου, Κύριε. Ἄγγελοι ἀνύμνουν τὸ Δόξα ἐν ὑψίστοις, ἡμεῖς δὲ σοὶ βοῶμεν· δόξα σοι, Χριστέ, ἡ σωτηρία πάντων, δόξα σοι. Ἀρχάγγελοι, ἄγγελοι, θρόνοι, κυριότητες, τὰ χερουβὶμ καὶ σεραφίμ, δοξάσατε τὸν Κύριον, λέγοντες· Ἀλληλούια. Δόξα, Αἴνεσιν Τρισάγιον ἡ φύσις τῶν ἀνθρώπων, Χριστὲ Σωτήρ, βοῶσα· δόξα σοι Χριστέ, ἡ σωτηρία πάντων, δόξα σοι. Καὶ (νῦν), Δεῦτε τῇ Πανάγνῳ βοήσωμεν συμφώνως φωνὴν τὴν τοῦ ἀγγέλου· Χαῖρε, εὐλογημένη καὶ μόνη χαῖρε, χαρᾶς ἡ πρόξενος. Πληρουμένων δὲ τῶν ἀντιφώνων, κάθισμα καὶ ἀνάγνωσις. Εἶτα οἱ ἀναβαθμοί, τὸ ἀντίφωνον τοῦ δ' ἤχου, προκείμενον ἦχος δ'· Ὁ ποιῶν τοὺς ἀγγέλους, στίχος· Εὐλόγει,

---

[1]) Ркп. 1528 г. Ἐν τισι δὲ τῶν Τυπικῶν εὕρηται ψάλλεσθαι καὶ τὸν πολυέλεον.

ἡ ψυχή μου, τὸν Κύριον, εὐαγγέλιον κατὰ Ματθαῖον, κεφάλ. οε'· Εἶπεν ὁ Κύριος· ὁρᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων. Μετὰ τὸν ν' ἰδιόμελον ἦχος πλ. β'· Οἱ ἄγγελοί σου, Χριστέ, κανὼν τῆς Θεοτόκου, ἦχος β'· Ἄτρεπτος, ἀσινής, ἄϋλος πάλαι κλίμαξ, μετὰ τοῦ εἱρμοῦ εἰς ϛ' καὶ τῶν Ἀσωμάτων κανόνες δύο εἰς η'· ὁ μὲν εἷς τοῦ ἁγίου Ἰωάννου Δαμασκηνοῦ ἦχος πλ. δ'· Ἆσμα ἀναπέμπομεν· ἕτερος δὲ τοῦ κατ' Ἰωσήφ, ἦχος ὁ αὐτός· Τῷ ἐκτινάξαντι. Καταβασία· Ἀνοίξω τὸ στόμα μου. Ἀπὸ γ' ᾠδῆς κάθισμα καὶ ἀνάγνωσις, τὸν λόγον τοῦ Χρυσοστόμου εἰς τὰ Σεραφίμ, οὗ ἡ ἀρχή· Μή τις ποτὲ (τὸ κατὰ τὸν Ὀζίαν). Ἀφ' ϛ', κοντάκιον ἦχος β'· Ἀρχιστράτηγοι Θεοῦ, λειτουργοὶ θείας δόξης, τῶν ἀγγέλων ὁδηγοὶ καὶ ἀρχηγοὶ ἀσωμάτων, τὸ συμφέρον ἡμῖν πρεσβεύσατε καὶ τὸ μέγα ἔλεος, ὡς τῶν ἀσωμάτων ἀρχιστράτηγοι. Μετὰ τὴν θ' τὸ ἐξαποστειλάριον. Εἰς τοὺς αἴνους, τὸ Πᾶσα πνοὴ ἦχος β', ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν ἰδιόμελα ἦχος β'· Τῷ ἀΰλῳ θρόνῳ. Ὁ αὐτός· Ἀσωμάτοις χείλεσιν, ἕτερον ἦχος δ'· Τῆς ἡλιακῆς ἀκτῖνος (τῷ θείῳ φωτί). Ὁ αὐτός· Πυρίνοις χείλεσι. Δόξα ἦχος πλ. α'· Ὅπου ἐπισκιάσῃ ἡ (χάρις σου), Καὶ νῦν θεοτοκίον. Δοξολολογία μεγάλη καὶ ἀπόλυσις. Εἰς τὴν λειτουργίαν τυπικὰ καὶ ἐκ τῶν κανόνων τῶν Ἀσωμάτων ᾠδὴ γ' καὶ ϛ'. Προκείμενον, ἦχος δ'· Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ. Στίχος· Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον. Ὁ ἀπόστολος πρὸς Ἑβραίους, κεφ. γ'· Ἀδελφοί, εἰ ὁ δι' ἀγγέλων λαληθείς. Ἀλληλούια. Αἰνεῖτε τὸν Κύριον πάντες οἱ ἄγγελοι αὐτοῦ. Εὐαγγέλιον κατὰ Ἰωάννην, κεφ. να'· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ὁ ἀκούων ἐμέ. Κοινωνικόν· Ὁ ποιῶν τοὺς ἀγγέλους (**л. 71** об.—**73** об.). Сн. ркп. той же библ. № 138 [**л. 60** об.—**62**) и библ. патріаршей въ Іерусалимѣ № 306 [**л. 56**).

Количество Марковыхъ главъ, какъ въ Пантократорскомъ Типикѣ, но нѣкоторыхъ изъ нихъ не достаетъ, по отсутствію нѣскольких листовъ, перепутанныхъ въ распорядкѣ. Текстъ рукописи буквально сходе̂нъ съ Пантократорскою рукописью. Указанное сходство оканчивается чиномъ благословенія тѣста: «Ἀχολουθία τῆς ζύμης», а далѣе настоящая рукопись имѣетъ и отличающія ее слѣдующія составныя части:

[**л. 479**). Ἑρμηνεία περὶ τοῦ πῶς δεῖ ἀναγινώσκειν τοὺς βίους καὶ τὰ μαρτύρια τῶν ἁγίων καὶ τοὺς λοιποὺς λόγους ἐν τῇ ἐκκλησίᾳ

на весь годъ и на каждый день. Часто указываются чтенія даже и на трапезѣ.

[л. **417**). Пасхалія.

[л. **435**). Столбъ чтеній изъ Евангелія и Апостола на утрени и на литургіи на цѣлый годъ.

[л. **438**). Тропари (ὅλων τῶν ἁγίων).

[л. **439**). Τὰς ἡμέρας τῶν ἑορτῶν φυλάσσετε, ἀδελφοί, καὶ πρώτην γε τὴν γενέθλιον, ἥτις ἡμῶν ἐπιτελείσθω ἑκάστῃ πέμπτῃ τοῦ ἐννάτου μηνός.

XDI. № 308. Τυπικὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας τῆς ἐν Ἱεροσολύμοις ἁγίας λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα. Αὕτη δὲ ἡ ἀκολουθία γίνεται καὶ ἐν ταῖς λοιπαῖς τῶν ἐν Ἱεροσολύμοις ἁγίων μονῶν. Рукопись Саввы Осв. библ. (патр. въ Іерусалимѣ), въ 16 долю листа, 355 листовъ, писана на бумагѣ рукою 1572 г., какъ гласятъ объ этомъ многочисленныя приписки писца рукописи. Изъ этихъ приписокъ мы приведемъ лишь болѣе интересныя: Γραφὲν διὰ χειρὸς Ἰωὴλ μοναχοῦ, υἱοῦ κατὰ σάρκα Ἀντωνίου, οὗ τὸ ἐπίκλιν Χρυσίνου τοῦ ἀπὸ Θηβῶν, τῆς ἑπταπύλου τῆς Βοιωτίας, τοῦ ͵ζπ´ (1572) ἔτους, ἰνδικτιῶνος ιε´, κατὰ μῆνα Ἰούλιον κθ´, ἡμέρα γ´, ἐν κελλίοις τοῦ μεγάλου μάρτυρος Δημητρίου ἐν τῇ ἁγίᾳ πόλει Ἱερουσαλὴμ [л. **282**), и еще: Γραφὲν διὰ χειρὸς Ἰωὴλ μοναχοῦ, υἱοῦ κατὰ σάρκα Ἀντωνίου Χρυσίνου τινός, ἐπὶ κώμης τινός, λεγομένης Ῥεώπου, τῆς πόλεως Θηβῶν, ἐπισκοπῆς τῆς Βοιωτίας [л. **346**). Многія другія датированныя приписки въ этомъ Типиконѣ приведены у Аѳ. Пападопуло-Керамевса въ его Ἱεροσολυμιτικὴ βιβλιοθήκη, т. β´ σελ. 432—433.

[л. **1—5**). Отрывокъ на толкованіе изъ Псалтири.

[л. **6**). Тропари, икосы и кондаки Ὀλυμπίου τοῦ Κωνήτου (26 Ноября).

[л. **7**). Εἴδησις μικροῦ ἑσπερινοῦ.

О чтеніи предначинательнаго псалма замѣчено: Ἰστέον, ὅτι ἀρτίως οὐκ οἴδαμεν ψάλλεσθαι ἐν τῷ μικρῷ ἑσπερινῷ ἔν τισι τῶν μονῶν τὸ Εὐλόγει, ἡ ψυχή μου, παρὰ τοῦ ἐκκλησιάρχου, ἀλλὰ παρὰ πάντων λιτῶς.

[л. **8**). Εἴδησις τοῦ μεγάλου ἑσπερινοῦ.

О началѣ шестопсалмія: Ἰστέον, ὅτι ἔν τισι τῶν ἀντιγράφων οὐ δηλοῖ εὐλογεῖν τὸν ἱερέα εἰς τὴν ἀρχὴν τοῦ ἑξαψάλμου, ἀλλὰ μετὰ

τὴν συμπλήρωσιν τοῦ μεγάλου σημαντῆρος ποιεῖν τὸν προεστῶτα, ἢ τὸν ἐκκλησιάρχην τὴν ἀρχὴν τοῦ ἐξαψάλμου, μὴ εὐλογοῦντος τοῦ ἱερέως, ὅπερ οὐ, δοκεῖ μοι, εἶναι παράδοσιν πατρικήν, ἀλλ' ὀκνηρίας δεῖγμα σαφές [л. 14 об.). Ἰστέον δέ, ὅτι τὸ Πᾶσα πνοὴ οὐ παρελάβομεν εἰς Παλαιστίνην ψάλλειν αὐτὸ κατ' ἦχον, ἀλλ' εἰς ἦχον πλ. β' πάντοτε [л. 15 об.). Δεῖ δὲ γινώσκειν καὶ τοῦτο, ὅτι πάντοτε εἰς τὸ τέλος τῆς η' ᾠδῆς, μέλλοντες τῆς θ' ᾠδῆς ἄρχεσθαι, ποιοῦμεν κοινῇ πάντες ὁμοθυμαδὸν σιγῶντες μετάνοιαν ἐδαφιαίαν, λέγοντες καθ' ἑαυτόν· Αἰνοῦμεν, εὐλογοῦμεν, ὑπερυψοῦμεν τὸ ὄνομά σου, Χριστέ· σὺ γὰρ Βασιλεύεις εἰς πάντας τοὺς αἰῶνας. Ὡσαύτως καὶ μετὰ τὸ τέλος τῆς θ' ᾠδῆς μετάνοιαν ἑτέραν ἐδαφιαίαν, οὐχὶ δὲ καὶ ἐν ἑκάστῳ στίχῳ· τοῦτο γάρ, ὡς σύγχυσιν ποιοῦν, οὐ γίνεται, εἰ καὶ παρά τισιν ὁρῶμεν γινόμενον νῦν [л. 16 об.).

[л. 18). Εἴδησις τῶν ἀγρυπνιῶν τοῦ ὅλου ἐνιαυτοῦ.

[л. 19). Ἔκφρασις ἐν ἐπιτομῇ τῆς στιχολογίας τοῦ Ψαλτηρίου τοῦ ὅλου ἐνιαυτοῦ.

Въ этой главѣ изложенъ весь порядокъ суточной службы. По изложенію статей настоящая глава имѣетъ весьма не мало отличій отъ подобной же статьи въ Пантократорскомъ Типикѣ, но она имѣетъ весьма не мало также и сходствъ. Въ настоящемъ Типиконѣ всѣ части этой главы не отдѣлены одна отъ другой и не имѣютъ надъ собой особыхъ заглавій. Кромѣ небольшихъ текстуальныхъ особенностей, здѣсь есть также не мало примѣчаній въ текстѣ, не встрѣчавшихся въ другихъ Типиконахъ: Ἰστέον, ὅτι γέγραπται ἐν τῷ παλαιῷ Τυπικῷ, γραφέντι ἐν Ἱεροσολύμοις, οὕτως· Χρὴ εἰδέναι, ὅτι ἐν πάσαις ταῖς κυριακαῖς, ἤγουν τῷ σαββάτῳ ἑσπέρας, οὐ ψάλλομεν τὸν ἑσπερινὸν ἔνδον εἰς τὸν ναόν, ἢ μεγαλοφώνως, οὔτε μὴν στιχολογοῦμεν. Ὡσαύτως καὶ ἐν ταῖς Δεσποτικαῖς ἑορταῖς καὶ ταῖς τῶν ἁγίων μνήμαις, ἐν αἷς γίνονται ἀγρυπνίαι, ἀλλὰ ψάλλομεν μικρὸν ἑσπερινὸν ἐν τῷ νάρθηκι χύμα καὶ εἰσερχόμεθα εἰς τὴν τράπεζαν [л. 20 об.). О поклонахъ: Ἰστέον, ὅτι ἐν τοῖς πλείοσι τῶν Τυπικῶν ἀνὰ μέσον τῆς ἐκκλησίας λέγεται ἵστασθαι καὶ προσκυνεῖν, ἡμεῖς δὲ διὰ τὸ μὴ γίνεσθαι ἀρτίως τοῦτο, ὡς ἄλλως δοκοῦν ἄτακτον, παρελείψαμεν τοῦτο [л. 21 об.). О первомъ чтеніи послѣ первой каѳизмы говорится: Τοῦτο νῦν οὐ γίνεται οὐδὲ ἐν ἑνὶ τῶν Ἱεροσολύμων μοναστηρίων· οὔτε γὰρ τὸ Θεὸς Κύριος λέγεται παρὰ τοῦ κανονάρχου, εἰμὴ παρὰ τοῦ ἱερέως, οὔτε τὸ κάθισ-

μα ψάλλεται παρ' αὐτοῦ, ἀλλὰ παρὰ τοῦ ἐπιλαγχάνοντος εἰς τὸ ἄρχειν τοῦ χοροῦ. Μετὰ δὲ τὴν τῆς α' ἀναγνώσεως συμπλήρωσιν ποιεῖ μετάνοιαν ἔμπροσθεν τῶν ἁγίων θυρῶν καὶ εἰς τοὺς χοροὺς πρὸς μίαν [л. 28).

Τῇ δὲ μεγάλῃ μ' σφραγίζει ὁ προεστὼς ἐξυπνιστὴν ἐν τῇ ἐκκλησίᾳ, ὃς ἐν ἑκάστῃ ἀναγνώσει μετὰ τὸ ἀναγνῶναι μικρὸν ἀνίσταται τοῦ ἰδίου τόπου καὶ ποιεῖ τρεῖς μετανοίας εἰς τὸ μέσον, εἶτα διέρχεται τοὺς τόπους τῶν ἀδελφῶν ἡσυχῇ καί, ὃν ἂν εὕρῃ καθεύδοντα, νύσσει αὐτὸν ἠρεμαίως, ὁ δὲ ἀναστὰς ἔρχεται εἰς τὸ μέσον καὶ ποιεῖ γονυκλισίας γ' καὶ εἰς τοὺς χοροὺς πρὸς μίαν καὶ ἀνελθὼν κάθηται εἰς τὸν τόπον αὐτοῦ. Τοῦτο νῦν οὐ γίνεται, ἀλλ' οὐδὲ ἐν τοῖς πλείοσι τῶν ἀντιγράφων εὑρίσκεται, οἶμαι δὲ διὰ τὸ εἰς ῥαθυμίαν ἐπιρρεπὲς ἡμῶν καὶ τὸ μὴ φέρειν ἡδέως τοὺς ἐλέγχους παρεσιώπηται· παρά τινων δὲ τοιοῦτος ἐξυπνιστὴς τὸν ὅλον χρόνον ἐπισυνάγει τοὺς ἀδελφοὺς εἰς τὴν ἐκκλησίαν [л. 39 об.). Cн. выше стр. 311.

[л. 41 об.). Ἀκολουθία τῆς ἐκκλησιαστικῆς ψαλμῳδίας τε καὶ συνάξεως τοῦ ὅλου ἐνιαυτοῦ, ἀρχομένη ἀπὸ μηνὸς Σεπτεμβρίου μέχρι μηνὸς Αὐγούστου.

Ἰστέον, ὅτι τῇ γ' ἡμέρᾳ τοῦ Σεπτεμβρίου μηνὸς ἐκοιμήθη ὁ κτήτωρ τῆς σεβασμίας μονῆς ἡμῶν τῆς Δοβροσῶντος, ὁ χρηματίσας οἰκουμενικὸς πατριάρχης κύριος Νήφων καὶ ἔταξεν ἐγγράφως καθ' ἕκαστον ἔτος κατ' αὐτὴν τὴν ἡμέραν ἐκτελεῖσθαι μνημόσυνον αὐτοῦ παρ' ἡμῶν, δίδοσθαι δὲ καὶ τοῖς κατὰ Θεὸν ἡμῶν ἀδελφοῖς τοῖς πένησιν ἄρτον καὶ οἶνον, ὅσον παρὰ παντὸς τοῦ κοινοβίου καθ' ὅλην τὴν ἑβδομάδα ἐκδαπανᾶται; ὅθεν καὶ ὀφείλει γίνεσθαι ἀπαραλείπτως [л. 52).

Ἰστέον, ὅτι οὐδὲ τοῦτο εὕρομεν συνήθως, замѣчаетъ Типиконъ о службѣ 15 Сентября, ἀλλ' ἵνα μὴ δευτεροῦμεν τὸ Δεσποτικὸν τροπάριον, ἤγουν τῆς ἑορτῆς, ἢ λέγωμεν εἰς τὸ Καὶ νῦν θεοτοκίον, λέγομεν πρῶτον τοῦ ἁγίου, Δόξα καὶ νῦν τῆς ἑορτῆς, πλὴν ἐν τῷ ἑσπερινῷ μόνον, εἰς δὲ τὸν ὄρθρον ψάλλομεν πρῶτον εἰς τὸ Θεὸς Κύριος τὸ τῆς ἑορτῆς, εἶτα τοῦ ἁγίου, Δόξα καὶ νῦν τῆς ἑορτῆς, εἰς δὲ τὴν ἀπόλυσιν τούτου, ὡς ἐν τῷ ἑσπερινῷ [л. 60).

Σημείωσαι, ὅτι εἰς τὴν καθολικὴν διάταξιν ἀπὸ τῆς κ' τοῦ Σεπτεμβρίου μηνὸς δηλοῦται τὰ γ' καθίσματα, ᾠδὲ δὲ ἀπὸ τῆς μετὰ τὴν Ὕψωσιν κυριακῆς, ὅπερ καὶ φαίνεται ἁρμόδιον διὰ τὸ ἀπὸ κυριακῆς λαμβάνειν ἀρχὴν τὸ Ψαλτήριον, εἴτε γοῦν πρὸ τῶν κ', εἴτε

μετὰ τὰς κ' φθάσῃ ἡ κυριακή, ἀπὸ τῆς β' ὀφείλει ἄρχεσθαι τὰ γ' καθίσματα [л. 62 об.).

Σημείωσαι οὖν, ὅτι εὕρομεν ἔν τισι Τυπικοῖς τῶν νεωτέρων, ὅτι ἔν τισι τῶν πόλεων τῆς ἁγίας μάρτυρος Αἰκατερίνης, ἐν τῇ κε' τοῦ μηνός, ἐν ᾗ καὶ ἀποδίδοται ἡ ἑορτή, ἐν ἑτέροις δὲ ἐν τῇ κε' ψάλλομεν τὴν ἀκολουθίαν τοῦ ἐν ἁγίοις Κλήμεντος, πάπα Ῥώμης. Ἐν Τυπικοῖς παλαιοτέροις εὕρομεν αὐτὴν ἑορτάζεσθαι ἐν τῇ κδ' τοῦ αὐτοῦ μηνός. . . καὶ Πέτρου Ἀλεξανδρείας, ἐν ᾗ καὶ ἀποδίδοται ἡ ἑορτὴ τῶν Εἰσοδίων [л. 90 об.).

Δεῖ εἰδέναι, ὡς οὐχ εὕρομεν τὴν συνήθειαν ταύτην, ὥστε ψάλλειν τὰ τοιαῦτα τροπάρια, ἑνουμένων τῶν δύο χορῶν (это о часахъ наканунѣ Рождества), ἀλλὰ τὰ μὲν β' τροπάρια ψάλλειν εἰς τοὺς χοροὺς ἐν ἑκάστῳ, κατὰ τὴν συνήθειαν, εἰς δὲ τὸ γ' ἑνοῦσθαι καὶ λέγειν τοὺς δύο χοροὺς τὸ Δόξα, εἶτα Καὶ νῦν [л. 104).

Статья о славленіи у игумена [л. 72—73). См. выше стр. 319—320, 340.

Τῇ αὐτῇ ἡμέρᾳ (т. е. 11 Февраля) τοῦ ἁγίου Βλασίου ἐγεννήθη ὁ κτήτωρ τῆς ἁγίας μονῆς ταύτης καὶ ἐτάχθη παρὰ τοῦ πατρός μου τοῦ ἡγουμένου νὰ ποιοῦν κόλυβα τοῦ ἁγίου διὰ τὴν χαρὰν καὶ νὰ δίδουν καὶ εὐλογίαν, ἐστᾷ (ὥστε;) νὰ συνίστηται ἡ μονή [л. 139 об.).

[л. 190). Ἀκολουθία τῆς ἁγίας καὶ μεγάλης τεσσαρακοστῆς.

Χρὴ γινώσκειν, ὅτι ἐν τῇ λαύρᾳ τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα οὐ ψάλλουσι τὰ ἀπόδειπνα ἐν τῇ ἐκκλησίᾳ, ἀλλ' ἐν τοῖς κελλίοις ἕκαστος· οὕτω γὰρ παρελάβομεν, εἰς τὰ κοινόβια τῆς Παλαιστίνης ψάλλονται οὕτως [л. 209).

О благословеніи хлѣбовъ и о раздачѣ ихъ народу въ великую субботу послѣ литургіи замѣчаніе то же, что и выше стр. 234, но съ небольшою прибавкою: Καὶ μετὰ τὸ Ἀμὴν (т. е. послѣ освященія хлѣбовъ) καθεζόμεθα ἐν τοῖς τόποις ἡμῶν ἡσύχως καὶ εὐτάκτως, εὐθέως δὲ εἰσέρχεται ὁ κελλαρίτης καὶ ἐπιδίδωσιν ἑκάστῳ τῶν ἀδελφῶν ἀνὰ κλάσματος ἄρτου καὶ κρασοβολίου οἴνου καί, ἐὰν εὑρεθῶσι, καὶ ἰσχάδες, ἢ καὶ τεθλασμένα κάρυα, ἢ ἀμύγδαλα, ὧν καὶ μεταλαμβάνομεν, ἐν τοῖς τόποις ἡμῶν καθεζόμενοι. Πρόσχες. Τοῦτο, ὡς σύγχυσιν ἐμποιοῦν ἔστιν ὅτε καὶ ἀστασίαν ἐν τῷ ναῷ, οὐ γίνεται ἐν ταῖς μεγάλαις τῶν μονῶν διὰ τὸν λαόν, ἀλλ' ἐκτὸς τοῦ ναοῦ διὰ τὸ εὐρυχωρότερον καὶ τὴν ἄλλην αἰτίαν, καὶ οὐδὲ κλάσμα ἄρτου, ἀλλὰ τὸ ἱκανοῦν, ἐπεὶ καὶ δυσὶν ἡμέραις ἡ νηστεία ἠκολούθησε, ποῦ

γὰρ ἁρμόδιον τὸ κλάσμα τοῦ ἄρτου μετὰ τοῦ κρασοβολίου οἴνου. Ἡμῶν δὲ διακλυομένων, γίνεται ἀνάγνωσις εἰς τὰς Πράξεις τῶν Ἁγίων Ἀποστόλων ἀπὸ τῆς ἀρχῆς τοῦ βιβλίου [л. **243** об.).

Ἰστέον, ὅτι, ἔν τισι τῶν Τυπικῶν τυπικὰ δηλοῦται ψάλλεσθαι ἐν τῇ λειτουργίᾳ τῆς παρούσης ἑορτῆς, ἐν δὲ τοῖς μακαρισμοῖς ᾠδαὶ γ′ καὶ ς′ ἐκ τῶν τῆς ἑορτῆς κανόνων [л. **265** об.).

Δεῖ γινώσκειν, ὅτι, εἰ τύχοι ἡ ἑορτὴ τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου κατ' αὐτὴν τὴν ἡμέραν τῆς Δεσποτικῆς Ἀναλήψεως, γίνεται ἡ ἀκολουθία τοῦ ἁγίου μετὰ τῆς ἑορτῆς, ἡ δὲ τοῦ ὁσίου ἀκολουθία ψάλλεται ἐν ἄλλῃ ἡμέρᾳ. Ὁμοίως δὲ εἰ τύχοι καὶ ἐν τῇ παρούσῃ κυριακῇ [л. **267** об.).

[л. **276** об.). Περὶ τοῦ πῶς δεῖ θυμιᾶν ὁ ἱερεύς.

[л. **278**). Περὶ τοῦ πάσῃ σπουδῇ φυλάττειν τὸν προεστῶτα μὴ παροράσθαι τὰ ἐν τῷ Τυπικῷ ἅπαντα καὶ περὶ τοῦ μὴ διατρίβειν τοῦτον ἔξω τῆς μονῆς καὶ ἀμελεῖν τῶν πιστευθέντων αὐτῷ ψυχῶν ἄνευ μεγάλης ἀνάγκης.

[л. **281**). Προκείμενα ἀναστάσιμα τοῦ ὄρθρου τῶν ὀκτὼ ἤχων, ἤτοι τὰ ἄμνημα.

[л. **281** об.). Προκείμενα, ἀλληλουάρια ἀναστάσιμα τῶν ὀκτὼ ἤχων τῆς λειτουργίας, ἤτοι τὰ ἄμνημα.

[л. **282** об.). Προκείμενα καὶ ἀλληλουάρια τῆς ὅλης ἑβδομάδος.

[л. **283**). Ἑτέρα ἀκολουθία εἰς διαφόρους ἁγίους.

[л. **284**). Φωταγωγικὰ τῶν ὀκτὼ ἤχων.

[л. **284**). Τριαδικὰ τῶν ὀκτὼ ἤχων.

[л. **285**). Ὕμνοι τριαδικοί.

[л. **286** об.). Ἀκολουθία τῆς ζύμης.

[л. **287** об.). Μάρκου ἱερομονάχου σύνταγμα, πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ Τυπικοῦ. Всѣхъ главъ 86.

[л. **350** об.). Τροπάρια, ψαλλόμενα εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ γέννησιν ἐν τῷ ὄρθρῳ μετὰ τὸν ν′ ἀντὶ Ταῖς τῶν ἀποστόλων πρεσβείαις.

— Молитва на благословеніе хлѣбовъ [л. **351**). Толкованіе на 18 псаломъ.

XDII. Сборникъ Марковыхъ главъ, рукопись библ. лавры пр. Аѳанасія на Аѳонѣ, на бумагѣ въ 16 долю листа (вѣрнѣе около 14 или 13 сантиметровъ), 178 листовъ, писана чоткою и разборчивою скорописью 1572 года. Время написа-

нія рукописи указано въ припискѣ писца въ концѣ рукописи: Φθίνοντος τὸ τέρμα ἐν ἔτει ,ζπ', ἰνδικτιῶνος ιε', θαργηλιῶνος ἱσταμένου. На передней сторонѣ: Ἰησοῦ, προηγοῦ τῶν ἐμῶν πονημάτων. Рукопись разбита. Недостаетъ нѣсколькихъ листовъ въ ея оглавленіи. Заглавіе рукописи такое:-Μάρκῳ, ἁμαρτωλῷ ἱερομονάχῳ, σύνταγμα, πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ Τυπικοῦ. Заглавіе это вполнѣ опредѣляетъ содержаніе рукописи, въ которой, кромѣ Марковыхъ главъ, находятся замѣчанія: а) Δεῖ γινώσκειν, ὅτι ὑψοῦται ἡ Παναγία καθ' ὅλης τῆς ἑβδομάδος τῆς Διακαινησίμου. b) Τέλος σὺν Θεῷ ἁγίῳ τῶν ἀπορρήτων τοῦ Τυπικοῦ.

Τῷ σαββάτῳ τῆς ἀπόκρεω ἀργία καὶ λύσις πάντων.

Τῷ σαββάτῳ τῆς τυρινῆς ἀργία καὶ κατάλυσις πάντων.

Τῷ σαββάτῳ πρώτῳ τῶν νηστειῶν ἀργία πάντων καὶ κατάλυσις οἴνου καὶ ἐλαίου.

Τῇ πέμπτῃ τοῦ μεγάλου κανόνος κατάλυσις τῆς νηστείας.

Τῇ παρασκευῇ τῆς ἀκαθίστου κατάλυσις ὁμοίως.

Τῇ μεγάλῃ πέμπτῃ λύσις τῆς νηστείας.

c) Приписка на полѣ рукописи подъ службою Благовѣщенія въ великій четвертокъ: Ἰστέον, ὅτι οἵαν ἡμέραν τύχῃ ὁ Εὐαγγελισμὸς τῇ μεγάλῃ ἑβδομάδι, ἐσθίομεν ἰχθύας εἰς δόξαν καὶ ἀντίληψιν τῆς ὑπεραγίας Θεοτόκου, καθὼς ἐν τῷ νόμῳ τοῦ Ἀρμενοπούλου γέγραπται. Ὁμοίως γράφει καὶ ὁ Νικηφόρος, ὁ πατριάρχης Κωνσταντινουπόλεως, ὅτι ᾗ καὶ ἂν ἡμέρᾳ τύχῃ, ἐσθίομεν ἰχθὺν ἀκωλύτως [л. 93).

Всѣхъ главъ 100. Текстъ и порядокъ ихъ ничѣмъ не разнятся отъ подобныхъ же главъ, напечатанныхъ въ Типиконѣ 1545 года. Первыя главы изложены въ порядкѣ Мѣсяцеслова и заключаютъ въ себѣ указанія относительно слѣдующихъ случаевъ: 1) Если праздникъ индикта и память Симеона столпника приходятся въ воскресенье, 2) тоже относительно праздника обновленія храма и 3) недѣли отцевъ седьмого вселенскаго собора, 4) о началѣ поста Рождества Христова, 5) о постѣ Рождества Христова, когда поется Аллилуія, 6) объ отданіи праздника Введенія пресвятой Богородицы въ воскресенье, 7) о тропаряхъ и кондакахъ предпразднества Рождества Христова, 8) о праздникѣ Рождества Христова, если онъ приходится въ 24 Декабря мѣсяца, 9) о праздникѣ Рождества въ

воскресенье и о недѣлѣ по Рождествѣ, если она приходится 26 Декабря, 10) объ отданіи этого праздника въ воскресенье, 11) о праздникѣ Обрѣзанія въ воскресенье. Здѣсь и отвѣтъ Нила о предпразднествѣ Богоявленія, если оно приходится въ субботу или воскресенье.

XDIII. № 388 Τυπικόν (заглавіе обычное), ркп. Парижской національной библіотеки (du Fonds) въ 16 долю листа, 502 листа, писана въ 1573 году, какъ видно изъ слѣдующей приписки: Ἔτους ͵ζπα', ἰνδικτ. α', ἐν μηνὶ Ἀπριλίῳ ιζ' [л. 502).

[л. 1). Вводная часть раздѣлена на главы съ заглавіями: Δήλωσις и Εἴδησις.

[л. 46 об.). Ἀκολουθία σὺν Θεῷ τῆς ἐκκλησιαστικῆς ψαλμῳδίας τε καὶ συνάξεως τοῦ ὅλου ἐνιαυτοῦ, ἀρχομένη ἀπὸ μηνὸς Σεπτεμβρίου μέχρι μηνὸς Αὐγούστου.

О тропарѣ 16 Августа замѣчено: Ἰστέον, ὅτι οὐχ εὕρομεν συνήθως τοῦ λέγειν τὸ ἀπολυτίκιον τοῦ ἁγίου ἔμπροσθεν, οἱ νῦν δὲ νέοι ποιηταί, ἵνα μὴ δευτερῶσι τὸ Δεσποτικὸν τροπάριον, ἢ λέγωσιν εἰς τὸ Καὶ νῦν θεοτοκίον, διὰ τοῦτο λέγουσι πρῶτον τὸ τοῦ ἁγίου, εἶτα Δόξα καὶ νῦν τῆς ἑορτῆς, πλὴν ἐν τῷ ἑσπερινῷ μόνον γίνεται [л. 71 об.).

Ἰστέον, ὅτι τῇ αὐτῇ κυριακῇ, ἤως μετὰ τὴν Ὕψωσιν, ἀναγινώσκεται τὸ Συνοδικὸν τῆς ς' συνόδου ἐν τῇ Μεγάλῃ Ἐκκλησίᾳ [л. 73).

На Михаила архангела 8 Ноября положены поліелей и ἀντίφωνον τῆς ἐκλογῆς ψαλμὸς ργ' Εὐλόγει, ἡ ψυχή μου. Ψάλλομεν δὲ εἰς τὴν ἐκλογὴν καὶ τὰ ἐγκώμια, τὰ τριαδικά, ἅπερ εἰσὶ ταῦτα ὕμνοι εἰς ἀντίφωνα τῶν Ἀσωμάτων· Δόξα ἐν ὑψίστοις. Ἅγιος, ἅγιος, ἅγιος εἶ, Θεὲ Παντοκράτωρ, δίς. Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ, δίς. Ἕτερα, ἅπερ λέγεται ἐκ δευτέρου· Δεῦτε πάντες ᾆσμα μέλψωμεν Χριστῷ τῷ Θεῷ ἡμῶν, Ἀλληλούια. Σοὶ τῷ πάντων ποιητῇ πρέπει αἶνος, ὕμνος κτλ. [л. 108 об.). См. выше всю эту службу стр. 332—333.

Предъ Рождествомъ часы съ обычными псалмами, но съ пѣніемъ 12 тропарей [л. 145 об.). Ἐν δὲ τῇ ἐννάτῃ μετὰ τὴν πλήρωσιν τοῦ δευτέρου τροπαρίου, σταθεὶς ἐν τῷ μέσῳ ὁ κανονάρχης ἀναγινώσκει τὸ Σήμερον γεννᾶται, μεγαλοφώνως, εἶτα πολυχρονεῖ τοὺς βασιλεῖς ἐκ γ', λέγων οὕτως· Πολυχρόνιον ποιήσαι ὁ Θεὸς τὴν κρα-

ταιὰν καὶ ἁγίαν βασιλείαν αὐτῶν, καὶ τὸν ἡγούμενον, ἅπαξ· Σῶσαι Χριστὸς ὁ Θεὸς τὸν πανοσιώτατον πατέρα ἡμῶν καὶ καθηγούμενον σὺν πάσῃ τῇ ἐν Χριστῷ ἀδελφότητι εἰς τοὺς αἰῶνας. Εἶτα δοξάζει ὁ δομέστικος τοῦ πρώτου χοροῦ εἰς ἦχον πλ. β', Καὶ νῦν ὁ ἕτερος, ἐντεῦθεν ἠχίζει ὁ πρῶτος καὶ ψάλλομεν στάσιν μίαν, ἠχίζει καὶ ὁ δεύτερος πάλιν τὸ αὐτό, δηλονότι δευτεροῦμεν ὅλον τὸ στιχηρὸν κατὰ στάσιν, τὸ δὲ τέλος τοῦ στιχηροῦ ἐκ γ'. Καὶ ὁ κανονάρχης, ὅτε ἀναγινώσκει τοῦτο καὶ ἡμεῖς [л. **146**).

Многолѣтствованіе царей, епископа и игумена было и послѣ литургіи [л. **151**).

О разрѣшеніи въ теченіе всѣхъ святокъ. Μητροπολίτου Δυῤῥαχίου τοῦ Καβασίλου ἐκ τῶν κανονικῶν διατάξεων, τῶν ἑρμηνευθεισῶν παρ' αὐτοῦ ἐν ἰδίῳ Συντάγματι περὶ τῆς καταλύσεως τοῦ δωδεκαημέρου. Τὸ δωδεκαήμερον νηστείας ἔχει τῶν 'Αρμενίων· οὗτοι γὰρ τὰς τρεῖς ἑορτάς, ἤως τὸν Εὐαγγελισμόν, τὴν Γέννησιν καὶ τὰ ἅγια Θεοφάνεια συναπτῶς ἐκτελοῦσι κατ' αὐτὴν τὴν ἡμέραν τῶν ἁγίων Θεοφανείων, ἀκολουθοῦντες ἄλλοις τε αἱρετικοῖς καὶ τῷ ἀρχηγῷ αὐτῶν Μανταχουρῇ, ὃς καὶ 'Εχένιος ὀνομάζεται, διὰ τοῦτο καὶ πρὸ τῶν Θεοφανείων δώδεκα ἡμέρας νηστεύουσιν, ἡμεῖς δέ, ἵνα μὴ συνεμπίπτωμεν ταῖς τῶν αἱρετικῶν τούτων νηστείαις, ἀντιῤῥόπως ἐκείνοις τὰς ἐν ταῖς εἰρημέναις ἑβδομάσι νηστίμους ἐκείνων ἡμέρας, ἤως τοῦ δωδεκαημέρου καὶ τῆς προφωνησίμου τὰς τετράδας καὶ παρασκευάς, ταῖς ἀνεσίμοις ἐξισοῦντες, τοῖς αὐτοῖς καὶ ἐν ταύταις κεχρήμεθα βρώμασιν [л. **155**).

Выходъ для вторичнаго водоосвященія въ Богоявленіе положенъ на утрени, послѣ великаго славословія и ектеній: καὶ ἀπερχόμεθα ἐν τῇ βρύσει τοῦ ὕδατος, ἢ ἔνθα κάλλιστός ἐστι τόπος τοῦ γενέσθαι τὸν ἁγιασμόν [л. **177**).

'Ιστέον, ὅτι εὑρίσκεται ἐν τῷ Τυπικῷ τῆς Πέτρας περὶ τοῦ Εὐαγγελισμοῦ, ὡς, ἐὰν ἐπιστῇ ἡ τοιαύτη ἑορτὴ τῇ ἡμέρᾳ τοῦ μεγάλου κανόνος, τὸν μὲν τοιοῦτον μέγαν κανόνα ψάλλομεν τῇ δ' ἑσπέρᾳ τῆς δ' ἑβδομάδος, τὴν δὲ ἑορτὴν ἐν τῇ λαχούσῃ ἡμέρᾳ, ἤως τῇ αὐτῇ ε', ὅπερ, οἶμαι, εὔλογον· οὕτω γὰρ ἀπαράλειπτον καὶ αἱ τῶν δύο ἀγρυπνιῶν ἀκολουθίαι ἕξουσι καὶ τὸ ἀσύγχυτον [л. **217**).

[л. **288**). О покаяніи.

[л. **288**). 'Αρχὴ σὺν Θεῷ ἁγίῳ ἀκολουθία τῆς ἁγίας καὶ μεγάλης τεσσαρακοστῆς.

Въ сырную недѣлю не постились въ отраженіе ереси яковитовъ и тетрадитовъ [л. **297**).

Ектенія за оглашенныхъ на всѣхъ литургіяхъ великаго поста [л. **312**), ἐκτὸς τῷ σαββάτῳ τοῦ Λαζάρου καὶ τῇ κυριακῇ τῶν Βαΐων.

[л. **328**). Акаѳистъ читается въ алтарѣ [л. **332**).

[л. **406**). Περὶ τοῦ πάσῃ σπουδῇ φυλάττειν τὸν προεστῶτα τὰ ἐν τῷ Τυπικῷ ἅπαντα.

[л. **410**). Ἀναστάσιμα προκείμενα 8 гласовъ, аллилуаріи и прокимны воскресные утренніе.

[л. **411** об.). Ἀκολουθία τῆς ὅλης ἑβδομάδος τῶν προκειμένων ἀποστόλου, τῶν ἀλληλουαρίων, τῶν εὐαγγελίων, τῶν κοινωνικῶν, τῶν ἐν τῇ θείᾳ λειτουργίᾳ τελουμένων, ὅτε οὐκ ἔστιν ἑορταζόμενος ἅγιος.

[л. **412** об.). То же самое въ честь общихъ святыхъ и по разнымъ случаямъ.

[л. **420**). Εὐχή, λεγομένη ἐπὶ πᾶσαν ὀπώραν.

[л. **420** об.). Μάρκου ἱερομονάχου σύνταγμα, πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ Τυπικοῦ. 86 главъ.

[л. **500**). Ἀκολουθία τῆς ζύμης.

XDIV. № 174. Τυπικόν, рукопись Аѳоно-Филоѳеевской библ., въ 16 долю листа, 407 листовъ, писанъ въ 1576 году, какъ это видно изъ слѣдующей приписки: Ἐγράφη τὸ παρὸν Τυπικὸν ἐν τῇ σεβασμίᾳ καὶ ἱερᾷ μονῇ τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, τῇ ἐπικεκλημένῃ τοῦ Φιλοθέου, χειρὶ μὲν τοῦ εὐτελοῦς καὶ ἀλιτήμονος Γαβριὴλ τοῦ ἐκ Καλλιουπόλεως, προστάξει δὲ καὶ συνεργείᾳ τοῦ ὁσιωτάτου ἐν ἱερομονάχοις καὶ πνευματικοῖς πατρᾶσι τοῦ Καλλινίκου, προηγουμένου αὐτῆς μονῆς καὶ πρώην πρώτου τοῦ ἁγιωνύμου Ὄρους. Ὁ δὲ τολμήσας ἀποξενῶσαι τοῦτο τῆς τοιαύτης μονῆς ἐχέτω τὴν Δέσποιναν ἡμῶν Θεοτόκον ἀντίδικον ἐπὶ ζωῆς καὶ θανάτου αὐτοῦ καὶ ἐν τῇ φρικτῇ καὶ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως. Εἴληφε δὲ πέρας ἐπὶ ἔτους ͵ζπδ', ἰνδικτ. δ'.

По составу и особенностямъ Типиконъ этотъ сходенъ съ Кутлумушскимъ № 509. Статьи о благословеніи тѣста нѣтъ. Праздникъ Благовѣщенія имѣетъ статьи изъ Петрскаго Типикона. Память царей Константина и Елены указываетъ

службу имъ и на Вознесеніе. Предпразднество и попразднество св. Аѳанасію Аѳонскому говоритъ о святогорскомъ происхожденіи этого Типикона.

XDV. № 509. Τυπικόν, рукопись Аѳоно-Филоѳ. библ. въ 16 долю листа, 419 листовъ, писана въ 1580 году, какъ это видно изъ подписи: Ἔγραφα ἐπὶ ἔτους ,ζωη', ἰνδικτ. η' [л. 419).

По составу, заглавію и расположенію статей этотъ Типиконъ сходенъ съ Ватопедскою рукописью № 345. Но здѣсь послѣднею статьею стоитъ «Ἀκολουθία τῆς ζύμης», а остального прибавленія нѣтъ. Далѣе въ этомъ Типиконѣ также положены предпразднество и попразднество св. Аѳанасію Аѳонскому и самая служба изложена весьма пространно на подобіе великихъ праздниковъ [л. 202), хотя и замѣчается, что «οὐ ψάλλονται παρ' ἡμῖν τὰ προεόρτια τοῦ ἁγίου Ἀθανασίου, ἀλλὰ μόνον ἐν τῇ αὐτοῦ ἁγίᾳ λαύρᾳ».

XDVI. № 216. Τυπικὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας τῆς ἐν Ἱεροσολύμοις ἁγίας λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα. Αὕτη ἡ διάταξις καὶ ἀκολουθία γίνεται καὶ ἐν ταῖς λοιπαῖς τῶν ἐν Ἱεροσολύμοις οὐσῶν ἁγίων μονῶν. Ркп. Парижск. нац. библ. (Coislian.) въ 16 долю листа, 206 листовъ писана почеркомъ XVI в. Приписка писца: Εὔχου μοι ἀξιῶ ἱκετικῶς τῷ σῷ κατὰ πάντα ἐλαχίστῳ, γραφεῖ δὲ τούτων Δανιὴλ τῷ ἐξ Ἰουδαίων. Типиконъ принадлежалъ нѣкогда Τυπικὸν τοῦ Ἁρμαρίου τῆς λαύρας, какъ гласитъ приписка на выходномъ листѣ. Листы въ рукописи перепутаны.

[л. 1). Вводная часть съ раздѣленіями на главы и съ заглавіями: Εἴδησις, Δήλωσις и т. д.

[л. 15 об.). Въ Синаксарѣ недостаетъ нѣсколькихъ листовъ.

[л. 64). Службы Тріоди постной и цвѣтной.

[л. 121 об.). Μάρκῳ ἱερομονάχῳ σύνταγμα, πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ Τυπικοῦ. 94 главы.

(л. 159 об.). Прибавочныя статьи: прокимны, аллилуаріи, воскресные и отпустительные тропари.

[л. 202). Τοῦ Μεγάλου Βασιλείου, πῶς δεῖ εἶναι τὸν μοναχόν.

[л. 203 об.). Ἀκολουθία τῆς ζύμης.

[л. 204). Εὐλογητάρια субботъ и воскресеній и богородичны.

[л. 206). Ἀντίφωνα τῆς λειτουργίας.

XDVII. № 361 (по Ламбросу № 5868). Τυπικὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας τῆς ἐν Ἱεροσολύμοις ἁγίας λαύρας τοῦ θεοφόρου πατρὸς ἡμῶν Σάββα. Αὕτη δὲ ἡ ἀκολουθία γίνεται καὶ ἐν ταῖς λοιπαῖς τῶν ἐν Ἱεροσολύμοις ἁγίων μονῶν. Рукопись Руссиковской (русскаго Пантелеимоновскаго монастыря на Аѳонѣ) библіотеки въ четвертку, 189 листовъ, писана мелкою скорописью XVI вѣка.

[л. 1). Εἴδησις τοῦ μικροῦ ἑσπερινοῦ.

[л. 1 об.). Περὶ τῆς ἀγρυπνίας διάταξις. Великая вечерня.

[л. 7). Εἴδησις τῶν ἀγρυπνιῶν τοῦ ὅλου ἐνιαυτοῦ. Указаніе на цѣлый годъ о количествѣ всенощныхъ бдѣній.

[л. 8). Ἔκφρασις ἐν ἐπιτομῇ τῆς ἐκκλησιαστικῆς διατάξεως τῶν ἐν Ἱεροσολύμοις ἁγίων μονῶν. Въ этой главѣ изложенъ порядокъ суточной службы.

[л. 16 об.). Ἀκολουθία τῆς ἐκκλησιαστικῆς διατάξεώς τε καὶ ψαλμῳδίας τοῦ ὅλου ἐνιαυτοῦ, ἀρχομένη ἀπὸ μηνὸς Σεπτεμβρίου μέχρι μηνὸς Αὐγούστου.

[л. 92 об.). Ἀρχὴ τῆς ἁγίας τεσσαρακοστῆς.

[л. 113). Службы по Тріоди цвѣтной

]л. 138). Антифоны Пасхи, Пятидесятницы, Вознесенія, Рождества Христова, Крещенія и недѣли Ваій.

[л. 142). Μάρκῳ, ἁμαρτωλῷ ἱερομονάχῳ, σύνταγμα, πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ Τυπικοῦ. Всѣхъ главъ 95.

[л. 187). Περὶ τοῦ πῶς δεῖ θυμιᾶν.

[л. 188). Τὰ ἀναστάσιμα προκείμενα предъ апостоломъ.

— Τὰ ἀναστάσιμα ἀλληλουάρια,

[л. 188 об.). Прокимны суточные.

— Прокимны предъ евангеліемъ.

[л. 189). Прокимны на вечерняхъ въ великій постъ.

— Φωταγωγικὰ τῶν ὀκτὼ ἤχων.

[л. 189 об.) Εὐχὴ εἰς τὸ εὐλογῆσαι σταφυλάς· Εὐλόγησον, Κύριε, τὸν καρπὸν τοῦτον τὸν νέον τῆς ἀμπέλου . . . А. Дмитріевскій,

Εὐχολόγια т. II, стр. 47. Молитва не окончена, по недостатку листовъ въ рукописи.

Настоящая рукопись, помимо того, что имѣетъ весьма близкое отношеніе къ первопечатному Типикону, важна въ томъ отношеніи, что отъ начала до конца она интерполирована. Внѣ всякаго сомнѣнія, переписчикъ, послѣ окончанія своего труда, провѣрялъ его снова, по другой рукописи, и дополнялъ новыми вставками, которыя, къ глубокому сожалѣнію, будучи писаны киноварью, въ большинствѣ случаевъ выцвѣли въ настоящее время. Интерполяціи, иногда во все поле листа (лл. 26, 63 об., 116 и др.), интересны въ томъ отношеніи, что онѣ сразу знакомятъ читателей съ обычаями древне-церковной и новѣйшей практикъ. Для примѣра мы укажемъ здѣсь (см. выше стр. 262) на обрядъ выноса креста въ 1 день Августа мѣсяца. Въ рукописи между интерполяціями есть не мало такихъ, которыя интересны и для исторіи того или другого церковнаго обряда, того или иного обычая. Такъ, напр., л. 8 об. мы находимъ слѣдующее замѣчаніе относительно литіи послѣ вечерни, несуществующее въ нынѣшнихъ Типиконахъ: *Οἷα ἦν τότε συνήθεια.* О стихирахъ на «Господи воззвахъ» отъ Антипасхи до Пятидесятницы замѣчено: *Οὐ μόνον ἐν ταῖς κυριακαῖς, ἀλλὰ καὶ καθ' ἑκάσταις, εἰ μὴ ἐστὶν ἑορταζόμενος ἅγιος, οὕτως ἐν τῷ ὄρθρῳ εἰς τοὺς ἄλλους· εἰς γὰρ στιχηρὰ τὰ τῆς ἑορτῆς λέγονται, εἰ μὴ ἄρα σπάνις ἐστὶ στιχηρῶν* (л. 10 об.). Относительно употребленія елея въ пятницу первой недѣли: *Τοῦτο νῦν οὐ γίνεται, ἡ τοῦ ἐλαίου δηλαδὴ κατάλυσις, τοῦ οἴνου δὲ* [л. 106) *κ. τ. λ.* Сравн. выше стр. 80.

XDVIII. № 311. *Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τοῦ Τυπικοῦ, περιέχοντος τὴν ἅπασαν ἀκολουθίαν καὶ διάταξιν τῆς ἐκκλησίας, γενομένην ὑπὸ τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα, τοῦ καθηγητοῦ τῆς ἐρήμου καὶ ἡγιασμένου.* Рукопись патр.-Іерус. библ. въ 16 долю листа, 230 (нынѣ 227) листовъ, писана скорописью XVI вѣка.

[л. 1). *Διάταξις τῆς ἀγρυπνίας.* Чина малой вечерни нѣтъ.

Μετὰ τὸ δῦναι τὸν ἥλιον μικρόν, ἀπέρχεται [1]) *εἷς τῶν κανδηλα-*

---

[1]) Ркп. Син. библ. № 1094 *ὁ κανδηλάπτης καὶ ποιήσας*

πτῶν καὶ ποιεῖ μετάνοιαν τῷ καθηγουμένῳ, εἶτα ἀνέρχεται κρούει τὰς βαρέας ἀργά, ψάλλων ἐν ταὐτῷ καὶ τὸν Ἄμωμον καὶ πληρῶν αὐτόν, ὁ δὲ ἕτερος ἅπτει τὰς κανδήλας καί, ποιήσας τὸν θυμιατόν, ἐξέρχεται καὶ σημαίνει τὸ σίδηρον εἶτα τὸ μέγα καί, ὑποστρέψας, ποιεῖ μετάνοιαν τῷ ἱερεῖ, τῷ ὀφείλοντι ποιῆσαι τὴν ἀκολουθίαν. Ὁ δὲ ἱερεύς, ἀναστάς, ἀπέρχεται καὶ ποιεῖ μετάνοιαν τῷ καθηγουμένῳ, ἢ εἰς τὸν τόπον αὐτοῦ, μὴ ἐνδημοῦντος, καὶ εὐλογηθεὶς παρ' αὐτοῦ ὑποστρέφει καὶ ποιεῖ μετανοίας γ' ἔμπροσθεν τῶν ἁγίων θυρῶν καὶ εἰς τοὺς β' χοροὺς πρὸς μίαν, πάντων τῶν ἀδελφῶν καθημένων. Εἰσελθὼν δὲ εἰς τὸ ἅγιον βῆμα καὶ λαβὼν τὸν θυμιατὸν ἵσταται ἔμπροσθεν τῆς ἁγίας τραπέζης καί, λαβὼν θυμίαμα, λέγει τὴν τοῦ θυμιάματος εὐχὴν καθ' ἑαυτόν, ὁ δὲ κανδηλάπτης ἐκφωνεῖ τὸ Κελεύσατε, γεγονωτέρᾳ φωνῇ, κρατῶν τὴν λαμπάδα ἐν τῇ χειρὶ αὐτοῦ. Θυμιάσας δὲ ὁ ἱερεὺς σταυροειδῶς τὴν ἁγίαν τράπεζαν καὶ ὅλον τὸ θυσιαστήριον, ἐξέρχεται διὰ τῶν ἁγίων θυρῶν καί, ποιήσας σταυρὸν κατέναντι τοῦ θυσιαστηρίου, ἀπέρχεται καὶ θυμιᾷ τὴν εἰκόνα τοῦ ἁγίου τῆς μονῆς, εἶτα τὸν καθηγούμενον καὶ εἰς τοὺς δύο χοροὺς κατὰ τάξιν, τῆς λαμπάδος δηλονότι προπορευομένης ἔμπροσθεν αὐτοῦ. Ἐξελθὼν δὲ εἰς τὸν νάρθηκα καὶ θυμιάσας καὶ ἐκεῖ τοὺς ἀδελφοὺς κατὰ τάξιν, ὑποστρέφει καί, εἰσελθὼν ἔσωθεν τῆς βασιλικῆς πύλης, χαράττει μετὰ τοῦ θυμιατοῦ σταυρὸν καὶ ἐκφωνεῖ μεγαλοφώνως· Κύριε, εὐλόγησον, καὶ θυμιᾷ αὖθις τὸν προεστῶτα, ἢ τὸν τόπον αὐτοῦ, εἶτα τὸν τῆς μονῆς ἅγιον καί, εἰσελθὼν εἰς τὸ ἅγιον βῆμα, ἵσταται ἔμπροσθεν τῆς ἁγίας τραπέζης καί, ποιήσας σταυροὺς τρεῖς μετὰ τοῦ θυμιατοῦ, τελευταῖον ἐκφωνεῖ οὕτως· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ. . . Οἱ ἀδελφοὶ τὸ Ἀμὴν καὶ ἄρχεται ὁ προεστώς, ἢ ὁ ἐκκλησιάρχης· Δεῦτε προσκυνήσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ, πραείᾳ καὶ ἡσύχῳ φωνῇ. Εἶθ' οὕτω τὸ δεύτερον ἄνω πρὸς ὀλίγον· Δεῦτε προσκυνήσωμεν Χριστῷ, τῷ βασιλεῖ ἡμῶν Θεῷ. Πάλιν τὸ τρίτον γεγονωτέρᾳ φωνῇ· Δεῦτε προσκυνήσωμεν αὐτῷ Χριστῷ, τῷ βασιλεῖ ἡμῶν, λέγοντες δὲ αὐτὸ ἐκ δευτέρου μεγαλοφώνως καὶ μετὰ μέλους· Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ, τῷ Θεῷ ἡμῶν, ἅπαξ. Εἶθ' οὕτως πάλιν· Δεῦτε προσκυνήσωμεν μόνον. Καὶ εὐθὺς γεγονυίᾳ τῇ φωνῇ ἄρχεται ὁ προεστώς, ἢ ὁ ἐκκλησιάρχης εἰς ἦχον πλ. δ'· Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, ἀργῶς συνήθως καὶ μετὰ μέλους. Καὶ ἡμῶν δὲ οὕτω ψαλλόντων, ὁ ἱερεύς, ἐξελθὼν τοῦ θυσιαστηρίου, θυμιᾷ ἐν τῷ εὐρίῳ [εὐκτηρίῳ] τοῦ ἁγίου Ἀδελφοθέου Ἰακώβου, ὡσαύτως καὶ ἐν τῷ ναῷ τῆς ἁγίας Τριάδος, καὶ μετὰ τὸ θυμιᾶσαι ποιεῖ μετὰ τοῦ κανδηλάπτου μετάνοιαν ἐνώπιον τῶν ἁγίων

θυρῶν καὶ εἰς τοὺς χοροὺς ἀνὰ μίαν. Ὅτε δὲ φθάσωμεν εἰς τὸ Ἀνοίξαντός σου τὴν χεῖρα, ποιεῖ ὁ ἐκκλησιάρχης τῷ ἡγουμένῳ μετάνοιαν καὶ ἀναῤῥέει ἐκεῖνος τὸν στίχον ὑψηλότερον. Εἰ δὲ οὐκ ἔστιν ἡγούμενος, ὑψοῖ αὐτόν. Πληρουμένου δὲ τοῦ ψαλμοῦ, γίνεται συναπτὴ μεγάλη ὑπὸ τοῦ ἱερέως καὶ ἐκφωνεῖ· Ὅτι πρέπει. Εἶτα στιχολογοῦμεν μετὰ ἰδίου μέλους· Μακάριος ἀνήρ. Εἰς δὲ τὸν τρίτον ψαλμόν, ὑψοῦμεν μικρὸν τὸ δεύτερον καὶ τρίτον ἀντίφωνον εἰς τὸν ἦχον τῆς ἡμέρας, ἐν ἑκάστῳ δὲ ἀντιφώνῳ λέγει ὁ ἱερεύς· Ἔτι καὶ ἔτι . . . Ἀντιλαβοῦ, σῶσον. . . Μετὰ δὲ τὸ τρίτον ἀντίφωνον ἀπέρχεται ὁ ἱερεὺς καὶ βαλὼν μετάνοιαν τῷ προστῶτι, ὡς ἔθος ἐστίν, καὶ λέγομεν τὸ Κύριε ἐκέκραξα εἰς τὸν ἦχον, καὶ ἱστῶμεν στιχηρὰ ἰδιόμελα, ψάλλομεν στιχηρὰ ἀναστάσιμα τοῦ ἤχου γ' καὶ ἀνατολικὰ δ' καὶ τοῦ Μηναίου τρία. Εἰς δὲ τὸ Ὅτι ἐκραταιώθη, ποιεῖ μετάνοιαν τῷ προεστῶτι ὁ ἱερεὺς καί, ἀπελθὼν ἐν τῷ διακονικῷ, ἀλλάσσει καὶ ἐξέρχεται ἐν τῷ ναῷ, προπορευομένων τῶν λαμπάδων, καὶ ἀποσκεπάζονται πάντες, ἑνούμενοι οἱ δύο χοροί ... Литія. Καὶ ἀρχόμεθα στιχηρὰ ἰδιόμελα τοῦ ἁγίου τούτου κατὰ τὴν ἡμέραν καὶ ἀπερχόμεθα λιτανεύοντες ἐν τῷ εὐκτηρίῳ αὐτοῦ, τοῦ ἱερέως θυμιῶντος καὶ λαμπάδων προπορευομένων. Μετὰ δὲ τὴν πλήρωσιν τοῦ στιχηροῦ, ἐκφωνεῖ ὁ ἱερεὺς εἰς ἐπήκοον πάντων· Σῶσον, ὁ Θεός, τὸν λαόν σου . . . (поминаются Συμεὼν τοῦ θαυματουργοῦ καὶ τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος Γεωργίου) τὸ Κύριε ἐλέησον με'. Εἶθ' οὕτως ἀρχόμεθα στιχηρὰ τοῦ ὁσίου πατρὸς ἡμῶν Συμεὼν καὶ ἀπερχόμεθα ἐν τῷ εὐκτηρίῳ αὐτοῦ. Καὶ μετὰ τὸ τέλος τοῦ αὐτοῦ στιχηροῦ, ἐκφωνεῖ ὁ ἱερεὺς εἰς ἐπήκοον· Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων ἡμῶν βασιλέων. . . Τὸ Κύριε ἐλέησον με'. Εἶτα στιχηρὰ τῆς ἁγίας Πεντηκοστῆς καὶ εἰσερχόμεθα ἐν τῷ ναῷ τῆς ἁγίας Τριάδος, κἀκεῖσε, τούτου πληρουμένου, ἐκφωνεῖ ὁ ἱερεὺς εἰς ἐπήκοον· Ἔτι δεόμεθα ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ (τοῦ δεῖνα), ὑγείας καὶ σωτηρίας. . . Τὸ Κύριε ἐλέησον ιε', καὶ ἀνερχόμεθα ἐν τῷ μεγάλῳ νάρθηκι, ψάλλοντες στιχηρὰ ἰδιόμελα εἰς τὸν ἑνόρδινον, ὁ δὲ ἱερεὺς ἐν τῷ νάρθηκι θυμιᾷ, ὡς ἔθος, Δόξα καὶ νῦν θεοτοκίον. Καὶ μετὰ τοῦτο ἐκφωνεῖ ὁ ἱερεύς, λέγων· Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ὑγείας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ δούλου τοῦ Θεοῦ. . . τὸ Κύριε ἐλέησον με'. Εἶτα μνημονεύει, οὓς ἔχει τύπον, ζῶντας καὶ τεθνεῶτας. Μετὰ δὲ τοῦτο ἐκφωνεῖ· Ἐπάκουσον ἡμῶν, ὁ Θεός. . . Εἰρήνη πᾶσι, Τὰς κεφαλὰς ὑμῶν. Καὶ κλινόντων ἡμῶν τὸ γόνυ ἐπὶ τῆς γῆς, ἐπεύχεται μεγαλοφώνως ὁ ἱερεὺς καὶ λέγει· Δέσποτα, πολυέλεε, Κύριε Ἰησοῦ Χριστέ ..

Ἀρχόμεθα στιχηρὰ ἀναστάσιμα τοῦ στίχου καὶ εἰσερχόμεθα ἐν τῷ ναῷ, λέγομεν δὲ στίχους· Ὁ Κύριος ἐβασίλευσεν. . . Προστίθησιν ἄρτους ε', ἐξ ὧν ἐσθίομεν εἰς τὴν τράπεζαν, εἰς τὸ ἀναλόγιον καὶ οἶνον. Ὁ δὲ ἱερεύς, λαβὼν ἕνα ἄρτον ἐπὶ χεῖρας καὶ τυπώσας ἐν αὐτῷ σταυρόν, διεπεύχεται· Κύριε, Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ εὐλογήσας τοὺς πέντε ἄρτους... Послѣ «Благословлю Господа» садятся всѣ за столъ и вкушаютъ хлѣбъ и по чашѣ вина. Ποιήσαντες δὲ οἱ διακονήσαντες ἀδελφοὶ τὴν συνήθη μετάνοιαν ἔμπροσθεν τοῦ ἁγίου θυσιαστηρίου καὶ εἰς τοὺς χοροὺς ἀνὰ μίαν, ἐξέρχονται. Ἀπὸ δὲ τῆς ὥρας ἐκείνης οὐκ ἔχει τις τὴν ἐξουσίαν πίνειν ὕδωρ διὰ τὴν ἁγίαν μετάληψιν τῶν ἀχράντων τοῦ Χριστοῦ μυστηρίων. Во время шестопсалмія кандилаптъ звонилъ, а священникъ совершалъ кажденіе . . . Οἱ ἀναβαθμοὶ τοῦ ἤχου, καὶ εὐθὺς ὁ μὲν κανδηλάπτης ἀπέρχεται καὶ σημαίνει τὸ σιδηροῦν, ὁ δὲ ἱερεύς, τοῦ τρίτου ἀντιφώνου ψαλλομένου, βαλὼν μετάνοιαν τῷ προεστῶτι, εἰσέρχεται ἐν τῷ εὐκτηρίῳ καὶ ἀλλάσσει καί, μετὰ τὸ τοῦ ἤχου προκείμενον, λέγει· Τοῦ Κυρίου δεηθῶμεν. Ἐκφώνησις· Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν καὶ σοὶ... τὸ Πᾶσα πνοὴ καὶ ποιεῖ ὁ ἱερεὺς συναπτὴν μυστικῶς· Τῆς Παναγίας ἀχράντου, καὶ ἐκφωνεῖ· Ὅτι σὺ εἶ ὁ φωτισμὸς καὶ ὁ ἁγιασμός, εἶθ' οὕτω λέγει· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς. . . Σοφία, ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου, Εἰρήνη πᾶσι, τὸ εὐαγγέλιον, Ἀνάστασιν Χριστοῦ θεασάμενοι, καὶ ὁ ν' ψαλμός. Καὶ ἀσπαζόμεθα κατὰ τὴν τάξιν ἀσκεπῶς τὸ ἅγιον Εὐαγγέλιον. Ὁ δὲ ἱερεὺς θυμιᾷ μετὰ τὸν τοῦ Εὐαγγελίου ἀσπασμόν, εἶθ' οὕτω λέγει εἰς ἐπήκοον πάντων· Σῶσον, ὁ Θεός, τὸν λαόν σου, τὸ Κύριε ἐλέησον ιε', ὁ ἱερεὺς ἐκφωνεῖ· Ἐλέει καὶ φιλανθρωπίᾳ, Εἰρήνη πᾶσι, εἶτα ὁ κανὼν ἀναστάσιμος, τῆς Θεοτόκου καὶ τοῦ Μηναίου. Τῷ Κυρίῳ ᾄσωμεν οὐ λέγομεν, ἀλλ' ἀρχόμεθα τοῦ εἱρμοῦ . . . Послѣ утрени литія. Ἐξερχόμεθα ἐν τῷ νάρθηκι, Δόξα καὶ νῦν θεοτοκίον, ὁ δὲ ἱερεὺς θυμιᾷ τοὺς ἀδελφοὺς καὶ λέγει τὴν μεγάλην αἴτησιν, τὸ Κύριε ἐλέησον λ' καὶ τὰς συνήθεις αἰτήσεις, καὶ ἀναγινώσκεται τοῦ Στουδίτου ἡ κατήχησις τῆς ἡμέρας. Μετὰ δὲ τὴν πλήρωσιν ταύτης, ἐκφωνεῖ ὁ ἱερεύς· Ἐπάκουσον ἡμῶν... Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν. Κλινάντων δὲ ἡμῶν τὸ γόνυ ἐπὶ τῆς γῆς, ἐπεύχεται ὁ ἱερεύς· Δέσποτα, πολυέλεε, καὶ ἀπολυόμεθα, εἶτα ὁ προεστὼς ποιεῖ μετάνοιαν, λέγων· Εὔξασθε ὑπὲρ ἐμοῦ, ἐν Κυρίῳ πατέρες καὶ ἀδελφοί, ἵνα ῥυσθῶ ἐκ τῶν παθῶν καὶ σκανδάλων τοῦ πονηροῦ. Οἱ δὲ ἀδελφοί, ἐπὶ γόνυ κείμενοι, ἀντιφθέγγονται· Ὁ Θεὸς σῶσαι καὶ συγχωρῆσαι σοι, τίμιε πάτερ, εὐ-

ξαι καὶ ὑπὲρ ἡμῶν, πάτερ ἅγιε, ἵνα ῥυσθῶμεν ἐκ τῶν παθῶν καὶ τῶν σκανδάλων τοῦ πονηροῦ. Καὶ τοῦ προεστῶτος λέγοντος· Ὁ Θεὸς δι' εὐχῶν τῶν πατέρων ἡμῶν συγχωρῆσαι καὶ σῶσαι καὶ διαφυλάξαι ἡμᾶς, λέγουσιν οἱ ἀδελφοὶ τὸ Ἀμήν. Καὶ ἀνιστάμενοι ἀπερχόμεθα ἐν τοῖς κελλίοις ἡμῶν καὶ ἀναπαυόμεθα.

[л. 9). Εἴδησις τῶν ἀγρυπνιῶν τοῦ ὅλου ἐνιαυτοῦ. 52 воскресенья, 8 и 14 Сентября, 13 и 21 Ноября, 25 Декабря, 6, 17 и 27 Января, 2 Февраля, 25 Марта, 23 Апрѣля, 24 и 29 Іюня, 6, 15 и 29 Августа и на Вознесеніе. Всего 69.

[л. 10). Ἔκφρασις ἐν ἐπιτομῇ τῆς ἐκκλησιαστικῆς διατάξεως τῶν ἐν Ἱεροσολύμοις μοναστηρίων τοῦ ἁγίου Σάββα.

О чтеніи Псалтири.

Чинъ малой вечерни. Ὁ δὲ κανδηλάπτης κρούει τὸ μικρὸν σύμβολον βραδύτερον καὶ συναγόμεθα ἐν τῷ νάρθηκι, ψάλλομεν τὸ μικρὸν ἑσπερινὸν καί, μετὰ τὴν τούτου συμπλήρωσιν, εἰσερχόμεθα εἰς τὴν τράπεζαν.

Вечерня начиналась въ притворѣ, когда положено пѣть Аллилуія. Ἱστάμεθα ἀναμέσον τῆς ἐκκλησίας στοιχηδὸν ἐπὶ τῶν ψιαθίων, πάντες ἐν τῷ ἅμα κλίνοντες τὸ γόνυ, καὶ ἀνιστάμενος [л. 11).

Εἰς δὲ τὸν ὄρθρον κρούει ὁ εἷς κανδηλάπτης πρῶτον τὰς βαρείας σχολαιότερον καὶ ψάλλουσιν οἱ ἀδελφοὶ ἐν τοῖς κελλίοις ἡμῶν μεσονυκτικόν, τὸν Ἄμωμον. Ὁμοίως καὶ αὐτός, ὁ τὰς βαρέας κρούων, ὁ δὲ ἕτερος ἅπτει τὰς κανδήλας καί, ποιήσας τὸν θυμιατόν, ἐξέρχεται καὶ κρούει τὸ σιδηροῦν, καὶ εἰσελθόντες οἱ ἀδελφοὶ πάντες εἰς τὴν ἐκκλησίαν καὶ ποιήσαντες τὰς συνήθεις μετανοίας, ἵστανται εἰς τὰ ἑαυτῶν στασίδια. Ἐξερχομένου δὲ τοῦ κανδηλάπτου σημαίνειν τὸ μέγα, βαλὼν ὁ ἱερεὺς τὴν συνήθη μετάνοιαν τῷ προεστῶτι, εἰσέρχεται καί, λαβὼν τὸν θυμιατόν, ἵσταται κατενώπιον τοῦ ἱλαστηρίου καί, τελειώσαντος τοῦ κανδηλάπτου τὸ σήμαντρον, ἀπάρχεται ὁ ἱερεύς, λέγων· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι, πάντοτε νῦν. Ἡμῶν δὲ ἀποκρινομένων Ἀμήν, εἰ μὲν ἔστιν Ἀλληλούϊα, ἀρχόμεθα ἀπὸ τοῦ Τρισαγίου ἄνευ μετανοίας, μετὰ δὲ τὸ Πάτερ ἡμῶν ἐκφώνησις· Ὅτι σοῦ ἐστι. Καὶ χαράττων σταυρὸν μετὰ τοῦ θυμιατοῦ ἔμπροσθεν τῶν ἁγίων θυρῶν, καὶ λεγόντων τὸ Κύριε ἐλέησον ιβ', ἄρχεται ὁ προεστώς, ἢ ὁ ἐκκλησιάρχης· Δόξα ἐν ὑψίστοις Θεῷ ἐκ γ', Κύριε τὰ χείλη μου, ἐκ β'. Καὶ θυμιῶντος τοῦ ἱερέως, ψάλλουσι τὸν ἑξάψαλμον ἡσύχῳ φωνῇ καὶ ἀργῷ

εἰς ἐπήκοον πάντων, ἑτέρου δὲ μὴ ἐκφωνοῦντος, βῆξαι δὲ ἢ πτῦσαι οὐκ ἔχει τις τῶν ἀδελφῶν ἄδειαν μέχρι συμπληρώσεως τοῦ ἑξαψάλμου. Ὁ δὲ ἱερεὺς μετὰ τὸ θυμιᾶσαι πάντας καὶ συμφθᾶσαι, βαλὼν μετάνοιαν ἔμπροσθεν τῶν ἁγίων θυρῶν καὶ εἰς τοὺς χοροὺς ἀνὰ μίαν, ἀπέρχεται ἐν τῇ στάσει αὐτοῦ. Εἰ δὲ τύχοι Θεὸς Κύριος, οὐκ ἀρχόμεθα ἀπὸ τοῦ Τρισαγίου, ἀλλ' ἀπὸ τοῦ Δόξα ἐν ὑψίστοις Θεῷ. Ὁ δὲ ἱερεὺς εἰς τὴν ἔναρξιν τοῦ ρμβ' ψαλμοῦ· Κύριε, εἰσάκουσον τῆς προσευχῆς, ἅπτων κηρίον, λέγει τὰς ἑωθινὰς εὐχὰς μυστικῶς ἀσκεπής. Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ ἑξαψάλμου ποιεῖ συναπτήν, εἶθ' οὕτως ὁ ταχθεὶς μοναχὸς ἐν τῷ ἑσπερινῷ ψάλλειν τὸ προκείμενον, βαλὼν τὴν συνήθη μετάνοιαν, ἀπάρχεται τοῦ ἀλληλουαρίου. . . Ὁ δὲ ἱερεὺς μετὰ τὴν θ' ᾠδὴν λέγει τὸ Ἅγιος Κύριος, καὶ τὴν ἔναρξιν τοῦ Δόξα ἐν ὑψίστοις Θεῷ, ψάλλει δὲ ὁ προμνημονευθεὶς μοναχός. Слич. выше стр. 102—107.

Объ откровенiи главъ.

Чинъ вечерни.

Δεῖ εἰδέναι, ὅτι οὐ παρελάβομεν στερεοῦν τοὺς βασιλεῖς, εἰ μὴ ἐν ταῖς ἀγρυπνίαις.

Χρὴ γινώσκειν, ὅτι ἐν ταῖς παρασκευαῖς, ὅτε τύχῃ Θεὸς Κύριος, ψάλλομεν τὸν πολυέλεον μετὰ τοῦ ἀλληλουαρίου αὐτοῦ ἀπαραλλάκτως εἰς τὸν ἦχον, εἰ δὲ τύχοι Ἀλληλούια, ψάλλομεν αὐτὸν χύμα.

Ἰστέον δέ, ὅτι πάντοτε τὸν μθ' ψαλμόν· Θεὸς Θεῶν ἐλάλησε, εἰς ἦχον πλ. β' ψάλλομεν, ὡσαύτως καὶ τὸ ὕστατον τοῦ Ψαλτηρίου ἀντίφωνον, τὸν ρμη' ψαλμόν· Αἰνεῖτε τὸν Κύριον, εἰ δὲ τύχοι Θεὸς Κύριος εἰς τὸν ρμθ' ψαλμόν· Ἄσατε τῷ Κυρίῳ, εἰ δὲ ἔστιν Ἀλληλούια, τελειοῦμεν, καθὼς ἀπηρξάμεθα· ὁμοίως καὶ τὸν ρν'· Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις, εἴ μεν ἔστι Θεὸς Κύριος, λέγομεν οὕτω· Δόξα τῷ Πατρὶ καὶ Υἱῷ, μετὰ μέλους, εἰ δὲ Ἀλληλούια, χύμα Δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ.

Замѣчанiя о канонархѣ или екклисiархѣ, о хорахъ, о службѣ въ постъ Рождества Христова и Апостоловъ, о томъ, что на часахъ нѣтъ молитвы: «Иже на всякое время», и часы оканчиваются чтенiемъ Господи помилуй 30 разъ, о канонахъ Богородицѣ и святому, о службѣ въ субботу съ важнымъ святымъ, если не случится въ субботу памяти апостола или великаго святого, о послѣдованiи въ субботу, когда положено

пѣть «Богъ Господь», то же самое, когда поется «Аллилуія», о предпочтеніи каноновъ того или другого отца, о чтеніи толковаго Евангелія на цѣлый годъ и всѣхъ другихъ твореній свято-отеческихъ, о литургіяхъ, о чтеніи утреннихъ евангелій, не пить воды послѣ трапезы, о благочиніи во время трапезы, краткое замѣчаніе о погребеніи братчика.

[л. 21). Ἀκολουθία τῆς ἐκκλησιαστικῆς ψαλμῳδίας τοῦ ὅλου ἐνιαυτοῦ, ἀρχομένη ἀπὸ μηνὸς Σεπτεμβρίου.

Мѣсяцесловъ довольно кратокъ. Большая часть дней года имѣетъ лишь одни имена святыхъ. О малыхъ вечерняхъ не говорится совершенно.

На Воздвиженіе малой вечерни нѣтъ, поэтому выносъ креста положенъ на утрени: Ψαλλόντων δὲ τῶν μοναχῶν τὸ Δόξα ἐν ὑψίστοις, ἀλλάσσει ὁ ἱερεὺς τὴν ἅπασαν στολὴν λευκὴν καὶ ἀπέρχεται μετὰ θυμιατοῦ καὶ [1]) λαμπάδων ἐν τῷ σκευοφυλακίῳ [2]) καὶ φέρει αὐτὸν μέχρι τῶν βασιλικῶν πυλῶν τοῦ ναοῦ [3]), καὶ [4]) ἵσταται καί, πληρουμένης τῆς δοξολογίας συνήθως καὶ τοῦ Τρισαγίου [5]), ἐκφωνεῖ· Σοφία, ὀρθοί, καὶ ἀρχόμεθα τοῦ τροπαρίου· Σῶσον, Κύριε, τὸν λαόν σου. Καὶ οὕτως εἰσοδεύει ὁ ἱερεὺς μετὰ τοῦ τιμίου ξύλου, καὶ τοῦ τετραποδίου ηὐτρεπισμένου ὄντος ἐν τῷ μέσῳ τοῦ ναοῦ, τίθεται ὁ δίσκος μετὰ τῆς θήκης, καὶ θυμιᾷ ὁ ἱερεὺς σταυροειδῶς, εἶθ' οὕτω βαλὼν [6]) μετανοίας γ' ἐπ' ἐδάφους, κἂν τε σάββατόν ἐστι, κἂν τε κυριακή, καὶ λαβὼν τὸν τίμιον σταυρὸν [7]) μετὰ βασιλικῶν κλάδων, ἱστάμενος ἔμπροσθεν τῶν ἁγίων θυρῶν κατὰ ἀνατολάς, λέγει· Ἐλέησον ἡμᾶς. . . . Καὶ πληρωθείσης τῆς ὑψώσεως, τίθησιν ὁ ἱερεὺς [8]) τὸ τίμιον ξύλον [9]) ἐν τῷ δίσκῳ, τῶν μοναχῶν ψαλλόντων κοντάκιον· Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ [10]) καὶ στιχηρὰ ἰδιόμελα τῆς ἑορτῆς, ἕως οὗ προσκυνήσωσιν

---

[1]) Ркп. Син. библ. № 1094 προηγουμένων τῶν [2]) καὶ τίθησι τὸν τίμιον σταυρὸν ἐν τῷ δίσκῳ καὶ φέρουσιν αὐτὸν μέχρι τῶν [3]) Нѣтъ [4]) κἀκεῖ ἵστανται [5]) ἀρχόμεθα τοῦ τροπαρίου [6]) βάλλει μετανοίας γ' ἀπὸ γῆς [7]) γυμνὸν [8]) Нѣтъ [9]) σταυρὸν [10]) καὶ ἀσπασάμενος ὁ ἱερεὺς τὸν τίμιον σταυρόν, εἰσέρχεται τοῦ ἁγίου θυσιαστηρίου ἔσωθεν. Μετὰ δὲ τὸ κοντάκιον ἄρχεται ὁ λαὸς ψάλλειν· Τὸν σταυρόν σου προσκυνοῦμεν, ἐκ γ', εἶτα τροπάριον· Μόνον ἐπάγη τὸ ξύλον. Καὶ πάλιν· Τὸν σταυρόν σου προσκυνοῦμεν. Τούτων δέ, ὡς εἴρηται, ψαλλομένων, ἀπέρχεται πρῶτον ὁ καθηγούμενος καὶ προσκυνεῖ, εἶτα καθεξῆς πάντες δύο δύο, ποιοῦντες ἴσως καὶ εὐτάκτως ἔμπροσθεν τοῦ τιμίου ξύλου ἀνὰ γ' μετανοίας. Συνάγονται δὲ οἱ ψάλλοντες μοναχοὶ εἰς τὸ δεξιὸν μέρος πλησίον τοῦ σταυροῦ καὶ ἄρχονται ψάλλειν, προσκυνούντων τῶν ἀδελφῶν, στιχηρὰ ἰδιόμελα ἦχος πλ. β'· Σταυρὲ τοῦ Χριστοῦ, χριστιανῶν καὶ ἕτερα β' στιχηρὰ ἦχος β'· Δεῦτε πιστοὶ τὸ ζωοποιόν, Δόξα καὶ νῦν· Σταυρὲ τοῦ Χριστοῦ. καὶ εὐθύς· Τὸν σταυρόν σου προσκυνοῦμεν, ἐκ γ', εἶτα ἐκτενὴ καὶ ἀπόλυσις, προκειμένου ἐκεῖσε τοῦ τιμίου σταυροῦ μετὰ κηρῶν β' μέχρι τῆς λειτουργίας.

πάντες οἱ ἀδελφοί. Πληρωθέντος δὲ τοῦ ἀσπασμοῦ, αἴρει ὁ ἱερεὺς τὸ τίμιον ξύλον καὶ ἀποτίθησιν ἐν τῇ ἁγίᾳ τραπέζῃ, καὶ γίνεται ἐκτενὴ καὶ ἀπόλυσις [л.37—38).

Ψάλλομεν δὲ ἐν τῇ πρώτῃ ὥρᾳ τὰ τρία τροπάοια τῶν Χριστουγέννων μέσον οἱ δύο χοροὶ καὶ δευτεροῦμεν αὐτά, λαμπάδος ἁπτούσης μέσον τοῦ ναοῦ καὶ τοῦ ἱερέως θυμιῶντος, καὶ μετὰ τὴν τοῦ Τρισαγίου συμπλήρωσιν γίνεται ἀπόλυσις [л. 73 об.).

Δεῖ γινώσκειν, ὡς, εἰ τύχοι ἡ παραμονὴ τῆς Χριστοῦ γεννήσεως ἐν σαββάτῳ, ἢ ἐν κυριακῇ, οὐ ψάλλομεν ἐνταῦθα τροπάρια, ἀλλὰ τῇ παραμονῇ ποιοῦμεν θ', ἐν αὐτῇ τὴν ἀκολουθίαν τῶν τροπαρίων ποιοῦμεν, οὔτε δὲ νηστεία γίνεται, ἀλλ' ἡ συνήθης λειτουργία. Καὶ μετὰ τὴν συμπλήρωσιν αὐτῆς ἐσθίομεν ἐν τῷ νάρθηκι ἄρτον καὶ πίνομεν πρὸς ἑνὸς ποτηρίου, καὶ περὶ ὥραν ι' σημαίνει καὶ ἀρχόμεθα τοῦ λυχνικοῦ καὶ ποιοῦμεν τὴν προγεγραμμένην ἀκολουθίαν κατὰ τάξιν. Ἰστέον ὅτι, ἐὰν τύχῃ ἡ παραμονὴ ἐν σαββάτῳ, ἐν τῇ στιχολογίᾳ λέγομεν τὸ πρῶτον κάθισμα ὅλον, εἰ δὲ ἐν κυριακῇ, τὸ πρῶτον ἀντίφωνον, εἰ δὲ ἐστὶ νηστεία, ἐν τῇ παραμονῇ εἰς τὸ λυχνικὸν στιχολογία οὐ γίνεται. Μετὰ τὴν ἀπόλυσιν ψάλλομεν τὸ τῆς ἑορτῆς κοντάκιον, οἱ δύο χοροὶ γ' ἐν τῷ μέσῳ τοῦ ναοῦ· Ἡ Παρθένος σήμερον, εἶτα πολυχρονίζομεν τὸν προεστῶτα συνήθως καὶ εἰσερχόμεθα εἰς τὴν τράπεζαν, οὐχ ἐσθίομεν οὔτε τυρόν, ἢ ᾠόν, οὔτε ἰχθὺν [л. 74).

О службѣ 1 Января замѣчено: Εἰς τὸν ὄρθρον ἡ συνήθης στιχολογία καὶ ὁ πολυέλεος, ποιοῦμεν δὲ τὴν ἐπιταφὴν (;) τὸ Ἤμελλεν ἄραι, ἀνάγνωσις δ'. Μετὰ δὲ τὴν ἀνάγνωσιν ἀναβαθμὸν τὸ α' ἀντιφώνου τοῦ δ' ἤχου, προκείμενον ἦχος δ'· Τὸ στόμα μου λαλήσει... Δοξολογία μεγάλη καὶ ἀπόλυσις καὶ δίδεται ἅγιον ἔλαιον παρὰ τοῦ καθηγουμένου κατὰ τὸν τύπον τοῖς ἀδελφοῖς, ψαλλομένων στιχηρῶν ἰδιομέλων τοῦ ἁγίου. Δεῖ εἰδέναι, ὡς, εἰ τύχοι ἐν κυριακῇ, ποιοῦμεν τὴν ἀγρυπνίαν καὶ προηγοῦνται πάντα τὰ ἀναστάσιμα, εἰ δὲ ἐν ἄλλῃ ἡμέρᾳ, ἀγρυπνία οὐ γίνεται [л. 82).

Μετὰ δὲ τὴν ἀκολουθίαν (5 Января) τοῦ ὄρθρου, εἰς τὴν α' ὥραν, ψάλλομεν τὰ τρία τροπάρια, θυμιῶντος τοῦ ἱερέως, ἐκ τῶν ιβ' τῆς ἑορτῆς ἐνταῦθα οἱ δύο χοροί, δευτεροῦντες αὐτά. Περὶ δὲ ἕκτην ὥραν σημαίνει καὶ συναγόμεθα ἐν τῇ ἐκκλησίᾳ καὶ ψάλλομεν τὰς ὥρας γ' ψαλμοὺς καὶ τὰ καταλειφθέντα θ' τροπάρια κατὰ τὴν τάξιν αὐτῶν, ὡς εἴρηται, θυμιῶντος ἑκάστῃ ὥρᾳ τοῦ ἱερέως. Μετὰ δὲ τὴν θ' τὰ τυπικὰ χύμα καὶ ἀπόλυσις [л. 84).

Ἅμα δὲ τὸ εἰπεῖν τὸν ἱερέα τὴν ὀπισθάμβωνον εὐχήν, ἐξερχόμεθα πάντες τῷ λουτρῷ μετὰ τῶν λαμπάδων καὶ τοῦ θυμιατοῦ, ἑνὸς μὲν ἱερέως ἐπιφερομένου τὸ τίμιον ξύλον, ἑτέρου δὲ τὸ Εὐαγγέλιον, ψάλλοντες τὰ τροπάρια... Καὶ λέγει ὁ ἱερεὺς ἢ ὁ διάκονος, εἰ ἔστι, τὰ διακονικὰ τοῦ ἁγιάσματος καί, τούτων λεγομένων, δίδοται τὰ κηρία τοῖς ἀδελφοῖς [л. **85**).

Εἶτα (т. е. послѣ отпуста утрени), τοῦ ἱερέως τὴν ἱερατικὴν στολὴν ἐνδυσαμένου πᾶσαν, ἐπιφερομένου τε τὸ τίμιον Κυρίου ἀνὰ χεῖρας, καὶ προπορευομένων λαμπάδων καὶ τοῦ θυμιάματος, ἐξερχόμεθα τοῦ ναοῦ καὶ ἀπερχόμεθα ἐν τῇ κολυμβήθρᾳ τοῦ ὕδατος [л. **88**).

Δεῖ ἐξακριβοῦν πότε ἔστιν ἀπόκρεως, κἀκεῖθεν ἀναποδίζειν κατὰ κυριακὴν εἰς τὰς πόσας τοῦ μηνὸς εἶναι κυριακὴ τῆς ἀπόκρεω, κυριακὴ τοῦ ἀσώτου, κυριακὴ τοῦ φαρισαίου, κυριακὴ τοῦ Ζακχαίου, κυριακὴ τῆς Χαναναίας καὶ ἄλλαι, ὅσαι ἂν εἰσιν ἡμῖν, καὶ ἔρχεσθαι μέχρι τῆς ἐνισταμένης κυριακῆς κἀκείνης τὸ εὐαγγέλιον ἀναγινώσκειν νήστιμον καὶ τὸν ἀπόστολον [л. **90** об.).

13 Января. Τῶν μαρτύρων Ἑρμύλου καὶ Στρατονίκου. Ἡ ἀκολουθία τῆς ἑορτῆς καὶ τῶν ἁγίων, ψάλλομεν δὲ καὶ τὴν ἀκολουθίαν τῶν ἁγίων ἀββάδων διὰ τὸ εἰς τὴν ιδ' ἀποδίδοσθαι τὴν ἑορτὴν καὶ μόνην ψάλλειν τὴν ἀκολουθίαν αὐτοῦ.

14. Γίνεται ἡ ἀκολουθία τοῦ ἑσπερινοῦ καὶ τοῦ ὄρθρου καὶ τῆς λειτουργίας ἀπαραλλάκτως, καθὼς καὶ εἰς τὴν ἑορτήν [л. **92** об.).

21. Τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐθυμίου τοῦ μεγάλου· εἰ μὲν θέλει ὁ προεστώς, ποιεῖ ἀγρυπνίαν, εἰ δ' οὖν, κατὰ τὴν συνήθειαν. Π α ρ ε λ ά β ο μ ε ν γ ά ρ, ἵ ν α σ υ ν α γ ώ μ ε θ α ε ἰ ς τ ὴ ν μ ο ν ὴ ν τ ο ῦ ἁ γ ί ο υ, ὄ ν τ ε ς ἐ ν Π α λ α ι σ τ ί ν ῃ, κ ἀ κ ε ῖ π ο ι ῶ μ ε ν τ ὴ ν ἀ γ ρ υ π ν ί α ν [л. **95** об.).

21. Τοῦ ὁσίου πατρὸς ἡμῶν Μαξίμου τοῦ ὁμολογητοῦ καὶ τοῦ ἁγίου μεγαλομάρτυρος Εὐγενίου Τραπεζουντίου καὶ τῆς συνοδίας αὐτοῦ Κανιδίου, Ἀκύλα καὶ Οὐαλεριανοῦ (л. **96** об.).

26. Τῶν ὁσίων πατέρων ἡμῶν καὶ τῆς συνόδου.

Ἡ ἀκολουθία τοῦ ἁγίου καὶ τ ο ῦ τ ι μ ί ο υ Χ ρ υ σ ο σ τ ό μ ο υ π ρ ο ε ο ρ τ ή. [л. **98**) τροπάριον ἦχος δ'· Ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ τοῦ Χρυσοστόμου· Ἡ τοῦ στόματος.

27. Ἡ ἀνακομιδὴ τοῦ τιμίου λειψάνου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου. Ἑσπέρας ἐν τῇ ἀγρυπνίᾳ στιχολογοῦμεν τὸ Μακάριος, ὡς συνήθως [л. **98**), εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στι-

χηρὰ η′ καὶ ψάλλομεν στιχηρὰ προσόμοια ἦχος δ′, πρὸς Ὡς γενναῖον ἐν μάρτυσιν, Τὴν χρυσήλατον σάλπιγγα, καὶ δευτεροῦμεν καὶ πάλιν τὰ β′ καὶ πρὸς μίαν, Δόξα δ′· Οὐκ ἔδει σε, Χρυσόστομε, Καὶ νῦν θ′· Ὁ διὰ σὲ θεοπάτωρ, εἴσοδος, προκείμενον, τὰ . . . Ψάλλομεν δὲ τὴν ἀκολουθίαν τοῦ ἁγίου μέχρι τῆς λ′ τοῦ παρόντος μηνός [л. 99).

29. Ἡ ἀνακομιδὴ τοῦ τιμίου λειψάνου τοῦ ἁγίου Ἰγνατίου τοῦ θεοφόρου. Ζήτει τὴν ἀκολουθίαν Δεκεμβρίου εἰς τὰς κ′. Εἰς τὸν ὄρθρον ἀνάγνωσις ἀπὸ τοῦ βίου τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου, δόσεις δ′, ψάλλομεν δὲ καὶ τὴν ἀκολουθίαν τοῦ τιμίου Χρυσοστόμου [л. 99 об.).

Δεῖ εἰδέναι, ὅτι, εἰ τύχοι ἡ ἑορτὴ τῆς Ὑπαπαντῆς κυριακῇ τοῦ φαρισαίου, ἢ τοῦ ἀσώτου, ἢ τῆς ἀπόκρεω, αἱ ἀκολουθίαι τῶν τοιούτων κυριακῶν γίνονται ἐν ταῖς παρασκευαῖς, ἐν αἷς ἀναγινώσκονται ὁ ἀπόστολος καὶ τὸ εὐαγγέλιον ἐν ταῖς λειτουργίαις, ἡ δὲ ἀκολουθία τῆς ἑορτῆς ἐκτελεῖται. Ἐὰν δὲ τύχῃ κυριακῇ, προηγοῦνται τὰ ἀναστάσιμα, εἰς δὲ τὸν ὄρθρον ἀναγινώσκεται εὐαγγέλιον τῆς ἑορτῆς [л. 101 об.).

Εἰ δὲ φθάσῃ ἐν τῇ μ′ ἡ ἑορτή, ἐπιτελοῦμεν τὴν ἀκολουθίαν οὕτως· Ἑσπέρας εἰς τὴν παραμονὴν λέγομεν πρῶτον στιχηρὰ τοῦ Τριῳδίου, ἔπειτα τῆς ἑορτῆς, ὁμοίως τὰ ἀναγνώσματα καὶ καθεξῆς ἡ θεία λειτουργία τῶν προηγιασμένων, καὶ μετὰ τὴν ἀπόλυσιν εἰσερχόμεθα εἰς τὴν τράπεζαν. Ὥρᾳ δὲ α′ τῆς νυκτὸς κρούει τὰς βαρέας, τὸ σιδηροῦν καὶ τὸ μέγα καὶ συναγόμεθα ἐν τῇ ἐκκλησίᾳ καὶ ψάλλομεν τὰ ἀπόδειπνα. Μετὰ δὲ τὴν τούτων συμπλήρωσιν ποιοῦμεν τὰς λιτάς, ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς καὶ γίνονται αἱ συνήθεις εὐχαὶ καὶ ἀπόλυσις, καὶ δίδοται τὸ κατακλαστόν, γινομένης ἀναγνώσεως μεγάλης, καὶ καθεξῆς ἡ ἀκολουθία τῆς ἀγρυπνίας. Ἐν δὲ ὥρᾳ γ′ καὶ ϛ′ γίνεται οὕτως· σημαίνει ὥρα γ′ καὶ ψάλλομεν ὥρας ἄνευ μετανοιῶν, μόνας ποιοῦντες τὰς τρεῖς μεγάλας ἐν ἑκάστῃ ὥρᾳ, στιχολογοῦμεν καθίσματα αὐτῶν. Μετὰ δὲ τὴν τούτων ἀπόλυσιν σημαίνει καὶ τὴν θ′ ὥραν καὶ ψάλλομεν καὶ ταύτην, ὡς ἔθος, τρίψαλμον, στιχολογοῦντες καὶ τὸ κάθισμα, εἶθ᾽ οὕτω λέγομεν τοὺς μακαρισμοὺς χύμα καὶ γίνεται ἀπόλυσις. Εἶθ᾽ οὕτως ἀλλάσσει ὁ ἱερεὺς τὴν ἅπασαν στολήν, ποιεῖ ἔναρξιν τῆς λιτῆς καί, λιτανεύοντες, κατερχόμεθα ἐν τῷ ναῷ τῆς Θεοτόκου, κἀκεῖσε, γινομένης ἐνάρξεως, ἀρχόμεθα τοῦ ἑσπερινοῦ. Εἰ δὲ ἔξω τῆς ἁγίας μ′ τύχοι ἡ ἑορτή, ὥσπερ εἴρηται, μετὰ λιτῆς κατερχόμενοι ἐν τῷ ναῷ τῆς

Θεοτόκου, τὴν λειτουργίαν ἐκεῖσε ποιοῦμεν· προηγοῦνται δὲ εἰς τὸ Κύριε ἐκέκραξα τὰ στιχηρὰ τῆς ἑορτῆς, εἶτα τοῦ Τριῳδίου. Δεῖ εἰδέναι, ὅτι, εἰ τύχοι ἐν μ', ἑορτάζομεν τὴν ἑορτὴν ἡμέραν μίαν, εἰ δ' οὖν ἡμέρας η', εἰ δὲ τῇ ἑβδομάδι τῆς τυρινῆς, ἡμέρας γ' [л. 103).

Первое и второе обрѣтеніе главы І. Предтечи имѣетъ изложеніе службы простой и постовой. То же самое и 9 Марта. Здѣсь, кромѣ того, замѣчено: Εἰ δὲ ἐν σαββάτῳ, ἢ κυριακῇ, γίνεται ἡ ἀκολουθία τῶν ἁγίων καὶ τῆς ἡμέρας [л. 109 об.).

О Благовѣщеніи: Ἐὰν ἐστὶ νηστεία, σημαίνει ὥρας γ' καὶ ψάλλομεν ς' μετὰ στιχολογίαν, ποιοῦντες ἐν ἑκάστῃ ὥρᾳ καὶ τὰς τρεῖς μεγάλας μετανοίας, ἀναγινώσκομεν δὲ τοῦ Χρυσοστόμου λόγον· Πάλιν χαρᾶς εὐαγγέλια, εἰς δόσεις β', καὶ συνάπτομεν τὴν θ'ς ὥραν μετὰ στιχολογίας αὐτῆς, ἐν ᾗ ἀναγινώσκομεν τὴν κατήχησιν τοῦ Στουδίτου. Εἰς τὴν αὐτὴν οἱ ἀδελφοὶ οὐ κάθηνται, εἶθ' οὕτως εἰς τὸ τέλος αἱ τρεῖς μεγαλαι μετάνοιαι καὶ εὐθὺς οἱ μακαρισμοὶ ἄνευ μέλους, τὸ Μνήσθητι ἡμῶν ἐκ γ', Χορὸς ὁ ἐπουράνιος καὶ αὖθις ὁμοίως καὶ λέγομεν τὸ ἅγιον σύμβολον, ἤτοι τὸ Πιστεύω. Ὁ δὲ κανδηλάπτης μετὰ τοῦ ἱερέως, βαλόντες μετάνοιαν τῷ προεστῶτι, ὁ μὲν εἰσελθὼν ἀλλάσσει τὴν ἱερατικὴν στολὴν ἅπασαν, ὁ δὲ ἀνελθὼν σημαίνει σήμαντρον. Τὸ Ἄνες, ἄφες, τὸ Πάτερ ἡμῶν, τὸ τροπάριον τῆς ἑορτῆς· Σήμερον τῆς σωτηρίας, Δόξα καὶ νῦν τὸ κοντάκιον· Τῇ ὑπερμάχῳ, τὸ Κύριε ἐλέησον, τρεῖς μεγάλας μετανοίας καὶ ἀπεύχεται ὁ ἱερεὺς καὶ γίνεται ἀπόλυσις, εἶθ' οὕτω, λιτανεύοντες, κατερχόμεθα ἐν τῷ ναῷ τῆς Θεοτόκου, κἀκεῖσε γίνεται ἔναρξις παρὰ τοῦ ἱερέως, ἐπιλέγοντος οὕτως· Εὐλογημένη ἡ βασιλεία, καὶ ἀπαρχόμεθα [л. 112) τοῦ λυχνικοῦ

О томъ, на основаніи чего составлены службы Благовѣщенія на различные случаи, говорится: ἐντυγχάνοντες τῆς τε ἀοιδίμου μονῆς τῶν Στουδιτῶν, οὐ μὴν δ' ἀλλὰ καὶ τῶν Ἱεροσολύμων ταῦτα ἐντετύχαμεν, ἀλλ' οὖν καὶ τῆς μονῆς τοῦ Ὀλύμπου· μηδεὶς οὖν ἐπαπορείτω, τῇ ἐναλλαγῇ ἐντυγχάνων [л. 121 об.).

Ἰστέον μέντοι, ὅτι ᾗ ἂν ἡμέρᾳ τύχῃ ἡ μνήμη τοῦ Θεολόγου μετὰ τὸ Πάσχα, κἂν τῇ μεσοπεντηκοστῇ, κἂν τε τῆς Ἀναληψίμου οὐ καταλιμπάνεται, ἀλλὰ ψάλλεται μετὰ τῆς ἀκολουθίας τῆς ἡμέρας [л. 128).

31 Іюля Πρὸ τοῦ σημαίνειν μετακομίζεται τὸ τίμιον καὶ ἅγιον ξύλον ἀπὸ τοῦ σκευοφυλακίου, καθὼς ἐν τῇ ιδ' Σεπτεμβρίου μηνὸς ἀναγέγραπται.

Δεῖ εἰδέναι, ὅτι μετὰ τὴν συμπλήρωσιν τοῦ ὄρθρου ποιοῦμεν τὴν προσκύνησιν τοῦ τιμίου ξύλου κατὰ τὴν τάξιν τῆς γ' κυριακῆς τῶν νηστειῶν. Μετὰ δὲ τὴν ἀπόλυσιν ἐξέρχεται ὁ τίμιος Σταυρὸς μετὰ λιτῆς τὰ ἐντὸς τῆς μονῆς, ἢ εἰς τὸ ἡγουμενεῖον, εἰς τὴν τράπεζαν, τὸ κελλάριον, τὸ ὡρεῖον καὶ οἰνοχοεῖον καὶ ἐν πᾶσι τοῖς κελλίοις τῶν ἀδελφῶν, καί, ὑποστρεφόντων ἡμῶν, γίνεται ἀπόλυσις. Εἰς δὲ τὴν λειτουργίαν ἁγιάζεται ὕδωρ μετὰ τοῦ τιμίου Σταυροῦ [**л. 143**).

14. Προεόρτιον τῆς Κοιμήσεως τῆς ὑπεραγίας Θεοτόκου καὶ μνήμη τοῦ ἁγίου προφήτου Μιχαίου.

[**л. 152**). Ἀκολουθία τῆς ἁγίας μεγάλης πεφωτισμένης καὶ θεοσδότου τεσσαρακοστῆς.

Въ недѣлю мытаря и фарисея всенощное бдѣніе совершается обычно. Τοῦ δὲ κατὰ τὴν ἡμέραν ἁγίου ἀκολουθίαν ὀφείλει ψάλλεσθαι τῇ παρασκευῇ ἐν τοῖς ἀποδείπνοις, εἰ μή που τύχῃ μεγάλου ἁγίου μνήμη ἑορτάσιμος [**л. 152** об.).

Ἰστέον, ὅτι τὴν ἀκολουθίαν τῶν ἁγίων, τῶν λαγχανόντων τῷ σαββάτῳ καὶ τῇ κυριακῇ τῆς ἀπόκρεω, ψάλλομεν ἐν τοῖς παρελθοῦσιν ἀποδείπνοις, τὸ αὐτὸ ποιοῦμεν καὶ τῇ τυρινῇ.

О чтеніяхъ на утрени говорится: Καὶ ἀνάγνωσις εἰς τὸν ἅγιον Ἐφραίμ. Δεῖ δὲ γινώσκειν, ὅτι πάσῃ τῇ ἁγίᾳ μ' οὐ πλέον τῶν τριῶν φύλλων ἀναγινώσκομεν [**л. 166**).

Ἰστέον δέ, ὅτι ἐν πᾶσι τοῖς σάββασιν, ἐν οἷς ψάλλεται τὸ Ἀλληλούια, μνημονεύει ὁ ἱερεὺς τῶν προκοιμηθέντων πατέρων [**л. 179**).

Δεῖ εἰδέναι, ὅτι πρὸ τῆς ἐνάρξεως τοῦ ἑσπερινοῦ ἀπέρχονται, ὅ τε ἱερεὺς καὶ ὁ ἐκκλησιάρχης μετὰ τοῦ κανδηλάπτου ἐν τῷ σκευοφυλακίῳ καὶ λαμβάνουσι τὸ τίμιον ξύλον μετὰ λαμπάδος καὶ θυμιατοῦ, ψάλλοντες τὸ Σῶσον, Κύριε, τὸν λαόν σου, καὶ εἰσφέρουσιν αὐτὸ ἐν τῇ ἐκκλησίᾳ καὶ ἐπιτιθέασιν ἐν τῇ ἁγίᾳ τραπέζῃ καὶ ἅπτει δι' ὅλης τῆς νυκτὸς κηρούς [**л. 197** об.).

О перемѣнѣ индитій въ великій четвертокъ [**л. 193** об.). См. ниже стр. 369.

Δεῖ εἰδέναι καὶ τοῦτο, ὅτι τὴν ἀκολουθίαν τοῦ ἑσπερινοῦ τῆς μεγάλης παρασκευῆς καὶ τοῦ ὄρθρου τοῦ μεγάλου σαββάτου ἐν τῷ ναῷ ποιοῦμεν τῆς ἁγίας Τριάδος.

Начало великой субботней службы [**л. 203**) см. выше стр. 125; сн. стр. 69.

Ἰστέον, ὅτι, μέλλοντος τοῦ ψάλτου ἄρξασθαι τοῦ στίχου τούτου

Ἀνάστα ὁ Θεός, ἀνιστάμενοι οἱ ἱερεῖς ἀποδύονται τὰ μαῦρα φελώνια καὶ περιβάλλονται ἀντ' αὐτῶν ἄσπρα [л. **203** об.).

Μεθ' ἣν (т. е. ἀπόλυσιν) ἀναγινώσκομεν τὰ καταλειφθέντα τῶν Πράξεων, οἱ δὲ κανδηλάπται ἅπτουσι τὰ κηρία πάντα ὁμοίως καὶ τὰς κανδήλας καὶ ποιοῦσι πυρεῖα μεγάλα β', ὧν τὸ μὲν ἐκτιθεῖσι μέσον τοῦ ναοῦ, τὸ δὲ ἕτερον ἔμπροσθεν τῶν ἁγίων θυρῶν τοῦ ἁγίου βήματος, ἐν ᾧ ἀπαίρουσι καὶ θυμιατὸν καὶ βάλλονται ἐν τούτῳ θυμίαμα τὸ ἀρκοῦν καὶ θυμιῶσι, κεκλεισμένων τῶν θυρῶν, καὶ εὐθύς, ἐξελθὼν τούτων εἷς καὶ βαλὼν μετάνοιαν τῷ προεστῶτι, ἀπέρχεται καὶ σημαίνει τὸ μέγα. Ὁ δὲ ἱερεὺς ἀλλάσσει ἐν τῷ διακονικῷ ἅπασαν τὴν λευκὴν στολὴν καὶ ἐξέρχεται εἰς τὸν νάρθηκα διὰ τοῦ τοιούτου διακονικοῦ καὶ θυμιᾷ, προηγουμένων αὐτοῦ καὶ λαμπάδων δύο. Ὁ μέντοι ἐκκλησιάρχης διανέμει τοὺς κηροὺς ἀπὸ τοῦ προεστῶτος μέχρι τοῦ ἐσχάτου, ἡμεῖς δὲ ἅπτοντες αὐτὰ ἱστάμεθα μετὰ προσοχῆς καὶ καθ' ἑαυτὸν εὐχόμεθα. Μετὰ οὖν τὸ θυμιᾶσαι τοὺς ἀδελφούς, ὡς συνήθως, ἵσταται ὁ ἱερεὺς ἔμπροσθεν τῆς βασιλικῆς πύλης καὶ θυμιᾷ σταυροειδῶς ἐκ γ', λέγων· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ. Καὶ ἡμῶν ἀποκρινομένων τὸ Ἀμήν, ἄρχεται ὁ ἱερεὺς τροπάριον ἦχος πλ. α'· Χριστὸς ἀνέστη ἐκ νεκρῶν. Ὁμοίως καὶ οἱ ἀδελφοὶ τὸ αὐτό, καὶ λέγεται γ' παρὰ τοῦ ἱερέως καὶ γ' παρὰ τῶν μοναχῶν. Εἶθ' οὕτως στίχος α'· Ἐξομολογεῖσθε τῷ Κυρίῳ. Καὶ ἡμεῖς ἀποκρινόμεθα· Χριστὸς ἀνέστη. Στίχος β'· Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος. Καὶ ἡμεῖς· Χριστὸς ἀνέστη. Στίχος γ'· Συστήσασθε ἑορτὴν ἐν τοῖς, καὶ ἡμεῖς τὸ Χριστὸς ἀνέστη. Δόξα, Χριστὸς ἀνέστη, Καὶ νῦν, Χριστὸς ἀνέστη. Εἶτα πάλιν ἄρχεται ὁ ἱερεύς· Χριστὸς ἀνέστη, γεγονωτέρᾳ τῇ φωνῇ, ἄρχεται δὲ ὁ προεστὼς καὶ κρούει γ', τῶν πυλῶν ἀσφαλιζομένων, καὶ λέγων· Ἄρατε πύλας οἱ ἄρχοντες. Ὁ δὲ κανδηλάπτης ἔσωθεν τῆς ἐκκλησίας ἐγγὺς τοῦ πυλῶνος ἀνταποκρίνεται καὶ λέγει· Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; ἐκ β'. Ὁ δὲ προεστὼς πάλιν· Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης, καὶ εὐθὺς ἀνοίγεται. Καὶ ἀνοιγομένων τῶν πυλῶν, εἰσοδεύει, προπορευομένων τῶν λαμπάδων, συνεφεπομένου δὲ τοῦ καθηγουμένου καὶ τῶν ἀδελφῶν, καὶ ψάλλονται· Καὶ τοῖς ἐν τοῖς μνήμασι. Εἰσερχόμενος οὖν ὁ ἱερεὺς ἐν τῷ βήματι, ποιεῖ συναπτήν. Μετὰ δὲ τὴν ἐκφώνησιν ἄρχεται ὁ προεστώς· Ἀναστάσεως ἡμέρα. Καὶ λέγομεν ἀνὰ β' τοὺς εἱρμούς, ἐν δὲ τοῖς τροπαρίοις ἱστῶμεν στίχους ιδ', ὁ δὲ ἱερεὺς θυμιᾷ, τὴν μέντοι ἔναρξιν τοῦ κανόνος ὁ προεστὼς ὀφείλει ποιεῖν κατὰ ταύτην τὴν ἁγίαν ἡμέραν, κἂν τῷ ἀριστερῷ ἴσως μέρει

ἐπιλαγχάνῃ. Τοῦτο δὲ γίνεται ἐν μόνῃ τῇ πρώτῃ ᾠδῇ, τῆς γὰρ τριῳδίου ἡ ἔναρξις, εἴ γε τῷ ἐπιλαγχάνοντι μέρει πάλιν γίνεται παρ' αὐτοῦ καὶ οὕτως ἰσάζουσιν οἱ χοροί, ἐν ἑκάστῃ δὲ ᾠδῇ γίνεται παρὰ τοῦ ἱερέως συναπτὴ μικρὰ ἔσωθεν τοῦ ἁγίου βήματος. Ἀπὸ γ' ᾠδῆς ἡ ὑπακοὴ ἦχος δ'· Προλαβοῦσαι, σβεννύομεν τοὺς κατεχομένους ἐν χερσὶ κηρούς, ἀνάγνωσις εἰς τὸν Θεολόγον· Ἐπὶ τῆς φυλακῆς, μεθ' ἣν πάλιν ἅπτομεν τοὺς κηρούς [л. **205—206**).

Ἡ δὲ τῆς λειτουργίας ἀκολουθία γίνεται οὕτως· Κρουομένου τοῦ συμβόλου ταχύτερον διὰ τὸν κόπον τῆς ἀγρυπνίας, συναγόμεθα ἐν τῷ νάρθηκι καί, λεγομένης εὐχῆς ὑπὸ τοῦ ἱερέως, ψάλλομεν· Χριστὸς ἀνέστη γ'. Ὁ δὲ ἱερεὺς σὺν τῷ κανδηλάπτῃ βάλλοντες τῷ προεστῶτι μετάνοιαν, ὁ μὲν ἀπέρχεται καὶ σημαίνει τὸ μέγα, οἱ δὲ ἐν τῷ διακονικῷ εἰσερχόμενοι, ἀλλάσσουσι πάντες στολὰς λευκὰς καὶ ποιοῦσι τὴν προσκομιδήν, ἡμεῖς δὲ μετὰ τὸ Χριστὸς ἀνέστη, λέγομεν τὸ Ἀνάστασιν Χριστοῦ θεασάμενοι и д. обычные часы, τὸ Κύριε ἐλέησον λ'. Τρισσεύεται δὲ ἡ τοιαύτη ἀκολουθία. Μετὰ τοῦτο πάλιν· Χριστὸς ἀνέστη ἐκ γ' καὶ ἀπαρχόμεθα τοῦ κανόνος τῆς ἑορτῆς, ψάλλοντες τοὺς εἱρμοὺς καὶ τὰ τροπάρια χύμα. Μετὰ δὲ τὴν ἀκολουθίας συμπλήρωσιν τῆς ᾠδῆς τὴν ὑπακοήν· Προλαβοῦσαι, καὶ πάλιν ψάλλομεν τὰς λοιπὰς γ' ᾠδάς, μεθ' ἃς τὸ Χριστὸς ἀνέστη, εἶτα τὸ κοντάκιον· Εἰ καὶ ἐν τάφῳ σώματι, και λέγομεν τὸ Ἀνάστασιν Χριστοῦ θεασάμενοι ἐκ γ'. Αὖθις ψάλλομεν καὶ τὰς λοιπὰς γ' ᾠδάς, μεθ' ἃς τὸ Χριστὸς ἀνέστη ἐκ γ', τὸ Κύριε ἐλέησον λ'. Καὶ εἰσερχόμεθα ἐν τῷ ναῷ, καὶ τοῦ ἱερέως ἐπιλέγοντος· Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, ποιοῦμεν τὰς γ' συνήθεις προσκυνήσεις, ἀσπαζόμεθα τὰς ἁγίας εἰκόνας καί, γινομένης εὐχῆς, εὐθὺς ἄρχεται ἡ θεία λειτουργία τοῦ Χρυσοστόμου. Οὕτως οὖν ἀπαραλλάκτως γίνεται ἡ ἀκολουθία τῶν ὡρῶν καθ' ὅλην τὴν ἑβδομάδα τῆς Διακαινησίμου ἄχρι δηλοντι καὶ αὐτοῦ τοῦ σαββάτου ἀρτοκλασιῶν [л. **207**).

Τῇ μεγάλῃ κυριακῇ ἑσπέρας εἰς τὸ λυχνικὸν ἀλλάσσει ὁ ἱερεὺς πᾶσαν τὴν στολὴν αὐτοῦ καὶ στὰς κατεναντίον τοῦ ἱλαστηρίου καὶ σφραγίζει σταυροειδῶς μετὰ τοῦ θυμιατοῦ γ', λέγων· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν. Καὶ ἀποκρινομένων τὸ Ἀμήν, ἄρχεται ὁ ἱερεὺς τοῦ τροπαρίου ἦχος πλ. α'· Χριστὸς ἀνέστη. Καὶ ἡμῶν τὸ αὐτὸ ἀνταποκρινομένων, λέγει ὁ ἱερεὺς τοὺς στίχους· στίχος α'· Ἀναστήτω ὁ Θεός, στίχος β'· Ὡς ἐκλείπει καπνός, στίχος γ'· Οὕτως ἀπολοῦνται, Δόξα, Χριστὸς ἀνέστη, Καὶ νῦν, Χριστὸς ἀνέστη. Εἶθ' οὕτως συναπτή. Ἰ σ τ έ ο ν δ έ, ὅ τ ι ἐ ν μ ὲ ν τ ῷ ὄ ρ θ ρ ῳ ἀ π ὸ τ ο ῦ

ρις′ ψαλμοῦ οἱ προγραφέντες γ′ στίχοι λέγονται παρὰ τοῦ ἱερέως δι᾽ ὅλης τῆς ἑβδομάδος, ἐν δὲ τῷ ἑσπερινῷ ἀπὸ τοῦ ρζ′, ἤγουν οἱ νῦν γεγραμμένοι [л. 208) . . . . Ασπαζόμεθα τὰς ἁγίας καὶ σεπτὰς εἰκόνας, κατὰ τὰ συνήθη [л. 209), но о выносѣ креста на отпустѣ не говорится.

Τῇ β′ τῆς Διακαινησίμου εἰς τὸν ὄρθρον, πρὸ μὲν τὴν ἐνάρξεως ἅπτονται παρὰ τοῦ κανδηλάπτου αἱ συνήθεις κανδῆλαι καὶ τὰ κηρία τῶν δύο προσκυνήσεων τοῦ βήματος καὶ τὰ ἐν τῷ μέσῳ τοῦ ναοῦ ἱστάμενα ἐξαφώτια, εὐλογεῖ δὲ ὁ ἱερεὺς ἄνευ τῆς ἱερατικῆς στολῆς καὶ ἄρχεται· Χριστὸς ἀνέστη. Καὶ ἀποκρινομένων ἡμῶν τὸ αὐτό, λέγει τοὺς προγεγραμμένους στίχους τοῦ ὄρθρου τῆς μεγάλης κυριακῆς, ὁ αὐτὸς καὶ ἡμεῖς· Χριστὸς ἀνέστη . . . [л. 209), εἶτα συναπτή, μετὰ δὲ τὴν ἐκφώνησιν ἀρχόμεθα τοῦ κανόνος. Δεῖ γινώσκειν, ὅτι, ὅτε τὴν ἔναρξιν μέλλει ποιῆσαι ὁ ἱερεύς, ἵσταται κατεναντίον τῆς ἁγίας τραπέζης καὶ θυμιᾷ αὐτοῦ καὶ τὸ ἱερατεῖον, μέχρις οὗ ἀρξόμεθα τοῦ κανόνος. Εἶθ᾽ οὕτως ἐξελθών, θυμιᾷ τὸν ναὸν καὶ τοὺς χορούς, ὡς συνήθως. Ψάλλομεν δὲ τοὺς εἱρμοὺς β′, ἐν δὲ τοῖς τροπαρίοις ἱστῶμεν στίχους ιδ′, εἰς δὲ τὸ Δόξα καὶ νῦν λέγομεν τὰ β′ θεοτοκία τοῦ χοροῦ Θεοφάνους καὶ τὰ τοῦ χοροῦ Ἰωσήφ . . . Ποιοῦμεν δὲ λιτὴν ἔξω τῆς μονῆς, ἀπερχόμενοι εἰς τὸν ἐν τῷ κοιμητηρίῳ ναὸν τῆς ὑπεραγίας Θεοτόκου, κἀκεῖσε, γινομένης ἐκτενῆς, ἀπερχόμεθα εἰς τὴν μονὴν καὶ ποιοῦμεν ἀπόλυσιν ἐν τῷ ναῷ τῆς ἁγίας Τριάδος. Δεῖ γινώσκειν, ὅτι οὕτω γίνεται ἡ ἀκολουθία τοῦ ὄρθρου κατὰ πᾶσαν τὴν ἑβδομάδα τῆς Διακαινησίμου [л. 209).

Τῇ δ′ τῆς Διακαινησίμου εἰ τὸν ὄρθρον ἡ ἀκολουθία πᾶσα, ὡς προγέγραπται, καὶ μετὰ τὴν κατήχησιν ἀπόλυσις καὶ εὐθὺς λιτὴν ἔξω τοῦ μοναστηρίου, καὶ ἀπερχόμεθα ἐν τῷ εὐκτηρίῳ τοῦ ἁγίου μεγάλου Γεωργίου, κἀκεῖσε, τελουμένης τῆς θείας λειτουργίας, ἀριστούμεθα καὶ πάλιν μετὰ τῆς λιτῆς κατερχόμεθα ἐν τῇ μονῇ καί, ποιοῦντες ἀπόλυσιν ἐν τῷ νάρθηκι τοῦ μεγάλου ναοῦ, ἀνερχόμεθα ἐν τοῖς κελλίοις ἡμῶν [л. 215 об.).

Ἰστέον, ὅτι τὰς δ′ καὶ τὰς παρασκευὰς (Θоминой) προηγοῦνται τὰ σταυρώσιμα στιχηρὰ τῆς Ὀκτωήχου, ὁμοίως καὶ τὰ καθίσματα τῶν ἀναστάσεων, διότι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ Θεὸς πρῶτον ἐσταυρώθη, εἶτα ἀνέστη ἐκ νεκρῶν. Ἰστέον δὲ καὶ τοῦτο, ὅτι ἐν πάσαις ταῖς δευτέραις καὶ τετράσι καὶ παρασκευαῖς τῆς ἁγίας Πεντηκοστῆς ἄνευ τῆς ἑβδομάδος τῆς Διακαινησίμου καὶ τῆς ἐσχάτου τοῦ ἁγίου Πνεύμα-

τος οὔτε ἐσθίομεν, οὔτε ᾠόν, οἴνου δὲ καὶ ἐλαίου μεταλαμβάνομεν [л. 215).

Κυριακῇ τετάρτῃ ἀπὸ τοῦ Πάσχα εἰς τὸ ἐν τῇ προβατικῇ κολυμβήθρᾳ παραλύτου [л. об.).

Въ отданіе обычное начало на вечерни, великій выходъ, прокименъ Пасхи: «Кто Богъ», канонъ Пасхи съ богородичными и предпразднества Вознесенія. На хвалитѣхъ стихиры Пасхи и великое славословіе. Антифоны, прокименъ и аллилуарій праздника [л. 220).

Въ Пятидесятницу на вечерни: Καὶ ἡμῶν κλινόντων ἐπὶ γῆς τὸ γόνυ ἀσκεπῶν, ἀναγινώσκει ὁ ἱερεὺς τὴν εὐχὴν ἀπὸ τοῦ βήματος μεγαλοφώνως εἰς ἐπήκοον πάντων [л. 225 об.). Εἶτ' (т. е. послѣ вечерни) ἀπαρχόμεθα ἰδιόμελα τῆς ἑορτῆς ἦχος βαρύς, λιτανεύομεν ἐν τῷ ναῷ τῆς ἁγίας Τριάδος καὶ ψάλλομεν ἐκεῖσε παννυχίδα, ἤτοι τὸν κανόνα τοῦ κυροῦ Θεοφάνους ἦχος α'· Μικρὰς δούλου, ἀφ' ς' τὸ κοντάκιον. Καὶ μετὰ τὴν ἀπόλυσιν εἰσερχόμεθα εἰς τὴν τράπεζαν. Τὰ δὲ ἀπόδειπνα κατὰ τὸν τύπον. Ἰστέον δέ, ὅτι κατὰ τὴν παροῦσαν ἑβδομάδα ἐν τῷ ναῷ τῆς ἁγίας καὶ ζωαρχικῆς Τριάδος и т. д. [л. 226).

О чтеніяхъ на утрени.

Объ утреннихъ евангеліяхъ.

Δεῖ γινώσκειν, ὅτι, ὅτε ἐστὶν Ἀλληλούια, ἐν τῷ μεγάλῳ ναῷ λειτουργία οὐ γίνεται, ἀλλ' οὔτε ἐν τῷ ναῷ τῆς ἁγίας Τριάδος, εἴτε ἐν τοῖς εὐκτηρίοις, καθὼς ἐν ἑτέροις περὶ τούτων διεταξάμεθα.

Ἰστέον δὲ καὶ τοῦτο· κατὰ ταύτην τὴν ἁγίαν μ' καὶ τῶν Χριστουγέννων οὐ παρελάβομεν ἐν Παλαιστίνῃ στιχολογεῖν ἐν τῷ μέσῳ, ἀλλὰ ποιεῖν τὴν ἀκολουθίαν τῶν ὡρῶν, ὡς προεγράφη ἄνωθεν, ἡ δὲ σεβασμία μονὴ τῶν Στουδιτῶν τὴν μὲν τριθέκτην στιχολογεῖ καὶ εὐθὺς ποιεῖ τὴν θείαν λειτουργίαν, μεθ' ἣν ψάλλει τὴν θ' τρίψαλμον καὶ οὕτως ἄρχεται τοῦ ἑσπερινοῦ [л. 229 об.).

Δεῖ τοίνυν τὸν προεστῶτα πᾶσαν ἐνδείκνυσθαι σπουδήν, ἵνα μή τι τῶν ἐν τῷ παρόντι Τυπικῷ, μικρὸν ἢ μεῖζον, κατά τινα αἰτίαν παροραθῇ, ἀλλὰ φυλάττῃ.

Типикъ этотъ во многомъ сходенъ съ Типикомъ XIII в. Парижск. національной библ. № 402 (см. выше стр. 121—127).

XDIX. № 635. Τυπικὸν τῆς ἐκκλησιαστικῆς διατάξεως τῆς ἐν Ἱεροσολύμοις ἁγίας ἐκκλησίας λαύρας τοῦ ἁγίου καὶ θεοφόρου πα-

τρὸς ἡμῶν Σάββα. Αὕτη δὲ ἡ ἀκολουθία γίνεται καὶ ἐν τοῖς λοιποῖς τῶν Ἱεροσολύμων ἁγίοις μοναστηρίοις. Рукопись библ. Саввы Освящ. въ 16 долю листа, 270 листовъ, писанная мелкою, но четкою скорописью XVI в. Въ концѣ рукописи есть слѣдующая приписка XVII в.: Τὸ παρὸν Τυπικὸν ὑπάρχει τῆς θείας καὶ ἱερᾶς καὶ βασιλικῆς μεγάλης λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα τοῦ ἡγιασμένου καὶ καθηγητοῦ τῆς ἐρήμου σὺν τῶν ἀρχαγγέλων Μιχαὴλ καὶ Γαβριὴλ ἐντὸς τῆς ἁγίας πόλεως Ἱερουσαλήμ, καὶ μηδεὶς τολμήσῃ ἐξῶσαι αὐτό, ἢ κόψαι τὸ παρὸν φύλλον καὶ εἴ τις εὑρεθῇ καὶ παραβῇ τῶν ἄνωθεν γεγραμμένων καὶ ἀποξενώσει αὐτὸ νὰ ἔχῃ τὴν κατάραν τῶν ἁγίων τριακοσίων δέκα ὀκτὼ θεοφόρων πατέρων καὶ τοῦ ἁγίου Σάββα, καὶ εὕρῃ δὲ καὶ τοὺς μεγίστους ἀρχαγγέλους Μιχαὴλ καὶ Γαβριὴλ ἐχθροὺς καὶ ἀντιδίκους ἐν ἡμέρᾳ τῆς κρίσεως καὶ ἡ μερὶς αὐτοῦ ἔστω μετὰ Ἰούδα τοῦ Ἰσκαριώτου. Ἀμήν. [л. 271). Καθηγούμενος μεγάλης λαύρας τοῦ ἁγίου Σάββα Ἀθανάσιος ἱερομόναχος καὶ ἀδελφὸς ἐν Χριστῷ.

[л. 1). Πίναξ ἄριστος τῆς παρούσης πυξίδος.

[л. 6). Εἴδησις τοῦ μικροῦ ἑσπερινοῦ.

[л. 6 об.). Εἴδησις τοῦ μεγάλου ἑσπερινοῦ ἀγρυπνίας.

[л. 13). Περὶ τοῦ πῶς θυμιᾶν τὸν ἱερέα.

[л. 14). Περὶ τῶν ἀγρυπνιῶν τοῦ ὅλου ἐνιαυτοῦ.

[л. 14 об.). Ἔκφρασις ἐν ἐπιτομῇ τῆς ἐκκλησιαστικῆς διατάξεως τῶν ἐν Ἱεροσολύμοις ἁγίων μοναστηρίων.

[л. 17 об.). Περὶ τοῦ ὅτε τύχῃ τῇ δευτέρᾳ Ἀλληλούια.

[л. 18 об.). Περὶ τῶν παρασκευῶν, ὅτε τύχῃ Θεὸς Κύριος, πῶς ψάλλονται.

[л. 19) Περὶ τῆς ἁγίας μ′ τῶν Χριστουγέννων καὶ τῶν ἁγίων, ὅτε τύχῃ Ἀλληλούια.

[л. 22). Περὶ τοῦ πῶς ψάλλεται τὸ μεσσονυκτικὸν τῆς ἑβδομάδος ὅλης, ὁμοίως καὶ πῶς ψάλλεται τὸ μεσονυκτικὸν τοῦ σαββάτου.

[л. 23). Τῇ κυριακῇ μεσονυκτικόν.

[л. 23 об.). Περὶ τῶν σαββάτων τοῦ ὅλου ἐνιαυτοῦ, ἐν οἷς ὑπάρχει μεγάλου ἁγίου μνήμη.

[л. 25). Περὶ τοῦ πῶς ἀναγινώσκονται τὰ εὐαγγέλια καὶ αἱ τούτων ἑρμηνεῖαι.

[л. 25 об.). Περὶ τοῦ πότε γίνεται λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ Μεγάλου.

[л. 26). Περὶ τῶν ἑωθινῶν εὐαγγελίων τὰ ἀναστάσιμα, τὸ πῶς ὀφείλουσιν ἀναγινώσκεσθαι.

— Περὶ τῶν ἀποδείπνων, πῶς ψάλλονται παρ' ὅλον τὸν ἐνιαυτόν, (Μάρκου μοναχοῦ).

[л. 27). Ἐκ τῶν ἀπόρων Μάρκου μοναχοῦ, ἄρχεται δὲ ἀπὸ τοῦ γ' κεφαλαίου. Περὶ τῶν ἑορτῶν τῆς ὑπεραγίας Θεοτόκου, τὸ Γεννέσιον, τῆς Εἰσόδου, τῆς Ὑπαπαντῆς, τοῦ Εὐαγγελισμοῦ καὶ τῆς Κοιμήσεως, εἰ τύχοι ἐν κυριακῇ.

[л. 27 об.). Περὶ τῶν ἑορτῶν τῶν Δεσποτικῶν, ἤγουν τῆς Ὑψώσεως, τῶν Χριστουγέννων, τῶν Φώτων, τῆς Πεντηκοστῆς, τῆς Μεταμορφώσεως, εἰ τύχοι ἐν κυριακῇ.

— Περὶ τῆς ἀποδόσεως τῶν Δεσποτικῶν ἑορτῶν.

[л. 28 об.). Περὶ τῆς ἀποδόσεως τῶν Δεσποτικῶν ἑορτῶν, εἰ τύχοι ἐν κυριακῇ.

[л. 29). Περὶ τῆς ἀποδόσεως τῶν ἑορτῶν τῆς ὑπεραγίας Θεοτόκου.

— Περὶ προεορτίων καὶ μεθεορτίων τῶν Δεσποτικῶν ἑορτῶν, εἰ τύχοι ἐν κυριακῇ.

[л.30 об.). Περὶ προεορτίων καὶ μεθεορτίων κοντακίων, λεγομένων ἐν κυριακῇ ἀντὶ ὑπακοῆς τοῦ ἤχου.

— Περὶ προεορτίων καὶ μεθεορτίων κανόνων, πῶς ψάλλονται μετὰ τῶν ἐν τῷ Μηναίῳ ἁγίων.

— Περὶ ἁγίων β', ἐχόντων κοντάκια, πῶς ὀφείλουσι λέγεσθαι, εἰ τύχωσιν ὁμοῦ μετὰ προεορτίων ἢ μεθεορτίων κοντακίων.

[л. 30 об.). Περὶ προεορτίων καὶ μεθεορτίων, εἰ τύχωσι μετὰ δύο ἁγίων ἐν κυριακῇ.

— Περὶ προεορτίων καὶ μεθεορτίων μετὰ ἁγίου, ἔχοντος λειτουργίαν ἐν σαββάτῳ.

— Περὶ τῆς λειτουργίας τοῦ σαββάτου.

— Περὶ τοῦ πότε οὐ στιχολογεῖται Τῷ Κυρίῳ ᾄσωμεν.

[л. 31). Περὶ τοῦ πότε οὐ στιχολογεῖται Ἡ Τιμιωτέρα.

— Περὶ τροπαρίων προεορτίων καὶ μεθεορτίων καὶ τῶν ἁγίων, πῶς λέγεται καθ' ἡμέραν.

[л. 31 об.). Περὶ δύο ἁγίων, ἐχόντων τροπάρια β', πῶς λέγονται, εἰ τύχωσιν ἐν κυριακῇ.

— Περὶ προεορτίων καὶ μεθεορτίων τροπαρίων, εἰ τύχωσιν ἐν κυριακῇ μετὰ ἁγίου, ἔχοντος τροπάριον.

[л. 32). Περὶ ἁγίου, ἔχοντος ἀγρυπνίαν, εἰ τύχοι ἐν κυριακῇ.

[л. 32 об.). Περὶ ἁγίου, ἔχοντος πολυέλεον, ἑορταζομένου εἰς ϛ', εἰ τύχοι ἐν κυριακῇ.

[л. 33). Περὶ ἁγίου, ἑορταζομένου εἰς ϛ', εἰ τύχοι ἐν κυριακῇ.

[л. 33 об.). Περὶ τοῦ πῶς ψάλλονται οἱ νεκρώσιμοι κανόνες εἰς τὴν παννυχίδα τῇ παρασκευῇ ἑσπέρας.

— Περὶ τροπαρίων τῶν ἀποδείπνων τῶν προεόρτων, τῶν μεθεόρτων καὶ τῶν ἁγίων καὶ τῶν ἡμερῶν τῆς ἑβδομάδος.

[л. 34). Περὶ τροπαρίων Δεσποτικῶν ἑορτῶν, εἰ τύχωσιν ἐν κυριακῇ.

— Περὶ τροπαρίων τῶν ἁγίων καὶ πρωτοθεοτοκίων, πῶς λέγονται τῇ παρασκευῇ ἑσπέρας καὶ τῷ σαββάτῳ καὶ τῇ κυριακῇ.

[л. 34 об.). Περὶ ἁγίου, ἑορταζομένου εἰς ϛ', ἔχοντος καὶ πολυέλεον, ὁποῖα θεοτοκία λέγονται.

— Περὶ ἁγίου, ἑορταζομένου εἰς ϛ', ἔχοντος πολυέλεον, ὁποῖα θεοτοκία λέγονται.

— Περὶ τῶν πρώτων θεοτοκίων, πῶς λέγονται τῷ σαββάτῳ καὶ τῇ κυριακῇ.

— Περὶ ἁγίου, ἔχοντος εἴσοδον, καὶ τῶν ἁγίων θεοτοκίων στιχηρά.

[л. 35). Περὶ τοῦ πότε στιχολογεῖται Ἡ Τιμιωτέρα.

— Περὶ ἁγίου, ἔχοντος εὐαγγέλιον, ὅτε Τῷ Κυρίῳ ᾄσωμεν οὐ στιχολογεῖται.

— Περὶ τοῦ πότε γίνεται λιτὴ καὶ πότε οὐ γίνεται.

— Περὶ προεορτίων τῶν Δεσποτικῶν ἑορτῶν, εἰ τύχωσιν ἐν κυριακῇ.

[л. 35 об.). Περὶ ἁγίου, ἔχοντος πολυέλεον καὶ ἑορταζομένου εἰς η', εἰ τύχοι ἐν σαββάτῳ.

— Περὶ τοῦ ὅτε τύχῃ Ἀλληλούια.

[л. 36). Περὶ τῶν ἡμερῶν τῆς ἑβδομάδος, πῶς ψάλλονται οἱ κανόνες αὐτῶν μετὰ τοῦ Μηναίου τῆς κυριακῆς.

[л. 37). Περὶ ἐκδημήσεως ἀδελφῶν, ἤτοι μεταστάσεως (κεφ. 45).

Ἰστέον, ὅτι, ἐὰν κοιμηθῇ ἀδελφὸς οὐ δεῖ λούεσθαι τὸ σῶμα αὐτοῦ, ἀλλ' οὐδ' ὁρᾶσθαι ὅλως γυμνόν, ἀπέρχεται ὁ ἐκκλησιάρχης καὶ ἀποσπογγίζει τὸ λείψανον μετὰ χλιαροῦ ὕδατος καὶ σπόγγου, οὕτω

πρῶτον ποιεῖ μετὰ τοῦ σπόγγου ἐν τῷ μετώπῳ αὐτοῦ τοῦ τετελευτηκότος σταυρόν, εἶτα εἰς τὸ στῆθος καὶ εἰς τὰς χεῖρας καὶ εἰς τὰ γόνατα καὶ πλέον οὐδέν, εἶτα φέρει καινὸν ἱμάτιον καὶ ἐνδύει αὐτόν, μηδαμῶς τῆς τούτου γυμνώσεως θεασάμενος, μὴ θάτερον ἐάσας παρεῖναι ἰδεῖν. Μετὰ δὲ τὸ ἐνδῦσαι περιβάλλει αὐτὸν τὸ κουκούλιον, εἴγε μεγαλοσχήμων εἴη, περιθεὶς τὴν περικεφαλαίαν ἄνωθεν τῆς κεφαλῆς καὶ καταβιβάσας αὐτὸν μέχρι τοῦ πώγωνος, ὥστε μὴ ὁρᾶσθαι τὸ πρόσωπον τοῦ λειψάνου, εἶτα περιτίθησιν αὐτὸ τὸ ἀνάλαβον καὶ περιζώννυσιν αὐτῷ τὸ λῶρον, ἐάσας αὐτὸν ἀνυπόδετον παντελῶς καὶ εἰσαγαγὼν τὴν ἑαυτοῦ τεταγμένην κλίνην, ἐφαπλοῖ ἄνωθεν αὐτῆς ἐφάπλωμα καὶ τίθεται προσκεφάλαιον μικρόν, ἄνωθεν δὲ τοῦ ἐφαπλώματος ἁπλοῦται ὁ μανδύας αὐτοῦ, οὐ πλαγίως, καθὼς φορεῖται, ἀλλ' ὀρθῶς κατὰ σχῆμα ἐπίμηκες καὶ ἐπάνω αὐτοῦ τίθεται τὸ λείψανον, ἄνωθεν δὲ τοῦ λειψάνου ἐφαπλοῦται ἐφάπλωμα καὶ οὕτως, ἄραντες τὴν κλίνην, τιθέασιν αὐτὴν ἐπὶ τῷ νάρθηκι κατ' ἐναντίον τῆς πύλης καί, τοῦ ἐκκλησιάρχου κρούσαντος τὸ σίδηρον, συνάγονται πάντες οἱ μοναχοὶ καὶ δίδεται αὐτοῖς ἀνὰ κηρίου ἑνός, τοῦ δὲ ἱερέως εὐλογοῦντος, ἄρχονται τῆς ἀκολουθίας τῶν κεκοιμημένων.

[Л. **38**). Ἀκολουθία τῆς ἐκκλησιαστικῆς ψαλμῳδίας τε καὶ συνάξεως τοῦ ὅλου ἐνιαυτοῦ, ἀρχομένη ἀπὸ μηνὸς Σεπτεμβρίου μέχρι μηνὸς Αὐγούστου.

14 Октября. Τῶν ἁγίων μαρτύρων Γερβασίου, Προτασίου καὶ Κελσίου καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν τοῦ ἁγιοπολίτου καὶ ποιητοῦ ἐπισκόπου Μαϊουμᾶ.

19 Декабря. Τοῦ ἁγίου μάρτυρος Βονιφατίου, Πρόβου, Ἥρεως, Ἠλία, Εὐτυχίου Θεσσαλονίκης καὶ Ἑρμαίου.

20. Τοῦ ἁγίου ἱερομάρτυρος Ἰγνατίου τοῦ θεοφόρου, ἀρχιεπισκόπου Ἀντιοχείας. Ἀπ' αὐτῆς τῆς ἡμέρας τῶν προεόρτων τῆς κατὰ σάρκα γεννήσεως τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

23. Τῶν ἁγίων μαρτύρων τῶν ἐν Κρήτῃ καὶ ἑτέρων μαρτύρων. Χρυσογόνου, ἐπάρχου πόλεως Θεσσαλονίκης.

24. Περὶ ὥρας ζ' τῆς ἡμέρας σημαίνει τὸ μικρὸν καὶ συναγόμεθα ἐν τῇ ἐκκλησίᾳ, ψάλλομεν τὰς γ' ὥρας τριψάλμους καὶ ἐν ἑκάστῃ ὥρᾳ τροπάρια γ' καὶ δευτεροῦμεν αὐτά, καθὼς ἐδηλώθη ἐν τῇ α' ὥρᾳ, καὶ μετὰ τὴν θ' ὥραν ψάλλομεν τὰ τυπικὰ χύμα καὶ ἀπολύομεν.

Πάντες δὲ μετὰ τὴν ἀπόλυσιν (вечерни) ψάλλομεν τὸ τροπάριον τῆς ἑορτῆς καὶ τὸ κοντάκιον, εἶτα πολυχρονίζομεν τοὺς βασιλεῖς, τὸν πατριάρχην, τὸν καθηγούμενον σὺν πάσῃ τῇ ἀδελφότητι, καὶ εἰσερχόμεθα εἰς τὴν τράπεζαν, ψάλλομεν· Ἡ γέννησίς σου, τὸ κοντάκιον καὶ γίνεται ἡ φήμη τῶν βασιλέων·

«Πολυχρόνιον ποιήσαι ὁ Θεὸς τὴν ἁγίαν βασιλείαν αὐτῶν εἰς πολλὰ ἔτη».

«Πολυχρόνιον ποιήσαι ὁ Θεὸς τὴν θεόστεπτον, θεοδόξαστον, ἁγίαν βασιλείαν αὐτῶν εἰς πολλὰ ἔτη».

«Πολυχρόνιον ποιήσαι ὁ Θεὸς τὴν θεοπρόβλητον θεοκάλλιστον ἁγίαν βασιλείαν αὐτῶν εἰς πολλὰ ἔτη».

Σῶσαι Χριστὸς τὸν πανοσιώτατον πατέρα ἡμῶν καὶ καθηγούμενον τῆς σεβασμίας μονῆς ταύτης σὺν πάσῃ τῇ ἐν Χριστῷ ἡμῶν ἀδελφότητι εἰς πολλὰ ἔτη, αἰωνία ὑμῶν ἡ μνήμη ἀξιομακάριστοι καὶ ἀείμνηστοι κτήτορες [л. 95).

Περὶ τῆς ἑορτῆς τῶν Χριστουγέννων, εἰ τύχοι ἐν κυριακῇ, πῶς ψάλλονται μετὰ τὴν Χριστοῦ γέννησιν κυριακῇ, ἐν τῇ κς′ τοῦ αὐτοῦ μηνός. Μάρκου μοναχοῦ.

Περὶ τῆς ἑορτῆς τῶν ἁγίων τριῶν μεγάλων Ἱεραρχῶν, εἰ τύχοι τοῦ τελώνου καὶ τοῦ ἀσώτου καὶ τῆς ἀπόκρεω.

Χρὴ εἰδέναι, ὅτι, εἰ τύχοι ἡ ἑορτὴ τῶν ἁγίων τριῶν μεγάλων Ἱεραρχῶν τῇ κυριακῇ τοῦ τελώνου, ἢ τοῦ ἀσώτου, ἢ τῆς ἀπόκρεω ἐν τῷ μικρῷ ἑσπερινῷ στιχηρὰ ἀναστάσιμα καὶ τῆς Θεοτόκου, ὡς συνήθως. Ἐν τῷ μεγάλῳ ἑσπερινῷ, μετὰ τὴν συνήθη στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ι′ καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα γ′ καὶ ἀνατολικὸν ἕν, τοῦ Τριῳδίου γ′, τῶν ἁγίων γ′, Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν θεοτοκίον τὸ α′ τοῦ ἤχου. Εἰς τὴν λιτὴν τὸ στιχηρὸν τοῦ ἁγίου τῆς μονῆς καὶ τὰ ἰδιόμελα τὰ εἰς τοὺς αἴνους, Δόξα ἦχος πλ. β′· Ἄνθρωποι τοῦ Θεοῦ, Καὶ νῦν θεοτοκίον τοῦ ἀλφαβήτου εἰς τὸν αὐτὸν ἦχον, εἰς τὸν στίχον στιχηρὰ ἀναστάσιμα καὶ τοῦ ἀλφαβήτου, Δόξα ἦχος πλ. β′· Εὖ, δοῦλε ἀγαθέ, Καὶ νῦν, τοῦ Τριῳδίου. Εἰς τὴν εὐλόγησιν τῶν ἄρτων Θεοτόκε Παρθένε δίς, τὸ τροπάριον τῶν ἁγίων ἅπαξ, ἀνάγνωσις εἰς τὰς ἐπιστολάς, εἴ δὲ ἑτέρας ἀναγνώσεις, τὸ ἐγκώμιον τῶν Εὐχαΐτων καὶ τὴν σύνοψιν τῶν βίων τῶν ἁγίων. Εἰς τὸ Θεὸς Κύριος τροπάριον τὸ ἀναστάσιμον δίς, Δόξα τῶν ἁγίων, Καὶ νῦν θεοτοκίον τὸ α′ τοῦ ἤχου, εἰς τὰ καθίσματα τῆς στιχολογίας καθί-

σματα ἀναστάσιμα, ὁ Ἄμωμος, ἡ ὑπακοὴ τοῦ ἤχου καὶ οἱ ἀναβαθμοί, προκείμενον, Πᾶσα πνοή, εὐαγγέλιον ἀναστάσιμον, οἱ κανόνες ὁ ἀναστάσιμος εἰς δ', τοῦ Τριῳδίου εἰς δ' καὶ τῶν ἁγίων εἰς ς', ἀπὸ γ' ᾠδῆς κοντάκιον τῶν ἁγίων καὶ τὸν οἶκον, εἶτα καθίσματα τῶν ἁγίων, Δόξα καὶ νῦν τοῦ Τριῳδίου, ἐξαποστειλάριον τὸ ἀναστάσιμον τῶν ἁγίων καὶ τοῦ Τριῳδίου. Εἰς τοὺς αἴνους, Πᾶσα πνοή, ἱστῶμεν στίχους η' καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα δ' καὶ τῶν ἁγίων προσόμοια γ', καὶ ἰδιόμελον τὸ εἰς τὸ Δόξα μετὰ τῶν στίχων, Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν, Ὑπερευλογημένη, δοξολογία μεγάλη καὶ ἀπόλυσις, ἡ συνήθης λιτή, Δόξα καὶ νῦν, τὸ ἑωθινὸν καὶ ἡ α' ὥρα ἐν τῷ νάρθηκι, ἐν ταῖς ὥραις τροπάριον τὸ ἀναστάσιμον, Δόξα τῶν ἁγίων, Καὶ νῦν θεοτοκίον τῶν ὡρῶν, κοντάκιον τοῦ Τριῳδίου. Εἰς τὴν λειτουργίαν τυπικὰ καὶ οἱ μακαρισμοὶ τοῦ ἤχου εἰς ς' καὶ τῶν ἁγίων ἡ τρίτη ᾠδὴ εἰς δ', τροπάριον τὸ ἀναστάσιμον καὶ τῶν ἁγίων, Δόξα κοντάκιον τῶν ἁγίων καὶ τοῦ Τριῳδίου, προκείμενον, ἀπόστολος, ἀλληλουάριον, εὐαγγέλιον, κοινωνικὸν σαββάτου τῆς ἡμέρας, εἶτα τῶν ἁγίων [л. **115** об.).

12 Марта. Τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Θεοφάνους τῆς Ἰγριανῆς καὶ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου Διαλόγου, πάπα Ῥώμης, καὶ τοῦ ὁσίου Θεοφάνους τοῦ ποιητοῦ, καὶ Μελετίου Ἀντιοχείας' καὶ Ἀντωνίου Κωνσταντινουπόλεως.

Εὐαγγελισμὸς τῆς ὑπεραγίας Θεοτόκου. Ἐὰν ἔστι νηστεία, σημαίνει ὥραν α' τῆς ἡμέρας καὶ ἐξερχόμεθα μετὰ τῆς λιτῆς ἔξω τοῦ μοναστηρίου, ψάλλομεν τὸ τροπάριον τῆς ἑορτῆς καὶ τὸ κοντάκιον, εἶτα ἰδιόμελα στιχηρὰ τῆς ἑορτῆς καὶ κυκλοῦμεν ἅπαν τὸ μοναστήριον, ἐπιστρεφούσης δὲ τῆς λιτῆς, γίνεται ἡ τριθέκτη.

24 Мая. Τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θεοφόρου Συμεὼν τοῦ θαυματουργοῦ, τοῦ ἐν τῷ θαυμαστῷ ὄρει, καὶ τῶν ἁγίων μαρτύρων Μελετίου τοῦ στρατηλάτου καὶ Ἰωάννου καὶ Στεφάνου ἀκοιμήτου, ἣ παρέλαβεν ἑορτάζειν ἐν τῇ ἁγίᾳ τοῦ Χριστοῦ μονῇ καὶ ἐν πάσαις ταῖς ἐκκλησίαις διὰ τὸ κεκτῆσθαι αὐτὸν προστάτην.

Δεῖ εἰδέναι, ὅτι παράδοσιν ἔχομεν ἐκ τῶν ἁγίων πατέρων κατὰ τὴν σωτήριον ταύτην ἑορτὴν τῆς Μεταμορφώσεως ἐσθίειν σταφυλάς, τὴν εὐλογίαν παρὰ τοῦ ἱερέως δεχομένην ἐν τῇ ἐκκλησίᾳ καὶ μετὰ τοῦ κατακλαστοῦ παρ' αὐτοῦ δεδομένην, ὁ δέ γε φωραθησόμενος τῶν ἀδελφῶν πρὸ τῆς τοιαύτης ἑορτῆς σταφυλὰς ἐσθίων, τῆς παρακοῆς ἕξει ἐντεῦθεν τὸ ἐπιτίμιον καὶ οὐκ ἀπογεύσεται σταφυλὰς παρ' ὅλον τὸν Αὔγουστον μῆνα, ὡς ἐντεῦθεν ἐντολῶν θεσμοὺς παραβάς, ὡς ἂν οὕτω

μάθημα τὸ Εὔας μηνίζειν αὐτοῖς. Αὕτη δὲ ἡ παρατήρησις κρατήσει πάντως καὶ ἐπὶ τοὺς ἐργαζομένους μοναχοὺς εἰς τὸν ἀμπελῶνα, εἰ δὲ σταφυλὰς μετὰ τὴν ἑορτὴν ἐπὶ τῆς τραπέζης τρίτον τῆς ἑβδομάδος ὀφείλει παρατίθεσθαι εἰς ἐσθίασιν τοῖς ἀδελφοῖς, τὸ αὐτὸ δὲ γενέσθαι καὶ περὶ σύκων καὶ τῶν λοιπῶν ὀπωρῶν, καὶ τοὺς καιροὺς δηλονότι τούτων. Ταῦτα δὲ λέγομεν ἐκτὸς τῶν ἀπὸ σικυηλάτων χορηγουμένων· ἐσθίειν γὰρ ταῦτα ἐν τοῖς καιροῖς αὐτῶν καὶ καθεξῆς συγχωροῦμεν τοῖς τοῖς ἀδελφοῖς, πλὴν παρὰ τὸν σταυρόν [л. **177**).

[л. **187**). Ἀχολουθία τῆς ἁγίας καὶ μεγάλης μ', ἀρχομένης ἀπὸ τῆς κυριακῆς τοῦ τελώνου καὶ τοῦ φαρισαίου, ἐν ᾗ ἀναγινώσκεται ἱερὸν εὐαγγέλιον. Послѣ евангелія на утрени τὸ Ἀνάστασιν Χριστοῦ θεασάμενοι, ὁ ν', τὸ ἀναστάσιμον στιχηρόν, ἡ εὐχή, καὶ ἀρχόμεθα τῶν κανόνων. То же и въ недѣлю блуднаго. Въ недѣлю мясопустную: Ἀνάστασιν Χριστοῦ θεασάμενοι, ὁ ν', τὸ στιχηρόν, ἤτοι τὸν πεντηκοστόν, ἦχος πλ. β'· Τὰ πλήθη τῶν πεπραγμένων μοι δεινῶν. Въ воскресенье сыропустное уже положено пѣть: Τὸ Ἀνάστασιν Χριστοῦ θεασάμενοι, ὁ ν' καὶ τὸ πεντηκοστάριον ἦχος πλ. δ'· Τῆς μετανοίας ἄνοιξόν μοι πύλας [л. **195**).

Δεῖ εἰδέναι, ὅτι ἡ ἑβδομὰς τῆς τυρινῆς λελυμένη, ὅτι καὶ ἡ δ' καὶ ἡ παρασκευὴ ὡσαύτως· καὶ πόθεν δῆτα πεφυκὸς τοῦτο εἴπει τις ἂν ἴσως; Οἱ ἰακωβῖται, ὥς φασι, τὴν ἑβδομάδα ταύτην ὁλόαγνον φυλάττουσι καὶ κάθαρσις τέως ἄρτου μόνου γευόμενοι καὶ ὕδατος καὶ διὰ τοῦτο ὁ καλὸς τῷ ὄντι Νικήφορος ὁ Κωνσταντινουπόλεως, ὁ μέγας ἱεράρχης, κανονικῶς παρέδωκε τοῦ κατακλύειν ταῦτα, ἀνατρέποντες δὲ τὰ δόγματα τῶν δύο αἱρέσεων, τοῦ Ἰακώβου τε φημὶ σὺν τοῖς τετραδίταις, ὅθεν καὶ τὰ μοναστήρια ἔχουσιν ἔθος μετὰ τὴν θ' τῆς ἑσπέρας, οἴνου καὶ ἐλαίου καὶ ἰχθύος μεταλαμβάνοντες. Ἡμεῖς ἐγράψαμεν, ὡς εὕρομεν ἐγγράφως, εἰ δὲ τις οὐ προσίεται, οὐδὲ πιστεύει ταῦτα, ὡς θέλει, ὡς βούλεται, οὕτω πορευέτω καὶ ὁ Θεὸς κρινεῖ αὐτῷ [л. **194** об.).

Οὐ παρέλαβον ποιεῖν προηγιασμένην μέχρι τῆς δ' διὰ τὸ νηστεύειν ἐκ παραδόσεως πᾶσαν τὴν ἀδελφότητα, οἱ δὲ δυνάμενοι καὶ ἕως τῆς παρασκευῆς νήστεις εἰσὶν [л. **200**).

Акаѳистъ читалъ ὁ δὲ ἱερεύς, φορέσας ἐπιτραχήλιον καὶ φελώνιον, ἵσταται ἔμπροσθεν τῆς σεβασμίας καὶ ἁγίας εἰκόνος τῆς ὑπεραγίας Θεοτόκου [л. **210**).

О чтеніи четверо-евангелія на первыхъ трехъ дняхъ страстной седмицы замѣчено: Ἀναγινώσκεται τὸ Τετραευαγγέλιον παρὰ τοῦ ἱερέως, ἐπιτραχήλιον μόνον φέροντος. Ἀναγινώσκεται δὲ παρὰ μεγαλοσχήμων, τυγχανόντων ἐκκλησιαστικῶν ἀδελφῶν [л. **214** об.).

Замѣчаніе о невкушеніи рыбы, если бы Благовѣщеніе пришлось на страстной седмицѣ [л. **215**).

[л. **217**). Εἴδησις περὶ τῆς ἁγίας τραπέζης. Ἀκολουθία πῶς γίνεται κατ' ἐνιαυτὸν κεφ. 128.

Μετὰ δὲ τὴν εὐχὴν τῆς ἀπολύσεως εἰσερχόμεθα ἐν τῷ ναῷ καὶ ἀρχόμεθα τοῦ Τρισαγίου καὶ εἰσέρχεται ὁ προεστὼς καὶ ὁ ἱερεὺς μετὰ τοῦ ἐκκλησιάρχου ἐν τῷ βήματι. Λεγομένης εὐχῆς ὑπὸ τοῦ ἱερέως, αἴρουσι τὴν ἐνδυτὴν τῆς ἁγίας τραπέζης, ὡσαύτως καὶ τὰ λοιπὰ ἔπιπλα, τὰ ἐπικείμενα αὐτῆς, καὶ αὐτὸ τὸ κατὰ σάρκα ἀπογυμνοῦσιν αὐτὴν ἐντελῶς, καὶ πρῶτον μὲν αἴρουσιν αὐτὸ διὰ μούσης καθαρᾶς, εἶθ' οὕτως ἀποπλύνουσιν αὐτὴν μετὰ χλιαροῦ ὕδατος, μεμιγμένου ῥοδοστάγματος καὶ οἰνάνθου. Καὶ μετὰ τὴν τῆς ἐκφωνήσεως ἐκπλήρωσιν, τὸ μὲν ὕδωρ συνάγουσιν ἐν ἀγγείῳ, ἀνιμώμενοι τοῦτο σπόγγου καινοῦ, καὶ μετὰ τοῦτο πάλιν ἀμφιάζουσι τὴν ἁγίαν τράπεζαν, ἀλλάσσοντες τὸ κατὰ σάρκα καὶ τὸ ὑποκάτω τούτου μέγα ἀντιμίνσιον καὶ τίθεται ἀντὶ τῶν ἑτέρων. Καὶ τούτων οὕτω τελεσθέντων, ἵσταται ὁ προεστὼς ἔμπροσθεν τοῦ ἁγίου βήματος τὸ σπόγγισμα τῆς ἁγίας τραπέζης καὶ χρίων πάντας τοὺς ἀδελφούς, καὶ γίνεται εὐχὴ καὶ ἀπόλυσις καὶ εἰσερχόμεθα ἐν τοῖς κελλίοις ἡμῶν. См. выше стр. 124.

Въ пятницу послѣ вечерни, Τὰ ἀπόδειπνα ψάλλομεν ἐν τοῖς κελλίοις, τινὲς δὲ ψάλλουσιν ἔν τινι εὐκτηρίῳ ἀπόδειπνον, τὸ εἰς τὸν θρῆνον τῆς ὑπεραγίας Θεοτόκου κάθισμα, ἦχος πλ. β'· Κύματι θαλάσσης, Θέλων σου τὸ πλάσμα, ποίημα Συμεὼν τοῦ θεολογοθέτου καὶ μεταφραστοῦ, λέγοντες Τρισάγιον, Δεῦτε προσκυνήσωμεν γ', τὸν ν' καὶ εὐθὺς τὸν κανόνα. Μετὰ δὲ τὸ τέλος τοῦ κανόνος, Τρισάγιον, τροπάριον καὶ ἀπόλυσις [л. **222**).

На утрени στιχολογοῦμεν δὲ τὸν Ἄμωμον μετὰ τῶν εὐλογηταρίων τῆς ἀναστάσεως· Τῶν ἀγγέλων ὁ δῆμος καὶ τῆς β' ἦχος πλ. α', τῆς δὲ γ' ἢ γ', ἐν ᾧ καὶ θυμιᾷ ὁ ἱερεὺς κατὰ στάσιν, ἐνδεδυμένος π ο ρ φ υ ρ ο ῦ ν φ ε λ ώ ν ι ο ν. Μετὰ δὲ τὴν Ἄμωμον τὰ ἀναστάσιμα τροπάρια· Τῶν ἀγγέλων ὁ δῆμος καὶ τὰ λοιπά [л. **222**). Δοξολογία μεγάλη. Ὁ δὲ ἱερεὺς ἀλλάσσει πᾶσαν τὴν ἱερατικὴν στολὴν καὶ εἰς τὸ Τρισάγιον τῆς δοξολογίας εἰσοδεύει μετὰ τοῦ Εὐαγ-

γελίου, προπορευομένων λαμπάδων, οὐ καθὼς ἔθος ἔχειν, ἀλλ' ἐπάνω τοῦ ὤμου βαστάζων αὐτὸ ἐνειλημμένον μετὰ τοῦ ἀέρος, καὶ ἐλθὼν ἵσταται ἔμπροσθεν τῶν μεγάλων πυλῶν τοῦ ναοῦ, περιμένων τοῦ Τρισαγίου τὴν συμπλήρωσιν, οὗ τελεσθέντος, ἐκφωνεῖ· Σοφία, ὀρθοί, εἰσοδικὸν τροπάριον ἦχος β'· Ὁ εὐσχήμων Ἰωσὴφ [л. **222** об.).

Τῷ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ ἑσπέρας. См. выше 125; сн. стр. 69.

Ἰστέον, ὅτι κατὰ τὴν παροῦσαν ἑβδομάδα, (т. е. троицкой) ἐν τῷ τοιούτῳ ναῷ τῆς ἁγίας καὶ ζωαρχικῆς Τριάδος μετὰ τὸν ἑσπερινὸν καὶ τὸν ὄρθρον λιτανεύοντες ἀπολύομεν· ὀφείλομεν δὲ ψάλλειν μετὰ τοῦ ἑσπερινοῦ, λιτανεύοντες καθ' ἑκάστην ἑσπέραν δι' ὅλης τῆς τοιαύτης ἑβδομάδος κανόνας τριαδικοὺς κατ' ἦχον Θεοφυλάκτου, μητροπολίτου Σμύρνης [л. **238** об.).

[л. **240**). Τῆς ἀκολουθίας καὶ διαίτης τῆς νηστείας τῶν ἁγίων Ἀποστόλων.

Δεῖ γινώσκειν, ὅτε ἐστὶν Ἀλληλούια, ἐν τῷ μεγάλῳ ναῷ λειτουργία οὐ γίνεται, ἀλλ' ἐν τῷ ναῷ τῆς ἁγίας Τριάδος, εἴτε ἐν τοῖς εὐκτηρίοις, καθὼς ἐν ἑτέροις περὶ τούτων διεταξάμεθα [л. **241**).

[л. **241**). Краткое замѣчаніе о соблюденіи Устава.

[л. **241** об.). Περὶ τοῦ πῶς δεῖ θυμιᾶν τὸν ἱερέα.

[л. **242** об.). Περὶ εἰδήσεως ἐαθέντων ἀποστόλων, εὐαγγελίων τῶν μετὰ ἑορταζομένων ἁγίων, πῶς λέγονται.

[л. **243** об.). Ἀναστάσιμα προκείμενα τοῦ ἀποστόλου τῶν ὀκτὼ ἤχων ἄμνημα.

— Τὰ ἀναστάσιμα ἀλληλουάρια τῶν ὀκτὼ ἤχων, τὰ λεγόμενα ἄμνημα.

Шесть листовъ вырвано епископомъ Порфиріемъ Успенскимъ, который потомъ передалъ ихъ съ прочими греческими рукописями въ Императорскую публичную Библіотеку, гдѣ эти шесть листовъ значатся подъ № 423. Отрывокъ носитъ слѣдующее заглавіе: Περὶ τῆς διατάξεως τῆς θείας προσκομιδῆς, ἤτοι τῆς θείας καὶ ἱερᾶς λειτουργίας. Какъ отрывокъ съ чиномъ проскомидіи, такъ и весь чинъ литургіи полностію изданы проф. Н. Θ. Красносельцевымъ въ его «Матеріалы для исторіи чинопослѣдованія литургіи св. Іоанна Златоуста». Казань, 1889, в. I, стр. 82—93.

[л. 247). Чинъ панагіи.

[л. 248). Τὸ πῶς δεῖ μνημονεύειν εἰς τὰ μοναστήρια ἑσπέρας καὶ πρωΐ.

Μετὰ δὲ τὴν ἀπόλυσιν τοῦ ἑσπερινοῦ ψάλλομεν ἰδιόμελον τοῦ ἁγίου τῆς μονῆς κατὰ τὸν ἐνεστῶτα ἦχον τῆς ἑβδομάδος, Δόξα καὶ νῦν θεοτοκίον εἰς τὸν αὐτὸν ἦχον, λέγομεν δὲ ταῦτα χύμα· κρέμαται δὲ ἐν τῷ νάρθηκι εἰς τὸν παραστάτην τῶν ὡραίων πυλῶν, ἔχοντες ἐγγεγραμμένους τοὺς κτήτορας καὶ προκεκοιμημένους τῆς μονῆς ἀδελφούς. Ἔχει δὲ τὸ βιβλίον τετράδιον ἄγραφον, καὶ ὅταν τις τῶν ἀδελφῶν ἐκδημήσῃ, γράφεται τὸ αὐτὸ ὄνομα, μνημονεύει δὲ οὕτως· Μετὰ τὸ ἐξελθεῖν τοὺς ἀδελφοὺς ἐν τῷ νάρθηκι, πληρωθείσης τῆς ἀκολουθίας, φορένει ὁ ἱερεὺς τὸ ἐπιτραχήλιον καὶ λαμβάνει τὸ ψυχολάτριον ἐν χερσὶ καὶ ἐκφωνεῖ· Ἐλέησον ἡμᾶς. . . Ἔτι δεόμεθα ὑπὲρ κοιμήσεως, ἀνέσεως. . . Καὶ ἀνοίξας τὸ ψυχολάτριον, λέγει μυστικῶς ὅσα ὀνόματα ἐστὶ γεγραμμένα, καὶ ἡμεῖς τὸ Κύριε ἐλέησον, συχνῶς. Μετὰ δὲ τὴν πλήρωσιν τῶν ὀνομάτων ὁ ἱερεὺς πάλιν λέγει· Καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα. . . Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν τάξῃ τὰ πνεύματα αὐτῶν. . . Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωή. . . Καὶ ποιεῖ ἀπόλυσιν· Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν. . . Τῷ σαββάτῳ λέγει ἰδιόμελον· Μετὰ πνευμάτων τετελειωμένων, Εἰς τὴν κατάπαυσίν σου, Κύριε, Καὶ νῦν, Ἡ μόνη ἁγνὴ καὶ ἄχραντος Παρθένος, καὶ εὐθὺς μνημονεύει, ὡς προγέγραπται.

[л. 248 об.). Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κυρίλλου, ἐπισκόπου Ἱεροσολύμων, ἱστορία ἐκκλησιαστικὴ καὶ μυσταγωγία περὶ ἐκκλησίας.

Ἐκκλησία ἐστὶ ναὸς Θεοῦ, τέμενος ἅγιον, οἶκος προσευχῆς, συνάθροισις λαοῦ, σῶμα Χριστοῦ, νύμφη Χριστοῦ, ἐπίγειος οὐρανός, ἐν ᾧ ὁ ἐπουράνιος Θεὸς ἐνοικεῖ καὶ ἐμπεριπατεῖ. —Κόγχη ἐστὶ κατὰ τὸ ἐν Βηθλεὲμ σπήλαιον, λελατομημένον ἐκ πέτρας καὶ ἐκεῖ ἔθηκαν τὸν Κύριον. — Ἡ ἁγία τράπεζα ἐστὶν ἔνθα ἐτέθη ἐν τῷ τάφῳ ὁ Χριστός, τῇ μυστικῇ καὶ ἀναιμάκτῳ θυσίᾳ ζωοθυτούμενος, ὡς ἄνθρωπος, καὶ τὴν σάρκα αὐτοῦ καὶ τὸ αἷμα εἰς βρῶσιν καὶ ζωῆς αἰωνίου προέθηκε τοῖς πιστοῖς. — Τὸ κιβώριον ἐστὶν ἀντὶ τοῦ κρανίου ὄρους, ἔνθα ἐσταυρώθη ὁ Χριστός· ἐγγὺς γὰρ ἐστὶν ὁ τόπος καὶ ὑποβάθρας, ὅπου ἐτάφη. — Θυσιαστήριόν ἐστι κατὰ τὸ ἅγιον μνῆμα τοῦ Χριστοῦ, ἐν ᾧ θυσίαν . . . ὡς ἀμνὸς θυόμενος εἰς μυστικὴν καὶ ἀναίμακτον θυσίαν καὶ λογικὴν λατρείαν τοῖς πιστοῖς ἱεροθυόμενος, διὰ ἧς μέτοχοι γεγόναμεν ζωῆς

*

αἰωνίου καὶ ἀθανάτου. — Βῆμα ἐστὶν ὑπόβαθρος τόπος καὶ θρόνος, ἐν ᾧπερ ὁ παμβασιλεὺς Χριστὸς προκάθηται μετὰ τῶν αὐτοῦ ἀποστόλων, ὡς πρὸς αὐτοὺς λέγει, ὅτι καθήσεσθε ἐπὶ θρόνων, κρίνοντες τὰς ιβʹ φυλὰς τοῦ Ἰσραήλ, ὑποδεικνύει δὲ τὴν δευτέραν παρουσίαν, καθ' ἣν ἐλεύσεται, καθήσων ἐπὶ θρόνου ἐνδόξου εἰς τὸ κρῖναι τὸν κόσμον. Ὁ ἀμνὸς ἐστὶν ἐμφαίνων τὸ σχῆμα τοῦ λίθου τοῦ ἁγίου μνήματος, ὃν ὁ ἄγγελος ἀποκυλίσας ἐκάθητο ἐπάνω αὐτοῦ, ἀναβοῶν τὴν ἀνάστασιν τοῦ Κυρίου ταῖς μυροφόροις. — Τὸ κατ' ἀνατολὰς εὔχεσθαι . . . καὶ προσκυνήσωμεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες αὐτοῦ καὶ ὡς ἀπεκδεχόμενοι τὴν ἀνατολὴν τῆς φωτοφανίας, τῆς δευτέρας τοῦ Κυρίου καὶ Χριστοῦ παρουσίας. Τὸ μὴ κλίνειν γόνυ τῆς κυριακῆς σημαίνει τὴν ἐκ τῆς καταπτώσεως ἡμῶν γενομένην ἡμῖν ἐπανόρθωσιν, διὰ τῆς τριημέρου τοῦ Χριστοῦ ἀναστάσεως. Τὸ δὲ μέχρι τῆς Πεντηκοστῆς μὴ κλίνειν γόνυσι τὰς ζʹ ἡμέρας τὰς μετὰ τὸ ἅγιον Πάσχα εἰς τιμὴν αὐτοῦ ἀφωρισμένας πολυπλασιαζομένας ἐπικρατεῖν τῇ Διακαινησίμῳ τοῦ ἑπτάκις ἑπτά τε τεσσαράκοντα ἐννέα καὶ ἡ κυριακὴ Πεντηκοστῆς κρατεῖν καὶ τιμᾶν, τῆς Πεντηκοστῆς οὔσης ἀντιμέλου ἡμέρας. — Ἐν τῇ κεφαλῇ τοῦ ἱερέως περικείμενος διπλοῦς στέφανος. . . Mign. P. C. Complet t. 98 p. 392, οὕτως ἦν περιπατῶν καὶ βαστάζων τὸν σταυρὸν αὐτοῦ. — Τὰ λώρια τοῦ στιχαρίου. . . Ibib. Τὸ δὲ ἐπιτραχήλιον ἐστὶ τὸ φακεώλιον, μεθ' οὗ ὁ Χριστός, δεθεὶς ἐπὶ τὸν τράχηλον καὶ συρόμενος, ἤγετο εἰς τὸ σταυρωθῆναι. — Τὸ ὠμοφώριον ἐστὶ κατὰ τὴν στολὴν τοῦ Ἀαρών, καὶ γὰρ οἱ ἐν νόμῳ ἀρχιερεῖς σουδάρια μικρὰ τῷ εὐωνύμῳ μέρει περιθέντες ἐφόρουν.— Ὁ ἄρτος τῆς προθέσεως, ἤτοι ἀποκαθιερόμενος, ἐμφαίνει τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χάριτος τοῦ Θεοῦ, ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἄνθρωπος γέγονε καὶ ἑαυτὸν προέθηκε καὶ προσήνεγκε θυσίαν καὶ προσφορὰν εἰς ἀντίλυτρον καὶ ἐξίλασμα τὸ σῶμα αὐτοῦ ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, ὡς λέγεται· «Ἐγὼ εἰμὶ ὁ ἄρτος, ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς» καὶ «ὁ τρώγων μου τὴν σάρκα ζήσεται εἰς τὸν αἰῶνα». Περὶ οὗ καὶ ὁ προφήτης Ἱερεμίας λέγει· «Δεῦτε καὶ ἐμβάλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ», δεικνὺς τὸ ξύλον τοῦ σταυροῦ ἐν τῷ σωματικῷ πάθει. — Ὁ δὲ οἶνος καὶ τὸ ὕδωρ ἐστὶ τὸ ἐκ τῆς πλευρᾶς αὐτοῦ ἐξελθὸν αἷμα καὶ ὕδωρ. — Ὁ ἄρτος καὶ τὸ ποτήριον ἐστὶ κυρίως καὶ ἀληθῶς κατὰ μίμησιν τοῦ μυστικοῦ ἐκείνου . . . Красносельцевъ проф. «Свѣдѣнія о нѣкоторыхъ литургическихъ рукописяхъ Ватиканской библіотеки». Казань, 1885 г., стр. 340 καὶ τῆς δόξης αὐτοῦ. — Καὶ τὰ ἀντίφωνα τῆς λειτουργίας.

Ibid. стр. 343. Ὁ Θεὸς ἡμῶν ἐπὶ τῆς γῆς ὤφθη.—Ἡ τοῦ Εὐαγγελίου εἴσοδος ἐμφαίνει τὴν παρουσίαν τοῦ Υἱοῦ καὶ τὴν εἴσοδον εἰς τὸν κόσμον τοῦτον καὶ πάντων ἐπακουόντων. Δεῦτε προσκυνήσωμεν αὐτῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ καὶ κηρύσσωμεν τὴν πάρησιν αὐτοῦ φανερωθεῖσαν ἐν τῇ χάριτι Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. —Ὁ δὲ Τρισάγιος ὕμνος ἐστὶν οὕτως· ἐκεῖ μὲν οἱ ἄγγελοι εἶπον· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ οἱ μάγοι, φέροντες τὰ δῶρα· πίστιν, ἐλπίδα καὶ ἀγάπην, ὡς χρυσὸν καὶ λίβανον καὶ σμύρναν, τῶν ᾀσμάτων ᾆσμα βοῶμεν· Ἅγιος ὁ Θεός, ἤτοι ὁ Πατήρ, ἅγιος ἰσχυρὸς ὁ Υἱὸς καὶ Λόγος, διότι τῶν καθ' ἡμῶν ἰσχυρὸν διάβολον δεσμεύσας, κατήργησε διὰ σταυροῦ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου καὶ ζωὴν καὶ δύναμιν ἔδωκε τοῦ πατεῖν ἐπάνω αὐτοῦ. Ἅγιος ἀθάνατος, τὸ Πνεῦμα τὸ ἅγιον τὰ ζωοποιόν, δι' οὗ πᾶσα πνοὴ καὶ κτίσις καὶ ζωοποιεῖται καὶ διαμένει καὶ βοᾷ· Ἐλέησον ἡμᾶς. — Τὸ ἐλθεῖν εἰς τὸν σύνθρονον τὸν ἀρχιερέα καὶ σφραγίσαι τὸν λαὸν τοῦτο δηλοῖ, ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ, μέλλων πληροῦν τὴν ὑπὲρ ἡμῶν κατὰ σάρκα οἰκονομίαν, ἐπάρας τὰς χεῖρας, εὐλόγησε τοὺς μαθητάς, λέγων αὐτοῖς· «Εἰρήνην ἀφίημι ὑμῖν». — Τὸ δὲ καθίσαι ἐστίν, ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἣν ἐφόρεσε σάρκα καὶ τὸ πρόβατον ἀνέλαβεν ἐπὶ τῶν ὤμων, ἤτοι τὸ ἀδαμιαῖον φόρεμα, ὃ σημαίνει ὠμόφορον, ἀνεβίβασεν ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ κυριότητος τῶν ἄνω δυνάμεων, καὶ προσήγαγεν αὐτὸ τῷ Θεῷ καὶ Πατρί.—Τὸ δὲ προκείμενον δηλοῖ τῶν προφητῶν τὴν ἐκφαντορίαν, ἣ προεμήνυσε τὴν ἔλευσιν τοῦ βασιλέως Χριστοῦ. — Ὁ ἀπόστολος καὶ αὐτόπτης καὶ ὑπουργὸς τοῦ Χριστοῦ βοᾷ, κηρύσσων τὴν βασιλείαν αὐτοῦ καὶ λέγει· «Χριστός, παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν». — Διὰ τοῦ Ἀλληλούια βοᾷ καὶ Δαβὶδ καὶ λέγει· «Ὁ Θεὸς ἡμῶν ἐκφανῶς ἥξει», ὅτι δὲ τὸ ἀλληλουάριον τῇ ἑβραΐδι διαλέκτῳ οὕτως· τὸ ἀλ ἔρχεται, τὸ ἦλ ὁ Θεός, τὸ οὔια αἰνεῖτε, ἢ ὑμνεῖτε τὸν ζῶντα Θεόν. Ὁ θυμιατὸς ὑποδεικνύει τὴν ἀνθρωπότητα τοῦ Χριστοῦ, τῷ πυρὶ τῆς θεότητος ἐνωθεῖσαν καὶ ὁ εὐώδης καπνὸς τὴν εὐωδίαν μηνύει τοῦ ἁγίου Πνεύματος προπορευομένην. Ἑρμηνεύεται θυμιατήριον εὐωδέστατον, εὐφροσύνη.— Τὸ ἅγιον Εὐαγγέλιον ἐστὶν ἡ παρουσία τοῦ Υἱοῦ τοῦ Θεοῦ, καθ' ἣν ὡράθη ἡμῖν οὐκέτι διὰ γνόφου καὶ πυρὸς καὶ σαλπίγγων, ὡς τῷ Μωσῇ ἐπὶ τοῦ ὄρους, ἀλλ' ὡς ἄνθρωπος ἀληθινός, ὁ πραῢς καὶ ἥσυχος βασιλεύς, ὁ καταβὰς ὡς ὑετός, ἀψοφητὶ ἐν πόκῳ, οὗ καὶ ἀκούοντες τὸν λόγον καὶ πιστεύοντες βοῶμεν· δόξα σοι, Κύριε.— Τέσσαρα εἰσὶν εὐαγγέλια ἐπειδὴ καὶ δ' εἰσὶ καθολικὰ πνεύματα, ἢ διὰ τὰ τετράμορ-

φα ζῶα.—Οἱ κατηχούμενοι δ' ἐξέρχονται, ὡς ἀμύητοι τοῦ θείου βαπτίσματος καὶ τῶν τοῦ Χριστοῦ μυστηρίων.—Τὸ σφραγίσαι τὸν ἀρχιερέα τὸν λαὸν ὑποδεικνύει διὰ τῆς τῶν δακτύλων διατυπώσεως, ὅτι ἐν τῷ ,ςφ' ἔτει ἡ τοῦ Χριστοῦ παρουσία γέγονεν.— Τὸ εἰλιτὸν σημαίνει τὴν σινδόνα, ἐν ᾗ εἰλήθη τὸ σῶμα ὁ Χριστός, ἐκ τοῦ σταυροῦ καταβιβασθεὶς καὶ ἐν μνήματι τεθείς. — Καὶ ἡ γινομένη προσκομιδὴ ἐν τῷ σκευοφυλακίῳ ἐμφαίνει τὸν κρανίου τόπον, ἐν ᾧ ἐσταυρώθη ὁ Χριστός. — Ὁ χερουβικὸς ὕμνος ἐμφαίνει διὰ τῆς τῶν διακόνων προοδοποιήσεως καὶ τῆς τῶν ῥιπίδων, ἤτοι τῶν σεραφικῶν ἀπεικονισμάτων ἱστορίας, τὴν εἴσοδον τῶν δικαίων ἁπάντων, εἰσερχομένων εἰς τὰ ἅγια τῶν ἁγίων ὑπὸ χειρῶν ἀΰλων βασταζομένων, μεθ' ὧν τὸ Πνεῦμα τὸ ἅγιον συνεισπορεύεται ἔμπροσθεν ἐν τῇ ἀναιμάκτῳ καὶ λογικῇ θυσίᾳ, νοητῶς θεωρούμενον πυρὶ καὶ θυμιάματι καὶ ἀτμίδι καπνοῦ εὐωδίας. Τὸ μὲν πῦρ δεικνύει τὴν θεότητα, τῇ δὲ ἀτμίδι τοῦ εὐώδους καπνοῦ τὴν παρουσίαν, ἐπελθόντος ἀοράτως καὶ εὐωδιάσαντος ἡμᾶς διὰ τῆς μυστικῆς καὶ ἀναιμάκτου λατρείας, τῆς διὰ τοῦ σταυροῦ καὶ θανάτου Χριστοῦ τελεσιουργουμένης, ἣν ὁρῶσαι αἱ νοεραὶ στρατιαὶ καὶ ὁ χορὸς τῶν ἀΰλων τάξεων καὶ αἱ τῶν ἀγγέλων δυνάμεις σὺν ἡμῖν ἀοράτως βοῶσι τὸν ὕμνον τό... Ἔστι δὲ κατὰ μίμησιν τοῦ ἐνταφιασμοῦ τοῦ Χριστοῦ, καθ' ἣν Ἰωσήφ, καθελὼν τὸ σῶμα ἀπὸ τοῦ σταυροῦ, ἐνείλισε σινδόνι καθαρᾷ καὶ ἀρώμασι καὶ σμύρναις αὐτὸ ἀλείψας, ἐβάστασε σὺν τῷ Νικοδήμῳ καὶ ἐκήδευσεν αὐτὸ ἐν μνήματι καινῷ, λελατομημένῳ ἐκ πέτρας, ὅπερ ἐστὶ ἀντίτυπον τοῦ ἁγίου μνήματος ἐκείνου. Τὸ θυσιαστήριον τὸ καταθέσιον, ἐν ᾧ ἐτέθετο τὸ ἄχραντον καὶ πανάγιον σῶμα. — Ἡ ἁγία τράπεζα τὸ μνῆμα τοῦ Χριστοῦ, ὡς εἴρηται, καὶ ἡ τράπεζα τοῦ Χριστοῦ μετὰ τῶν μαθητῶν.—Τὸ ποτήριον ἐστὶν ἀντὶ τῆς σκευῆς, ᾗ ἐδέξατο τὸ ἐκχυθὲν ἐκ τῆς αἱμαχθείσης αὐτοῦ ἀχράντου πλευρᾶς αἷμα καὶ ὕδωρ καὶ ἄλλως δὲ πάλιν κατὰ τὸν κρατῆρα, ὃν γράφει Κύριος· Ἤτοι ἡ σοφία ὁ Υἱὸς τοῦ Θεοῦ ἐκέρασε τὸ ἑαυτοῦ αἷμα ἀντὶ τοῦ οἴνου ἐκείνου, καὶ προέθηκε τῇ ἁγίᾳ τραπέζῃ, λέγων τοῖς πιστοῖς· «Πίετε τὸ αἷμα ἀντὶ τοῦ οἴνου καὶ κερασμοῦ ἡμῖν εἰς ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν αἰώνιον». — Τὸ δισκοκάλυμμα ἐστὶν ἀντὶ τοῦ σουδαρίου, ὃ ἦν ἐντετυλιγμένον ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, τὸ πρόσωπον αὐτοῦ περικαλῦπτον ἐν τῷ τάφῳ. — Ὁ δίσκος ἐστὶν ἀντὶ τῶν χειρῶν Ἰωσὴφ καὶ Νικοδήμου, τῶν κηδευσάντων τὸν Χριστόν, ἐμφαίνει δὲ κατ' ἄλλον τρόπον ὁ δίσκος, ὅτι ἐν μικρῷ περιγραφέντι σώματι ὁ νοητὸς ἥλιος Χριστὸς ὁ Θεὸς ἡμῶν ἐχωρήθη. — Τὸ καταπέτασμα, ἤτοι ὁ ἀήρ, ἐστὶν ἀντὶ τοῦ λίθου, μεθ' οὗ

ἠσφαλίσατο ὁ Ἰωσὴφ τὸ μνημεῖον. — Τὰ δὲ ῥιπίδια καὶ οἱ διάκονοι ἐμφαίνουσι τὴν τῶν ἑξαπτερύγων σεραφεὶμ ἀφιέρωσιν, ὅτι κατὰ τὴν τῶν ἐπουρανίων διάταξιν οὕτω μιμεῖται καὶ τὰ ἐπίγεια.

[л. 251). Περὶ τοῦ σχήματος τῶν μοναχῶν.

Τὸ μοναχικὸν σχῆμα ἐστὶ κατὰ μίμησιν. . . Περισφίγγει ψυχὰς καὶ ὀμφαλὸν σημαίνει τὴν νέκρωσιν τὴν διὰ τῆς ἐγκρατείας, ἅπαντα δὲ ἐκ τριχῶν ὀφείλει ἔχειν ὁ μοναχὸς κατὰ τοὺς ἱεροὺς κανόνας, καὶ ὡς χρὴ ταύτην ἐπικεῖσθαι . . . τοῦ εἰκότος οὐχ ἁμαρτήσεται (Красносельцевъ стр. 336—338) ἰδοὺ ἐσταύρωται ὁ Χριστός, τέθαπται ἡ ζωή, ἠσφάλισται ὁ τάφος, ἐσφράγισται ὁ λίθος, προστέσει σοι (;) λευχειμόνων ὁ ἄγγελος, τὸν λίθον τοῦ τάφου ἀποκυλίων τῇ χειρί.

Конецъ этой рукописи съ добавочными статьями историческаго содержанія см. у Пападопуло-Керамевса Ἱεροσολ. βιβλ. τ. β', σελ. 627—628.

D. № 306 (310). Τυπικόν, рукопись той же библ. въ 16 долю листа, 294 листа, писана мелкою витіеватою скорописью XVI в. Начала нѣтъ. Типиконъ начинается кажденіемъ священника на вечернѣ. Вводная часть буквально сходна съ соборнымъ Типикономъ Пантократорскаго монастыря. Не дописана лишь небольшая статья: Εἴδησις περὶ τοῦ πῶς δεῖ θυμιᾶν τὸν ἱερέα.

[л. 24). Листа не достаетъ въ Синаксарѣ.

Εἰ δὲ ἔστι ναὸς εἰς ὄνομα τοῦ τιμίου Προδρόμου τιμώμενος καὶ βούλεται ὁ προεστὼς ἑορτάσαι, ὥσπερ δὴ καὶ πρέπον ἐστὶν [л. 40). Подробно изложена служба.

1 Декабря. Τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα (л. 68 об.) ἀρχόμεθα ἀναγινώσκειν τὸν βίον.

24 Декабря. Ἐὰν ἐστὶ νηστεία, σημαίνει τὸ μικρὸν ὥρας γ' καὶ συναχθέντες ἐν τῇ ἐκκλησίᾳ ψάλλομεν τὰς γ' ὥρας, ὡς ἔθος, ἄνευ μεσωρίων, λέγοντες ἐν ἑκάστῃ ὥρᾳ τροπάρια γ', ὡς εὕρηται ἐν τῇ α' ὥρᾳ. Ἐν δὲ τῇ θ' μετὰ τὴν πλήρωσιν τοῦ β' τροπαρίου σταθεὶς ἐν τῷ μέσῳ ὁ κανονάρχης ἀναγινώσκει τὸ Σήμερον γεννᾶται ἐκ Παρθένου, μεγαλοφώνως, εἶτα πολυχρονεῖ τοὺς βασιλεῖς ἐκ γ', λέγων οὕτως· Πολυχρόνιον ποιήσαι ὁ Θεὸς τὴν ἁγίαν βασιλείαν αὐτῶν εἰς πολλὰ ἔτη. Εἶτα πάλιν· Πολυχρόνιον ποιήσαι ὁ Θεὸς τὴν κραταιὰν καὶ ἁγίαν βασιλείαν αὐτῶν, εἰς πολλὰ ἔτη. Καὶ αὖθις ἐκ τρίτου· Πολυχρόνιον ποιήσαι ὁ Θεὸς τὴν θεόστεπτον, θεοπρόβλητον, κραταιὰν καὶ ἁγίαν βασι-

λείαν αὐτῶν, εἰς πολλὰ ἔτη. Καὶ τὸν ἡγούμενον ἅπαξ. Σῶσον, Χριστὲ ὁ Θεός, καὶ τὸν πανοσιώτατον πατέρα ἡμῶν καὶ καθηγούμενον σὺν τῇ ἁγίᾳ μονῇ ταύτῃ εἰς αἰῶνας. Πρότερον μὲν δοξάζει ὁ δομέστικος, εἶθ' οὕτω λέγονται τὰ τοιαῦτα. Μετὰ γὰρ τὴν ἀνάγνωσιν τοῦ ἰδίου ἠχίζει ὁ α' χορὸς καὶ ψάλλομεν στάσιν μίαν, ἠχίζει καὶ ὁ β' πάλιν τὸ αὐτό, δηλονότι δευτεροῦμεν ὅλον τὸ στιχηρὸν κατὰ στάσιν. Τὸ δὲ τέλος τοῦ στιχηροῦ ἐκ γ' καὶ ὁ κανονάρχης, ὅτε ἀναγινώσκει τοῦτο, καὶ ἡμεῖς. Εἶτα μετὰ τὴν θ' ψάλλονται τυπικὰ χύμα ἀπὸ τοὺς μακαρισμοὺς [л. **80** об.—**81**). То же самое и послѣ литургіи [л. **83**) 24 Декабря и въ навечеріе Богоявленія [л. **94** об.), но многолѣтіе говорится, послѣ водоосвященія, предъ чтеніемъ «Благословлю Господа» [л. **97** об.).

Ἰστέον, ὅτι εὑρίσκεται ἐν τῷ Τυπικῷ τῆς Πέτρας περὶ τοῦ Εὐαγγελισμοῦ [л. **126**) См. ниже стр. 388.

[л. **173** об.). Ἀκολουθία τῆς ἁγίας τεσσαρακοστῆς.

На преждеосвященной литургіи: Καὶ ἐν τῷ τελευταίῳ στίχῳ λαβὼν ὁ ἱερεὺς τὸν θυμιατὸν καὶ τὸ μανουάλιον μετὰ κηροῦ εἰς τὴν δεξιὰν αὐτοῦ χεῖρα, ἵσταται κατενώπιον τῆς ἁγίας τραπέζης ἔσωθεν τοῦ βήματος, ἐκφωνῶν· Φῶς Χριστοῦ φαίνει πᾶσιν. Εἰ δ' ἴσως ἐστὶ καὶ διάκονος, συλλειτουργῶν μετὰ τοῦ ἱερέως, αὐτὸς χαράττει σταυρὸν ἔξωθεν τῶν ἁγίων θυρῶν μετὰ τοῦ μανουαλίου καὶ τοῦ θυμιάματος (л. **187** об.).

[л. **218**). Службы по Тріоди цвѣтной.

[л. **247**). Μάρκου ἱερομονάχου σύνταγμα, πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ Τυπικοῦ. 86 главъ.

[л. **293**). Τροπάρια, ψαλλόμενα εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ Γέννησιν ἐν τῷ ὄρθρῳ μετὰ τὸν ν' ἀντὶ Ταῖς τῶν ἀποστόλων πρεσβείαις.

— Τὰ ἀναστάσιμα προκείμενα τῶν ὀκτὼ ἤχων τοῦ ἀποστόλου, ἤτοι τὰ ἄμνημα.

— Τὰ ἀλληλουάρια τὰ ἄμνημα τῶν ὀκτὼ ἤχων τοῦ ἀποστόλου.

[л. **293** об.). Προκείμενα ἀναστάσιμα ἑωθινά, λεγόμενα ἐν τῷ ὄρθρῳ τοῦ εὐαγγελίου τῶν κυριακῶν.

— Ἀκολουθία τῆς ὅλης ἑβδομάδος τῶν προκειμένων τοῦ ἀποστόλου τῶν ἀλληλουαρίων, τῶν εὐαγγελίων, τῶν κοινωνικῶν, τῶν ἐν τῇ θείᾳ λειτουργίᾳ τελουμένων, ὅτε οὐκ ἔστιν ἑορταζόμενος ἅγιος.

[л. **294** об.). Τὰ προκείμενα τῆς ὅλης ἑβδομάδος, ἅπερ λέγονται ἐν τῷ ἑσπερινῷ.

— Ἕτεροι στίχοι εἰς τὸ Θεὸς Κύριος.

Ἐπληρώθη ἡ παροῦσα δέλτος ἐν μηνὶ Ἰουλίῳ, ἰνδικτιῶνος ιγ'.

Уставъ сходенъ съ Пантократорскимъ. Противорѣчій нѣтъ. Марковыя главы въ количествѣ 86.

DI. № 264 (Σξδ'). Μάρκῳ, ἁμαρτωλῷ ἱερομονάχῳ, σύνταγμα, πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ Τυπικοῦ. Ркп. Александр. патріаршей библіотеки въ 16 долю листа, 343 листа, писана скорописью XVI вѣка. Всего главъ 100, къ коимъ прибавлены еще главы съ слѣдующимъ замѣчаніемъ: Ἰστέον, ὅτι τὸ παρὸν κεφάλαιον καὶ μετ' αὐτὸ ἕτερον οὐκ εἰσὶ τοῦ ἀριθμοῦ τῶν ρ' κεφαλαίων, ὡς ἐν τῷ πίνακι δεδήλωται, ἀλλ' ἰδίως εἰσὶν ἔχοντα σημεῖον τόδε.

[л. **29** об.). Τυπικὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας, τῆς ἐν Ἱεροσολύμοις ἁγίας λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα. Αὕτη ἡ ἀκολουθία γίνεται καὶ ἐν ταῖς τῶν Ἱεροσολύμων ἁγίων μονῶν, καὶ πάσαις ταῖς ἐν ταῖς λοιπαῖς ἁγίαις ἐκκλησίαις.

Въ этихъ частяхъ настоящая рукопись буквально сходна съ ркп. Синайск. библ. № 1109.

[л. **138**) чистый.

[л. **139**). Κανὼν διὰ στίχων εἰς τὴν Χριστοῦ γέννησιν, ποίημα τοῦ ἁγίου Ἰωάννου καὶ τοῦ πρεσβυτέρου τοῦ Δαμασκηνοῦ.

[л. **149**). Λεξικὸν σὺν Θεῷ ἁγίῳ, περιέχον τὰ κδ' στοιχεῖα τῶν λέξεων ἑνὸς ἑκάστου τῶν κδ' γραμμάτων.

DII. № 241. Τυπικόν, ркп. Аѳинск. нац. библ. въ 16 долю листа, 218 листовъ, писана мелкою скорописью XVI в. Типиконъ состоитъ изъ трехъ обычныхъ частей съ прибавленіемъ Марковыхъ главъ. Во всѣхъ частяхъ Типикона находятся указанія на практику иныхъ монастырей и иныхъ Уставовъ. Вводная часть безъ раздѣленія на главы. Синаксарь осложненъ нѣкоторыми замѣчаніями, въ родѣ напр., замѣчанія о славленіи у игумена предъ Рождествомъ. Въ Марковыхъ главахъ и въ Синаксарѣ полнаго согласія нѣтъ.

DIII. № 240. Τυπικόν, ркп. той же библ. въ 16 долю листа, 178 листовъ, писана мелкою четкою скорописью XVI в. Рукопись состоитъ лишь изъ трехъ главныхъ частей безъ

прибавленія Марковыхъ главъ. Списокъ съ древнѣйшихъ Типиконовъ. Въ концѣ рукописи прибавлены часы великой пятницы съ особыми псалмами.

DIV. № 242. Рукопись той же библ. въ 16 долю листа, 262 листа, смѣшаннаго садержанія, писана почеркомъ XVI в. Между разными статьями есть и 89 главъ подъ заглавіемъ: Μάρκῳ, ἁμαρτωλῷ ἱερομονάχῳ, σύνταγμα, πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ Τυπικοῦ.

DV. № 239. Ἐκθετικὸν πόνημα τῆς μελενδύτης λαύρας μεγάλου τοῦ κατάρξαντος Σάββα εἰς Ἱεροσόλυμα φροντιστηρίου, ὅπως τε καὶ πῶς τοῖς μοναχοῖς ἡ τάξις ἐκκλησιῶν γένοιτο ὅλου τοῦ χρόνου καλῶς ἀρίστως ἐπ' ἀγαθοῖς τοῖς ἔργοις. Τυπικὸν Ἱεροσολυμιτικὸν τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα. Рукопись той же библ. въ 4 долю листа, 164 листа, писана рукою XVI в. Приписка писца: Τλήμονος, ῥακώδους, ἐν ἱερομονάχοις ἐλαχίστου Θεοφίλου πόνος, ἔτους ,ξμβ', μηνὸς Ἰουνίου ις', ἐν τῇ σεπτῇ μονῇ Παντοκράτορος εἰς τὴν σκήτην Μετεώρων λίθων, ἤγουν τῶν Σταγῶν.

Вводная часть безъ раздѣленія на главы, Марковыхъ главъ 95.

DVI. № 359. Τυπικόν (безъ начала), рукопись Аѳоно-Кутлумушской библ. въ 16 долю листа, 199 листовъ, писана мелкою скорописью XVI вѣка.

Вводная часть вырвана.

[л. 3). Ἀρχὴ τοῦ Τυπικοῦ τῆς ἐκκλησιαστικῆς ἀκολουθίας τοῦ ὅλου ἐνιαυτοῦ τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα. Διάταξις ὠφέλιμος καὶ παίδευσις, πῶς ὀφείλει ψάλλειν τὴν ἀκολουθίαν τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν καὶ ἐν ταῖς μεγάλαις μοναῖς οἱ ἐκεῖσε μονάζοντες, καθὼς ἔθος ἦν καὶ ἐν Ἱεροσολύμοις λαύραις καὶ τῶν ἐκεῖσε ἁγίων μονῶν. Особеннаго въ Мѣсяцесловѣ ничего нѣтъ.

[л. 95). Службы по Тріоди постной и цвѣтной. Въ нихъ особенности тѣ же, какія свойственны всѣмъ этого рода и этого времени памятникамъ.

[л. 150). Служба въ постъ Апостоловъ.

[л. 151). об.). О кажденіи.

[л. 153). Прокимны и аллилуаріи.

[л. 155). Слово Златоуста на Пасху.

[л. 156). Оглавленія Типикона.

[л. 158 об.). Μάρκῳ, ἁμαρτωλῷ ἱερομονάχῳ, σύνταγμα, πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ Τυπικοῦ. Главъ 95.

DVII. № 153. Τυπικόν (начальный листъ взятъ изъ другой рукописи XVI в., и въ дѣйствительности отсутствуетъ почти вся вводная часть). Рукопись Аѳоно-Филоѳеевскаго монастыря въ 8 долю листа, 262 листа, писана скорописью XVI вѣка.

Въ первой части этого Типикона имѣются, между прочимъ, a) окончаніе всенощнаго бдѣнія, b) о количествѣ бдѣній, c) ἔκφρασις ἐν ἐπιτομῇ τῆς ἐκκλησιαστικῆς διατάξεως τῶν ἐν Ἱεροσολύμοις ἁγίων μοναστηρίων (т. е. подробное изложеніе суточной службы безъ раздѣленія на главы) и d) и утреннія воскресныя евангелія. Изложены службы съ указаніемъ на практику иныхъ Уставовъ.

[л. 19 об.). Ἀκολουθία τῆς ἐκκλησιαστικῆς ψαλμῳδίας τε καὶ συνάξεως τοῦ ὅλου ἐνιαυτοῦ, ἀρχομένη ἀπὸ μηνὸς Σεπτεμβρίου μέχρι μηνὸς Αὐγούστου.

[л. 129 об.). Περὶ τῶν ἑορτῶν, ἐν αἷς ψάλλεται τὸ Θεὸς Κύριος καὶ περὶ μεγάλης ἑορτῆς καὶ μικρᾶς. Въ этой небольшой неполной статьѣ находятся замѣчанія о постѣ и о совершеніи водоосвященія два раза въ праздникъ Богоявленія.

[л. 131). Ἀκολουθία τῆς ἁγίας τεσσαρακοστῆς. Обѣ эти части изложены по разнымъ Типиконамъ и, за весьма немногими исключеніями, сходно съ Типикономъ Синайск. библ. № 1109 и Симоно-Петрскимъ № 177. О славленіи у игумена говорится, какъ № 1108 Син. библ. Послѣ статьи о сохраненія Типикона слѣдуютъ:

[л. 202 об.). Прокимны и аллилуаріи воскресные.

[л. 203) Ἀκολουθία τῆς ὅλης ἑβδομάδος τῶν ἀλληλουαρίων καὶ προκειμένων καὶ κοινωνικῶν ἐν τῇ θείᾳ λειτουργίᾳ, ὅτε οὐκ ἔστιν ἑορταζόμενος ἅγιος.

[л. 204). То же самое на различные случаи.

[л. 207). Ἀκολουθία τῶν ὡρῶν. Рождества и Богоявленія съ псалмами и ектенья. См. выше стр. 134—135.

[л. 209). Μάρκου ἁμαρτωλοῦ σύνταγμα, πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ Τυπικοῦ. 95 главъ.

[л. 258). Ὅρα περὶ τῆς εὐλογήσεως τῆς ζύμης.

[л. 259). Рука XVI в. Ἐπὶ προεορτῶν καὶ μεθεόρτων τῶν Δεσποτικῶν ἑορτῶν, εἰ τύχωσιν ἐν κυριακῇ.

[л. 261). Ὡς καθὼς πολιτεύεται τὴν σήμερον τῷ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ.

Начинается утреня обычно. Послѣ тропарей и сѣдальна дня, толкованіе на Матѳея, 50 псаломъ и канонъ, стихиры на хвалитѣхъ Καὶ νῦν, Ὑπερευλογημένη ὑπάρχεις καὶ δοξολογία μεγάλη ἕως τὸ Φῶς παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσίν σε. Ὁ δὲ ἱερεὺς ἀπελθών, βάλλει τὸ ἐπιτραχήλιον μετὰ τοῦ φελωνίου ἐγγὺς τοῦ νάρθηκος κἀκεῖ ἵστησι τετράποδον μετά βλατείου καὶ εἰκονίσματος, ἔχον(τος) τὸν τύπον τοῦ ἐπιταφίου, ἵστησι δὲ καὶ λαμπάδας δύο δεξιὰ καὶ ἀριστερὰ τοῦ τετραπόδου, κἀκεῖ ἄρχεται ὁ ἱερεὺς μετὰ μέλους τὸ Εὐλογητὸς εἶ, Κύριε. Εἶτα λέγει τὰ μεγαλυνάρια, κἀκεῖ στιχολογεῖται καὶ ὁ Ἄμωμος. Ποιοῦμεν δὲ τὰ μεγαλυνάρια εἰς στάσεις γ', καθ' ἣν στάσιν ψάλλομεν τὸ Δόξα καὶ τὸ Καὶ νῦν, ὡς καθὼς διατετύπωται εἰς τὴν Ψαλτικήν. Εἶτα ποιεῖ συναπτὴν καὶ θυμιᾷ, λέγων· Ἔτι καὶ ἔτι. Ἐκφώνησις· Ὅτι ηὐλόγηταί σου. Καὶ πάλιν ἄρχεται τὴν ἑτέραν στάσιν τῶν μεγαλυναρίων καὶ μετὰ τὸ τέλος αὐτῆς πάλιν τὸ Δόξα καὶ νῦν καὶ συναπτήν· Ἔτι καὶ ἔτι. Ἐκφώνησις· Εὐδοκίᾳ καὶ ἀγαθότητι τοῦ μονογενοῦς σου, μεθ' οὗ εὐλογητὸς εἶ. Καὶ πάλιν ἄρχεται τὴν ἑτέραν στάσιν, τὸ Αἱ γενεαὶ πᾶσαι, καὶ μετὰ τὸ τέλος τῆς αὐτῆς στάσεως τὸ Δόξα καὶ τὸ Καὶ νῦν, ὡς καθὼς διατέτακται, καὶ θυμιᾷ, καθ' ἣν συναπτήν· Ἔτι καὶ ἔτι. Ἐκφώνησις· Χάριτι καὶ οἰκτιρμοῖς... Εἶτα ψάλλει τὸ Εὐλογητὸς εἶ, Κύριε, εἰς ἦχον πλ. α' καὶ τὰ τροπάρια ἀναστάσιμα· Τῶν ἀγγέλων ὁ δῆμος καὶ τὰ ἕτερα ε'. Εἶτα εἰσέρχεται ἐντὸς τοῦ βήματος καὶ αἴρει τὸ ἅγιον Εὐαγγέλιον ἐν τῷ δεξιῷ ὤμῳ αὐτοῦ ὁ ἱερεὺς καὶ σκεπάζει αὐτὸ μετὰ καλύμματος, καὶ μετὰ τὸ τέλος τῶν τροπαρίων εἰσέρχεται εἰς τὸ βημόθυρον καὶ ἵσταται καὶ ἄρξεται τὸν Τρισάγιον ὕμνον καὶ ἔμπροσθεν μανουάλια β' μετὰ λαμπάδων καὶ θυμιατοῦ καὶ ποιεῖ εἴσοδον. Ψάλλει δὲ εἰς τὸ βημόθυρον, καὶ ὅταν ἔλθῃ νὰ εἴπῃ τὸ Ἅγιος ἀθάνατος, ἐξέρχεται, ψάλλων ἕως τὴν μέσην τοῦ ναοῦ, κἀκεῖ ἵσταται καὶ ψάλλει τὸ Ἅγιος ὁ Θεός, καὶ πάλιν ὅταν λέγῃ τὸ Ἅγιος ἀθάνατος, ἔρχεται ἔμπροσθεν τοῦ τετραποδίου καὶ ψάλλει ὁμοίως. Καὶ ἀπὸ τὸ ἕτερον μέρος ἑτέρα στάσις ὁμοίως. Ὅταν δὲ ἔλθῃ

ἔμπροσθεν τοῦ βήματος, ἐκφωνεῖ ὁ ἱερεύς· Σοφία, ὀρθοί, εἰσέρχεται ἐντὸς τοῦ βήματος, θέτει γοῦν τὸ Εὐαγγέλιον ἐν τῇ ἁγίᾳ τραπέζῃ. Εἶτα λέγει· Ὁ εὐσχήμων Ἰωσὴφ ἕως τοῦ Κηδεύσας ἀπέθετο καὶ τὸ Ταῖς μυροφόροις γυναιξὶν ἕως τοῦ Ἐδείχθη ἀλλότριος, εἶτα τὸ τροπάριον τῆς προφητείας и т. д. до конца [л. **261—262**).

DVIII. № 55. Τυπικόν (заглавіе обычное), рукопись Аѳоно-Ксенофской библ., въ 8 долю листа, писана почеркомъ XVI в. Всего 156 листовъ. Оканчивается рукопись службою на Пасху. Въ концѣ недостаетъ многихъ листовъ, а существующіе листы не записаны и исчерчены. Вообще рукопись весьма небрежно написана. По составу своему рукопись не представляетъ ничего интереснаго. Вводная часть безъ раздѣленій, Синаксарь, хотя и обиленъ именами святыхъ, но въ изложеніи службъ особенностей не содержитъ, Тріодныя службы совершенно лишены интереса.

DIX. № 56. Τυπικόν (безъ начала), рукопись той же библ. въ 8 долю листа, 215 листовъ, писана скорописью XVI в. Состоитъ изъ трехъ частей: вводной безъ раздѣленій на главы, Синаксаря съ указаніями на практику другихъ Типиконовъ (Сн. Типиконъ 1528 г.) и Тріодей постной и цвѣтной. Оканчивается статьею о соблюденіи Типикона.

DX. № 65. Τυπικὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας τῆς ἐν Ἱεροσολύμοις ἁγίας λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα. Αὔτη δὲ ἡ ἀκολουθία γίνεται καὶ ἐν ταῖς λοιπαῖς τῶν ἐν Ἱεροσολύμοις ἁγίων μονῶν. Рукопись Святогроб. библ. въ Константинополѣ въ 8 долю листа, 247 листовъ, писана скорописью XVI в.

[л. **1**). Εἴδησις τοῦ μικροῦ ἑσπερινοῦ.

[л. **2**). Περὶ τοῦ μεγάλου ἑσπερινοῦ.

[л. **14**). Διάταξις περὶ τῶν ἀγρυπνιῶν.

[л. **15**). Ἔκφρασις ἐν ἐπιτομῇ τῆς ἐκκλησιαστικῆς διατάξεως. Въ этой главѣ содержатся изложеніе суточныхъ службъ для обыкновенныхъ дней и для дней великой четыредесятницы, а также замѣчанія о чтеніи Псалтири въ теченіе всего года, о будильникѣ, объ откровеніи главы на литургіи, о литургіяхъ

Василія Великаго, когда онѣ совершаются, объ утреннихъ воскресныхъ евангеліяхъ и разныя другія мелкія замѣчанія.

[л. 35). Ἀκολουθία τῆς ἐκκλησιαστικῆς ψαλμῳδίας τε καὶ συνάξεως τοῦ ὅλου ἐνιαυτοῦ, ἀρχομένη ἀπὸ μηνὸς Σεπτεμβρίου μέχρι μηνὸς Αὐγούστου.

[л. 187). Ἀκολουθία τῆς μεγάλης τεσσαρακοστῆς и пятидесятницы.

DXI. № 86 Λ. Τυπικὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας τῆς ἐν Ἱεροσολύμοις ἁγίας λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα. Αὕτη ἡ διάταξις καὶ ἀκολουθία γίνεται καὶ ἐν ταῖς λοιπαῖς τῶν ἐν Ἱεσολύμοις οὐσῶν ἁγίων μονῶν. Рукопись библ. лавры Аѳанасія Аѳонскаго въ 4 долю листа, 308 листовъ, писана скорописью XVI вѣка. Составъ Типикона, распорядокъ статей, текстъ ихъ, Марковыя главы и ихъ количество—все это ничѣмъ не разнится отъ Типикона Пантократорскаго соборнаго.

DXII. № 87. Λ. Τυπικόν, ркп. той же библ. въ 4 долю листа, 286 листовъ, писана на бумагѣ почеркомъ XVI в. Первая часть съ дѣленіями: Δήλωσις и Εἴδησις. Ни Тріодныхъ службъ, ни Марковыхъ главъ нѣтъ. Въ прибавочной части, кромѣ обычныхъ статей, находимъ грамоту Алексѣя Комнина объ освобожденіи св. Горы отъ налоговъ и нѣсколько другихъ историческихъ документовъ, относящихся къ св. Горѣ, выдержки изъ завѣщанія Аѳанасія Аѳонскаго, житія Саввы, Іоанна Лѣствичника. На корешкѣ Типикона слѣдующая дата: ͵ζμη', μηνὶ Ὀκτωβρίῳ, ἰνδ' ιγ' = 1540 г.

DXIII. № 138. Τυπικόν (безъ начала), рукопись [1]) Аѳоно-Симоно-Петр. библ. въ 16 долю листа, 336 листовъ, писана скорописью XVI вѣка. Можно приблизительно возстановить и годъ написанія этой рукописи. На оборотѣ 72 листа сдѣлана замѣтка съ указаніемъ на годъ одного происшествія, при чемъ годъ затертъ и только съ лупою можетъ быть возстановленъ. Замѣтка эта слѣдующая: Ἔτους ͵ζπδ' (1516) ἐποιήσαμεν ἀγρυπνίαν τοῦ ἁγίου Νικολάου. Замѣтка сдѣлана рукою писца рукописи. Кромѣ приведенной замѣтки, въ рукописи есть и другая весьма

[1]) Рукопись погибла въ пожарѣ 1890 г.

любопытная приписка; Αὕτη ἡ βίβλος πέφυκε κἀμοῦ Γερασίμου ἐπισκόπου, ἀφιέρωσα δὲ ταύτην μετὰ καὶ ἑτέρων πεντήκοντα τριῶν βιβλίων εἰς τὴν τοῦ Σίμωνος Πέτρου μονὴν διὰ ψυχικήν μου σωτηρίαν καὶ τῶν γονέων μου, καὶ εἴτις βουληθῇ νὰ ὑστερίσῃ ἓν ἐξ αὐτῶν τῶν βιβλίων ἐκ τῆς μονῆς ταύτης νὰ ἔχῃ τὰς ἀρὰς τῶν τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων καὶ τοῦ Γιεζῆ τὴν λέπραν, καὶ τοῦ Ἰούδα τὴν ἀγχόνην, καὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ τὴν κατάραν, καὶ νὰ ἔχῃ καὶ τὸν Κύριόν μου Ἰησοῦν Χριστόν, ἐν σπηλαίῳ γεννηθέντα καὶ ἐν φάτνῃ ἀνακλιθέντα, τὸν μαχόμενον ἐν ἡμέρᾳ τῆς κρίσεως, καὶ ἡ μερὶς αὐτοῦ μετὰ τῶν κραυγασάντων· Ἆρον, ἆρον καὶ σταύρωσον τὸν Υἱὸν τῆς Μαρίας. Τὸ αὐτὸ νὰ ἔχῃ καὶ ἐκεῖνος, ὁποῦ νὰ βουληθῇ νὰ πουλήσῃ κανένα χαρτὶ ἀπ' αὐτά, ὁποῦ ἐπροσήλωσα εἰς τὸ μοναστήρι(ον), κἂν τε ἡγούμενος, κἂν τε γέροντας ἂν εἶναι τοῦ μοναστηρίου, ἀσυγχώρετος καὶ ἀφορεσμένος νὰ εἶναι καὶ νὰ μὴν τολμήσῃ νὰ τὸ ἀλλάξῃ μηδὲ μὲ ἄλλο χαρτὶ καὶ πέσῃ εἰς τὴν ἐντολήν. Почеркъ XVII столѣтія весьма чоткій.

Вводная часть, начинающаяся съ Διάταξις τῆς ἀγρυπνίας, по составу и тексту, сходна съ Типикономъ обители Пантократора, съ тою разницею, что здѣсь статьи большею частію не носятъ надъ собою заглавій, а отмѣчаются на поляхъ словомъ: Σημείωσαι.

Мѣсяцесловъ и дальнѣйшія статьи до молитвы: Εὐχή, λεγομένη ἐπὶ πᾶσαν ὀπώραν тоже сходны съ Пантократорскимъ Типикономъ, но за этою молитвою слѣдуетъ:

[л. 244). Τάξις, γινομένη ἐπὶ εὐλόγησιν τῶν νέων σταφυλῶν κατὰ τὴν ιε' τοῦ Αὐγούστου μηνός.

Χρὴ εἰδέναι, ὅτι μετὰ τὸ τελεσθῆναι τὴν θείαν μυσταγωγίαν εἰσάγεται τὸ ἀγγεῖον, ἐν ᾧ εἰσὶν αἱ σταφυλαὶ καὶ θυμιᾷ τοῦτο γύρωθεν ὁ ἀρχιερεύς, εἶτα σταυροῖ μετὰ κηρῶν, καὶ εὐθέως λέγει ὁ διάκονος· Εὐλόγησον, δέσποτα, καὶ πληροῖ τὴν συναπτὴν λεπτῇ φωνῇ, ὁ δὲ ἀρχιερεὺς ἀναγινώσκει τὴν εὐχὴν ταύτην· Ὁ Θεὸς Σωτὴρ ἡμῶν, ὁ εὐδοκήσας ἄμπελον κληθῆναι, τὸν μονογενῆ σου Υἱὸν καὶ Θεὸν ἡμῶν Goar. pag. 552. Ὁ διάκονος· Τὰς κεφαλάς. . . Ὁ ἀρχιερεὺς τὴν εὐχὴν ταύτην· Κύριε, δυνάμεων ὁ βασιλεύς.

[л. 245). Μάρκου ἱερομονάχου σύνταγμα, πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ Τυπικοῦ. Главъ 86. Текстъ ихъ и распорядокъ сходны съ Пантократорскимъ.

[**л. 289**). Ἑρμηνεία περὶ τοῦ πῶς δεῖ ἀναγινώσκειν τοὺς βίους καὶ τὰ μαρτύρια τῶν ἁγίων καὶ τοὺς λοιποὺς λόγους ἐν τῇ ἐκκλησίᾳ.

[**л. 310** об.). Αἱ ἀπολύσεις τοῦ ὅλου ἐνιαυτοῦ καὶ οἱ εἱρμοὶ τῶν ἐννάτων ᾠδῶν, οὓς λέγει ὁ ἱερεὺς ἐντὸς τοῦ βήματος, ὅτε οὐ στιχολογεῖται Ἡ Τιμιωτέρα. Важнѣйшія памяти съ отпустами и 9 пѣснями каноновъ.

[**л. 316**). Τροπάρια, ψαλλόμενα εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ γέννησιν καὶ Φώτων ἐν τῷ ὄρθρῳ μετὰ τὸν ν' ἀντὶ τοῦ Ταῖς τῶν ἀποστόλων.

— Ἀκολουθία τῆς ζύμης.

[**л. 316** об.). Τροπάρια, θεοτοκία, κατ' ἦχον ψαλλόμενα ἔν τε τῷ ἑσπερινῷ καὶ ἐν τῷ τέλει τοῦ ὄρθρου μετὰ δοξαστικὰ τῶν ἁγίων ὅλου τοῦ ἐνιαυτοῦ, τὰ μὲν πρῶτα καὶ μεγάλα, ἤγουν τοῦ σαββάτου ἑσπέρας, λέγονται εἰς ἁγίους μεγάλους, οἵτινες ἔχουσι δοξολογίαν μεγάλην, τὰ δὲ μικρὰ εἰς πάντας τοὺς ἁγίους, οἵτινες οὐκ ἔχουσι δοξολογίαν.

[**л. 330**). Χερουβικὸν τῆς ἁγίας λειτουργίας. На цѣлый годъ херувимскія.

[**л. 330** об.). Καθίσματα μαρτυρικὰ κατ' ἦχον.

[**л. 334**). Кругъ солнца съ объясненіемъ и пасхалія.

DXIV. № 177. Τυπικὸν (безъ начала), рукопись[1]) той же библ. 32 долю листа, 186 листовъ, писанъ мелкимъ чоткимъ почеркомъ XVI вѣка. Рукопись имѣетъ изображеніе Распятія съ предстоящими женами и заставки.

[**л. 1**). Начинается рукопись чиномъ литіи, совершаемой во время утрени.

[**л. 4**). Εἴδησις τῶν ἀγρυπνιῶν τοῦ ὅλου ἐνιαυτοῦ.

[**л. 4**). Ἔκφρασις ἐν ἐπιτομῇ τῆς ἐκκλησιαστικῆς διατάξεως τῶν ἐν Ἱεροσολύμοις ἁγίων μοναστηρίων. Здѣсь суточная служба.

(**л. 9**). Αἱ ὧραι τῶν δύο μ', τῶν τε Χριστουγέννων καὶ τῶν ἁγίων Ἀποστόλων.

[**л. 12** об.). Ἀκολουθία τῆς ἐκκλησιαστικῆς ψαλμῳδίας καὶ συνάξεως τοῦ ὅλου ἐνιαυτοῦ.

---

[1]) Рукопись погибла въ пожарѣ 1890 г.

[л. **109** об.). Περὶ τῶν ἑορτῶν, ἐν αἷς ψάλλεται τὸ Θεὸς Κύριος, καὶ περὶ μεγάλων ἑορτῶν καὶ μέσων καὶ μικρῶν.

Εἰδέναι χρή, ὅτι εἰς τρεῖς τάξεις κεῖνται ἐνταῦθα αἱ ἑορταί, εἰς μεγάλας, εἰς μέσας καὶ εἰς μικράς, καθὼς καὶ ὄπισθεν εἰς τὸ περὶ βρώσεως καὶ πόσεως ἐμνημονεύσαμεν, καὶ λέγει οὐκ ἀμάρτυρον δὲ τοῦτο, ἀλλ' ἀπὸ τῶν θείων γραφῶν· ὅσαι γὰρ περιεκτικὰς συνάξεις ἔχουσι τοῦ λαοῦ καὶ ἀναγνώσματα ἀφ' ἑσπέρας καὶ πάλιν πρωΐ· Πᾶσα πνοὴ καὶ εὐαγγέλιον, εἰς τάξιν τῶν Δεσποτικῶν κεῖνται ἑορτῶν καὶ μεγάλων.

Τὴν δὲ μεσαίαν τάξιν καὶ μικρὰν διδασκόμεθα ἐκ τοῦ Τυπικοῦ τῶν Στουδιτῶν καὶ τοῦ ἁγίου Ὄρους, πῶς ἐκεῖ διαφορὰς ἔχει εἴς τε τὰς ὥρας καὶ τὰς μετανοίας καὶ τοῦ καμάτου, ὁ δὲ τὸ κρεῖττον μετὰ Θεὸν γινώσκων σκοπείτω. Τέως ᾧδε λέγομεν, ὅτι αἱ μὲν μεγάλαι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, ἡ γέννησις καὶ ἡ ἀποτομὴ (τῆς κεφαλῆς) τοῦ τιμίου Προδρόμου καὶ ἡ τῶν δύο ἁγίων καὶ πανευφήμων ἀποστόλων Πέτρου καὶ Παύλου ἔχουσι σημεῖον σταυρὸν καὶ κύκλωθεν φθέγγος. Αἱ δὲ μεσαῖαι ἔχουσι σταυρὸν μόνον σήμαδρον, αἱ δὲ πάλιν μικραὶ ἔχουσι τρία κεντήματα μόνον σήμαδρα. Καὶ εἰς μὲν τὰς μικρὰς ἑορτὰς εἰς τὴν ἐκκλησίαν μὲν γονυκλισίαι ὅλως οὐ γίνονται, ἰδίως δὲ ὡς καὶ ἐνδέχεται· ἔστι γὰρ τοῦτο συγκαταβατικώτερον καὶ εἰς νηστείαν καὶ εἰς γονυκλισίαν, εἰς δὲ τὰς μεγάλας ὅλως γονυκλισίαι οὐ γίνονται, οὔτε ἐν τῇ ἐκκλησίᾳ, οὔτε ἐν τῷ κελλίῳ. Ὁμοίως οὐδὲ ἐν τῇ Πεντηκοστῇ γίνονται γονυκλισίαι, οὔτε ἐν τῇ ἐκκλησίᾳ, οὔτε ἐν τῷ κελλίῳ, ἰδίως δὲ κατὰ τὸν τύπον, ὃν ἔχουσιν. Αἱ δὲ λοιπαὶ κυριακαὶ τοῦ χρόνου, καθὼς οἱ θεῖοι κανόνες διαγορεύουσιν.

[л. **101**). Διάταξις τοῦ τύπου τῶν ἁγίων καὶ μεγάλων τῆς τεσσαρακοστῆς, ἤτοι τοῦ Τριῳδίου.

[л. **135** об.). Εἴδησις τοῦ τύπου τῆς ἁγίας καὶ μεγάλης κυριακῆς τοῦ Πάσχα.

[л. **145**). Краткое замѣчаніе о сохраненіи Типикона настоятелемъ.

[л. л. **146—147**) чистые съ помѣтою 1714 года.

[л. **148**). Μάρκῳ ἁμαρτωλῷ σύνταγμα, πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ Τυπικοῦ. 94 главы.

[л. **183**). Тропари на Рождество, Крещеніе и Обрѣзаніе послѣ евангелія.

— Ὅρα πρὸς τὴν ἀκολουθίαν τῆς ζύμης.

[л. **109** об.). Περὶ τῶν ἑορτῶν, ἐν αἷς ψάλλεται τὸ Θεὸς Κύριος, καὶ περὶ μεγάλων ἑορτῶν καὶ μέσων καὶ μικρῶν.

Εἰδέναι χρή, ὅτι εἰς τρεῖς τάξεις κεῖνται ἐνταῦθα αἱ ἑορταί, εἰς μεγάλας, εἰς μέσας καὶ εἰς μικράς, καθὼς καὶ ὄπισθεν εἰς τὸ περὶ βρώσεως καὶ πόσεως ἐμνημονεύσαμεν, καὶ λέγει οὐκ ἀμάρτυρον δὲ τοῦτο, ἀλλ' ἀπὸ τῶν θείων γραφῶν· ὅσαι γὰρ περιεκτικὰς συνάξεις ἔχουσι τοῦ λαοῦ καὶ ἀναγνώσματα ἀφ' ἑσπέρας καὶ πάλιν πρωΐ· Πᾶσα πνοὴ καὶ εὐαγγέλιον, εἰς τάξιν τῶν Δεσποτικῶν κεῖνται ἑορτῶν καὶ μεγάλων.

Τὴν δὲ μεσαίαν τάξιν καὶ μικρὰν διδασκόμεθα ἐκ τοῦ Τυπικοῦ τῶν Στουδιτῶν καὶ τοῦ ἁγίου Ὄρους, πῶς ἐκεῖ διαφορὰς ἔχει εἴς τε τὰς ὥρας καὶ τὰς μετανοίας καὶ τοῦ καμάτου, ὁ δὲ τὸ κρεῖττον μετὰ Θεὸν γινώσκων σκοπείτω. Τέως ᾧδε λέγομεν, ὅτι αἱ μὲν μεγάλαι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, ἡ γέννησις καὶ ἡ ἀποτομὴ (τῆς κεφαλῆς) τοῦ τιμίου Προδρόμου καὶ ἡ τῶν δύο ἁγίων καὶ πανευφήμων ἀποστόλων Πέτρου καὶ Παύλου ἔχουσι σημεῖον σταυρὸν καὶ κύκλωθεν φθέγγος. Αἱ δὲ μεσαῖαι ἔχουσι σταυρὸν μόνον σήμαδρον, αἱ δὲ πάλιν μικραὶ ἔχουσι τρία κεντήματα μόνον σήμαδρα. Καὶ εἰς μὲν τὰς μικρὰς ἑορτὰς εἰς τὴν ἐκκλησίαν μὲν γονυκλισίαι ὅλως οὐ γίνονται, ἰδίως δὲ ὡς καὶ ἐνδέχεται· ἔστι γὰρ τοῦτο συγκαταβατικώτερον καὶ εἰς νηστείαν καὶ εἰς γονυκλισίαν, εἰς δὲ τὰς μεγάλας ὅλως γονυκλισίαι οὐ γίνονται, οὔτε ἐν τῇ ἐκκλησίᾳ, οὔτε ἐν τῷ κελλίῳ. Ὁμοίως οὐδὲ ἐν τῇ Πεντηκοστῇ γίνονται γονυκλισίαι, οὔτε ἐν τῇ ἐκκλησίᾳ, οὔτε ἐν τῷ κελλίῳ, ἰδίως δὲ κατὰ τὸν τύπον, ὃν ἔχουσιν. Αἱ δὲ λοιπαὶ κυριακαὶ τοῦ χρόνου, καθὼς οἱ θεῖοι κανόνες διαγορεύουσιν.

[л. **101**). Διάταξις τοῦ τύπου τῶν ἁγίων καὶ μεγάλων τῆς τεσσαρακοστῆς, ἤτοι τοῦ Τριῳδίου.

[л. **135** об.). Εἴδησις τοῦ τύπου τῆς ἁγίας καὶ μεγάλης κυριακῆς τοῦ Πάσχα.

[л. **145**). Краткое замѣчаніе о сохраненіи Типикона настоятелемъ.

[л. л. **146—147**) чистые съ помѣтою 1714 года.

[л. **148**). Μάρκῳ ἁμαρτωλῷ σύνταγμα, πονηθὲν εἰς τὰ ἀπορούμενα τοῦ Τυπικοῦ. 94 главы.

[л. **183**). Тропари на Рождество, Крещеніе и Обрѣзаніе послѣ евангелія.

— Ὅρα πρὸς τὴν ἀκολουθίαν τῆς ζύμης.

[л. 183). Позднѣйшею рукою: Καταβασίαι, ψαλλόμεναι ἐν ὅλῳ τῷ χρόνῳ.

[л. 184). Ἀρχὴ εἰς ἐξομολογίαν, ἣν ὀφείλει καθ' ἡμέραν ἀμεταθέτως λέγειν πρὸς τὴν ὑπεραγίαν Θεοτόκον, ἐὰν μνησθεὶς ἐν τῇ ὥρᾳ τοῦ ψυχοῤῥαγήματος.

Вводная часть Типикона безъ раздѣленій на мелкія статьи и по тексту мало имѣетъ разницы по сравненію съ подобными статьями въ другихъ современныхъ Типиконахъ. Весьма нерѣдко дѣлается ссылка на практику другихъ монастырей: Ἰστέον, ὅτι ἔν τισι τῶν Τυπικῶν τὸν ἐκκλησιάρχην, τῷ καθηγουμένῳ εὑρίσκεται δηλονότι, ψάλλεσθαι τὸ ἑξάψαλμον. Ὁ δὲ ἱερεὺς μετὰ τὸ πληρῶσαι τὰς ὑπὲρ τῶν βασιλέων αἰτήσεις, βαλὼν μετάνοιαν . . . (л. 6,). Εὕρηται δὲ ἔν τισι τῶν Τυπικῶν, ὅτι τὰ ἀλληλουάρια τῆς γ' ὥρας ἐν τῇ μεγάλῃ μ' ὁ ἕτερος χορὸς ἀπάρχεται εἰς ἦχον πλ. β', τῆς δὲ ς' ὥρας ἕτερος εἰς ἦχον β'. Ὁ δὲ τὴν ἀκολουθίαν ἐναρξάμενος α' ψάλλει τὸ προκείμενον τῆς προφητείας.

[л. 9). Δεῖ εἰδέναι, ὅτι ἔν τισι τῶν μοναστηρίων, ὅτε ἐστὶ Θεὸς Κύριος, οὐ ψάλλονται εἰς τὴν σύναξιν τὰ μεσώρια, ἐπεὶ οὔτε τὰ συνήθη προκείμενα λέγονται, οὔτε μετάνοιαν ποιοῦμεν, ἀλλὰ χωρὶς μετανοίας ψάλλομεν αὐτάς, λέγοντες καὶ τὸ τροπάριον τοῦ ἑορταζομένου ἁγίου. Οὕτω δὲ γίνεσθαι ὀφείλει καὶ πάσαις ταῖς δευτέραις, τετράσι τε καὶ παρασκευαῖς τοῦ ὅλου ἐνιαυτοῦ. Ἰστέον, ὅτι ἐν τοῖς πλείουσι τῶν Τυπικῶν οὐ διαλαμβάνεται ἡ ἄνωθεν εὐχὴ αὕτη, τινὲς δὲ ἐγγράφως, ἢ ἀπὸ συνηθείας λέγουσι καὶ τὰς ἑτέρας δύο εὐχὰς εἰς τὴν τάξιν αὐτῶν, ἤγουν ἐν μὲν τῷ μεσωρίῳ τῆς γ' ὥρας μετὰ τὰς τρεῖς μετανοίας· Κύριε, ὁ Θεὸς ἡμῶν.

Въ Мѣсяцесловѣ есть тоже особенности: Πρόσχες, ὅτι διὰ τὸ τῇ ἑορτῇ συμψάλλεσθαι τοῦ Χρυσοστόμου λέγει τὸ Μακάριος ἀνήρ, ἐπεί, μὴ ἑορταζομένου τοῦ Χρυσοστόμου, οὐκ ἔστι χρεία ψάλλεσθαι τοῦτο, εἰ μήπου τύχοι κυριακή. Ἰστέον, ὡς ἡ τοῦ Χρυσοστόμου ἀκολουθία ἐν ταύτῃ τῇ ὑπερλάμπρῳ ἡμέρᾳ παρὰ τῶν ἐν Κωνσταντινουπόλει καὶ παρὰ πασῶν σχεδὸν τῶν μονῶν οὐ ψάλλεται διὰ τὸ ὕψος τῆς Δεσποτικῆς ἑορτῆς, ἵνα μὴ μείνῃ καὶ τὰ τῆς ἑορτῆς ἀκολόβωτα καὶ μηδὲ ἡ τοῦ ἁγίου μνήμη ὡς ἐν παραβύστῳ γίνηται· τούτου καὶ γὰρ χάριν μετετέθη ἐν τῇ ιγ' Νοεμβρίου μηνός, ὡς ἐν τοῖς Συναξαρίοις προσχὼν εὑρήσεις· εἰ γὰρ ἦν εἰκὸς συμψάλλεσθαι τῇ ἑορτῇ, τίνος χάριν

μετετέθη; Διὰ γὰρ τὸ ψάλλεσθαι παρὰ τοῖς Ἱεροσολυμίταις καὶ τοῖς Τυπικοῖς αὐτῶν ἀναγράφεσθαι ἀφέθη καὶ παρ' ἡμῖν ἐνταῦθα· εἴ γουν δόξει τῷ προεστῶτι, ψάλλεσθαι, εἰ δ' οὖν, γενέσθω τὰ τῆς ἑορτῆς πάντα. ψαλλομένου τοῦ Μακάριος ἀνὴρ καὶ ἱστῶμεν στίχους η'. Δοκεῖ δέ μοι, ὅτι, εἰ ἐστὶν ὁ ναὸς τῆς μονῆς εἰς ὄνομα τοῦ Χρυσοστόμου, ἀπαραιτήτως ὀφείλει συμψάλλεσθαι ἡ ἀκολουθία τοῦ ἁγίου τῇ τῆς ἑορτῆς ἀκολουθίᾳ, λεγόντων τὸ Κύριε ἐκέκραξα и пр. Изложеніе службы [л. 19). Πρόσχες τὰ ἀκριβῆ τῶν Τυπικῶν πλείω τῶν ιδ, στίχων οὐχ ἱστῶσι, διὸ καὶ προσχεῖν δὴ τὰ τροπάρια καὶ ἢ τριττοῦν ταῦτα, ἤτε τετταρτοῦν, εἰ δὲ τοὺς εἱρμοὺς ἐκβάλλει ἔξω τοῦ ἀριθμοῦ, οὐκ οἶδα. Эти замѣчанія въ службѣ на Воздвиженіе.

Въ службѣ на 26 Сентября: Ἰστέον, ὅτι τὰ ψαλλόμενα θεοτοκία τῷ σαββάτῳ ἑσπέρας πρὸς τὴν τάξιν τῆς Ὀκτωήχου τρία εἰσί· δύο γὰρ εἰσὶ τὰ πρὸ αὐτοῦ τοῦ Δαμασκηνοῦ ποιηθέντα καὶ δογματικά, ἃ καὶ ψάλλειν δοκεῖ μοι καλόν, τὸ μὲν ἓν εἰς τὸν μικρὸν ἑσπερινόν, τὸ δὲ ἕτερον εἰς τὴν λιτήν, οὐδὲ γὰρ ἐᾶσθαι ταῦτα τῶν ἐνδεχομένων, ἤ, ὡς ἐν παραβύστῳ, ἐν ἄλλαις ἡμέραις ψάλλεσθαι. Πῶς δὲ παρηκολούθησε τὰ τρία ἀντὶ τοῦ πρώτου λέγεσθαι καὶ εἰς τὸν μέγαν ἑσπερινόν, ὡς πρῶτον ψάλλεσθαι, οὐκ οἶδα. Νομίζω, ὅτι διὰ τὸ ὑπεραῖρον ἐν τούτοις τῶν δογμάτων οὐ συναριθμεῖσθαι τοῖς ἄλλοις θεοτοκίοις ὁ τυπικάρης ἠβουλήθη. Ἐπεὶ ὁ Εὐεργετινός τε καὶ ὁ Πετριτνὸς εἰς τὸν ἑσπερινὸν ἓν ἐκ τῶν δύο ψάλλουσι καὶ τοῦτο λέγουσι πρῶτον [л. 25 об.).

28 Сентября. О службѣ Харитона: Εἰ βούλει τὸ πρῶτον ἀντίφωνον τὸ Μακάριος ἀνὴρ, εἴπερ δηλονότι ἑορτάσασθαι τοῦτον θελήσει ὁ προεστώς. Τοῦτο οὐκ οἶδα πῶς διατετύπωται ὧδε, οὐδὲ γὰρ οἴδαμεν ἐν οὐδεμιᾷ τῶν μονῶν τοῦτο γινόμενον, καὶ γὰρ τὴν συνήθη στιχολογίαν ποιοῦντες, ἀνεόρταστον τάχα τὸν ἅγιον καταλιμπάνομεν, ἤ, ἑορτάζοντες τοῦτον, ἐῶμεν τὴν συνήθη στιχολογίαν τῷ παρεκκλησιάρχῃ μονομερῶς καὶ ἰδίως ὡς δυνατὸν στιχολογεῖται τὸ κάθισμα, ἢ ἐν τῇ θ', στιχολογούντων ἡμῶν τοῦτο κοινῇ, ἐν τῷ ἑσπερινῷ στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. Οὕτω γὰρ ἐν πάσαις ταῖς μοναῖς ὁρῶμεν γινόμενον [л. 27).

4 Октября. Ἰστέον, ὅτι, εἰ τύχοι ἡ μνήμη τοῦ ἁγίου τοῦδε ἐν παρασκευῇ, ἢ τετράδι, ὡς ἔν τισι τῶν Τυπικῶν εὑρίσκομεν, Ἀλληλούια ψάλλομεν οὐκ, οἶμαι, ἁρμοδίως, εἰ μή γε διὰ τῆς τετράδος τάχα τῆς παρασκευῆς τὴν ἀκρίβειαν, ἐν αἷς δηλονότι μοναῖς κατὰ τὸ ἀπαράβατον

*

ἡ ἐννάτη μετὰ ξηροφαγίαν καὶ ὑδροποσίαν φυλάττεται ἐν ταῖς δυσὶ ταύταις ἡμέραις [л. 29).

Послѣ 30 числа Ноября прибавлено: Τῇ αὐτῇ ἡμέρᾳ συνεορτάζεται καὶ ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Ἀλέξανδρος Ἀλεξανδρείας ὁ θαυματουργός, ὁ κείμενος ἐν τῇ νήσῳ τῆς Μιτυλήνης. Ἔν τε τῷ ἑσπερινῷ καὶ τῷ ὄρθρῳ συμψάλλεται ἡ ἀκολουθία αὐτοῦ ἀπαραλλάκτως ὁμοῦ μετὰ τοῦ ἀποστόλου. Ἐν μὲν τῷ ἑσπερινῷ εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους η' καὶ ψάλλομεν δ' τοῦ ἀποστόλου καὶ δ' τῶν ἱεραρχῶν προσόμοια. Εὑρίσκεις δὲ ἀναγνώσματα τῶν ἱεραρχῶν καὶ ἀποστόλων στίχους, καὶ εἰ μὲν θέλει ὁ προεστὼς καὶ λιτὴν ποιήσεις, εὑρίσκεις κἂν τοῦτο ἰδιόμελα τοὺς ἱεράρχας καὶ τοὺς ἀποστόλους. Καὶ εἰς τὸν ὄρθρον ὁμοίως τῶν ἀποστόλων κανόνα καὶ τοῦ ἱεράρχου, πρῶτον τῆς Θεοτόκου, φημί, ἔπειτα τοῦ ἀποστόλου καὶ ὕστερον τοῦ ἱεράρχου, ἀφ' ς' τοῦ ἀποστόλου καὶ εἰς τὴν λειτουργίαν ὁμοίως καὶ εὐαγγέλιον τοῦ ἱεράρχου καὶ τοῦ ἀποστόλου, τὸ κοντάκιον τοῦ ἱεράρχου· Ὡς φωστῆρα ἄδυτον τοῦ νοητοῦ ἡλίου, συνελθόντες ἅπαντες ἀνευφημοῦμεν ὕμνοις [л. 41 об.).

5 Декабря. Πρόσχες, ὅπως διατάσσεται ἀσυνήθως καὶ λέγει συνήθως· μετὰ γὰρ τὴν ἀγρυπνίαν ἑσπέρας στιχολογία γίνεσθαι οὐ σύνηθες, καὶ πῶς ἄρτι στιχολογία λέγων τὸ σύνηθες τίθησιν; Οἶμαι δὲ διὰ τὸ ἀμφίβολον τῆς ἀγρυπνίας, οὐ γὰρ ὁριστικῶς τίθησι ταύτην, ἀλλὰ συμβουλευτικῶς, ὅπερ δηλοῖ τὸ εἰ θέλει ὁ προεστώς, εἰ δὲ τιμῶν τὸν ἅγιον Νικόλαον λέγει τὸ Μακάριος ἀνήρ, τοῦτο εὔλογον [л. 42 об.).

О службѣ въ недѣлю св. Праотецъ. Τοῦτο οὐχ εὑρίσκεται ποτὲ ἐν τοῖς ἱεροσολυμιτικοῖς Τυπικοῖς. Δοκεῖ οὖν μοι, ὅτι, εἰ δόξει τῷ προεστῶτι τυχεῖν, ἢ τῷ ἐκκλησιάρχῃ καλεῖν, καταλεῖψαι τὸν εἱρμὸν τοῦ ἑνὸς ἀναστασίμου κανόνος καὶ τὸ θεοτοκίον, ψάλλειν τε τὰ δύο μόνον ἀναστάσιμα τῆς ᾠδῆς, εἶθ' οὕτω λέγειν τὸν τῶν Προπατόρων κανόνα καὶ τοὺς ἑτέρους δύο τῶν ἁγίων. Εἰ δὲ βούλει ψάλλειν εἰς ς', μέλλεις ψάλλειν ἐξακαιραίως καὶ τοὺς δ' κανόνας [л. 44 об.).

ркп. Ват. библ. № 322. См. выше стр. 134. Τὰ διαβήματά μου, τὸ Τρισάγιον, τὸ Κύριε ἐλέησον λ', ὁ ἱερεύς· Ὁ Θεὸς οἰκτηρήσαι ἡμᾶς, καὶ γίνεται ἀπόλυσις. Остальные часы по тому же порядку и съ тѣми же псалмами и чтеніями, какъ въ Ватоп. ркп. Многолѣтствованіе совершается, какъ въ Саввинскомъ монастырѣ.

Часы въ канунъ Богоявленія съ чтеніями, ектеньями и псалмами, что выше стр. 135. Тропари надписываются: *ποίημα Σωφρονίου, ἀρχιεπισκόπου Ἱεροσολύμων.*

Водоосвященіе совершается одинъ разъ наканунѣ праздника.

11 Января въ день памяти пр. Θеодосія совершается всенощное бдѣніе *καὶ γίνεται δὲ καὶ ἡ ἐκτενὴ ἐν τῇ θήκῃ τοῦ ὁσίου πατρὸς ἡμῶν.*

14 Января. Τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τῶν ἐν τῷ Σινᾷ καὶ Ῥαϊθῷ ἀναιρεθέντων. Ἐν τῇ ἁγίᾳ ταύτῃ ἑορτῇ τελοῦμεν ἀγρυπνίαν μεγάλην οὕτως. Εἰ μὲν τύχοι κυριακὴ στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ, προηγοῦνται δὲ τὰ ἀναστάσιμα, εἰ δὲ οὐ τύχοι κυριακὴ οὐ στιχολογοῦμεν, ἀλλὰ μετὰ τὸν ψαλμὸν τοῦ λυχνικοῦ τὸ Κύριε ἐκέκραξα εἰς ἦχον, Δόξα καὶ νῦν θεοτοκίον, εἰσοδεύει δὲ μετὰ θυμιατοῦ καὶ δύο λαμπάδων, προκείμενον τῆς ἡμέρας δίστιχον, ἀναγνώσματα ὁσιακά, τὸ α'· Δικαίων ψυχαί, τὸ β'· Δίκαιοι εἰς τὸν αἰῶνα, τὸ γ'· Δίκαιος, ἐὰν φθάσῃ. Εἶτα τὸ Καταξίωσον καὶ ἐξέρχεται ἡ λιτή, ψάλλομεν Δόξα καὶ νῦν. Γίνεται δὲ καὶ ἡ ἐκτενὴ ἐν τῇ θήκῃ τῶν λαμπάδων ἐν τῷ ναῷ τοῦ Προδρόμου, ἐν ᾧ κατάκεινται τὰ τίμια καὶ ἅγια λείψανα τῶν ἁγίων πατέρων ἡμῶν, καὶ ἀπὸ τῶν ἐκεῖσε εἰσερχόμεθα ἐν τῇ ἁγίᾳ Βάθῳ, ψάλλοντες στιχηρὰ τῆς ἁγίας Βάθου, οἷα δόξῃ τῷ προεστῶτι, ἐκ τῶν ἐκεῖσε ὑποστρέφομεν ἐν τῷ ναῷ, ψάλλομεν στιχηρὰ τοῦ προφήτου Μωϋσέως γ', Δόξα καὶ νῦν θεοτοκίον, τροπάριον τῶν ἁγίων πατέρων ἡμῶν· Ὁ Θεὸς τῶν πατέρων ἡμῶν, τὸ δὲ αὐτὸ καὶ εἰς τὸ Θεὸς Κύριος, καὶ εἰς τὸ τέλος τοῦ ὄρθρου, καὶ γίνεται ἡ διάδοσις τοῦ ἄρτου, εἶθ' οὕτω τίθεται ἀνάγνωσις τὸ μαρτύριον τῶν ἁγίων πατέρων ἡμῶν, εἶτα τὸ ἐξάψαλμον, αἱ συνήθεις στιχολογίαι, ὁ πολυέλεος, οἱ ἀναβαθμοί, εἴπερ οὐκ ἔστι κυριακή, τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου, προκείμενον ἦχος πλ. β'· Εὐφράνθητε ἐπὶ Κύριον, στίχος β'· Μακάριοι, ὧν ἀφέθησαν, στίχος γ'· Μακάριος ἀνήρ, ᾧ οὐ μὴ λογίσεται, εὐαγγέλιον ὁσιακόν, ὁ ν', κανόνες τῶν ἁγίων καὶ τῆς ἁγίας Βάθου, ἀπὸ γ' ᾠδῆς κάθισμα, ἀφ' ς' τὸ κοντάκιον, τὸ ἐξαποστειλάριον, εἰς τοὺς αἴνους

στιχηρά, Δόξα ἰδιόμελον, Καὶ νῦν θεοτοκίον, εἶτα δοξολογία μεγαλοφώνως, τὸ Τρισάγιον, τὸ ἀπολυτίκιον, ἐκτενὴ καὶ στερεοῦμεν, ὡς ἔθος, μεγαλοφώνως καὶ ἡ εὐχή, καὶ ἐξερχόμεθα εἰς τὴν λιτήν, ἐν τῇ ἀποθήκῃ τοῦ ἁγίου ἐλαίου, τοῦ θαυματουργηθέντος παρὰ τοῦ ὁσίου πατρὸς ἡμῶν Γεωργίου [1]), ψάλλοντες στιχηρὰ τοῦ αὐτοῦ ὁσίου πατρὸς ἡμῶν Γεωργίου, Δόξα καὶ νῦν θεοτοκίον, εἶτα ὑποστρέφομεν ἐν τῷ ναῷ καὶ γίνεται ἐκτενὴ καὶ τελεία ἀπόλυσις. Εἰς τὴν λειτουργίαν τυπικά, ἐκ τοῦ κανόνος τῶν ἁγίων ᾠδὴ δ' καὶ ς', εἶτα εἴσοδος, τὸ ἀπολυτίκιον, Δόξα καὶ νῦν, τὸ κοντάκιον, προκείμενον· Εὐφρανθήσονται δίκαιοι, στίχος· Εἰσάκουσον ὁ Θεός, ὁ ἀπόστολος πρὸς Γαλάτας· Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματος ἐστίν, ἀλληλουάριον ἦχος δ'· Ὁ Θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν, Ἔσωσας γὰρ ἡμᾶς ἐκ τῶν θλιβόντων ἡμᾶς, εὐαγγέλιον εἰς ὁσίους, κοινωνικόν· Εἰς μνημόσυνον αἰώνιον. Περὶ δὲ τῆς ἀποδόσεως τῆς ἑορτῆς, ὡς δόξῃ τῷ προεστῶτι, εἰ δόξῃ αὐτῷ ἀποδίδοται σὺν τῇ ἀκολουθίᾳ καὶ τῇ ἀγρυπνίᾳ τῶν πατέρων, εἰ δὲ μή, τοῦτο ἀποδίδοται ἐπὶ τὴν αὔριον [л. **106, 107**).

Предпразднеству служба, какъ въ Савв. Тип. № 1096.

Εἰς δὲ τὴν ἀγρυπνίαν σημαίνει ὥραν α' τῆς νυκτὸς καί, συναθροισθέντων ἡμῶν ἐν τῷ ναῷ, εὐλογεῖ ὁ ἱερεὺς καί, θυμιῶντος ἐκείνου, ψάλλομεν τὰ ἀπόδειπνα, εἶτα ποιοῦμεν καὶ τὰς συνήθεις λιτάς, ἐν αἷς ψάλλομεν τὰ ἰδιόμελα τῆς ἑορτῆς τοὺς τρεῖς πρώτους, Δόξα καὶ νῦν ἦχος β'· Εὐαγγελίζεται ὁ Γαβριήλ, καὶ εἰσερχόμεθα ἐν τῷ ναῷ καὶ ψάλλομεν προσόμοια, στίχος α'· Ἄκουσον θύγατερ, στίχος β'· Καταβήσεται ὡς ὑετός, Δόξα καὶ νῦν ἦχος β'· Σήμερον χαρᾶς εὐαγγέλια, εἶτα Τρισάγιον, τὸ ἀπολυτίκιον, ἦχος δ'· Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον. Καὶ εὐθὺς ἀναγινώσκομεν λόγον τῆς ἑορτῆς καὶ μετὰ τὴν ἀνάγνωσιν ἀπαρχόμεθα τοῦ ὄρθρου, Δόξα ἐν ὑψίστοις, τὸ Θεὸς Κύριος, τὸ τροπάριον, στιχολογοῦμεν καθίσματα γ', ὁ πολυέλεος, ἀναβαθμοί, τὸ α' ἀντίφωνον τοῦ δ' ἦχου, προκείμενον ἦχος δ'· Εὐαγγελίζεσθε ἡμέραν, Ἄσατε τῷ Κυρίῳ, Πᾶσα πνοή, εὐαγγέλιον κατὰ Λουκᾶν· Ἀναστᾶσα Μαριάμ, ὁ ν', οἱ κανόνες εἰς ἦχον δ', ἀνὰ δύο τοὺς εἱρμοὺς καὶ ἀνὰ γ' τὰ τροπάρια, τὰ τριῴδια ὕστερον, εἰς οἵαν ᾠδὴν τύχωσιν, ἀπὸ γ' ᾠδῆς τὸ κοντάκιον καὶ οἱ ς' οἶκοι, ὡσαύτως καὶ ἀπὸ

---

[1]) Этотъ Георгій называется Арселаитомъ. Разсказъ о полученіи этого чудеснаго елея напечатанъ у еп. Порфирія «Перв. путеш. въ Синайск. мон. въ 1846 г.» стр. 117. Нынѣ указываютъ мѣсто это въ храмѣ Богородицы.

ς′ τοὺς λοιποὺς ς′, ὡς ἐτυπώθησαν, τοὺς δ' ἑτέρους ιβ′ ἐν τῇ ἡμέρᾳ τῆς ἀκαθίστου διὰ τὸ ἀβαρέστερον καὶ διὰ τὸ μὴ ἔχειν ψάλτας περισσούς. Εἰς δὲ τὰς στιχολογίας λέγομεν τὰ καθίσματα τῆς ἑορτῆς, ἐξαποστειλάριον τῆς ἑορτῆς, εἰς τοὺς αἴνους Πᾶσα πνοή, στιχηρὰ ἦχος α′ πρὸς Τῶν οὐρανίων, καὶ τὸ ἰδιόμελον τῆς ἡμέρας, Δόξα καὶ νῦν ἦχος β′· Τὸ ἀπ' αἰῶνος μυστήριον, δοξολογία μεγάλη καὶ ἀπόλυσις. Εἰς τὸ τέλος τοῦ ὄρθρου αἱ μεγαλαι μετάνοιαι, εἶθ' οὕτω ψάλλομεν τὴν α′ ὥραν καὶ στιχολογοῦμεν τὸ κάθισμα, τὸ τροπάριον τῆς ἑορτῆς, εἰς τὸ τέλος μετάνοιαι γ′ μεγάλαι καὶ ἀπόλυσις [л.115 об., 116).

Изложеніе случаевъ Благовѣщенія въ субботу, воскресенье, въ субботу вайй, въ страстную седмицу и въ первые дни Пасхи см. выше стр. 42—46. Но здѣсь есть вліяніе и иной редакціи устава Саввы. Сейчасъ послѣ изложенія Благовѣщенской службы на Пасху, по Савв. Типикону, начинается новое изложеніе той же службы: Νυκτὸς ἐξερχόμεθα ἐκ τοῦ ναοῦ ἐν τῷ νάρθηκι καί, κλεισθέντων τῶν πυλῶν, ἀλλάσσει ἅπασαν τὴν λευκὴν στολὴν ὁ ἱερεὺς καὶ ἄρχεται θυμιᾶν. См. выше стр. 90—92, ст. I. Подъ тѣмъ же вліяніемъ изложена служба понедѣльника и замѣчаніе о храмѣ, но безъ указанія на основаніи чего составлены эти замѣчанія или изложенія службъ на различные случаи.

30 Марта. Службы Іоанну Лѣствичнику нѣтъ.

23 Апрѣля. О службѣ великомученику Георгію замѣчено: ἀκολουθία εἰς μάρτυρας. Въ ркп. № 1101 нѣтъ и этого замѣчанія.

1 Мая. Τοῦ ἁγίου προφήτου Ἱερεμίου. Εἰς τὸ λυχνικὸν ἡ συνήθης ἀκολουθία τῆς στιχολογίας, τὸ Κύριε ἐκέκραξα, τὰ στιχηρὰ τοῦ ἁγίου καὶ τῆς ἡμέρας ὀφείλομεν τοιαύτῃ ἡμέρᾳ καταλιμπάνειν τὸν Ὀκτώηχον καὶ ψάλλειν τὴν ἀκολουθίαν τοῦ ἁγίου καὶ τοῦ σεισμοῦ, ζήτει Ὀκτωβρίου κς′, οἱ κανόνες, τροπάριον ἦχος β′· Τοῦ προφήτου σου, Κύριε. Εἰς τὸν ὄρθρον ἡ συνήθης ἀκολουθία. Εἰς τὴν λειτουργίαν προκείμενον ἦχος δ′· Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα, στίχος· Εἶπεν ὁ Κύριος, ὁ ἀπόστολος καθολικῆς ἐπιστολῆς Ἰακώβου· Ἀδελφοί, ὑπόδειγμα λάβετε, ἀλληλουάριον ἦχος δ′, Μωϋσῆς καὶ Ἀαρὼν ἐπεκαλοῦντο τὸν Κύριον, εὐαγγέλιον κατὰ Λουκᾶν· Τῷ καιρῷ ἐκείνῳ ἐθαύμαζον οἱ ὄχλοι, κοινωνικόν· Εἰς μνημόσυνον.

Τῇ αὐτῇ ἡμέρᾳ ὀφείλομεν ἑορτάζειν τὴν ἀνάμνησιν τοῦ φοβεροῦ καὶ μετὰ φιλανθρωπίαν γενομένου φοβεροῦ σεισμοῦ, τοῦ κατ' αὐτὴν ἀρξαμένου τὴν ἡμέραν, ἤγουν τῆς πρώτης ἡμέρας τοῦ παρόντος μηνὸς καὶ δι' ὅλου ἐνιαυτοῦ ἐπικρατήσαντος, καὶ τὴν καθ' ἡμᾶς μονὴν οὐκ ὀλίγην συντρίψαντος καὶ ἀφανίσαντος τά τε κελλία τούς τε πύργους καὶ τὸ τεῖχος. Οὗτος δὲ[1]) ὁ σεισμὸς γέγονεν ἐν ἔτει ,ςψιθ' (1201 г.), ἰνδικτιῶνος θ'. Καὶ ὀφείλομεν κατὰ τὴν λ' τοῦ Ἀπριλίου μηνὸς νηστείαν ποιεῖν [2]), ἡ λειτουργία δὲ τοῦ ἀποστόλου τελεῖται εἰς τὸν καιρὸν αὐτῆς καὶ λαμβάνουσιν οἱ ἀδελφοὶ τὰ ἀντίδωρα αὐτῶν καὶ ἀπέρχονται εἰς τὰ κελλία αὐτῶν, τηροῦντες αὐτὰ μέχρις ἑσπέρας, ἑσπέρας δὲ μεταλαμβάνουσιν αὐτὸ καὶ ἐσθίουσι ξηροφαγίαν. Ὀφείλουσι δὲ ἐκτελεῖν καὶ κανόνα ἅπαντες ἐν τοῖς κελλίοις αὐτῶν, καθ' ἕκαστος πρὸς τὴν οἰκείαν δύναμιν [3]), εὐχαριστοῦντες τῷ φιλανθρώπῳ καὶ παναγάθῳ καὶ εὐσπλάγχνῳ Θεῷ, ὑπὲρ ὧν συνεπάθησεν ἡμῖν τῆς τοιαύτης ὀργῆς. Δύσαντος δὲ τοῦ ἡλίου, σημαίνει ὁ κανδηλάπτης καὶ συναγόμεθα ἅπαντες ἐν τῇ ἐκκλησίᾳ, μὴ ἀπολειφθέντος τινὸς τῶν ἀδελφῶν, καὶ ποιεῖ ὁ ἱερεὺς Εὐλογητόν, καὶ ἀρχόμεθα τοῦ Τρισαγίου καὶ τῶν λοιπῶν[4]), καὶ εἶθ' οὕτως ἀρχόμεθα τὸ Μακάριος ἀνὴρ καὶ λέγομεν καθίσματα γ', καὶ εἶθ' οὕτως ἀρχόμεθα τῶν κανόνων καὶ ψάλλομεν κανόνα πρῶτον τοῦ σεισμοῦ. Εἰ δὲ οὐκ ἔστι κανὼν τοῦ σεισμοῦ, ψάλλομεν παρακλητικὸν τοῦ Χριστοῦ, εἶθ' οὕτως τοῦ θεόπτου προφήτου Μωϋσέως, ἔπειτα τῆς Θεοτόκου [5]) καὶ λέγομεν ᾠδὴν α' καὶ γ', εἶθ' οὕτω καθίσματα ἀπὸ τῶν κανόνων καὶ εὐθὺς τίθεται ἀνάγνωσις, καὶ πάλιν ἀρχόμεθα τοῦ Ψαλτηρίου καὶ λέγομεν [6]) καθίσματα γ' καὶ πάλιν τοὺς κανόνας [7]) ᾠδῆς δ', ε', ς' καὶ λέγομεν τὸ κοντάκιον τῆς Θεοτόκου· Τῇ ὑπερμάχῳ καὶ τὸν οἶκον καὶ τίθεται ἀνάγνωσις. Καὶ πάλιν[8]) τὰ ὕστερα δ' καθίσματα τοῦ Ψαλτηρίου καὶ τὰς ἐπιλοίπους γ' ᾠδὰς τῶν κανόνων, ὁ ἱερεὺς ἐκτενὴν καὶ γίνεται ἡ λιτή. Καὶ ἀπέρχεται ἐν τῇ ἁγίᾳ Βάθῳ, ψάλλομεν στιχηρὰ τῆς ἁγίας Βάθου, καὶ μετὰ τὴν συμπλήρωσιν τῶν στιχηρῶν, λέγομεν· Δέσποινα, πρέσβευε τοῦ σωθῆναι ἡμᾶς, πάντων ἡμῶν ἀσκεπῶν ἱσταμέ-

---

[1]) Ркп. № 1101 той же библ. Ὁ τοιοῦτος [2]) ἐπιτελεῖν, καὶ τὴν μὲν λειτουργίαν τοῦ ἀποστόλου τελεῖν ἐν τῷ καιρῷ αὐτῆς καὶ λαμβάνειν καὶ τὸ κατακλαστὸν κατὰ τὴν συνήθειαν οἱ ἀδελφοί, πλὴν τηρεῖν αὐτὸ ἐν τοῖς κελλίοις μέχρις ἑσπέρας, ἑσπέρας δὲ μεταλαμβάνειν αὐτὸ καὶ ἐσθίειν ξηροφαγίαν [3]) κατὰ τὴν οἰκείαν δύναμιν [4]) Нѣтъ этихъ словъ. [5]) ἀπὸ γ' (ᾠδῆς) καθίσματα ἀπὸ τῶν κανόνων καὶ ἀνάγνωσις καὶ πάλιν ἀρχόμεθα [6]) ἕτερα [7]) ἕως τῆς ἐννάτης καὶ λέγομεν [8]) λέγομεν ἐκ τοῦ Ψαλτηρίου ἕτερα καθίσματα δ' καὶ τὰς ἐπιλοίπους γ' ᾠδὰς τῶν κανόνων.

νων. Εἶθ' οὕτω γίνεται δέησις παρὰ τοῦ ἱερέως· Ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν μονὴν ταύτην καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός[1]), ἐπιδρομῆς ἀλλοφύλων καὶ ἐμφυλίου πολέμου, καὶ ὑπὲρ τῶν ἵλεων καὶ εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν πανάγαθον [2]) καὶ ἐλεήμονα Θεὸν ἐπὶ τὰ πλήθη τῶν ἀνομιῶν ἡμῶν, ἀποστρέψαι Κύριον τὸν Θεὸν ἡμῶν πᾶσαν ὀργὴν καὶ νόσον τὴν καθ' ἡμῶν κινουμένην, εἴπωμεν. Καὶ ἀρχόμεθα τὸ Κύριε ἐλέησον ρ'. Ὁ ἱερεὺς μνημονεύει καὶ λέγομεν· Δόξα καὶ στιχηρὸν τοῦ προφήτου, Καὶ νῦν θεοτοκίον καί, ψάλλοντες τὰ τοιαῦτα στιχηρά, ἐρχόμεθα ἐν τῷ ναῷ καὶ ποιεῖ ὁ ἱερεὺς συναπτὴν καὶ ἀπολύει.

Καὶ ἀπέρχεται ὁ κανδηλάπτης καὶ σημαίνει καὶ ἡμεῖς, μικρὸν ἀναπαυθέντες, ἀνιστάμεθα, καὶ ποιεῖ ὁ ἱερεὺς Εὐλογητόν, καὶ ἀρχόμεθα τοῦ ἑξαψάλμου, κατὰ τὸ σύνηθες, τὸ Θεὸς Κύριος καὶ ποιοῦμεν τὴν ἀκολουθίαν τοῦ ὄρθρου κατὰ τὸ σύνηθες. Λέγομεν δὲ εἰς τὴν ἀγρυπνίαν τροπάριον σεισμοῦ εἰς ἦχον πλ. δ'· Ὁ ἐπιβλέπων τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν, ῥῦσαι ἡμᾶς τῆς φοβερᾶς τοῦ σεισμοῦ ἀπειλῆς, Χριστὲ ὁ Θεός, καὶ κατάπεμψον πλούσια τὰ ἐλέη σου πρεσβείαις τῆς παναχράντου Μητρός σου, ὡς μόνος φιλάνθρωπος. Ἕτερον, ἦχος ὁ αὐτός· Ὑπερύμνητος εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ σαλεύων τὴν γῆν εἰς τὸ ἐπιστρέψαι καὶ σωθῆναι τοὺς κατοικοῦντας ἐν αὐτῇ καὶ πάλιν στερεῶν αὐτὴν δι' ἀγαθότητα καὶ ἄφατον εὐσπλαγχνίαν, πρεσβείαις τῆς Θεοτόκου ἐλέησον ἡμᾶς. Εἰς τὴν λειτουργίαν ἀκολουθία τῆς ἡμέρας καὶ τοῦ σεισμοῦ, ἀλληλουάριον, ἦχος πλ. α'· Ὁ Θεὸς ἀπώσω ἡμᾶς, στίχος· Συνέσεισας τὴν γῆν καὶ συνετάραξας αὐτήν, καὶ κοινωνικόν. Καὶ τελεσθείσης τῆς θείας λειτουργίας, ἀπερχόμεθα ἐν τῇ τραπέζῃ, γινομένης ἀγάπης. Οὗτος ὁ τύπος ἀπαράθραυστος ὀφείλει εἶναι καθ' ἑνὶ ἑκάστῳ ἐνιαυτῷ, μὴ παρά τινος ἐμποδιζόμενος [л. **122**, **123**).

11 Мая. Τὰ γενέθλια τῆς πόλεως καὶ τοῦ ἱερομάρτυρος Μωκίου.

Отсутствуютъ листы для службъ отъ 29 Іюня по 21 Іюля.

31 Іюля нѣтъ предпразднества кресту, а подъ 1 Іюля въ концѣ службы замѣчено: Δεῖ εἰδέναι, ὅτι μετὰ τὴν συμπλήρωσιν τοῦ ὄρθρου ποιοῦμεν τὴν προσκύνησιν τῶν τιμίων καὶ ἁγίων

---

[1]) прибавка: μαχαίρας [2]) ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν ἀποστρέψαι πᾶσαν ὀργήν, κινουμένην ἡμῖν δικαίας αὐτοῦ ἀπειλῆς καὶ ἐλεῆσαι ἡμᾶς.

ξύλων, κατὰ τὴν τάξιν τῆς γ' κυριακῆς τῶν νηστειῶν. Μετὰ δὲ τὴν ἀπόλυσιν διέρχεται ὁ τίμιος σταυρὸς μετὰ λιτῆς περὶ τὰ ἐντὸς τῆς μονῆς, ἤγουν εἰς τὸ ἡγουμενεῖον, τὴν τράπεζαν, τὸ κελλάριον, εἰς τὸ ὡρεῖον, τὴν ἀποθήκην καὶ ἐν πᾶσι τοῖς κελλίοις τῶν ἀδελφῶν, εἶτα, ὑποστρεφόντων ἡμῶν, γίνεται ἀπόλυσις. Ἐν δὲ τῇ λειτουργίᾳ ἁγιάζεται τὸ ὕδωρ καὶ μεταλαμβάνομεν ἐξ αὐτοῦ. Μετὰ δὲ τὴν ἀπόλυσιν τοῦ ἑσπερινοῦ ἀποκομίζεται πάλιν τὸ τίμιον ξύλον ἐν τῇ θήκῃ αὐτοῦ [л. **129** об.).

На Преображеніе вмѣсто Трисвятого пѣли «Елицы во Христа крестистеся».

На Успеніе Богоматери ἡ συνήθης στιχολογία, ἢ ὁ Ἄμωμος, ὑπακοή· Μακαρίζομέν σε πᾶσαι.

Ἐν ταύτῃ τῇ ἡμέρᾳ τρώγομεν σταφύλια, εὐλογούμενα παρὰ τοῦ ἱερέως, ὡς ἔθος, ἑορτάζομεν δὲ τὴν ἑορτὴν ταύτην ἡμέρας θ' [л. **133**).

19. Св. мученика Андрея Стратилата и съ нимъ 1596.

Въ рукописи есть нѣсколько прибавокъ или приписокъ. Такъ, въ началѣ рукописи мы находимъ конецъ службы 1 Сентября, полныя службы 2, 3 Сентября и краткое замѣчаніе о службѣ 4 числа, или, вѣрнѣе, о памяти св. пр. Моисея (см. выше стр. 408). Службы эти изложены въ обычномъ порядкѣ, хотя и замѣчено, что ἀπὸ αὐτῆς (т. е. 2 ч.) τῆς ἡμέρας ὀφείλομεν ψάλλειν καὶ τὰ προεόρτια τοῦ ἁγίου καὶ μεγάλου προφήτου Μωϋσέως μέχρι τῆς ἑορτῆς αὐτοῦ. Кромѣ этихъ службъ, здѣсь изложены τροπάρια, ψαλλόμενα εἰς τὸν Ἄμωμον τοῦ ἁγίου Μωϋσέως·

«Μακαρίζομέν σε, τὸν θεόπτην Μωϋσέα, τὸν ἀειμακάριστον καὶ θεοδόξαστον καὶ προφήτην τοῦ Σωτῆρος Χριστοῦ».

«Ἄξιόν ἐστιν, ὡς ἀληθῶς μακαρίζειν σε τὸν νομοθέτην, τὸν μετὰ ἀγγέλων χαρμονικῶς ᾄδοντα τὸν ὕμνον ἐν οὐρανοῖς».

Ἦχος πλ. δ'· «Αἱ γενεαὶ πᾶσαι σὲ μακαριοῦμεν τὸν θεόπτην Μωϋσέα.

Ταῦτα εἰς τὴν ἑορτὴν τῆς ἁγίας Αἰκατερίνης ἦχος πλ. α'· «Μακαρίζομέν σε, καλὴ παρθένε μάρτυς· τὴν ἀειμακάριστον καὶ θεονύμφευτον, ὡς ποθήσασαν Χριστὸν τὸν Θεὸν

Ἦχος πλ. β'· Ἄξιόν ἐστιν, ὡς ἀληθῶς μακαρίζειν σε, παρθενομάρτυς, ἥνπερ ἐνυμφεύσατο ὁ Χριστὸς καὶ ἐκ δεξιῶν ἔστησεν αὐτοῦ.

Ἦχος πλ. δ'· Αἱ γενεαὶ πᾶσαι σὲ μακαριοῦμεν, Αἰκατερίνα μάρτυς.

Εἰς τὴν ἑορτὴν τῶν ἁγίων πατέρων, τῶν ἐν Σινᾷ καὶ Ῥαϊθῷ.
Ἦχος πλ. α'· «Μακαρίζομεν σᾶς, θεοφόροι πατέρες, ὡς ὁσιομάρτυρας καὶ τὴν ἰσάγγελον πολιτείαν μετελθόντας ἐν γῇ.
Ἦχος πλ. β'· «Ἄξιόν ἐστιν, ὡς ἀληθῶς μακαρίζειν σᾶς, θεῖοι πατέρες, ὡς ὁσιομάρτυρας τοῦ Χριστοῦ καὶ τῶν ἀσωμάτων συλλειτουργούς.
Ἦχος πλ. δ'· «Αἱ γενεαὶ πᾶσαι ὕμνοις τοὺς πατέρας τιμήσωμεν ἀξίως.

На концѣ рукописи находимъ новое величаніе въ честь великомученицы Екатерины:

Ἦχος πλ. α', εἰς τὸν Ἄμωμον· «Μακαρίζομέν σε, ἀθληφόρε Χριστοῦ, καὶ τιμῶμεν τὴν σορὸν τῶν λειψάνων σου ἐν Σιναίῳ οἱ οἰκέται σου.

«Ἄξιόν ἐστιν, ὡς ἀληθῶς μακαρίζειν σε, Αἰκατερίνα, ἔνθα ἠρετήσατο Κύριος τὴν κατάθεσιν τοῦ σκήτους σοῦ.

Αἰκατερίνα, μάρτυς Κυρίου, δυσώπει ὑπὲρ τῶν σὲ ὑμνούντων.

Настоящій Типиконъ, какъ показываетъ самое названіе его, составленъ по чину обители Саввы Освященнаго, съ которымъ онъ въ большинствѣ службъ сходенъ буквально. Въ составленіи мѣстныхъ службъ въ честь чтимыхъ святыхъ на Синаѣ этотъ Уставъ стремится подражать Типикону обители Саввы Освященнаго, напр., въ службѣ пророка Моисея, отцевъ въ Раиѳѣ избіенныхъ, Екатерины и др. Но иногда замѣтно въ немъ вліяніе Устава пр. Саввы константинопольской редакціи, въ силу чего появляются въ немъ праздники константинопольскіе, напр. основаніе, Константинополя (11 Мая), праздникъ кресту (1 Августа), а въ нѣкоторыхъ случаяхъ на одинъ и тотъ же случай излагаются даже двѣ службы: по Уставу Саввы синайской редакціи и по тому же уставу константинопольской редакціи, напр., въ службѣ если Благовѣщеніе придется на Пасху. Тѣмъ же вліяніемъ Устава Саввы константинопольской редакціи можно объяснять и присутствіе въ началѣ Синаксаря или, лучше сказать, повтореніе службъ для первыхъ четырехъ или трехъ дней Сентября мѣсяца. Изложеніе этихъ службъ въ самомъ Типиконѣ полно такихъ особенностей, которыя въ другихъ Типиконахъ не встрѣчаются, и тѣмъ болѣе въ Типиконахъ константинопольской редакціи, посему составителю описываемаго нами Типикона, имѣвшему у себя подъ руками Типиконъ пр. Саввы съ константинопольскимъ изложеніемъ, было

весьма естественно написать отдѣльно эти службы въ началѣ Типикона, чтобы, отмѣченная нами разность, такъ сказать, не бросалась въ глаза.

DXXIII. № 1101. *Τυπικὸν κατὰ τὸν τύπον τῆς λαύρας τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα τῆς μονῆς τῆς ἐν Ἱεροσολύμοις, οἰκονομηθὲν και ἀφιερωθὲν τῆς πανσέπτου καὶ ἁγίας μονῆς τῆς ὑπεραγίας Θεοτόκου, τῆς ἐν τῷ ἁγίῳ ὄρει Σινᾷ ἱδρυμένης, ἐν ᾗ τετίμηται καὶ ὁ θεόπτης μέγας προφήτης Μωϋσῆς. Μηνὶ Σεπτεμβρίῳ, ἰνδικτιῶνος ι', ἔτους ,ςωκ'* (1311). Рукопись той же библ. на бомбицинѣ въ 16 долю листа, 227 листовъ, писана чоткимъ прекраснымъ почеркомъ и совершенно правильнымъ языкомъ. По надписанію, по расположенію составныхъ частей, по своимъ историческимъ и литургическимъ особенностямъ и по изложенію настоящій Типиконъ цѣликомъ воспроизводитъ предыдущій Типиконъ № 1097. Здѣсь лишь болѣе правиленъ языкъ и выдержаннѣе грамматическія формы. Изъ нѣкоторыхъ варіантовъ къ предыдущему списку можно видѣть, какъ незначительны особенности настоящаго Типикона. Стремленіе списателя настоящей рукописи воспроизвести весь Типиконъ № 1097 простерлось до того, что въ концѣ, на двухъ послѣднихъ листахъ (226 и 227), онъ цѣликомъ списалъ надписаніе Типикона № 1097 и двѣ начальныя статьи подъ заглавіемъ: *Περὶ τοῦ Θεὸς Κύριος* и *Περὶ τῶν ἀποδείπνων*. Проф. Гардгаузенъ не понялъ этой приписки (Catalog. pag. 223) и считаетъ ее позднѣйшею прибавкою, а сопоставляя эту приписку съ датою въ началѣ рукописи 1311 (по арх. Антонину, 1312 годъ), онъ обозначилъ время написанія рукописи № 1101 нерѣшительно XIV вѣкомъ. Прибавочныхъ службъ для первыхъ трехъ дней Сентября мѣсяца этотъ Типиконъ не имѣетъ, а также нѣтъ и величаній синайскимъ святымъ, но, вмѣсто этого, въ началѣ рукописи, на 3 листахъ, онъ перечисляетъ памяти важнѣйшихъ святыхъ и двунадесятыхъ праздниковъ.

DXXIV. № 1103 *Τυπικόν* (безъ начала), ркп. той же библ. въ 16 долю листа, 192 листа, писана крупнымъ, чоткимъ, но безграмотнымъ почеркомъ XIV в. на бомбицинѣ. Изъ множества приписокъ на выходныхъ и срединныхъ листахъ

мы приведемъ здѣсь въ греческомъ переводѣ съ арабскаго слѣдующую приписку: Ἀνέγνω τὸ Τυπικὸν τοῦτο ὁ δοῦλος τοῦ Θεοῦ, ὁ ταπεινός, ὁ πτωχός, ὁ βεβυθισμένος ἐν θαλάσσῃ ἁμαρτιῶν, ὁ ἀνάξιος ὀνομάζεσθαι μοναχὸς Νικόλαος, μαθητὴς τοῦ Σάγιδ-ιλ-Ἀσκοὺφ (ἴσως ἑρμηνευτέον ἁγίου ἐπισκόπου) κὺρ Εὐθυμίου τοῦ Αἰγινίτου (ὁ Κύριος ἡμῶν διασώζοι τὴν δεσποτείαν αὐτοῦ) καὶ ἱκετεύει πάντα, ἀναγινώσκοντα τὰ πενιχρὰ ταῦτα γράμματα, ἐξαιτεῖσθαι ὑπὲρ αὐτοῦ καὶ ὑπὲρ τοῦ διδασκάλου αὐτοῦ ἄφεσιν ἁμαρτιῶν παρὰ Θεοῦ, ὅπως καὶ αὐτῷ καὶ πᾶσι τοῖς βεβαπτισμένοις εἴη ἡ αὐτὴ ἄφεσις [л. **171**).

Типиконъ начинается вторымъ прошеніемъ въ чинѣ воздвиженія креста, 14 Сентября. Недостаетъ, слѣдовательно, вводной части Типикона и службъ съ 1 Сентября по 14 включительно. Мѣсяцесловъ излагается съ обрядами и службами Синайскаго монастыря, какъ предыдущіе два Типикона. Здѣсь опущены противъ нихъ лишь двойное изложеніе службы Благовѣщенія, если оно случится на Пасху, а имѣется одно изложеніе ея по Уставу константинопольской редакціи, служба 1 Мая въ память землетрясенія, все замѣчаніе относительно этого печальнаго событія, несмотря на то, что установлено было въ свое время блюсти этотъ обычай.

Недостаетъ листовъ съ службами 1 и 2 Февраля и съ 23 Іюля по 1 Августа.

[л. **110—111**). Два вставочные листа философскаго содержанія.

[л. **111** об.). Ἀκολουθία τῆς ἁγίας τεσσαρακοστῆς. Здѣсь изложена служба поста и пятидесятницы, какъ въ ркп. № 1067, но опущено замѣчаніе о службахъ пр. Іоанну Лѣствичнику, 15 Іюля и 40 мученикамъ, 12 Сентября, въ службѣ Ѳоминой недѣли, какъ неумѣстное.

[л. **163**). Ἀκολουθία τῶν σαββάτων τοῦ ἐνιαυτοῦ ὅλου, ἐν οἷς ὑπάρχει μνήμη μεγάλου ἁγίου καὶ ψάλλομεν Θεὸς Κύριος. См. выше стр. 396.

[л. **165**). Μηνὶ Μαΐῳ ζ′ тропарь кресту на этотъ день: Τοῦ σταυροῦ σου ὁ τύπος νῦν ὑπὲρ ἥλιον ἔλαμψεν.

[л. **165** об.). Μηνὶ Σεπτεμβρίῳ ιδ′. Служба подробная на этотъ день.

[л. **168**). Служба 15 Сентября.

[л.**169—171**) чистые.

[л. **172**). Безъ начала стихиры изъ службы на Богоявленіе.

[л. **175**) чистые.

[л. **176**). Ὁ κανὼν εἰς τὴν ἁγίαν Θεοφανείαν, φέρων ἀκροστιχίδα τήνδε, ἦχος β'· Βάπτισμα ῥύψις γέγονεν ἁμαρτάδος. Глубины открылъ есть дно.

[л. **180** об.). Ἕτερος κανὼν εἰς τὴν ἁγίαν Θεοφανείαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἰαμβικὸς κατὰ ἀκρόστιχον πεντάστιχος, ἡ δὲ ἀκρόστιχος διὰ στιχολογιῶν δύω ὑποτεταγμένη· Σήμερον ἀχράντοις ὁ βαλὼν θεοφεγγεῖ πυρσῷ.

[л. **186**). Тропари разнымъ святымъ на конецъ Ноября и на Декабрь до 15 числа.

Такимъ образомъ, если не принимать во вниманіе послѣднихъ статей, мы имѣемъ здѣсь дѣло съ новымъ позднимъ спискомъ Устава Синайскаго монастыря по образцу обители Саввы Освященнаго. Отличія его отъ предыдущихъ двухъ списковъ заключаются главнымъ образомъ въ распорядкѣ составныхъ частей, которыя теперь занимаютъ свое настоящее мѣсто въ Типиконѣ этого времени. Два предыдущіе списка въ этомъ отношеніи представляютъ рѣдкое исключеніе.

d) Редакція Трапезунтская.

DXXV. № 320 (931). Τυπικὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας ἀπὸ τῆς ἐν Ἱεροσολύμοις ἁγίας λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα, μετενεχθὲν καὶ διαδοθὲν καὶ εἰς τὰς πλείους τῶν ἔνθα γῆς τυγχάνουσιν ἁγίων μονῶν. Рукопись Аѳоно-Ватопедск. библ. въ четвертку листа, 315 листовъ, писана на пергаминѣ скорописью 1346 года. Время происхожденія этой рукописи опредѣляется слѣдующею припискою: Τὸ παρὸν βιβλίον γέγονεν ἐκ πάσης συνδρομῆς καὶ ἐξόδου τοῦ κυροῦ Προκοπίου τοῦ Χαντζάμη καὶ ἀφιερώθη εἰς τὴν ἁγίαν μονὴν τοῦ ἁγίου μεγαλομάρτυρος Εὐγενίου τοῦ θαυματουργοῦ, ψυχικῆς ἕνεκεν σωτηρίας αὐτοῦ· ἔνθέν τοι καὶ ὀφείλει ἔχειν παρὰ τῶν ἐν αὐτῇ ἐνασκουμένων μοναχῶν διηνεκὲς τὸ μνημόσυνον. Ἐγράφη δὲ διὰ τοῦ Ἀργυροῦ Ἰωάννου, τελειωθὲν κατὰ μῆνα

Φεβρουάριον τῆς ιδ' ἰνδικτιῶνος τοῦ ,ςωνδ' ἔτους [л. 302 об.). Рукопись эта богато украшена миніатюрами, изображающими олицетворенія каждаго мѣсяца, и снабжена стихами и замѣчаніями. Въ началѣ статей имѣются весьма художественной работы виньетки.

Описаніе этого Типикона съ художественной и археологической точки зрѣнія сдѣлано извѣстнымъ византологомъ Jof. Strzygowski въ Штутгартскомъ изданіи «Repertorium für Kunstwissenschaft 1890, Band XIII, Hepf 4 въ статьѣ: «Eine trapezuntische Bilderhandschrift von Jahre 1347». Въ брошюрѣ помѣщены и снимки миніатюръ, но не въ краскахъ, почему эти снимки и не даютъ намъ яснаго представленія о богатствѣ и роскоши описываемой рукописи и о высокой художественной работѣ мастера этихъ миніатюръ.

[л. 1 об.). Стихотворное посвященіе книги. Начало совершенно стерлось, а конецъ, хотя и можно читать, но особеннаго интереса онъ не представляетъ.

[л. 4) пустой.

[л. 5). Πίναξ τῶν τοῦ παρόντος βιβλίου κεφαλαίων, ἐν οἷς εἰσὶ καὶ ἅπερ ὁ μοναχὸς Μάρκος ἔν τισιν ἀπόροις προσε . . λο πονήσατο τοῦ ὀνόματος αὐτοῦ ἐν τοῖς. . .

[л. 9 об.). Миніатюрное изображеніе св. Іоанна Дамаскина и святого Саввы, творцовъ Типикона. Ὁ Ἰωάννης Δαμασκηνὸς изображенъ старцемъ. Голова его покрыта какъ бы чалмою и украшена нимбомъ. Нижняя одежда въ видѣ длинной туники, а верхняя въ видѣ накидки розоваго цвѣта. На груди на подобіе полотенца спускается ниже колѣнъ черный палій. Черный шнуръ съ крестами перепоясываетъ крестомъ все тѣло и дополняетъ убранство схимника. Одна рука его при персяхъ и пальцы ея сложены для крестнаго знамени, а другая держитъ свитокъ съ такими словами: Ποίαν σοι ἐπάξιον ᾠδὴν ἡ ἡμετέρα προσοίσει ἀσθένεια... Ὁ ἅγιος Σάββας въ подобной же одеждѣ схимника, но цвѣтъ одеждъ иной: нижняя сѣроватаго цвѣта, а верхняя темно-зеленоватаго. Остальное подобно Дамаскину. Лица не видно. Въ рукахъ свитокъ съ словами: Ὥσπερ ἰχθύες ἐν τῇ ξηρᾷ. Внизу подъ миніатюрою большая уставная

подпись: Τοῦ δούλου δέησις τοῦ Θεοῦ Προκοπίου, т. е. писца рукописи:

[л. 10). Εἴδησις περὶ τοῦ μικροῦ ἑσπερινοῦ.

[л. 10 об.). Διάταξις περὶ τῆς ἀγρυπνίας, ἤτοι τοῦ μεγάλου ἑσπερινοῦ καὶ τοῦ ὄρθρου τῇ κυριακῇ.

Μετὰ τὸ δῦναι τὸν ἥλιον μικρὸν ἀπέρχεται ὁ κανδηλάπτης καὶ ποιεῖ μετάνοιαν τῷ προεστῶτι καὶ ἀνελθὼν [1]) κρούει τὰς βαρέας σχολαίως ἄχρι τῶν ιβ′ [2]), ψάλλων καθ' ἑαυτὸν [3]) καὶ τὸν Ἄμωμον, ὃν καὶ ποιεῖ στάσεις ιβ′ ἀντὶ τοῦ Ἀμώμου, ὅπερ ἐπεκράτησε παρὰ τοῖς πλείουσι, τὸν ν′ δωδεκάκις. Μετὰ δὲ τὴν τῶν βαρέων συμπλήρωσιν [4]) σημαίνει τὸ μεγάλον σήμαντρον, ὡς ἔθος, εἶτα καὶ τὸ σιδηροῦν, ἢ τοὺς μεγίστους κώδωνας, εἴπερ εἰσίν, εἶτα κατελθὼν ἅπτει τὰς κανδήλας καί, εὐτρεπίσας τὸν θυμιατόν, τίθησι λαμπάδας μετὰ κηρομανουαλίου ἔμπροσθεν τῶν ἁγίων θυρῶν. Ἀναστὰς δὲ ὁ τὴν ἐφημερίαν ἔχων ἱερεὺς καὶ ποιήσας μετανοίαν τῷ ἡγουμένῳ, ἢ εἰς τὸν τόπον αὐτοῦ, δηλονότι μὴ ἐνδημοῦντος, ἀπελθὼν ποιεῖ μετανοίας γ′ ἔμπροσθεν τῆς εἰκόνος [5]) τοῦ ἐν τῇ μονῇ σίγνου καὶ ἀσπάζεται αὐτήν, εἶτα ποιεῖ καὶ εἰς τοὺς χοροὺς πρὸς μίαν μετάνοιαν πάντων τῶν ἀδελφῶν καθ' ἡμῶν. Εἰσελθὼν δὲ εἰς τὸ ἅγιον βῆμα καὶ λαβὼν τὸν θυμιατόν, ἵσταται ἐνώπιον τῆς ἁγίας τραπέζης καί, βαλὼν θυμίαμα, λέγει καθ' ἑαυτὸν τὴν εὐχὴν τοῦ θυμιάματος. Ὁ δὲ κανδηλάπτης ἐκφωνεῖ τὸ Κελεύσατε γεγονωτέρᾳ φωνῇ, κρατῶν καὶ τὴν λαμπάδα ἐν τῇ χειρὶ αὐτοῦ, ὁ δὲ ἱερεύς, θυμιάσας σταυροειδῶς τὴν ἁγίαν τράπεζαν καὶ ὅλον τὸ ἅγιον θυσιαστήριον, ἐξέρχεται διὰ τῶν ἁγίων θυρῶν, καὶ ποιήσας σταυρὸν μετὰ τοῦ θυμιατοῦ κατέναντι τοῦ ἱλαστηρίου, ἀπέρχεται καὶ θυμιᾷ τὴν εἰκόνα τοῦ ἁγίου, εἶτα τὸν καθηγούμενον καὶ εἰς τοὺς β′ χοροὺς κατὰ τάξιν, τῆς λαμπάδος προπορευομένης [6]). Ἐξελθὼν δὲ καὶ εἰς τὸν νάρθηκα καὶ θυμιάσας κἀνταῦθα τοὺς ἀδελφοὺς κατὰ τάξιν, ὑποστρέφει καί, εἰσελθὼν ἔσω τῆς βασιλικῆς πύλης, χαράττει μετὰ τοῦ θυμιατοῦ σταυρὸν καὶ ἐκφωνεῖ μεγαλοφώνως τὸ Κύριε εὐλόγησον. Καὶ θυμιᾷ αὖθις τὸν προεστῶτα, ἢ εἰς τὸν τόπον αὐτοῦ, εἶτα τὸν ἅγιον καί, εἰσελθὼν εἰς τὸ ἅγιον βῆμα, ἵσταται ἔμπροσθεν τῆς ἁγίας τραπέζης καὶ ποιεῖ σταυροὺς

---

[1]) Код. Palat. № 101, ἀνερχόμενος [2]) Нѣтъ ἄχρι τῶν ιβ′ [3]) Нѣтъ καθ' ἑαυτὸν и всего замѣчанія о звонѣ [4]) Здѣсь перестановка. По Palat. cod. идетъ описаніе приготовленія свѣчи и кандила, а затѣмъ уже о звонѣ въ била. [5]) τῶν ἁγίων θυρῶν καὶ εἰς τοὺς δύο χοροὺς [6]) Прибавлено: δηλονότι τοῦ ἱερέως.

γ' μετὰ τοῦ θυμιατοῦ, τελευταῖον ἐκφωνῶν οὕτως· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ. Καὶ μετὰ τὸ Ἀμὴν [1]) ἄρχεται ὁ προεστώς, ἢ ὁ ἐκκλησιάρχης· Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ [2]) τῷ βασιλεῖ ἡμῶν [3]), λέγοντες [4]) αὐτὸ δίς, μεγαλοφώνως δὲ καὶ μετὰ μέλους, εἶτα πάλιν· Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ [5]) τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν, λέγοντες τοῦτο ἅπαξ. Εἶθ' οὕτως [6])· Δεῦτε προσκυνήσωμεν [7]) μόνον. Εἶτα ἄρχεται ὁ ἐκκλησιάρχης γεγονωτέρᾳ φωνῇ εἰς ἦχον πλ. δ' τὸ Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, ἀργῶς καὶ μετὰ μέλους [8]), συμψαλλόντων καὶ τῶν λοιπῶν ἀδελφῶν τῶν ἐν τοῖς δύο χοροῖς ὁμοῦ ἄχρι τοῦ Ἀνοίξαντός σου τὴν χεῖρα. Ὁ δὲ ἱερεὺς μετὰ τοῦ κανονάρχου [9]), ἐξελθὼν τοῦ ἁγίου θυσιαστηρίου καὶ ποιήσαντες ὁμοῦ μετάνοιαν κατέναντι [10]) τῶν ἁγίων θυρῶν, ὡσαύτως καὶ εἰς τοὺς χοροὺς πρὸς μίαν, ὁ μὲν ἱερεὺς ἀπέρχεται εἰς τὸ στασίδιον αὐτοῦ, ὁ δὲ κανονάρχης [11]), λαβὼν ἀπὸ τοῦ ἀναλογίου τὸ βιβλίον, τὸ περιέχον τοὺς τοῦ ψαλμοῦ στίχους, ἀπέρχεται ἐν τῷ μέσῳ καὶ κανοναρχεῖ. Ὅταν δὲ φθάσωμεν τὸν προῤῥηθέντα στίχον, τὸ Ἀνοίξαντός σου τὴν χεῖρα, ποιεῖ ὁ ἐκκλησιάρχης τῷ ἡγουμένῳ μετάνοιαν καὶ ἀναῤῥοεῖ τὸν στίχον ὑψηλότερον καὶ ψάλλονται [12]) οἱ ἑξῆς στίχοι τοῦ ψαλμοῦ μέχρι τέλους, οὐκ ἐν τῷ μέσῳ παρ' ἀμφοτέρων τῶν μερῶν, ἀλλ' ἰδίᾳ καὶ ἰδίᾳ ἀνὰ μέρος. Πληρουμένου δὲ τοῦ ψαλμοῦ[13]), ψάλλεται ὁ τελευταῖος στίχος, τὸ Πάντα ἐν σοφίᾳ ἐποίησας, ἐν τῷ μέσῳ παρ' ἀμφοτέρων τῶν χορῶν, ὁμοίως καὶ τὸ Ἀλληλούια, Ἀλληλούια [14]) δόξα σοι ὁ Θεός. Τούτου δὲ ψαλλομένου, ὁ ἱερεὺς ἀπελθὼν λέγει τὰς εὐχὰς τοῦ λυχνικοῦ, ἱστάμενος ἀσκεπὴς ἔμπροσθεν τῶν ἁγίων θυρῶν. Καὶ μετὰ τὴν πλήρωσιν τοῦ ψαλμοῦ ποιεῖ συναπτὴν μεγάλην... Порядокъ обычный. Ἰστέον[15]) δέ, ὅτι, ὡς ἡνίκα ἐξέλθωμεν ἐν τῷ νάρθηκι, ποιοῦντες τὴν λιτήν, προτίθησιν ὁ κελαρίτης ἐν τῷ ἀναλογίῳ, προευτρεπισθέντι παρὰ τοῦ κανδηλάπτου ἐν τῷ τόπῳ, ᾧ σύνηθές ἐστι ποιεῖν τὴν ἀνάγνωσιν, ἄρτους πέντε, ἐξ ὧν προσφέρομεν ἐν τῷ ναῷ, οὓς καὶ προσφορὰς

---

[1]) Нѣтъ [2]) Нѣтъ: Χριστῷ [3]) Прибавлено: Θεῷ. [4]) μαλθακῇ καὶ ἡσύχῳ φωνῇ, εἶθ' οὕτως δεύτερον ἀνώτερον πρὸς ὀλίγον· Δεῦτε [5]) τῷ βασιλεῖ ἡμῶν Θεῷ [6]) ἔξω [7]) καὶ προσπέσωμεν αὐτῷ Χριστῷ τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν, καὶ ψάλλεται τὸ Εὐλόγει, ἡ ψυχή μου [8]) ἀρχομένου ἐκκλησιάρχου [9]) κανδηλάπτου [10]) κατενώπιον [11]) Замѣчанія о канонархѣ нѣтъ [12]) Нѣтъ замѣчанія объ исполненіи стиховъ [13]) γίνεται συναπτὴ μεγάλη [14]) Двугубое Аллилуія идетъ черезъ всю эту рукопись и двѣ другія № 321 и № 324 той же Ватоп. библ. [15]) № 324 этихъ словъ нѣтъ, а прямо: ὁ δὲ κελαρίτης ἐν τῷ εἰς τὸν νάρθηκα ἐκτελεῖσθαι τὴν λιτήν, προτίθησιν ἐν τῷ ἀναλογίῳ κατὰ τὸ μέσον τοῦ ναοῦ ἄρτους ε', ἐξ ὧν προσφέρομεν.

γ' μετὰ τοῦ θυμιατοῦ, τελευταῖον ἐκφωνῶν οὕτως· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ. Καὶ μετὰ τὸ Ἀμὴν 1) ἄρχεται ὁ προεστώς, ἢ ὁ ἐκκλησιάρχης· Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ 2) τῷ βασιλεῖ ἡμῶν 3), λέγοντες 4) αὐτὸ δίς, μεγαλοφώνως δὲ καὶ μετὰ μέλους, εἶτα πάλιν· Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ 5) τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν, λέγοντες τοῦτο ἅπαξ. Εἶθ' οὕτως 6)· Δεῦτε προσκυνήσωμεν 7) μόνον. Εἶτα ἄρχεται ὁ ἐκκλησιάρχης γεγονωτέρᾳ φωνῇ εἰς ἦχον πλ. δ' τὸ Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, ἀργῶς καὶ μετὰ μέλους 8), συμψαλλόντων καὶ τῶν λοιπῶν ἀδελφῶν τῶν ἐν τοῖς δύο χοροῖς ὁμοῦ ἄχρι τοῦ Ἀνοίξαντός σου τὴν χεῖρα. Ὁ δὲ ἱερεὺς μετὰ τοῦ κανονάρχου 9), ἐξελθὼν τοῦ ἁγίου θυσιαστηρίου καὶ ποιήσαντες ὁμοῦ μετάνοιαν κατέναντι 10) τῶν ἁγίων θυρῶν, ὡσαύτως καὶ εἰς τοὺς χοροὺς πρὸς μίαν, ὁ μὲν ἱερεὺς ἀπέρχεται εἰς τὸ στασίδιον αὐτοῦ, ὁ δὲ κανονάρχης 11), λαβὼν ἀπὸ τοῦ ἀναλογίου τὸ βιβλίον, τὸ περιέχον τοὺς τοῦ ψαλμοῦ στίχους, ἀπέρχεται ἐν τῷ μέσῳ καὶ κανοναρχεῖ. Ὅταν δὲ φθάσωμεν τὸν προρρηθέντα στίχον, τὸ Ἀνοίξαντός σου τὴν χεῖρά, ποιεῖ ὁ ἐκκλησιάρχης τῷ ἡγουμένῳ μετάνοιαν καὶ ἀναρροεῖ τὸν στίχον ὑψηλότερον καὶ ψάλλονται 12) οἱ ἑξῆς στίχοι τοῦ ψαλμοῦ μέχρι τέλους, οὐκ ἐν τῷ μέσῳ παρ' ἀμφοτέρων τῶν μερῶν, ἀλλ' ἰδίᾳ καὶ ἰδίᾳ ἀνὰ μέρος. Πληρουμένου δὲ τοῦ ψαλμοῦ 13), ψάλλεται ὁ τελευταῖος στίχος, τὸ Πάντα ἐν σοφίᾳ ἐποίησας, ἐν τῷ μέσῳ παρ' ἀμφοτέρων τῶν χορῶν, ὁμοίως καὶ τὸ Ἀλληλούια, Ἀλληλούια 14) δόξα σοι ὁ Θεός. Τούτου δὲ ψαλλομένου, ὁ ἱερεὺς ἀπελθὼν λέγει τὰς εὐχὰς τοῦ λυχνικοῦ, ἱστάμενος ἀσκεπὴς ἔμπροσθεν τῶν ἁγίων θυρῶν. Καὶ μετὰ τὴν πλήρωσιν τοῦ ψαλμοῦ ποιεῖ συναπτὴν μεγάλην... Порядокъ обычный. Ἰστέον 15) δέ, ὅτι, ὡς ἡνίκα ἐξέλθωμεν ἐν τῷ νάρθηκι, ποιοῦντες τὴν λιτήν, προτίθησιν ὁ κελαρίτης ἐν τῷ ἀναλογίῳ, προευτρεπισθέντι παρὰ τοῦ κανδηλάπτου ἐν τῷ τόπῳ, ᾧ σύνηθές ἐστι ποιεῖν τὴν ἀνάγνωσιν, ἄρτους πέντε, ἐξ ὧν προσφέρομεν ἐν τῷ ναῷ, οὓς καὶ προσφορὰς

1) Нѣтъ 2) Нѣтъ: Χριστῷ 3) Прибавлено: Θεῷ. 4) μαλθακῇ καὶ ἡσύχῳ φωνῇ, εἶθ' οὕτως δεύτερον ἀνώτερον πρὸς ὀλίγον· Δεῦτε 5) τῷ βασιλεῖ ἡμῶν Θεῷ 6) ἔξω 7) καὶ προσπέσωμεν αὐτῷ Χριστῷ τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν, καὶ ψάλλεται τὸ Εὐλόγει, ἡ ψυχή μου 8) ἀρχομένου ἐκκλησιάρχου 9) κανδηλάπτου 10) κατενώπιον 11) Замѣчанія о канонархѣ нѣтъ 12) Нѣтъ замѣчанія объ исполненіи стиховъ 13) γίνεται συναπτὴ μεγάλη 14) Двугубое Аллилуія идетъ черезъ всю эту рукопись и двѣ другія № 321 и № 324 той же Ватоп. библ. 15) № 324 этихъ словъ нѣтъ, а прямо: ὁ δὲ κελαρίτης ἐν τῷ εἰς τὸν νάρθηκα ἐκτελεῖσθαι τὴν λιτήν, προτίθησιν ἐν τῷ ἀναλογίῳ κατὰ τὸ μέσον τοῦ ναοῦ ἄρτους ε', ἐξ ὧν προσφέρομεν.

ἔθος καλεῖν, ὡσαύτως καὶ [1]) ὁ οἰνοχόος στάμνον μεστὴν οἴνου τοῦ κρείττονος, σίτον τε καὶ ἔλαιον [2]). Μετὰ δὲ τὸ τέλος τῆς εὐχῆς εἰσερχόμεθα ἐν τῷ ναῷ, ψάλλοντες ἀναστάσιμον στιχηρὸν τοῦ στίχου. Καὶ μετὰ τοῦτο ψάλλομεν καὶ ἕτερα στιχηρὰ ἐκ τῶν κατὰ ἀλφάβητον γ', ἡνωμένων τῶν δύο χορῶν, ἐπᾴδοντες καὶ τοὺς στίχους αὐτῶν. . . Καὶ ὁ μὲν διάκονος, ἐν τῷ λέγειν ἡμᾶς τὸ ὕστερον ἀπολυτίκιον, θυμιᾷ τοὺς ἄρτους κύκλωθεν, καὶ ἀπὸ τῶν τεσσάρων δηλονότι μερῶν, εἶτα πάλιν ἀπὸ τοῦ ἔμπροσθεν μέρους, ὁ δὲ ἱερεὺς μετὰ τὸ τέλος τοῦ ἀπολυτικίου, λαβὼν ἄρτον ἕνα ἐπὶ χεῖρας καὶ τυπώσας ἐν αὐτῷ σταυρόν, ἐπεύχεται τὴν εὐχὴν ταύτην μεγαλοφώνως, τοῦ διακόνου πρότερον εἰπόντος· Τοῦ Κυρίου δεηθῶμεν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ εὐλογήσας τοὺς πέντε ἄρτους καὶ πεντάκις χιλίους χορτάσας. . . . Ὁ δὲ ἱερεὺς (по прочтенiи евангелiя), λαβὼν ἀνὰ χεῖρας τὸ ἅγιον Εὐαγγέλιον καὶ ἐξελθὼν διὰ τῶν ἁγίων θυρῶν, ἀπέρχεται καὶ ἵσταται ἐν τῷ μέσῳ τοῦ ναοῦ, τῆς λαμπάδος προπορευομένης αὐτοῦ, καὶ ἀπέρχεται ὁ καθηγούμενος καὶ ἀσπάζεται τὸ ἅγιον Εὐαγγέλιον, ποιῶν πρὸ τοῦ ἀσπάσασθαι μετάνοιαν μίαν, ὡσαύτως καὶ μετὰ τὸ ἀσπάσασθαι καὶ καθεξῆς οἱ ἀδελφοὶ δύο ἀφ' ἑκατέρου χοροῦ, ποιοῦντες ὁμοίως, ἀλλὰ δὴ καὶ οἱ ἐν τῷ νάρθηκι. . . Μετὰ δὲ τὴν ἀπόλυσιν ποιοῦμεν λιτὴν ἐν τῷ νάρθηκι, ψάλλοντες στιχηρὰ τοῦ ἁγίου τῆς μονῆς εἰς τὸν ἦχον τῆς Ὀκτωήχου, ἐκφωνουμένων καὶ τῶν προγραφεισῶν εὐχῶν διὰ τοῦ ἱερέως, ἕως τῶν ἐκτενῶν καὶ τῶν λοιπῶν. Εἶτα τὴν εὐχήν· Δέσποτα πολυέλεε, Κύριε. . .

[л. 18). Εἴδησις τῶν ἀγρυπνιῶν τοῦ ὅλου ἐνιαυτοῦ.

[л. 18 об.). Περὶ τοῦ πῶς δεῖ στιχολογεῖσθαι τὸ Ψαλτήριον ἐν ὅλῳ τῷ ἐνιαυτῷ.

[л. 19). Περὶ τοῦ πῶς δεῖ σημαίνειν καθ' ἑκάστην ἡμέραν καὶ περὶ τῆς ἡμερονυκτίου ἀκολουθίας, ὅτε ἔστιν Ἀλληλούια. Весь порядокъ суточной службы.

[л. 22 об.). Περὶ τοῦ προκειμένου τοῦ ἀποστόλου, τοῦ ἀλληλουαρίου, καὶ τῆς ἐν τῇ ἀγρυπνίᾳ καὶ ἐν τῇ τραπέζῃ ἀναγνώσεως καὶ περὶ ἑτέρων παρὰ τίνος ὀφείλουσι τελεῖσθαι.

Ἰστέον δέ, ὅτι ὁ ταχθεὶς μοναχὸς κανονάρχης ὁ αὐτὸς λέγει καὶ

---

[1]) στάμνον μεστὴν οἴνου τοῦ κρείττονος, σίτον [2]) καὶ ἅπτουσι δύο λαμπάδας ἔνθεν καὶ κἀκεῖθεν τοῦ ἀναλογίου, καὶ ὁ μὲν διάκονος, ἐν τῷ λέγειν ἡμᾶς τὸ ἀπολυτίκιον, θυμιᾷ τοὺς ἄρτους κύκλωθεν.

τὸ προκείμενον ἐν τῷ ἑσπερινῷ, ἢ τὸ Ἀλληλούια, ὅτε ψάλλεται ἀντὶ τοῦ προκειμένου [1]) καὶ τὰ λοιπὰ προκείμενα τῶν προφητειῶν [2]), ἀλλὰ δὴ καὶ τὰς προφητείας ἐν τῇ ἁγίᾳ καὶ μεγάλῃ μ′ καὶ εἰς τὸν ὄρθρον τὸ προκείμενον τοῦ εὐαγγελίου καὶ τὸ Πᾶσα πνοή, καὶ εἰς τὴν λειτουργίαν τὸ προκείμενον τοῦ ἀποστόλου, τὸν ἀπόστολον καὶ τὸ ἀλληλουάριον, εἰ τύχοι ἐπιστάμενος αὐτό, εἰ δ' οὖν, τάσσει ὁ ἐκκλησιάρχης ἕτερον ἀδελφόν, εἰδότα ψάλλειν, κἀκεῖνος ψάλλει τὸ ἀλληλουάριον. Καὶ μετὰ τὸ πληρῶσαι βάλλουσιν ὁμοῦ ιβ′ μετανοίας, ὅ τε δηλονότι λέγων τὸν ἀπόστολον καὶ ὁ ψάλτης. Ὁ αὐτὸς δὲ κανονάρχης ποιεῖ τὴν πρώτην ἀνάγνωσιν τῆς ἀγρυπνίας, ἤγουν τὴν μετὰ τὸν μέγαν ἑσπερινὸν γινομένην, ἀλλὰ δὴ καὶ τὴν εἰς τὴν τράπεζαν. Ὁμοίως λέγει καὶ τὰ τῶν ὡρῶν προκείμενα, ὅτε ἐστὶν Ἀλληλούια, ἤγουν· Τὸ πρωῒ εἰσάκουσον τῆς φωνῆς μου. Κύριε, ὁ τὸ πανάγιόν σου Πνεῦμα, καὶ τὰ λοιπά. Ὁ δὲ ταχθεὶς μοναχὸς ἀφ' ἑσπέρας εἰπεῖν τὸν προοιμιακὸν ψαλμόν, οὗτος ἄρχεται τοῦ Κύριε ἐκέκραξα, λέγει τὸ Φῶς ἱλαρόν, τὸ Καταξίωσον, τὸ Νῦν ἀπολύεις, ἐν τῷ ὄρθρῳ τὸ ἑξάψαλμον, ἄρχεται τοῦ εἱρμοῦ τῆς α′ ᾠδῆς, λέγει· Σοὶ δόξα πρέπει, Κύριε ὁ Θεὸς ἡμῶν, ὅτε οὐκ ἔστι [3]) μεγάλη δοξολογία, καὶ τὸ Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ. Ὁ δὲ ἱερεὺς πάντοτε λέγει τὸ Θεὸς Κύριος, ἢ ἀντὶ αὐτοῦ τὸ Ἀλληλούια, τὸ Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν, ὁ φωταγωγικὸς τοῦ ἤχου, ἄρχεται τοῦ Δόξα ἐν ὑψίστοις, ἐν ταῖς μεγάλαις δοξολογίαις, τὸ δὲ Δόξα σοι ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, εἰς τὴν ἀπόλυσιν ὁ προεστὼς λέγει. Τοῦτο δὲ δῆλον, εἰ τετίμηται τῷ τῆς ἱερωσύνης ἀξιώματι.

Ἰστέον δὲ καὶ τοῦτο, ὅτι ἐν μόναις ταῖς ἀναγνώσεσι καὶ ταῖς προφητείαις καθήμεθα, εἰς δὲ τὸν ἀπόστολον ἐν τῇ λειτουργίᾳ ἱστάμεθα. Ἀποσκεπαζόμεθα δὲ εἴς τε τὴν μικρὰν εἴσοδον καὶ εἰς τὴν μεγάλην, εἰς τὸ ἅγιον εὐαγγέλιον, ὅτε ἀναγινώσκεται, εἰς τὸ Πάτερ ἡμῶν, ὃ καὶ ποιοῦμεν στίχους ζ′, εἰς τὸ Προσέλθετε, εἰς τὸ Πρόσχωμεν, Τὰ ἅγια τοῖς ἁγίοις, εἰς τὸ Πληρωθήτω, εἰς Τὴν Τιμιωτέραν καὶ εἰς τὸ Χριστὸς ὁ ἀληθινός.

[Л. 23). Περὶ τοῦ καθ' ἑκάστην μικροῦ ἑσπερινοῦ, ὅτε ἐστὶ Θεὸς Κύριος, οὐ μὴν δὲ ὁ ἅγιος ἑορτάζεται εἰς η′.

— Περὶ τοῦ πότε καὶ πῶς δεῖ τὸν κανονάρχην ποιεῖν τὴν με-

---

[1]) ἐν τῷ ἑσπερινῷ [2]) τῆς ἁγίας καὶ μεγάλης μ′, ἀναγινώσκει δὲ κατὰ τὰς προφητείας καὶ εἰς τὸν ὄρθρον. [3]) οὐ γίνεται.

τανοίαν καὶ πότε χρὴ τοὺς δύο χοροὺς συνάγεσθαι μέσον καὶ ἐξίσου ποιεῖν ὁμοῦ τὴν μετάνοιαν τόν τε κανονάρχην καὶ τοὺς ἀδελφούς.

[л. 24). Περὶ τοῦ πότε δεῖ θυμιᾶν τὸν ἱερέα. См. выше стр. 307, прим.

— Περὶ τοῦ πῶς δεῖ θυμιᾶν τὸν ἱερέα, ἢ τὸν διάκονον.

[л. 24 об.). Περὶ τοῦ πῶς δεῖ ψάλλειν τὴν ἀκολουθίαν ἀπὸ τῆς νέας κυριακῆς ἄχρι τῆς ν′ ἔν τε τῷ ἑσπερινῷ καὶ τῷ ὄρθρῳ.

[л. 25 об.). Περὶ τοῦ εἰς ποῖον ἦχον χρὴ ψάλλειν τὸ κάθισμα τῆς παρασκευῆς, ἤτοι τὸν πολυέλεον, ὅτε γίνεται Ἀλληλούια, ἢ Θεὸς Κύριος.

— Περὶ τῶν ἡμερῶν τῆς ἑβδομάδος, ὅπως ψάλλονται οἱ τῆς Ὀκτωήχου κανόνες μετὰ τῶν ἐν τῷ Μηναίῳ.

[л. 26 об.). Περὶ τῆς ἀκολουθίας τοῦ σαββάτου, ὅτε ἐστὶ Θεὸς Κύριος.

[л. 27 об.). Περὶ τῆς ἀκολουθίας τοῦ σαββάτου, ὅτε ἐστὶν Ἀλληλούια.

[л. 29). Περὶ προεόρτων καὶ μεθεόρτων, εἰ τύχωσι μετὰ ἁγίου, ἔχοντος λειτουργίαν ἐν σαββάτῳ. На полѣ замѣчено: Μάρκου μοναχοῦ εἰς τὸ αὐτό.

[л. 29 об.). Περὶ τοῦ μὴ ποιεῖν συντυχίας τοὺς ἱσταμένους ἐν τῇ ἐκκλησίᾳ ἀδελφούς, μήτε μὴν συνεχῶς ἐξέρχεθαι, ἀλλὰ καὶ τοὺς ἔξωθεν ἱσταμένους μετὰ φόβου καὶ σιωπῆς ἵστασθαι παραγγελεῖν καὶ μὴ ἐᾶν τοὺς βουλομένους εὐχῆς χάριν εἰσέρχεσθαι ἐν τῷ ναῷ, ψαλλόντων τῶν ἀδελφῶν, ἀλλ' ἔξω κατέχειν αὐτοὺς μέχρι τῆς ἀπολύσεως.

Ὀφείλομεν δὲ ἐστὶ καὶ τοῦτο γινώσκειν τοὺς ἀδελφοὺς τὸ μὴ ποιεῖν συντυχίας τοὺς ἱσταμένους εἰς τοὺς χοροὺς τῆς ἐκκλησίας, ἀλλὰ μηδὲ ἐξέρχεσθαι τινά, ἢ εἰσέρχεσθαι. См. выше стр. 82.

— Περὶ τοῦ πῶς ὀφείλουσιν οἱ χοροὶ κατὰ τάξιν ἀμείβεσθαι καὶ οὕτω τῆς ἀκολουθίας κατάρχειν ἕκαστον αὐτῶν.

Χρὴ εἰδέναι, ὅτι οἱ χοροὶ καθ' ἑκάστην ἀμείβονται ἀπ' ἀρχῆς τοῦ λυχνικοῦ ἕως τῆς ἐπαύριον τῆς λειτουργίας [1]). Ἄρχεται δὲ ὁ δεξιὸς χορός, ἤως ὁ τοῦ ἡγουμένου, ἀπὸ τῆς νέας κυριακῆς καὶ ἑξῆς ἀμοι-

---

[1]) ὁ γὰρ ἐναρξάμενος χορὸς οὗτος ἄρχεται τοῦ Κύριε ἐκέκραξα ἐν τῷ ἑσπερινῷ, οὗτος ἄρχεται τῶν καθισμάτων τῆς α′ στιχολογίας τῶν μετὰ τὸν Ἄμωμον τροπαρίων и далѣе.

βαδόν, ὅταν δὲ πληρώσωσιν οἱ ὀκτὼ ἦχοι τῆς Ὀκτωήχου καὶ μέλλῃ ἄρξεσθαι ὁ πρῶτος ἦχος, ὁ χορὸς εἰς ὃν ἔτυχε τὸ τῆς Ὀκτωήχου πλήρωμα, ἐκεῖνος ἄρχεται τοῦ πρώτου· ὁ γοῦν ἐναρξάμενος χορός, οὗτος ἄρχεται τοῦ Κύριε ἐκέκραξα ἐν τῷ ἑσπερινῷ, οὗτος ἄρχεται τῶν καθισμάτων τῆς πρώτης στιχολογίας, τῆς α' καὶ γ' ᾠδῆς, τῆς ε', τῆς ζ', τῆς θ', τοῦ ἐξαποστειλαρίου τοῦ ἁγίου, εἴπερ εἰσὶ β', εἰ δὲ γ', ὁ ἕτερος, τῶν αἴνων [1]), τῷ σαββάτῳ τὰ μετὰ τὸν Ἄμωμον νεκρώσιμα τροπάρια καὶ τῇ κυριακῇ τῶν μετὰ τὸν Ἄμωμον ὡσαύτως ἀναστασίμων, τροπάρια καὶ τοῦ πρώτου καὶ τρίτου ἀντιφώνου τῶν ἀναβαθμῶν. Ἐν ταῖς ἑορτασίμαις ἡμέραις, ἥως ἐν τῇ ἀγρυπνίᾳ, τὸ Ἵνα τί ἐφρύαξαν, εἰς τὸν ὄρθρον τοῦ πολυελέου καὶ τοῦ μετ' αὐτὸν καθίσματος τῶν ἀναβαθμῶν, μετὰ τὸν ν' τὸ Δόξα, Ταῖς τῶν ἀποστόλων. Εἰς τὴν λειτουργίαν τοῦ πρώτου ψαλμοῦ τῶν τυπικῶν καὶ τῶν μακαρισμῶν. Τῇ ἁγίᾳ καὶ μεγάλῃ μ' ἐν τοῖς ἀποδείπνοις τὸ Μεθ' ἡμῶν ὁ Θεός, τὸ [Παναγία Θεοτόκε, βοήθησον ἡμῖν, καὶ τὸ Κύριε τῶν δυνάμεων, ἐξ αὐτοῦ ἐστὶ καὶ ὁ μοναχός, ὁ τὸν προοιμιακὸν λέγων ψαλμὸν ἐν τῷ λυχνικῷ, τὸ Φῶς ἱλαρόν, τὸ Καταξίωσον, τὸ Νῦν ἀπολύεις, καὶ ἐν τῷ ὄρθρῳ τὸν ἑξάψαλμον, τὴν δοξολογίαν, στιχηρὰ τῶν αἴνων καὶ τὸ Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι, πρὸς δὲ τούτοις καὶ ἐξ αὐτοῦ εἰσὶν οἱ ποιοῦντες τὰς ἀναγνώσεις.

[л. **31**). Περὶ τῆς ἁγίας μ' τῶν Χριστουγέννων καὶ τῶν ἁγίων Ἀποστόλων, ἐν ᾧ καὶ διάταξις τῆς ἀκολουθίας τοῦ τε μεσονυκτικοῦ καὶ τοῦ ὄρθρου καὶ τῶν μεσωρίων τῶν ὡρῶν τῆς πρώτης ὁμοῦ καὶ τρίτης καὶ ἕκτης καὶ ἐννάτης καὶ τῶν τυπικῶν, ἀλλὰ δὴ καὶ τοῦ ἑσπερινοῦ καὶ τῶν ἀποδείπνων, ὅτε τύχῃ Ἀλληλούια, ἐν δευτέρᾳ, τετράδι καὶ παρασκευῇ.

[л. **31**) Περὶ τοῦ μεσωρίου τῆς πρώτης ὥρας.

]л. **33**). Περὶ τροπαρίων τῶν ἀποδείπνων, τῶν προεορτίων, τῶν μεθεορτίων τῶν ἁγίων καὶ τῶν ἡμερῶν τῆς ἑβδομάδος. На полѣ: «Μάρκος».

[л. **33** об.). Περὶ τοῦ πῶς ἀναγινώσκονται τὰ εὐαγγέλια καὶ αἱ τούτων ἑρμηνεῖαι ἐν τῷ ὅλῳ ἐνιαυτῷ, ὡσαύτως ἐπὶ τῶν λοιπῶν τοῦ ὄρθρου ἀναγνώσεων. См. выше стр. 308—309, ст. 3.

---

[1]) ἐν ταῖς ἑορτασίμαις ἡμέραις, ἤγουν ἐν τῇ ἀγρυπνίᾳ τοῦ Ἵνα τί ἐφρύαξαν, εἰς τὸν ὄρθρον τοῦ πολυελέου.

[л. 34). Περὶ τοῦ πότε χρὴ τὴν τοῦ μεγάλου Βασιλείου λειτουργίαν τελεῖσθαι. Въ этой же главѣ о преждеосвященной литургіи замѣчено: Ἡ δὲ προηγιασμένη λειτουργία ἐν ταῖς δυσὶν ἡμέραις τῆς ἁγίας καὶ μεγάλης μ' λειτουργεῖται, ἤως τῇ τετράδι καὶ τῇ παρασκευῇ.

— Περὶ τοῦ ὅπως ὀφείλουσιν ἀναγινώσκεσθαι τὰ ἑωθινὰ εὐαγγέλια ἀπὸ τῆς μεγάλης κυριακῆς τοῦ Πάσχα ἄχρι τῶν Ἁγίων Πάντων.

[л. 34 об.). Ὅτι χρὴ τάσσειν ἐν τῇ ἐκκλησίᾳ ἐξυπνιστήν. См. выше стр. 310.

— Ὅτι δεῖ ψάλλειν καθ' ἑκάστην ἐν τοῖς ἀποδείπνοις παρακλητικὸν κανόνα τῆς Θεοτόκου καὶ περὶ τοῦ ποίαν ὥραν ἀπολύειν ὀφείλει αὐτόν, καὶ ὅτι μετὰ τὴν τούτων ἀπόλυσιν οὐ χρὴ συντυχίας ποιεῖσθαι τοὺς μοναχοὺς πρὸς ἀλλήλους, ἀλλ' ἐν τοῖς ἰδίοις κελλίοις μεθ' ἡσυχίας ἀπέρχεσθαι.

[л. 35). Μάρκου [1]) μοναχοῦ τὰ ἑξῆς πάντα κεφάλαια. 25) Περὶ τῶν ἑορτῶν τῆς ὑπεραγίας Θεοτόκου· τῆς Γεννήσεως, τῆς Εἰσόδου, τῆς Ὑπαπαντῆς, τοῦ Εὐαγγελισμοῦ καὶ τῆς Κοιμήσεως, εἰ τύχοιεν ἐν κυριακῇ. 26) Περὶ τῆς ἀποδόσεως τῶν αὐτῶν ἑορτῶν τῆς ὑπεραγίας Θεοτόκου. 27) Περὶ τῶν Δεσποτικῶν ἑορτῶν τῆς Ὑψώσεως, τῶν Χριστουγέννων, τῶν Φώτων καὶ τῆς Μεταμορφώσεως, εἰ τύχοιεν ἐν κυριακῇ. 28) Περὶ τῆς ἀποδόσεως τῶν αὐτῶν Δεσποτικῶν ἑορτῶν. 29) Περὶ τῆς ἀποδόσεως τῶν Δεσποτικῶν ἑορτῶν, εἰ τύχοιεν ἐν κυριακῇ. 30) Περὶ προεορτίων καὶ μεθεορτίων τῶν Δεσποτικῶν ἑορτῶν, εἰ τύχοιεν ἐν κυριακῇ. 31) Περὶ προεορτίων καὶ μεθεορτίων κοντακίων, λεγομένων ἐν κυριακῇ, ἀντὶ ὑπακοῆς τοῦ ἤχου. 32) Περὶ δύο ἁγίων, ἐχόντων τροπάρια δύο, πῶς λέγονται τῇ κυριακῇ. 33) Περὶ τροπαρίων προεορτίων καὶ μεθεορτίων, εἰ τύχοιεν ἐν κυριακῇ μετὰ ἁγίου, ἔχοντος τροπάριον. 34) Περὶ τροπαρίου δύο Δεσποτικῶν ἑορτῶν, εἰ τύχοιεν ὁμοῦ ἐν κυριακῇ. 35) Περὶ τροπαρίου προερτίων καὶ μεθεορτίων καὶ τῶν ἁγίων, πῶς λέγονται καθημέραν. 36) Περὶ τῶν προεορτίων καὶ μεθεορτίων κανόνων, πῶς ψάλλονται μετὰ τῶν ἁγίων. 37) Περὶ ἁγίων δύο, ἐχόντων κοντάκιον, πῶς ὀφείλουσι λέγεσθαι, εἰ τύχοιεν ὁμοῦ μετὰ προεορτίων, ἢ μεθεορτίων κοντακίων. 38) Περὶ προεορτίων καὶ μεθεόρτων, εἰ τύχοιεν μετὰ β' ἁγίων ἐν κυριακῇ. 39) Περὶ ἁγίου, ἔχον-

[1]) № 324. Ἐκ τῶν κεφαλαίων τοῦ μοναχοῦ Μάρκου περὶ τῶν ἀμφιβαλλομένων ἐν τοῖς Τυπικοῖς.

τος ἀγρυπνίαν, εἰ τύχοιεν ἐν κυριακῇ. 40) Περὶ ἁγίου, ἔχοντος πολυέλεον καὶ ἑορταζομένου εἰς ϛ', εἰ τύχοιεν ἐν κυριακῇ. 41) Περὶ ἁγίου, ἑορταζομένου εἰς ϛ', εἰ τύχοιεν ἐν κυριακῇ. 42) Περὶ προεορτίων Δεσποτικῶν ἑορτῶν, εἰ τύχοιεν ἐν κυριακῇ. 43) Περὶ προεορτίων τῶν ἁγίων καὶ τῶν πρώτων θεοτοκίων, πῶς λέγονται τῇ παρασκευῇ ἑσπέρας καὶ τῷ σαββάτῳ καὶ τῇ κυριακῇ. 44) Περὶ ἁγίου, ἑορταζομένου εἰς η', εἰ τύχοιεν ἐν μιᾷ τῶν ϛ' ἡμερῶν τῆς ἑβδομάδος, πάρεξ δηλονότι τῆς κυριακῆς. 45) Ὡσαύτως, εἰ ἑορτάζεται εἰς ϛ', ἔχων πολυέλεον, ὁποῖα θεοτοκία λέγονται. 46) Περὶ τῶν πρώτων θεοτοκίων, πῶς λέγονται τῷ σαββάτῳ καὶ τῇ κυριακῇ. 47) Περὶ ἁγίου, ἔχοντος εἴσοδον, καὶ περὶ πρώτων θεοτοκίων στιχηρῶν. 48) Περὶ τοῦ πότε οὐ στιχολογοῦμεν τὸ Τῷ Κυρίῳ ᾄσωμεν. 49) Περὶ τοῦ πότε οὐ στιχολογεῖται Ἡ Τιμιωτέρα καὶ πότε στιχολογεῖται. 50) Περὶ τοῦ πότε γίνεται λιτὴ καὶ πότε οὐ γίνεται.

Текстъ этихъ главъ нѣсколько отличенъ отъ печатнаго греческаго Типикона. Для примѣра сдѣлаемъ здѣсь сравненіе послѣдней главы:

	Τυπικόν, Venet. 1603 г. [л. 126).
Χρὴ εἰδέναι, ὅτε ἀείποτε δι' ὅλου τοῦ ἐνιαυτοῦ γίνεται λιτὴ ἑσπέρας καὶ πρωὶ μετὰ τὴν ἀπόλυσιν τοῦ λυχνικοῦ καὶ τοῦ ὄρθρου, καὶ μνημονεύονται πάντες οἱ κεκοιμημένοι ἐν Χριστῷ πατέρες καὶ ἀδελφοὶ ἡμῶν καὶ κατ' ὄνομα γεγραμμένοι ἐν τῷ τῆς μονῆς βραβείῳ. Μνημονεύονται δὲ οὐ πάντες ὁμοῦ ἐν ἑκάστῃ λιτῇ, ἀλλὰ μεμερισμένως ἐν μόναις ταῖς ϛ' ἡμέραις, ἤγουν ἀπὸ τῆς πρωΐας τῆς β' μέχρι καὶ τῆς πρωΐας τοῦ σαββάτου· τῇ γὰρ κυριακῇ ἑσπέρας οὐ γίνεται λιτή. Τῷ μέντοι σαββάτῳ ἑσπέρας καὶ τῇ κυριακῇ πρωὶ γίνονται μὲν	Χρὴ εἰδέναι, ὅτε ἀείποτε δι' ὅλου ἐνιαυτοῦ γίνεται λιτὴ ἑσπέρας καὶ πρωΐ καὶ μνημονεύονται πάντες οἱ κεκοιμημένοι ἐν Χριστῷ ἀδελφοὶ καὶ πατέρες ἡμῶν. Οὐ γίνεται δὲ λιτὴ ἀπὸ τὸ πρωΐ τῆς μεγάλης πέμπτης ἕως τῷ σαββάτῳ τῆς Διακαινισήμου, εἰ μήπως τύχοι ὁ Εὐαγγελισμός· ἐν αὐτῇ γὰρ γίνεται λιτὴ καὶ ὅτε ἐστὶ προηγιασμένη κατὰ τὴν ἑσπέραν καὶ μόνην. Ὡσαύτως καὶ ὅτε ἐστὶ δοξολογία, ἑσπέρας μὲν γίνεται λιτὴ καὶ μνημονεύονται οἱ κεκοιμημένοι, πρωΐ δέ, μετὰ τὴν ἀπόλυσιν τοῦ ὄρθρου, γίνεται μὲν λιτή, οὐ μνημονεύονται δὲ οἱ κεκοιμη-

λιταί, οὐ μὴν δὲ μνημονεύονται οἱ κεκοιμημένοι, ὡσαύτως καὶ ὅτε ἐπιστῇ Δεσποτικὴ ἑορτή, ἢ μεγάλου ἁγίου μνήμη, ἑορταζομένη εἰς η′. Σχολάζουσι δὲ αἱ τοιαῦται λιταὶ τῶν κεκοιμημένων ἔν τε τῇ ἁγίᾳ καὶ μεγάλῃ μ′, ὅτε γίνονται προηγιασμέναι κατ᾽ αὐτὴν τὴν ἑσπέραν καὶ μόνην. Τῷ σαββάτῳ τοῦ ἁγίου Λαζάρου καὶ ἀπὸ πρωὶ τῆς μεγάλης ε′ ἕως τοῦ σαββάτου τῆς Διακαινησίμου ἑσπέρας, εἰ μήπως τύχοιεν ὁ Εὐαγγελισμός· ἐν ταύτῃ γὰρ γίνεται λιτή, ὡς τῷ Τυπικῷ διατέτακται. μένοι, ἀλλ᾽ εὐθὺς μετὰ τὸ στιχηρὸν τοῦ ἁγίου ἡ α′ ὥρα καὶ ἀπόλυσις.

[л. 44 об.). Миніатюра, изображающая въ лицахъ значеніе мѣсяца Сентября въ кругѣ цѣлаго года. Около виноградной лозы стоитъ молодой человѣкъ и срываетъ плоды въ кошницу. На немъ блѣднорозовая короткая рубаха, подпоясанная поясомъ, красныя шаровары, забутыя въ чулки. На головѣ его красная шапочка. Сзади этой фигуры стоитъ мальчикъ съ вѣсами въ рукахъ. На немъ одна только темнаго цвѣта сорочка, слегка приподнятая. Подъ миніатюрой подпись:

Ἐγὼ Συμεὼν καὶ τὸν Μάμαντα φέρω,
Τὸν Ἄνθιμόν τε, Βαβύλαν, Ζαχαρίαν,
Χωνῶν Μιχαὴλ καὶ τὸν Σώζοντα, λέγω,
Μητρὸς Θεοῦ γέννησιν, Ἄνναν εὐνέτιδα,
Τὴν Μηνοδώραν συγγόνους Θεοδώραν,
Αὐτόνομον μνείαν τε τῶν ἐγκαινίων,
Τὴν τιμίαν Ὕψωσιν ἐνθέου ξύλου,
Στερρὸν Νικήτα τὸν μόρον, Εὐφημίαν,
Κλεινὴν Σοφίαν σὺν τρισὶ θυγατράσιν,
Εὐμένιον, Τρόφιμον σὺν Εὐσταθίῳ,
Μύστην Κοδράτιον καὶ Φωκᾶν τὸν Γεννάδιον,
Τοῦ Προδρόμου σύλληψιν, Θέκλης ἀνδρίαν,

Τὴν Εὐφροσύνην, παρθένον Ἰωάννην,
Καλλίστρατόν τε καὶ Χαρίτωνος δρόμον,
Τὸν Κυριακὸν καὶ Γρηγόριον θύτην.

[л. 45). Ἀκολουθία τῆς ἐκκλησιαστικῆς ψαλμῳδίας τοῦ ὅλου ἐνιαυτοῦ, ἀρχομένη ἀπ' ἀρχῆς τοῦ Σεπτεμβρίου μέχρι τέλους τοῦ Αὐγούστου.

Въ концѣ службы 8 Сентября замѣчено: Μετὰ δὲ τὸ εἰπεῖν τὸν ἱερέα τὴν εὐχὴν τῆς ἀπολύσεως, ἀπερχόμεθα ἔμπροσθεν τῆς εἰκόνος τῆς ἑορτῆς, ψάλλοντες τὰ ἰδιόμελα, ὁ δὲ ἱερεὺς πρῶτον μὲν θυμιᾷ τὴν εἰκόνα καὶ τοὺς ἀδελφούς, εἶτα, ποιήσας βομβύκινον ἄλειτρον καὶ ἐμβάπτων αὐτὸ εἰς τὸ ἅγιον ἔλαιον, τὸ ἐν τῇ φωταγωγῷ τῆς εἰκόνος, χρίει τοὺς ἀδελφούς, πρότερον προσκυνοῦντας καὶ ἀσπαζομένους τὴν τῆς ἑορτῆς εἰκόνα. Μετὰ δὲ τὸ δοθῆναι τὸ ἅγιον ἔλαιον λέγει ὁ ἱερεὺς τὰς συνήθεις εὐχὰς τῆς λιτῆς πάσης, λεγομένου παρ' ἡμῶν τοῦ Κύριε ἐλέησον πολλάκις, εἶτα τὸ Δέσποτα πολυέλεε, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, καὶ οὕτως, ἐξελθόντες ἐν τῷ νάρθηκι, ψάλλομεν τὴν πρώτην ὥραν, καὶ γίνεται τελεία ἀπόλυσις [л. 52).

[л. 65). Миніатюра. Мужчина одѣтый, какъ и первый, но безъ шапки, несетъ на дубинѣ, лежащей на плечѣ, убитаго зайца. Около него бѣгутъ двѣ легавыя собаки, бѣлая и желтая, а впереди ползетъ скорпіонъ. Подпись: Ὀκτωβρίου σύνοψις ἀκριβεστάτη·

Ἐμοὶ δὲ κόσμος ἡ στάσις Ἀνανίου,
Ὁ Κυπριανός, Διονύσιος μέγας,
Αὖθις Ἱερόθεος, ἡ Χαριτίνη,
Θωμᾶς ὁ διπλοῦς, Βάκχος . . .
Πελαγία τε καὶ σοφὸς παῖς Ἀλφαίου.
Εὐλάμπιος, Φίλιππος εἷς διακόνων,
Τάραχος, Πρόβος καὶ Πάπυλος σὺν Κάρπῳ,
Στῖφος, Ναζάριος Λουκιανός τε,
Λογγῖνος, Σεπτός, Ὡσηέ, Λουκᾶς μέγας,
Βλέπων Ἰωήλ, Ἀρτέμιος ὁ ξένος,
Ἱλαρίων μέγιστος σὺν Ἀβερκίῳ.
Ἀδελφόθεος σὺν συνάθλοις, Ἀρέθας,
Νεκτάριός τε καὶ Δημήτριος, Νέστωρ,
Ὁ κλεινὸς Τερέντιος, Ἀναστασία
Καὶ Ζηνόβιος ἡ χάρις Ἐπιμάχου.

[л. 76). Миніатюра. Мужчина пашетъ. Одною рукою онъ ухватился за рукоятку плуга, а въ другой держитъ дубину. Въ плугъ запряжены пара воловъ. Плугъ по своему устройству весьма немногимъ отличается отъ крестьянской сохи. Наконечникъ плуга обитъ желѣзомъ. Ярмо для запряжки быковъ обыкновенное, но дышло каждое прямо непосредственно прикрѣпляется къ ярму. Впереди быковъ стрѣлецъ стоитъ съ лукомъ, направленнымъ противъ быковъ. Земля усѣяна цвѣтами. Μηνὸς σύνοψις ἥδε Νοεμβρίου·

Ἐγὼ δὲ χαίρω τοῖς δυσὶν Ἀναργύροις
Τοῖς ἀμφὶ Πηγάσιον Ἀκεψιμᾶν τε,
Ἰωαννικίῳ δὲ καὶ Ἐπιστήμῃ,
Παύλῳ καὶ Ἱέρωνι συνάξει νόων,
Ματρώνῃ, Ἐράστῳ τε καὶ Βικεντίῳ,
Τοῖς Ἰωάνναις συμπαθεῖ Χρυσοστόμῳ,
Μύστῃ Φιλίππῳ σὺν δυάδι, Γουρίᾳ,
Τῷ Ματθαίῳ τε θαυμαστῷ Γρηγορίῳ,
Πλάτωνι θείῳ Ῥωμανῷ τε συνάθλῳ,
Τῷ Λυδίου τε Πρόκλῳ Δεκαπολίτῃ
Καὶ Παρθένῳ δὲ πρὸς νεὼν ἀφιγμένῃ,
Φιλήμονός τε τῇ καλῇ ξυναυλίᾳ,
Ἀμφιλοχίῳ σὺν ἅμ' Ἀκραγαντίνῳ,
Αἰκατερίνῃ τῇ σοφῇ, Μερκουρίῳ,
Πέτρῳ, Κλήμεντι τοῖς θύταις Ἀλυπίῳ,
Ἰακώβῳ Πέρσῃ τε, Στεφάνῳ νέῳ,
Τῷ Παραμόνῳ τ' Ἀνδρέᾳ πρωτοκλήτῳ.

[л. 89 об.). Миніатюра. Пожилой мужчина, полускинувъ верхнюю одежду, рѣжетъ кривымъ ножемъ въ видѣ серпа прутья и складываетъ ихъ въ вязанки. Противъ него стоитъ козелъ.

Ὅρα σύνοψις ἥδε τοῦ Δεκεμβρίου·
Ἐγὼ δὲ Ναούμ, Ἀβακούμ, Σωφρονίου
Καὶ Βαρβάρας, Σάββα τε καὶ Νικολάου
Φέρω κατορθώματα, σὺν Ἀμβροσίῳ
Παταπίου θαύματα, σύλληψιν Ἄννης,
Εὔγραφον, Μηνᾶν, Ἑρμογένους τὴν χάριν,

Στύλην Δανιὴλ καὶ Σπυρίδωνος βίον,
Εὐστρατίου, Θύρσα τε τὴν ξυναυλίαν,
Ἐλευθέριον, Ἀγγαῖον, Προπάτορας,
Παῖδας, Δανιήλ, Σεβαστιανοῦ στῖφος
Στερρόν, Βονιφάτιον σὺν Ἰγνατίῳ,
Ἰουλιανήν, Ἀναστασίαν πάλιν,
Κρήτης Δέκα μάρτυρας σὺν Εὐγενίᾳ,
Ὑπερφυᾶ γέννησιν τοῦ Θεολόγου,
Κόρην Ἰωσὴφ καὶ τῶν Σάρδεων θύτην,
Πρωτοστέφανον σὺν γραπτῷ δισμυρίους,
Σφαγὴν νηπίων, Ἀνυσίαν, Μελάνην.

[л. **109** об.). Миніатюра. Пожилой мужчина въ одной короткой рубахѣ и въ шляпѣ на головѣ стоитъ съ кубкомъ въ рукахъ, очевидно, въ ожиданіи вина около тѣхъ же пяти большихъ глиняныхъ сосудовъ. Около сосудовъ съ кружкой въ рукахъ, нагнувшись, стоитъ старецъ слуга въ красной рубахѣ, въ синихъ шароварахъ, черныхъ полусапожкахъ и въ шапочкѣ, подбитой мѣхомъ. Передъ ними водолей изъ кувшина выливаетъ воду въ круглый сосудъ съ широкимъ многоугольнымъ основаніемъ. Деревья, цвѣты и золотое поле составляютъ неотъемлемую принадлежность каждой картины. Подъ миніатюрой: Ἰανουαρίου τε σύνοψις σκόπει·

Περιτομή τε καὶ Βασίλειος μέγας,
Σίλβεστρος πάπας καλλύνει Μαλαχίας,
Γόρδιος μῦσται καὶ χορὸς Θεοπέμπτου,
Βάπτισμα Χριστοῦ καὶ χεὶρ ἡ τοῦ Προδρόμου,
Δομνίκα, Πολύευκτος, Γρηγόριος Νύσσης,
Μέγας Θεοδόσιος, Τατιανή τε
Στρατόνικος, Ἑρμύλος, Ἀββάδων στῖφος,
Ὁ Καλυβίτης, ἅλυσις θείου Πέτρου,
Ἀντώνιός τε σὺν ἅβα Ἀθανασίῳ,
Μάξιμος θεῖος, Ἀναστάσιος Πέρσης,
Κλημέντης, Ἀγαθάγγελος ὁ ξεδήσβιος(;)
Γρηγόριος Θεολόγος τε σὺν Ξενοφῶντι,
Πάλιν ὁ χρυσόγλωττος Ἐφραὶμ ὁ Σύρος,
Ἰγνατίου λείψανα, τρεῖς ἀρχιθῦται
Ἱππόλυτος, Κῦρος τε σὺν Ἰωάννῃ.

[л. 127). Подъ 21 Января записана слѣдующая замѣчательная служба: Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων ἐνδόξων τοῦ Χριστοῦ μεγάλων μαρτύρων Εὐγενίου, Κανδιδίου, Οὐαλεριανοῦ καὶ Ἀκύλα, ὧν τὰ τίμια λείψανα [1]), ὡς ἄσυλος θησαυρός, ἐν τῇ καθ' ἡμᾶς ταύτῃ σεβασμίᾳ μονῇ ἐναπόκεινται. Ἐπιτελεῖται ἡ τούτων ἀκολουθία ἑορτάσιμος Χριστοῦ χάριτι, καθὼς παρέδωκεν ὁ μακαρίτης κτήτωρ τῆς τοιαύτης μονῆς, ὁ Ζηλιπούγγιος ἐκεῖνος, τῆς τῶν ἀναγεγραμμένων ἁγίων τοῦ τε ὁσίου Μαξίμου καὶ τοῦ ἁγίου μάρτυρος Νεοφύτου ἀκολουθίας μετατιθεμένης καὶ ψαλλομένης ἐν ἑτέρᾳ ἡμέρᾳ, ὅτε θέλει ὁ ἐκκλησιάρχης, ἐπιτελεῖται δὲ οὕτως· Πρὸ ἡμερῶν τριῶν τῆς τῶν ἁγίων μνήμης, ἤγουν κατὰ τὴν ιζ' τοῦ αὐτοῦ μηνός, ἑσπέρας ἐν τῷ λυχνικῷ σημαίνει ταχύτερον. Καὶ πάντων συναχθέντων ἐν τῇ μονῇ, τοῦ τε βασιλέως μετὰ πάσης τῆς συγκλήτου, τοῦ ἀρχιερέως τῆς πόλεως, τῶν ἐπισκόπων, τῶν ἡγουμένων τῶν λοιπῶν μοναστηρίων καὶ μοναχῶν μετὰ παντός τε τοῦ κλήρου καὶ τοῦ χριστωνύμου λαοῦ, ψάλλεται ὁ συνήθης ἑσπερινός. Μετὰ δὲ τὴν τοῦ ἑσπερινοῦ ἀπόλυσιν ἀλλάσσει ὁ ἀρχιερεύς, οἱ ἐπίσκοποι καὶ οἱ ἡγούμενοι καὶ λαμβάνουσιν ἐπ' ὤμων τὰ τῶν ἁγίων λείψανα ἐκ τῆς σοροῦ, προηγουμένου τοῦ βασιλέως καὶ παντὸς τοῦ λαοῦ, καὶ εἰσφέρουσι ταῦτα ἐντὸς τῆς πόλεως Τραπεζοῦντος, ἐν τῷ μετοχίῳ τῆς μονῆς, μεθ' ὑμνῳδίας καὶ τῆς προσηκούσης τῇ προπομπῇ ταύτῃ ἀκολουθίας καὶ τάξεως. Καὶ ἀποτίθενται ταῦτα ἐν αὐτῷ ἄχρι τῆς κ' τοῦ μηνὸς πρωΐας, καθ' ἑκάστην ἐπιτελουμένης ἐν αὐτῷ τῆς συνήθους ἀκολουθίας, τοῦ τε ἑσπερινοῦ καὶ τοῦ ὄρθρου παρά τε τοῦ κλήρου καὶ παντὸς τοῦ λαοῦ. Κατὰ δὲ τὴν κ' πρωῒ συνάγονται καὶ αὖθις ἐν τῷ μετοχίῳ ὅ τε βασιλεύς, ὁ ἀρχιερεύς, οἱ ἐπίσκοποι, οἱ ἡγούμενοι καὶ ἅπαν τὸ τοῦ εὐσεβοῦς λαοῦ σύστημα, λαμβάνουσιν ἐπ' ὤμων τὰ τῶν ἁγίων λείψανα ἐκ τοῦ μετοχίου καὶ ἀπάγουσιν αὐτὰ ἐκτὸς τῆς πόλεως εἰς τὴν μονήν. Κἀκεῖσε ἐκτελεῖται ἡ κατὰ τὴν κυρίαν ἡμέραν τῆς μνήμης αὐτῶν, ἤγουν κατὰ τὴν κα', πάννυχος ἀγρυπνία, ὡς καὐτοῖς τοῖς λοιποῖς μεγάλοις ἁγίοις συνήθως ἐπιτελεῖται, ψαλλομένης ἐν αὐτῇ εἴς τε τὸν ἑσπερινὸν καὶ τὸν ὄρθρον πάσης τῆς τῶν ἁγίων ἀκολουθίας. Μετὰ τὴν ἀπόλυσιν τοῦ μεγάλου ἑσπερινοῦ εἰς τὴν εὐλόγησιν τῶν ἄρτων τροπάριον ἦχος δ', πρὸς Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον· Σήμερον ἡ ἐκκλησία στολίζεται τοῖς ᾄσμασι καὶ ἡ οἰκουμένη φαιδρύνεται τοῖς θαύμασιν. . . Λέγομεν τοῦτο δίς, καὶ τὸ Θεοτόκε

---

[1]) Ркп. Діонисіат. библ. № 448 ἐν τῇ Τραπεζοῦντι.

παρθένε, ἅπαξ. Καὶ τίθεται ἀνάγνωσις μεγάλη εἰς τὸ μαρτύριον τῶν ἁγίων, ὅπερ συνεγράψατο ὁ πατριάρχης Κωνσταντινουπόλεως ὁ Ξιφιλῖνος, οὗ ἡ ἀρχή· Εὐγένιον τὸν μέγαν περιβόητον μάρτυρα. Ἐν τῷ ὄρθρῳ εἰς τὸ Θεὸς Κύριος, τροπάριον τῶν ἁγίων δίς, Δόξα καὶ νῦν, θεοτοκίον τὸ πρῶτον τοῦ αὐτοῦ ἦχου καὶ εὐθέως στιχολογοῦμεν κάθισμα ἓν τοῦ Ψαλτηρίου. Καὶ τίθεται ἀνάγνωσις, λόγος τοῦ Χωνιάτου, οὗ ἡ ἀρχή· Τίς μέν, ὦ φαιδροτάτη πόλεων ἁπασῶν Τραπεζοῦς· καὶ εὐθέως ψάλλομεν τὸν Ἄμωμον εἰς ἦχον πλ. α′, ποιοῦντες αὐτὸν στάσεις γ′, καὶ λέγοντες κατὰ στίχους ἑκάστης τῶν γ′ στάσεων μεγαλυνάριον ἕν. Εἰς τὴν πρώτην στάσιν ἦχος πλ. α′· Μακαρίζομέν σε, στρατιῶτα Χριστοῦ, τὸν τῆς θείας εὐγενείας φερώνυμον, ἀνυμνοῦντες καὶ συνάθλους σου τοὺς τρεῖς. Εἰς τὴν δευτέραν στάσιν ἕτερον· Ἄξιόν ἐστι μακαρίζειν σε, τετρὰς μαρτύρων, τῶν εἰδώλων πλάνην ὡς λύσαντας καὶ ἐνηθληκότας ὑπὲρ τῆς εὐσεβείας. Εἰς τὴν τρίτην στάσιν ἕτερον ἦχος πλ. α′, πρὸς Σὲ τὸν ἱεράρχην· Πάντες κατὰ χρέος μακαρίσωμεν τέσσαρας ἀθλητὰς τὸν Εὐγένιον καὶ τοὺς σὺν αὐτῷ. Ἐν δὲ τῷ Ἀμώμῳ δίδονται κηρία τῷ λαῷ, μεθ' ὃν κάθισμα τῶν ἁγίων, Δόξα, τὸ αὐτό, Καὶ νῦν, θεοτοκίον ἐγκωμιαστικόν. Καὶ εἰ ἐστὶ καιρός, τίθεται ἀνάγνωσις εἰς τὸ μαρτύριον τῶν ἁγίων, εἰ δ' οὔ, καταλιμπάνεται. Εἶτα ἀναβαθμοί, τὸ α′ ἀντίφωνον τοῦ δ′ ἦχου, προκείμενον ἦχος δ′· Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις, στίχος· Ἐν ἐκκλησίαις, Πᾶσα πνοὴ καὶ εὐαγγέλιον, ζήτει εἰς μάρτυρας, ὁ ν′ καὶ οἱ κανόνες τῆς Θεοτόκου μετὰ τῶν εἱρμῶν εἰς ϛ′, καὶ τῶν ἁγίων εἰς η′, καταβασία· Χέρσον ἀβυσσοτόκον, ἀφ' ϛ′ ᾠδῆς, κοντάκιον τῶν ἁγίων ἦχος β′· Τοὺς εὐσεβεῖς καὶ θεοφόρους μάρτυρας, εἶτα ὁ οἶκος αὐτῶν καὶ τὸ Συναξάριον. Καὶ εἰ ἔχει ἡ ὥρα, τίθεται καὶ αὖθις ἀνάγνωσις εἰς τὸ μαρτύριον τῶν ἁγίων, εἰ δ' οὖν, καταλιμπάνεται. Ἡ λοιπὴ συνήθης ἀκολουθία καὶ ἀπόλυσις. Εἰς τὴν λειτουργίαν ἀκολουθία εἰς μάρτυρας.

[**л. 131** об.). Τῇ αὐτῇ ἡμέρᾳ (т. е. 30 Января) ψάλλομεν τὴν ἀκολουθίαν τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ μεγάλων Βασιλείου τοῦ μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου, τοῦ Χρυσοστόμου, τὴν γεγονυῖαν μὲ τροπάρια παρὰ Ἰωάννου μητροπολίτου Εὐχαΐτων, ὅστις καὶ τὴν μνήμην αὐτῶν ἔταξεν ἐκτελεῖσθαι, μετὰ δὲ ταῦτα πλατυνθεῖσαν καὶ παρ' ἑτέρων διαφόρων. Ἐπιτελοῦμεν ἀγρυπνίαν. Стихиры ποίημα Νικηφόρου τοῦ Ξανθοπούλου. Богородиченъ ποίημα Γερμανοῦ, πατριάρχου τοῦ νέου. Стихиры на стиховнѣ ποίημα Ἰωάννου Εὐχαΐτων.

[л. 133). Περὶ τῆς αὐτῆς ἑορτῆς, εἰ τύχοι τῇ κυριακῇ τοῦ φαρισαίου καὶ τοῦ τελώνου, ἢ τοῦ ἀσώτου, ἢ τῆς ἀπόκρεω. Σημειωτέον δὲ οὕτω ποιεῖν καὶ ἐν τῇ μνήμῃ τῶν λοιπῶν μεγάλων ἁγίων, ἤγουν τοῦ ἁγίου Ἀντωνίου, τοῦ ἁγίου Εὐθυμίου, τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου, εἰ τύχοιεν ἑκάστου τούτων ἐν μιᾷ τῶν ἀνωτέρων ἡμερῶν κυριακῶν. Глава эта надписывается на полѣ: «Μάρκος μοναχός».

Χρὴ εἰδέναι, ὅτι, εἰ τύχοι ἡ ἑορτὴ αὕτη τῶν ἁγίων τριῶν ἱεραρχῶν τῇ κυριακῇ τοῦ τελώνου καὶ φαρισαίου, ἢ τοῦ ἀσώτου, ἢ τῆς ἀπόκρεω, ἐν τῷ μικρῷ ἑσπερινῷ εἰς τὸ Κύριε ἐκέκραξα στιχηρὰ ἀναστάσιμα [1]), ὡς συνήθως, Δόξα, τῶν ἁγίων, Καὶ νῦν, θεοτοκίον τὸ β δογματικὸν τοῦ ἤχου, εἰς τὸν στίχον τὰ ἀναστάσιμα στιχηρὰ τοῦ στίχου καὶ τῶν ἁγίων προσόμοια ἦχος πλ. α' μετὰ τῶν στίχων αὐτῶν, Δόξα, τῶν ἁγίων, Καὶ νῦν, θεοτοκίον τοῦ ἀλφαβήτου, τροπάριον τὸ ἀναστάσιμον, Δόξα, τῶν ἁγίων, Καὶ νῦν, θεοτοκίον τὸ πρῶτον τοῦ αὐτοῦ ἤχου. Ἐν τῷ μεγάλῳ ἑσπερινῷ στιχολογοῦμεν τὸ α' κάθισμα ὅλον, εἰς τὸ Κύριε ἐκέκραξα στιχηρὰ ἀναστάσιμα γ', ἀνατολικὸν α', τοῦ Τριῳδίου γ' καὶ τῶν ἁγίων προσόμοια γ', Δόξα, τοῦ Τριῳδίου, Καὶ νῦν, θεοτοκίον τὸ πρῶτον τοῦ ἤχου, τὰ ἀναγνώσματα τῶν ἁγίων, εἰς τὴν λιτὴν στιχηρὰ τοῦ ἁγίου τῆς μονῆς, ἰδιόμελα τοῦ Τριῳδίου τὰ εἰς τοὺς αἴνους καὶ ἰδιόμελα τῶν ἁγίων τὰ εἰς τὴν λιτήν, Δόξα, ἦχος πλ. α'· Τὰς μυστικὰς σήμερον, Καὶ νῦν, θεοτοκίον δογματικόν, εἰς τὸν αὐτὸν ἦχον ἢ τοῦ Τριῳδίου, τὸ εἰς τὴν λιτὴν λεγόμενον. Εἰς τὸν στίχον τὰ ἀναστάσιμα [2]), Δόξα, τῶν ἁγίων, Καὶ νῦν, τοῦ Τριῳδίου, εἰς τὴν εὐλόγησιν τῶν ἄρτων, Θεοτόκε παρθένε, δίς, καὶ τῶν ἁγίων ἅπαξ. Ἡ ἀνάγνωσις εἰς τὰς ἐπιστολάς, αἱ δὲ ἕτεραι ἀναγνώσεις εἰς τὴν σύνοψιν τῶν βίων τῶν ἁγίων, τὸ ἐγκώμιον τοῦ Εὐχαΐτου καὶ τῆς ἡμέρας. Ἐν τῷ ὄρθρῳ εἰς τὸ Θεὸς Κύριος, τροπάριον τὸ ἀναστάσιμον δίς, Δόξα, τῶν ἁγίων, Καὶ νῦν, θεοτοκίον τὸ πρῶτον τοῦ αὐτοῦ ἤχου. Ἡ συνήθης στιχολογία καὶ ὁ πολυέλεος [3]), ἢ ὁ Ἄμωμος, ὡς δεδήλωται. Καθίσματα δὲ λέγομεν ἀναστάσιμα μετὰ τῶν θεοτοκίων αὐτῶν. Μετὰ δὲ τὸν πολυέλεον [4]), ἢ τὸν Ἄμωμον, ἡ ὑπακοὴ τοῦ ἤχου, εἶτα καθίσματα τῶν ἁγίων

---

[1]) καὶ τῆς Θεοτόκου. ὡς συνήθως, εἰ δὲ βούλει, ἐν τῷ μικρῷ ἑσπερινῷ εἰς τὸν στίχον εἰπὲ τὰ στιχηρὰ τοῦ ἀλφαβήτου, ἵνα ἐν τῷ μεγάλῳ ἑσπερινῷ εἰς τὸν στίχον εἴπῃς τὰ τῶν ἁγίων στιχηρά. Ἐν τῷ μεγάλῳ ἑσπερινῷ μετὰ τὴν συνήθη στιχολογίαν εἰς τὸ Κύριε ἐκέκραξα [2]) στιχηρὰ τοῦ στίχου καὶ τοῦ ἀλφαβήτου, ἢ τὰ στιχηρὰ τῶν ἁγίων, ὡς δεδήλωται [3]) ἐν·ῇ λέγομεν καθίσματα ἀναστάσιμα μετὰ τῶν θεοτοκίων αὐτῶν [4]) τὰ ἀναστάσιμα τρο-

καὶ θεοτοκίον ἐγκωμιαστικόν, οἱ ἀναβαθμοὶ τοῦ ἤχου, προκείμενον ἀναστάσιμον, Πᾶσα πνοή, εὐαγγέλιον ἀναστάσιμον, Ἀνάστασιν Χριστοῦ θεασάμενοι, ὁ πεντηκοστὸς καὶ τὰ ἀναστάσιμα στιχηρά, ὡς συνήθως, οἱ κανόνες, ὁ ἀναστάσιμος εἰς δ', τοῦ Τριῳδίου εἰς δ' καὶ τῶν ἁγίων εἷς κανὼν ὁ πλ. δ' εἰς ς', τῇ δὲ κυριακῇ τῆς ἀπόκρεω πρῶτον τῶν ἁγίων εἰς δ', εἶτα τοῦ Τριῳδίου εἰς ς', διὰ τὸ ἔχειν καὶ τριαδικά. Ἀπὸ γ' ᾠδῆς κοντάκιον τῶν ἁγίων καὶ τὸν οἶκον, εἶτα κάθισμα τῶν ἁγίων, Δόξα, τὸ αὐτό, Καὶ νῦν τοῦ Τριῳδίου. Ἀφ' ἕκτης ᾠδῆς τὸ κοντάκιον τοῦ Τριῳδίου, ἐξαποστειλάριον τὸ ἀναστάσιμον τῶν ἁγίων καὶ τοῦ Τριῳδίου, εἰς τοὺς αἴνους στιχηρὰ ἀναστάσιμα δ' καὶ τῶν ἁγίων προσόμοια δ' μετὰ τῶν στίχων τῶν ἁγίων, Δόξα, τὸ ἑωθινὸν ἰδιόμελον, Καὶ νῦν, Ὑπερευλογημένη, δοξολογία μεγάλη, τροπάριον ἀναστάσιμον μόνον, ἐκτενὴ καὶ ἀπόλυσις. Ἡ δόξα τοῦ ἁγίου ἐλαίου καὶ ἡ πρώτη ὥρα ἐν τῷ νάρθηκι. Ἐν ταῖς ὥραις, τροπάριον ἀναστάσιμον, Δόξα, τῶν ἁγίων, Καὶ νῦν, θεοτοκία τῶν ὡρῶν, κοντάκιον τοῦ Τριῳδίου. Εἰς τὴν λειτουργίαν οἱ μακαρισμοὶ τοῦ ἤχου εἰς δ', τοῦ Τριῳδίου ἡ τρίτη ᾠδὴ εἰς δ' καὶ τῶν ἁγίων ἡ ἕκτη εἰς δ', τροπάριον τὸ ἀναστάσιμον καὶ τῶν ἁγίων, Δόξα, τὸ κοντάκιον τῶν ἁγίων, Καὶ νῦν, τοῦ Τριῳδίου, προκείμενον, ἀπόστολος, ἀλληλουάριον, εὐαγγέλιον καὶ κοινωνικὸν πρῶτον τῆς ἡμέρας, εἶτα τῶν ἁγίων.

Εἰ δὲ τύχοι τῷ σαββάτῳ τῆς ἀπόκρεω, ψάλλεται ἡ ἀκολουθία τῶν ἁγίων εἰς τὰς κθ' τοῦ αὐτοῦ μηνός.

[л. **144** об.). Миніатюра. На низкомъ стулѣ близъ стола сидитъ старецъ и грѣетъ оголенныя ноги около ярко пылающаго костра. На столѣ лежитъ на блюдѣ голова поросенка, рѣдька и ножикъ. У стола прислуживаетъ человѣкъ, который въ одной рукѣ держитъ небольшой кувшинчикъ, а другую протянулъ съ кубкомъ, налитымъ виномъ, къ старцу. На старцѣ голубая нижняя одежда, а поверхъ ея блѣдно-розовая, подбитая шерстью, накидка. Шапочка круглая съ опушкой и круглымъ невысокимъ околышемъ. Въ сторонѣ изображены двѣ рыбы. Деревья, цвѣты и золотое поле обычные.

[л. **137** об.). Περὶ τῆς αὐτῆς ἑορτῆς (Срѣтеніе), εἰ τύχοι τῇ κυριακῇ τοῦ φαρισαίου καὶ τοῦ τελώνου, ἢ τοῦ ἀσώτου, ἢ τῆς ἀπό-

πάρια, εἶτα ἡ ὑπακοὴ τοῦ ἤχου, καθίσματα τῶν ἁγίων, Δόξα, τὸ αὐτό, Καὶ νῦν, θεοτοκίον τῆς ἡμέρας, οἱ ἀναβαθμοί.

κρεω, ἢ τῆς τυρινῆς. Текстъ главы имѣетъ небольшія отличія отъ печатнаго.

[л. **138**). 63) Περὶ τῆς αὐτῆς ἑορτῆς, εἰ τύχοι τῇ ἑβδομάδι τῆς τυρινῆς. 64) Περὶ τῆς αὐτῆς ἑορτῆς, εἰ τύχοι τῷ σαββάτῳ τῆς τυρινῆς. 65) Περὶ τῶν μεθεόρτων τῆς αὐτῆς ἑορτῆς, εἰ τύχοιεν τῇ ἑβδομάδι τῆς τυρινῆς. 66) Περὶ τῆς αὐτῆς ἑορτῆς πότε ἀποδίδοται, εἰ τύχοι τῇ ἑβδομάδι τῆς ἀποκρέω, ἢ τῆς τυρινῆς. 67) Περὶ τῆς ἀποδόσεως τῆς αὐτῆς ἑορτῆς, εἰ τύχοι τῇ ἑβδομάδι τῆς τυρινῆς. Здѣсь находимъ слѣдующую прибавку: Εἴ δε ἔστι δ′ ἢ παρασκευή, λειτουργία οὐ γίνεται, ἀλλὰ μετὰ τὴν ἀπόλυσιν τῶν ὡρῶν σημαίνει καὶ ψάλλομεν τὸ λυχνικόν, ὡς συνήθως, ἐννάτη γὰρ ἐκτελεῖται κατὰ τὰς δύο ταύτας ἡμέρας τῆς τυρινῆς ἑβδομάδος, ἤγουν τὴν δ′ καὶ τὴν παρασκευήν. 68) Περὶ τῆς αὐτῆς ἑορτῆς, εἰ τύχοι τῷ σαββάτῳ τῶν ψυχῶν, ἢ μεθέορτα ἡ ἀπόδοσις αὐτῆς. — Μόνη δὲ ἡ ἀκολουθία ψάλλεται πᾶσα τῆς ἑορτῆς [л. **140** об.) и т. д. См. въ Печ. Типик. 1603 г. 69) Περὶ ἀποδόσεως τῆς αὐτῆς ἑορτῆς, εἰ τύχοι τῷ σαββάτῳ τῆς τυρινῆς.

Марка монаха слѣдующія главы подъ 24 Февраля: 70) Περὶ τῆς αὐτῆς εὑρέσεως τῇ κυριακῇ τοῦ φαρισαίου καὶ τοῦ τελώνου, ἢ τοῦ ἀσώτου, ἢ τῆς ἀπόκρεω, ἢ τῆς τυρινῆς. 71) Περὶ τῆς αὐτῆς ἑορτῆς, εἰ τύχοι τῇ ἑβδομάδι τῆς τυρινῆς. 72) Περὶ τῆς αὐτῆς ἑορτῆς, εἰ τύχοι τῷ σαββάτῳ τῶν ψυχῶν. 73) Περὶ τῆς αὐτῆς ἑορτῆς, εἰ τύχοι τῷ σαββάτῳ τῆς τυρινῆς. 74) Περὶ τῆς αὐτῆς ἑορτῆς, εἰ τύχοι τῇ α′ ἑβδομάδι τῶν νηστειῶν. 75) Περὶ τῆς αὐτῆς ἑορτῆς, εἰ τύχοι τῷ σαββάτῳ τῆς α′ ἑβδομάδος. 76) Περὶ τῆς αὐτῆς ἑορτῆς, εἰ τύχοι τῇ πρώτῃ κυριακῇ τῶν νηστειῶν. Χρὴ εἰδέναι, ὅτι, εἰ τύχοι ἡ τοιαύτη ἑορτὴ τῇ α′ κυριακῇ τῶν νηστειῶν, ψάλλεται ἡ ἀκολουθία αὐτῆς, ὡς μέλλει συντεθῆναι ἐν τῇ τρίτῃ κυριακῇ τῶν νηστειῶν. 77) Περὶ τῆς αὐτῆς ἑορτῆς, εἰ τύχοι τῇ κυριακῇ τῆς Σταυροπροσκυνήσεως.

[л. **150** об.). Миніатюра. Всадникъ въ панцырѣ и шлемѣ съ щитомъ выгнутымъ и копьемъ на прекрасномъ бѣломъ конѣ. Сбруя коня красная, сѣдло голубое. Впереди коня баранъ. Τοῦ Μαρτίου σύνοψιν ἀκριβῆ σκόπει·

Εὐδοκίαν σοι καὶ Θεόδοτον φέρω,
Τὸν Εὐτρόπιον καὶ Γεράσιμον μέγαν,
Καὶ Κόνωνα τεσσαράκοντα δύο,

Χερσῶνος Ἐφραίμ, Θεοφύλακτον θύτην,
Εἰς τοὺς τεσσαράκοντα πλῆθος Κοδράτου,
Τὸν Σωφρόνιον, τὸν πατριάρχην Θεοφάνην,
Τὸν Νικήφορον καὶ Βενέδικτον, λέγω,
Ὀλυμπᾶν, Ἀγάπιον, Σαβῖνον πάπαν,
Ἀλέξιον, Κύριλλον ἀλίας θύτην,
Χρύσανθον, σφαγὴν Πατρῶν λαύρας Σάββα,
Ἰάκωβον, Βασίλειον Ἀγκύρας,
Νίκωνος στῖφος, προεόρτια Κόρης,
Εὐαγγελισμὸν τῆς τεκούσης τὸν Λόγον,
Τὸν νοῦν Γαβριὴλ καὶ Ματρώνης τὸν μόρον,
Ἱλαρίωνός μου καὶ Μάρκον Ἀρεθούσης,
Τὸν Κλίμακός τε καὶ μόρον Ὑπατίου.

[л. **152** об.). 78) Περὶ τῆς μνήμης τῶν αὐτῶν ἁγίων (μ′), εἰ τύχοι τῷ σαββάτῳ τῶν νηστειῶν καὶ τῇ α′ καὶ γ′ κυριακῇ. 79) Περὶ τῆς μνήμης τῶν αὐτῶν ἁγίων, εἰ τύχοι τῷ σαββάτῳ τῆς ἀκαθίστου.

[л. **156**). 81) Περὶ τῆς αὐτῆς ἑορτῆς (Εὐαγγελισμοῦ), εἰ τύχοι ἐν σαββάτῳ. 82) Περὶ τῆς αὐτῆς ἑορτῆς, εἰ τύχοι ἐν κυριακῇ. 83) Περὶ τῆς αὐτῆς ἑορτῆς, εἰ τύχοι τῇ κυριακῇ τῆς Σταυροπροσκυνήσεως. 84) Περὶ τῆς αὐτῆς ἑορτῆς, εἰ τύχοι τῇ τετράδι τῆς μέσης ἑβδομάδος. 85) Περὶ τῆς αὐτῆς ἑορτῆς, εἰ τύχοι τῇ ε′ τοῦ μεγάλου κανόνος 86) Περὶ τῆς αὐτῆς ἑορτῆς, εἰ τύχοι τῷ σαββάτῳ τῆς ἀκαθίστου. 87) Περὶ τῆς ἀποδόσεως τῆς αὐτῆς ἑορτῆς, εἰ τύχοι ἐν κυριακῇ. 88) Περὶ τῆς αὐτῆς ἑορτῆς, εἰ τύχοι τῷ σαββάτῳ τοῦ Λαζάρου. 89) Περὶ τῆς αὐτῆς ἑορτῆς, εἰ τύχοι τῇ κυριακῇ τῶν Βαΐων. 90) Περὶ τῆς αὐτῆς ἑορτῆς, εἰ τύχοι τῇ ἁγίᾳ καὶ μεγάλῃ δευτέρᾳ. См. выше стр. 86—88 въ варіантахъ. 14. 91) Περὶ τῆς αὐτῆς ἑορτῆς, εἰ τύχοι τῇ μεγάλῃ γ′. 92) Περὶ τῆς αὐτῆς ἑορτῆς, εἰ τύχοι τῇ μεγάλῃ τετράδι. 93) Περὶ τῆς αὐτῆς ἑορτῆς, εἰ τύχοι τῇ μεγάλῃ πέμπτῃ. 94) Περὶ τῆς αὐτῆς ἑορτῆς, εἰ τύχοι τῇ μεγάλῃ παρασκευῇ. 95) Περὶ τῆς αὐτῆς ἑορτῆς, εἰ τύχοι τῷ μεγάλῳ σαββάτῳ. 96) Περὶ τῆς αὐτῆς ἑορτῆς, εἰ τύχοι τῇ ἁγίᾳ καὶ μεγάλῃ κυριακῇ τοῦ Πάσχα, 97) Περὶ τῆς αὐτῆς ἑορτῆς, εἰ τύχοι τῇ δευτέρᾳ τῆς Διακαινησίμου. (Имѣется порядокъ малой и великой вечерни).

(л. **170** об.). Миніатюра. Молодой человѣкъ въ синей короткой рубахѣ, съ разрѣзомъ на боку, и въ красномъ плащѣ

одною рукою держитъ ягненка, а другою приподнятою—крестъ въ кругѣ. Около него телецъ.

Ἀπρίλιον αὕτη δὲ σύνοψις φέρει·
Αἰγυπτίαν δ' ἔγω γε Μαρίαν ἔχω,
Τίτον, Ζωσιμᾶν, Νικήταν Μηδικίου,
Τὸν ὑμνογράφον Ἰωσήφ, Ἀγαθόπουν,
Τὸν Εὐτύχιον καὶ Γεώργιον Λέσβου,
Πληθὺν Ἡρωδίωνος σὺν Εὐψύχῳ,
Τερεντίου στῖφος δὲ καὶ τὸν Ἀντίπαν
Καὶ Βασίλειον, Ἀρτέμωνα, Μαρτῖνον,
Τὸν Ἀρίσταρχον, Εἰρήνην, Χιονίαν,
Περσῶν Συμεών, χάριν Δεκαπολίτου,
Παλαιολαυρίτην τε, Τριχινᾶ δόσιν,
Τὸν Ἰανουάριον καὶ Συκεώτην
Γεώργιον, Σάββαν τε τὸν Στρατηλάτην,
Μάρκον Ἀμασείας τε τὸν βασιλέα,
Τὸν Συμεών, συγγενῆ τοῦ Κυρίου,
Ἰάσονα, Μέμνονα, τὸν Ζεβεδαίου.

[л. **173**). Главы съ 98—102 относительно памяти великомученика Георгія тѣ же, что и въ печатномъ Типиконѣ. На поляхъ надпись: Μάρκος ἱερομόναχος.

[л. **177** об.). Миніатюра. Молодой человѣкъ стоитъ на полѣ, усѣянномъ цвѣтами, съ полотенцемъ, вышитымъ какъ бы малороссійскими узорами, и наполненнымъ живыми цвѣтами. На головѣ его вѣнокъ изъ живыхъ цвѣтовъ. Одѣтъ въ короткую блѣдно - розовую рубаху, синія шаровары и красные сапожки. Около него въ сторонѣ стоятъ двѣ вакханки, взявшись рука за руку.

Σύνοψις ἐστὶν ἥδε μηνὸς Μαΐου·
Κόσμος δ' ἐμοὶ μέγιστος Ἱερεμίας,
Μέγας Ἀθανάσιος σὺν Τιμοθέῳ,
Ἡ Πελαγία μάρτυς, Εἰρήνης δρόμος,
Ἰὼβ ὁ κλεινὸς καὶ σταυροῦ τύπος ἄνω
Ὁ βροντόφωνος, Ἀρσενίου τὸ κλέος,
Ἡσαΐας τε καὶ Σίμων ζήλου πλέως,
Μώκιος μάρτυς, Ἐπιφάνιος Κύπρος,

Ἡ Γλυκερία καὶ στάσις Ἰσιδώρου,
Ὁ Παχώμιος ἡγιασμένου δόσις,
Ἀνδρόνικος μύστης τε σὺν Θεοδότῳ,
Προύσης ὁ Πατρίκιος σὺν Θαλαλαίῳ,
Ὁ Κωνσταντῖνος, Ἑλένη, Βασιλίσκος
Ὁ Συνάδων τε σὺν τῷ Θαυμαστορίτῃ
Τρίτη κάρας εὕρεσις Προδρόμου, Κάρπος,
Θεράπων, Ἑλλάδιος, Θεοδοσία,
Ἰσαάκιος Δαλμάτων καὶ Ἑρμείας.

[л. **180**). Марковыя главы относительно памяти апостола и евангелиста Іоанна: 103). Περὶ τῆς μνήμης τοῦ Θεολόγου, εἰ τύχοι ἐν μιᾷ τῶν κυριακῶν τῆς Πεντηκοστῆς. 104) Περὶ τῆς μνήμης τοῦ αὐτοῦ ἁγίου, εἰ τύχοι τῇ τετράδι τῆς μεσοπεντηκοστῆς. 105) Περὶ τῆς μνήμης τοῦ αὐτοῦ ἁγίου, εἰ τύχοι τῇ κυριακῇ τῆς Σαμαρείτιδος. 106) Περὶ τῆς αὐτῆς μνήμης, εἰ τύχοι τῇ δ' πρὸ τῆς Ἀναλήψεως. 107) Περὶ τῆς μνήμης τοῦ αὐτοῦ, εἰ τύχοι τῇ ε' τῆς Ἀναλήψεως. 108) Περὶ τῆς μνήμης τοῦ αὐτοῦ ἁγίου, εἰ τύχοι τῇ κυριακῇ τῶν ἁγίων Πατέρων.

Χρὴ εἰδέναι, ὅτι, ἐὰν τύχῃ ἡ ἑορτὴ τοῦ Θεολόγου τῇ κυριακῇ τῶν ἁγίων Πατέρων, καταλιμπάνεται ἡ τῆς Ἀναλήψεως ἀκολουθία καὶ ψάλλονται τὰ ἀναστάσιμα μετὰ τῆς τῶν ἁγίων Πατέρων καὶ τοῦ ἀποστόλου ἀκολουθίας οὕτως· ἐν τῷ μικρῷ ἑσπερινῷ εἰς τὸ Κύριε ἐκέκραξα στιχηρὰ ἀναστάσιμα, ὡς συνήθως. Δόξα τοῦ ἀποστόλου, Καὶ νῦν θεοτοκίον δογματικὸν τὸ β'. Εἰς τὸν στίχον τὸ ἀναστάσιμον στιχηρὸν τοῦ στίχου καὶ τοῦ ἀποστόλου προσόμοια, τὰ εἰς τὸν στίχον λεγόμενα, μετὰ τῶν στίχων αὐτῶν, Δόξα τοῦ ἀποστόλου, Καὶ νῦν τῆς Ἀναλήψεως, τροπάριον τὸ ἀναστάσιμον, Δόξα τοῦ ἀποστόλου, Καὶ νῦν τῆς Ἀναλήψεως. Ἐν τῷ μεγάλῳ ἑσπερινῷ μετὰ τὴν συνήθη στιχολογίαν εἰς τὸ Κύριε ἐκέκραξα στιχηρὰ ἀναστάσιμα γ', τῶν ἁγίων Πατέρων προσόμοια γ' καὶ τοῦ ἀποστόλου δ', Δόξα τοῦ ἀποστόλου, Καὶ νῦν θεοτοκίον τὸ πρῶτον τοῦ ἤχου, εἴσοδος, προκείμενον, τὰ ἀναγνώσματα τοῦ ἀποστόλου καὶ τῶν ἁγίων Πατέρων. Εἰς τὴν λιτὴν τὸ στιχηρὸν τοῦ ἁγίου τῆς μονῆς, τὸ τοῦ ἁγίου καὶ τῶν Πατέρων τὸν γ' καὶ τὸν δ', Δόξα τοῦ ἀποστόλου ὁ αὐτός· Ἀναπεσὼν ἐν τῷ στήθει, Καὶ νῦν τῆς Ἀναλήψεως, ὁ αὐτός· Κύριε, τὸ μυστήριον. Εἰς τὸν στίχον τὰ ἀναστάσιμα, εἶτα λέγομεν στίχον· Εἰς πᾶσαν τὴν γῆν, στιχηρὸν ἰδιόμελον τοῦ ἀποστόλου ἦχος πλ. β'· Ἀπόστολε Χριστοῦ, Δόξα τῶν

ἁγίων Πατέρων, ὁ αὐτός· Τὰς μυστικὰς σήμερον. Καὶ νῦν τῆς Ἀναλήψεως ὁ αὐτός· Ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις, εἰς τὴν εὐλόγησιν τῶν ἄρτων τροπάριον· Θεοτόκε παρθένε δίς, καὶ τοῦ ἀποστόλου ἅπαξ, ἡ ἀνάγνωσις εἰς τὰς Πατερικάς, αἱ δὲ ἕτεραι ἀναγνώσεις τῆς ἡμέρας καὶ εἰς τὰς Περιόδους τοῦ ἀποστόλου. Ἐν τῷ ὄρθρῳ εἰς τὸ Θεὸς Κύριος τροπάριον τὸ ἀναστάσιμον ἅπαξ, τοῦ ἀποστόλου ἅπαξ, Δόξα, τῶν ἁγίων Πατέρων, Καὶ νῦν τῆς Ἀναλήψεως, εἰς τὰ καθίσματα τῆς στιχολογίας, καθίσματα ἀναστάσιμα μετὰ τῶν θεοτοκίων αὐτῶν, ὁ Ἄμωμος, ἡ ὑπακοὴ τοῦ ἤχου, εἶτα ὁ πολυέλεος καὶ καθίσματα τοῦ ἀποστόλου, Δόξα καὶ νῦν τῆς Ἀναλήψεως, οἱ ἀναβαθμοὶ τοῦ ἤχου, προκείμενον καὶ εὐαγγέλιον τὸ ἀναστάσιμον, Ἀνάστασιν Χριστοῦ θεασάμενοι, ὁ ν' καὶ στιχηρὸν τὸ ἀναστάσιμον, ὡς συνήθως, οἱ κανόνες, ὁ ἀναστάσιμος μετὰ τῶν εἱρμῶν εἰς δ', τῶν Πατέρων εἰς δ' καὶ τοῦ ἀποστόλου εἰς ς'. Ἀπὸ γ' ᾠδῆς κοντάκιον τῶν Πατέρων καὶ ὁ οἶκος, εἶτα κάθισμα τῶν ἁγίων Πατέρων, Δόξα τοῦ ἀποστόλου, Καὶ νῦν τῆς Ἀναλήψεως. Ἀφ' ς' κοντάκιον τοῦ ἀποστόλου μετὰ τὴν ἀνάγνωσιν τοῦ Συναξαρίου. Εἰ βούλει, οἱ ἀναβαθμοὶ τοῦ δ' ἤχου, προκείμενον καὶ εὐαγγέλιον τοῦ ἀποστόλου, Δόξα, Ταῖς τοῦ ἀποστόλου, Καὶ νῦν, Ταῖς τῆς Θεοτόκου, στίχος· Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν, ἐξαποστειλάριον τὸ ἀναστάσιμον, τοῦ ἀποστόλου καὶ τῆς Ἀναλήψεως. Εἰς τοὺς αἴνους στιχηρὰ ἀναστάσιμα δ' καὶ τοῦ ἀποστόλου προσόμοια γ' καὶ ἰδιόμελον ἦχος πλ. δ'· Εὐαγγελιστὰ Ἰωάννη, λέγοντες καὶ τοὺς στίχους τοῦ ἀποστόλου, Δόξα τῶν Πατέρων, ἦχος ὁ αὐτός, Καὶ νῦν Ὑπερευλογημένη, δοξολογία μεγάλη, τροπάριον τὸ ἀναστάσιμον μόνον, ἐκτενὴ καὶ ἀπόλυσις. Ἡ διάδοσις τοῦ ἁγίου ἐλαίου, Δόξα καὶ νῦν ἑωθινὸν ἰδιόμελον καὶ ἡ α' ὥρα ἐν τῷ νάρθηκι. Ἐν ταῖς ὥραις· ἐν μὲν τῇ μιᾷ τροπάριον τὸ ἀναστάσιμον, Δόξα τοῦ ἀποστόλου, Καὶ νῦν θεοτοκίον τῆς ὥρας, κοντάκιον ἀποστόλου, ἐν δὲ τῇ ἑτέρᾳ τροπάριον πάλιν τὸ ἀναστάσιμον, Δόξα τῶν Πατέρων, Καὶ νῦν θεοτοκίον τῆς ὥρας, κοντάκιον τῶν Πατέρων. Εἰς τὴν λειτουργίαν οἱ μακαρισμοὶ τοῦ ἤχου εἰς δ', τῶν Πατέρων ἡ γ' ᾠδὴ εἰς δ', καὶ τοῦ ἀποστόλου ἡ ς' ὁμοίως εἰς δ'. Τροπάριον τὸ ἀναστάσιμον καὶ τῶν Πατέρων, Δόξα τὸ κοντάκιον τοῦ ἀποστόλου, Καὶ νῦν τῆς Ἀναλήψεως, προκείμενον, ἀπόστολος, ἀλληλουάριον καὶ εὐαγγέλιον πρῶτον τῶν Πατέρων, εἶτα τοῦ ἀποστόλου, κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον καὶ Εἰς μνημόσυνον αἰώνιον.

[л. **188**). Подъ 29 приписанъ внизу τροπάριον εἰς τὴν ἁγίαν ὁσιομάρτυρα Θεοδοσίαν τοῦ μακαριωτάτου πατριάρχου κὺρ Φιλοθέου,

ἦχος δ'· Τὴν ἀρετὴν ἐπιμελῶς μάρτυς ἀσκήσασα, δοχεῖον γέγονας σεπτὸν τοῦ θείου Πνεύματος, ὅθεν καὶ ἤσχυνας ἐχθρόν, τὸν πολεμοῦντα τῶν ἁγίων τῶν βροτῶν. . .

[л 188 об.). Миніатюра. Молодой человѣкъ въ красной рубахѣ, въ синихъ шароварахъ въ одной приподнятой рукѣ держитъ пукъ цвѣтовъ, а въ другой кошницу, наполненную цвѣтами. Около него ползетъ ракъ.

Ἰουστίνου δὲ καὶ σοφοῦ Νικηφόρου,
Λουκιλλιανοῦ, Μητροφάνους τοῦ θύτου,
Τοῦ Δωροθέου, Βησσαρίωνος πόνους,
Θεοδότου τε καὶ χάριν στρατηλάτου,
Ἐγώ γε φαίνω Κυρίλλου, Τιμοθέου,
Τοῦ Βαρθολομαίου τε καὶ Ὀνουφρίου,
Ἀκυλίνης μάρτυρος καὶ Μεθοδίου,
Ἀμὼς προφήτου, Τύχωνος ἐπισκόπου,
Τῶν ἀμφὶ τὸν Σαβὲλ καὶ Λεοντίου προφήτου,
Ἰούδα κλεινοῦ, Πατάρων Μεθοδίου,
Ἰουλιανοῦ μάρτυρος, Εὐσεβίου,
Τῆς Ἀγριππίνης, Προδρόμου, Φευρωνίας,
Δαβὶδ Θεσσαλονικοῦ καὶ Σαμψὼν ξενοδόχου,
Ἰωάννου, Κύρου τε, Πέτρου καὶ Παύλου
Τῶν δώδεκά τε τοῦ Χριστοῦ μυστηπόλων.

[л. 195). Миніатюра. Жница серпомъ жнетъ хлѣбъ и собираетъ въ снопы. Верхняя одежда ея блѣдно-розовая слегка спущена съ правой руки, вслѣдствіе чего видна нижняя синяя рубаха, шаровары такого же цвѣта. Сапожки красные. Волосы на головѣ перевязаны шнуромъ. Въ сторонѣ левъ съ приподнятою лапою.

Ἰουλίου σύνοψιν αὖθις μοι σκόπει·
Ἐμοὶ δὲ ῥῶσις ἡ δυὰς Ἀναργύρων,
Ἐσθὴς Πανάγνου καὶ βίος Ὑακίνθου,
Κρήτης Ἀνδρέας, Λαμπαδὸς καὶ Σισώης,
Μαλαία, Θωμᾶς καὶ Προκόπιος μέγας.
Παγκράτιος, μάρτυρες Νικοπολῖται,
Εὐφημία, Πρόκλος τε σὺν Ἱλαρίῳ
Θεσσαλονίκης, Ἰωσὴφ μύστης, Ἀκύλας,

Ἰουλίττα, Κήρυκος, Ἀθηνογένης,
Μαρία σεπτὴ σὺν Αἰμιλιανῷ τε
Δῖος, Μακρίνα καὶ προφήτης Ἠλίας,
Στῖφος Τροφίμου καὶ Χριστίνα σὺν Ἄννῃ,
Ἑρμόλαος μάρτυς τε Παντελεήμων,
Τίμων ὁ καλλίνικος, Σιλουανός τε
Δόκιμος, Εὐδόκιμος ἐν βίῳ μέγας.

[л. **195** об.). Служба Положенію одежды Богоматери во Влахернахъ См. выше стр. 75—76 въ примѣч.

[л. **198**). Περὶ τῆς μνήμης τῶν ἁγίων καὶ οἰκουμενικῶν συνόδων. Служба патріарха константинопольскаго Германа новаго изложена цѣликомъ.

[л. **202** об.). Миніатюра. На великолѣпномъ ложѣ, покрытомъ ярко-пунцовою матеріею съ разводами и бѣлою съ крапинками простынею лежитъ дряхлый, обрюзглый старецъ. Голова его, подпертая правою ладонью, покоится на подушкѣ съ узорами (наподобіе малороссійскихъ) небеснаго цвѣта. Грудь его полуобнажена изъ подъ рубахи блѣдно - розоваго цвѣта. Ноги его прикрыты синимъ покрываломъ. Около постели старца стоитъ въ ярко пунцовомъ платьѣ женщина. Въ одной рукѣ держитъ кувшинъ, а въ другой, протянутой къ старцу, флагъ. Въ сторонѣ вакханка съ красною горящею свѣчею. Поле усѣяно цвѣтами и деревьями. Фонъ золотой. Превосходная миніатюра.

Σύνοψις ἥδε μηνὸς Αὐγούστου πέλει·
Ἐγὼ δὲ φέρω τὴν στάσιν Μακκαβαίων,
Πρώταθλον αὖθις καὶ Φαῦστον καὶ Δαλμάτον,
Παῖδας Ἐφέσου, τὴν σφαγὴν Εὐσιγνίου,
Χριστοῦ Μεταμόρφωσιν ἐν Θαβωρίῳ,
Δομέτιόν τε καὶ Κυζίκου τὸν θύτην,
Ματθίαν, Λαυρέντιον, Εὔπλου τὴν χάριν,
Τὸν Φώτιον, Μάξιμον ἅμα Μιχαία,
Κοίμησιν Ἁγνῆς, τὴν μετάστασιν λέγω,
Διομήδην, Μύρωνα, Φλῶρον καὶ Λαῦρον,
Στερρόν τ' Ἀνδρέαν, Σαμουὴλ Ἄννης γόνον,
Θαδδαῖον, Ἀγαθόνικον, Λοῦκον,

Τὸν Εὐτυχῆ τε Τῖτον, Βαρθολομαῖον
Ἀδριανόν τε καὶ ποιμένα τὸν μέγαν,
Μωσῆν τὸν Αἰθίοπα, Προδρόμου μόρον.
Ἀλέξανδρον, Παῦλον τε καὶ ζώνην Κόρης.

[л. 203). Ἰστέον, ὅτι ἀπὸ ταύτης τῆς ἡμέρας, ἤγουν τῆς πρώτης τοῦ Αὐγούστου μηνὸς ἄχρι τῆς ιε′ Αὐγούστου, ἀγωνιζόμεθα νηστεύοντες, ὡς κἂν ταῖς λοιπαῖς τεσσαρακοσταῖς, τῶν Χριστουγέννων δηλαδὴ καὶ τῶν Ἀποστόλων, διά τε τὴν πρὸς Κύριον τῶν τιμίων ξύλων καὶ διὰ τὴν τιμὴν τῆς ὑπεραγίας Θεοτόκου, ἔτι δὲ καὶ διὰ τὰς ἐπισυμβαινούσας ἀσθενείας. Ἅπαντες μὲν οὖν ἐν αὐτῇ ἀπέχονται τυροῦ καὶ ᾠῶν, ἄλλοι δὲ καὶ ἰχθύος καὶ ἐλαίου, πάρεξ μόνης τῆς ἡμέρας, ἡ ἑορτὴ τῆς Μεταμορφώσεως ἐπιτελεῖται.

Ἡ πρόοδος καὶ προσκύνησις τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ.

[л. 212 об.). Περὶ τῆς ἑορτῆς τῆς τιμίας ζώνης, ποῦ ἑωρτάζετο, ἕτερον.

Ἰστέον, ὅτι ἡ τοιαύτη ἑορτὴ τῆς τιμίας ζώνης πρότερον μὲν ἐν τοῖς Χαλκοπρατείοις ἐτελεῖτο ἐν τῷ πανσέπτῳ ναῷ τῆς Θεομήτορος, τῷ ἐκεῖσε διακειμένῳ, ἐν ᾧ καὶ ἡ τιμία σορός ἐναπέκειτο, ἀφ' ἧς καὶ μέχρι τοῦ νῦν τὴν ἐπωνυμίαν ὁ τοιοῦτος ναὸς προσκεκλήρωται, Ἁγιοσορίτισσα ἐπικεκλημμένος, νῦν δὲ μεγαλοπρεπῶς τελεῖται ἐν Βλαχέρναις καὶ μάλιστα ἡ τῆς τιμίας ἐσθῆτος, ἀγρυπνίαν ἐπιτελοῦμεν, ὥσπερ ἔθιμον, ἐν ᾗ καὶ τὰ τῶν ἑορτῶν ἀναγινώσκομεν ὑπομνήματα καὶ ἡ λοιπὴ ἀκολουθία τῆς Θεοτόκου, ἧς ταῖς πρεσβείαις ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

[л. 213 об.).

Τριῳδίου σύνοψις ἀκριβεστάτη·
Ἐγὼ δὲ Τριῴδια ταῦτα σοὶ φέρω·
Παραβολὴν πρώτιστα τοῦ φαρισαίου,
Μεθ' ἣν ἀσώτου καὶ ψυχῶν μνείαν ὅλων
Τὴν δευτέραν τε τοῦ λόγου παρουσίαν,
Τῆς τυροφάγου τὰς διφυεῖς ἐννάτας,
Μνείαν ἁπάντων τῆς ἐρήμου Πατέρων.
Ἔκπτωσιν Ἀδὰμ τῆς τρυφῆς τοῦ χωρίου,
Τὸ θαῦμα τοῦ Τήρωνος, ὀρθοδοξίαν,
Σταυροῦ τε προσκύνησιν, κανόνα μέγαν
Τὸν ἀκάθιστον καὶ ταφὴν τοῦ Λαζάρου,

Ἔγερσιν αὐτοῦ καὶ νίκης τὰ βαΐα,
Πάγκαλον αὖθις καὶ συκῆς ξηρᾶς τύπον,
Παραβολῆς ὕψωμα παρθένων δέκα,
Δάκρυα πόρνης καὶ πολύτιμον μύρον,
Τὸν μυστικὸν δεῖπνον τε νιπτῆρος βάθος,
Χριστοῦ προσευχὴν καὶ προδοσίαν πάλιν,
Τὰ φρικτὰ πάθη, τὴν σφαγὴν καὶ τὸ ξύλον,
Τὴν ἀποκαθήλωσιν ἐν τάφῳ θέσιν,
Θρῆνον ἐπιτάφιον, γυναικῶν μῦρα,
Χαρᾶς τὸ Πάσχα, τὴν ἀνάστασιν λέγω,
Τὴν ψηλάφησιν τοῦ Θωμᾶ, μυροφόρους,
Τὸν παράλυτον, Πεντηκοστῆς τὴν μέσην,
Τὴν σαμαρείτην, τυφλὸν ὠμματωμένον,
Χριστοῦ τε λῆψιν πόλιν ἀνωτάτην
Καὶ Πατέρων ἄθροισμα τῶν ἐν Νικαίᾳ,
Τὴν Πεντηκοστὴν καὶ τοῦ Πνεύματος χύσιν
Πληθύν τε Πάντων Ἁγίων τῶν ἐν βίῳ.

[л. **214**). Ἀκολουθία τῆς ἁγίας καὶ μεγάλης τεσσαρακοστῆς σὺν τῇ Πεντηκοστῇ. Τῇ κυριακῇ, ἐν ᾗ ἀναγινώσκεται τὸ ἱερὸν εὐαγγέλιον τοῦ τελώνου καὶ φαρισαίου.

[л. **214** об.). Περὶ τῶν ια' ἑωθινῶν στιχηρῶν, πῶς ψάλλονται ἐν τῇ ἁγίᾳ μ', ὡσαύτως καὶ περὶ τῶν κατηχήσεων τοῦ ἁγίου Θεοδώρου τοῦ Στουδίτου, ἔτι δὲ καὶ περὶ τῆς λεγομένης τοῦ Ἀρτζιβουρίου νηστείας. Κεφ. 114.

Δεῖ γινώσκειν, ὅτι τὰ ια' ἑωθινὰ στιχηρὰ τῶν ἁγίων εὐαγγελίων ἀπὸ τῆς παρούσης κυριακῆς μέχρι τῆς κυριακῆς τῶν ἁγίων Πατέρων ἐν ταῖς λιταῖς λέγονται τοῦ ὄρθρου ἐν τῷ νάρθηκι εἰς τὸ Δόξα καὶ νῦν. Ἀρχόμεθα δὲ ὁμοίως ἀπὸ ταύτης τῆς κυριακῆς ἐν τῇ ἀπολύσει τοῦ ὄρθρου ἀναγινώσκειν τὰς κατηχήσεις τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδώρου τοῦ Στουδίτου. Εἰ μὲν οὖν ἐνδημεῖ ὁ καθηγούμενος, ἀναγινώσκονται ὑπ' αὐτοῦ, εἰ δ' οὔχ, ὑπὸ τοῦ ἐκκλησιάρχου, πάντων τῶν ἀδελφῶν ἱσταμένων καὶ ἐπακροωμένων. Ἐν ταύτῃ δὲ τῇ ἑβδομάδι, ἥτις καὶ πρωταπόκρεω καλεῖται, νηστεύουσιν οἱ τρισκατάρατοι Ἀρμένιοι τὴν βδελυρὰν αὐτῶν νηστείαν, τὴν λεγομένην τοῦ Ἀρτζιβουρίου, ἡμεῖς δὲ καθ' ἑκάστην ἐσθίομεν τυρὸν καὶ ὠά, οἱ κοσμικοὶ δὲ καὶ κρέας, ἀνατρέποντες τὸ δόγμα τῆς τοιαύτης αἱρέσεως.

[л. 215 об.). Διάταξις τῆς ψαλμῳδίας διαίτης τῶν δύο ἑβδομάδων, τῆς τε ἀπόκρεω καὶ τῆς τυρινῆς. См. выше стр. 97, въ варіантахъ.

[л. 230 об.). Περὶ τῶν ὡρῶν καὶ τοῦ λυχνικοῦ τῶν παρασκευῶν.

Δεῖ γινώσκειν, ὅτι ἐν πάσαις ταῖς παρασκευαῖς τῆς ἁγίας τεσσαρακοστῆς ψάλλομεν τὰς τρεῖς ὥρας ὁμοῦ, ἤγουν τὴν τριθέκτην καὶ τὴν θ' μετὰ τῶν τυπικῶν. Καὶ μετὰ τὴν συμπλήρωσιν τῶν τυπικῶν, γινομένης ἀπολύσεως, ἐξερχόμεθα τῆς ἐκκλησίας καὶ μικρᾶς ὥρας παρελθούσης, ὅσον ἡμᾶς ἡσυχάσαι καὶ ἀναπαύσασθαι, ὁ κανδηλάπτης ἀνελθὼν σημαίνει τὸ μέγα καί, συναχθέντες ἐν τῇ ἐκκλησίᾳ, ἀρχόμεθα τοῦ λυχνικοῦ κατὰ τὴν προγραφεῖσαν διάταξιν τῶν προηγιασμένων. Μετανοίας δὲ οὐ ποιοῦμεν· σχολάζουσι γὰρ αὗται ἀπ' ἀρχῆς τοῦ λυχνικοῦ, πλὴν τῶν τεταγμένων ἐν τοῖς προηγουμένοις, αἵτινες εἰσὶν αὗται. Εἰς τὸ Κατευθυνθήτω αἱ γονυκλισίαι καὶ μετὰ τὸ τέλος γ' μετανοίας, μετὰ τὸ Νῦν αἱ δυνάμεις, μετανοίας γ' καὶ εἰς τὸ Εἴη τὸ ὄνομα Κυρίου μετανοίας γ'.

]л. 231). Τῷ σαββάτῳ τῆς α' ἑβδομάδος μνήμην ἐπιτελοῦμεν τοῦ γενομένου θαύματος διὰ τῶν κολύβων παρὰ τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου τοῦ Τήρωνος. Канонъ и молебенъ ему, см. выше стр. 77, ст. 3.

[л. 233). Κυριακῇ πρώτῃ τῶν νηστειῶν μνείαν ἐπιτελοῦμεν τῶν ἁγίων προφητῶν Μωϋσέως, Ἀαρὼν καὶ τῶν λοιπῶν καὶ τῆς τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων ἀναστηλώσεως.

[л. 236). Κυριακῇ β' τῶν νηστειῶν.

Ἡ συνήθης ἀκολουθία τῆς ἀγρυπνίας, ἐν ᾗ ψάλλομεν καὶ τὸν εἰς τὸ Μηναῖον ἅγιον τῆς ἡμέρας, τοῦ Τριῳδίου δὲ στιχηρὰ ἢ κανόνας οὐ ψάλλομεν, εἰ καὶ παρά τισι τῶν Τριῳδίων εὑρίσκονται, εἰ μὴ μόνον τὸ εἰς τοὺς αἴνους στιχηρὸν τῆς ἡμέρας, εἰς τὴν λειτουργίαν οἱ μακαρισμοὶ τοῦ ἤχου, προκείμενον ἦχος πλ. α'· Σύ, Κύριε, φυλάξαις ἡμᾶς, ἀπόστολος πρὸς Ἑβραίους· Κατ' ἀρχὰς σύ, Κύριε, ἀλληλουάριον τοῦ ἤχου, εὐαγγέλιον κατὰ Μάρκον· Τῷ καιρῷ ἐκείνῳ, εἰσῆλθεν ὁ Ἰησοῦς εἰς Καπερναούμ, κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον.

[л. 239 об.). Τῇ ε' τῆς πέμπτης ἑβδομάδος.

Ψάλλομεν τὴν ἀκολουθίαν τοῦ μεγάλου κανόνος, ἐπιτελοῦντες ἀγρυπνίαν. Ἑσπέρας δέ, ἤγουν τῇ τετράδι ἐν τῷ λυχνικῷ, ἡ συνήθης στιχολογία, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ἀπὸ τοῦ Πεσοῦν-

ται καὶ ψάλλομεν τὸ ἰδιόμελον τῆς ἡμέρας δὶς καὶ τὸ μαρτυρικόν, τὰ γ' προσόμοια τοῦ Τριῳδίου καὶ εὐθέως τὰ κδ' στιχηρὰ τοῦ μεγάλου κανόνος ἦχος δ', πρὸς τὸ Ἤθελον δάκρυσιν, Ἄνω τὸ ὄμμα τῆς διανοίας, ποίημα τοῦ κὺρ Συμεὼν τοῦ Μεταφραστοῦ. Ποιοῦμεν δὲ καθ' ἕκαστον στιχηρὸν μετανοίας γ', ὁ ψάλλων δηλονότι χορὸς μετὰ τὸ πληρῶσαι αὐτό. Μετὰ δὲ τὸ πληρωθῆναι τοὺς στίχους, λέγομεν εἰς τὰ περισσά· Δόξα σοι ὁ Θεὸς ἡμῶν, Δόξα καὶ νῦν, θεοτοκίον, εἴσοδος καὶ καθεξῆς ἡ θεία λειτουργία τῶν προηγιασμένων. Ἐν τῇ τραπέζῃ ἐσθίομεν ἔλαιον, πίνοντες καὶ οἶνον διὰ τὸν κόπον τῆς ἀγρυπνίας. Τὰ δὲ ἀπόδειπνα ψάλλομεν ἐν τοῖς κελλίοις. Περὶ δὲ ὥρας β' τῆς νυκτὸς σημαίνει τὸ μέγα καὶ τὸ σιδηροῦν καί, συναχθέντες ἐν τῇ ἐκκλησίᾳ, ἀρχόμεθα τοῦ ὄρθρου, ὡς καθ' ἑκάστην. Στιχολογοῦμεν δὲ κάθισμα ἓν καὶ λέγομεν καθίσματα ἀποστολικὰ τῆς Ὀκτωήχου καὶ τὸ μαρτυρικόν, Δόξα καὶ νῦν, θεοτοκίον καὶ τίθεται ἀνάγνωσις μεγάλη εἰς τὸν ἅγιον Ἐφραίμ, εἶτα ὁ ν' καὶ ἀρχόμεθα τοῦ μεγάλου κανόνος, ἐν ᾧ εἰσὶ καὶ τροπάρια β' τῆς ὁσίας Μαρίας καθ' ἑκάστην ᾠδήν, ἅτινα καὶ λέγομεν δίχα μετανοίας, εἰς δὲ τὰ λοιπὰ τροπάρια τοῦ μεγάλου κανόνος ποιοῦμεν καθ' ἕκαστον μετανοίας γ', ὡς δεδήλωται ἐν τῷ λυχνικῷ, τοὺς δὲ εἱρμοὺς δευτεροῦμεν. Ὕστερον δὲ πάλιν τοὺς εἱρμοὺς ὁμοῦ οἱ δύο χοροὶ ἅπαξ, στίχους μέντοι τῶν ᾠδῶν οὐ λέγομεν, εἰ μὴ τὸ Δόξα σοι ὁ Θεὸς ἡμῶν. Ἀπὸ γ' ᾠδῆς καθίσματα τοῦ Τριῳδίου τὸ α', Δόξα τὸ ἕτερον, Καὶ νῦν, θεοτοκίον. Ἀναγινώσκομεν τὸν βίον τῆς ὁσίας Μαρίας τῆς Αἰγυπτίας, εἰς δόσεις β', εἰς τὴν δ' ᾠδὴν προηγοῦνται τὰ τριῴδια τῆς ἡμέρας χωρὶς μετανοιῶν, ὁμοίως καὶ εἰς τὴν η' ᾠδὴν καὶ εἰς τὴν θ', ἃς καὶ στιχολογοῦμεν, ὡς ἔθος, ἱστῶντες στιχηρὰ ι' καὶ λέγοντες τοὺς μὲν ε' στίχους εἰς τὸν εἱρμὸν καὶ τὰ δ' τροπάρια τοῦ κυροῦ Ἰωσήφ, τοὺς δὲ λοιποὺς ε' στίχους εἰς τὰ ε' τροπάρια τοῦ ἑτέρου Τριῳδίου τοῦ κυροῦ Θεοδώρου τοῦ Στουδίτου. Οὐ μέντοι λέγομεν· Δόξα καὶ νῦν· εὐθέως γὰρ λέγοντες· Δόξα σοι ὁ Θεός, ἀρχόμεθα τοῦ τροπαρίου τῆς δ' ᾠδῆς τοῦ μεγάλου κανόνος· τὸν γὰρ εἱρμὸν καταλιμπάνοντες, λέγομεν ὕστερον ὁμοῦ οἱ δύο χοροί. Ἀφ' ς' κοντάκιον ἦχος πλ. β'· Ψυχή μου, ψυχή μου. . . Μετὰ τὴν ἀνάγνωσιν ψάλλομεν τοὺς μακαρισμοὺς καὶ αὐτοὺς μετὰ μετανοιῶν, λέγοντες καὶ τοὺς στίχους τῶν μακαρισμῶν. Εἰς δὲ τὰ περισσὰ τροπάρια ἀντὶ στίχων τὸ Δόξα σοι ὁ Θεός, μεθ' οὓς τὰς λοιπὰς γ' ᾠδάς. Μετὰ δὲ τὴν θ' τὸ φωταγωγικὸν τοῦ ἤχου τρίς, ὡς συνήθως, καὶ τοὺς αἴνους. Ὁμοίως καὶ εἰς τὸν στίχον τὸ ἰδιόμελον τῆς ἡμέρας καὶ τὸ μαρτυρικόν. Συνάπτομεν δὲ καὶ

τὴν α′ ὥραν ἄνευ στιχολογίας· τὸ γὰρ τοιοῦτον κάθισμα στιχολογοῦμεν ἐν τῷ ἑσπερινῷ τῆς αὐτῆς ἡμέρας ἀντὶ τοῦ Πρὸς Κύριον. Τῇ δὲ τοιαύτῃ ἡμέρᾳ ἡ πᾶσα ἀκολουθία ἐκτελεῖται ταχύτερον διὰ τὸν κόπον τῆς ἀγρυπνίας. Ἐκτελοῦνται δὲ καὶ προηγιασμένα, ἐν οἷς μεταλαμβάνομεν τῶν ἁγίων τοῦ Χριστοῦ μυστηρίων.

[л. **240**). Εἰς τὸν ὄρθρον σημαίνει ὥρᾳ δ′ τῆς νυκτὸς διὰ τὴν εὐχαριστήριον ἀκολουθίαν τῆς ἀκαθίστου. Μετὰ τὸν ἑξάψαλμον εἰς τὸ Θεὸς Κύριος τροπάριον τὸ προγραφὲν (Τὸ προσταχθὲν μυστικῶς) ἐκ τρίτου, στιχολογοῦμεν τὰ συνήθη β′ καθίσματα. Μετὰ τὸ α′ κάθισμα ψάλλομεν τὸ κοντάκιον τῆς ὑπεραγίας Θεοτόκου ἦχος πλ. δ′· Τῇ ὑπερμάχῳ. Ὁ δὲ ἱερεύς, φορέσας ἐπιτραχήλιον καὶ φαιλώνιον, ἵσταται ἔμπροσθεν τῆς εἰκόνος τῆς ὑπεραγίας Θεοτόκου, πρότερον θυμιάσας αὐτήν, καὶ λέγει ἐκ τῶν οἴκων τῆς ὑπεραγίας Θεοτόκου τοὺς ς′. Καὶ ἡμεῖς τὸ ἀκροτελευταῖον τῶν οἴκων μετὰ μέλους. Εἰ δὲ ἔστι καὶ ψάλτης, ψάλλει καὶ οὗτος τοὺς τοιούτους οἴκους μετὰ τοῦ μέλους αὐτῶν, ἤγουν τὸν αὐτὸν οἶκον πρότερον μὲν ὁ ἱερεύς, εἶτα ὁ ψάλτης, τοῦτο δ′, ὡς ἐπίπαν, ἐν τοῖς εὐκτηρίοις οἴκοις τῆς ὑπεραγίας Θεοτόκου τελεῖται, γινομένης ἀγρυπνίας. (Καὶ μετὰ τὴν συμπλήρωσιν τῶν ς′ οἴκων λέγομεν) αὖθις τὸ κοντάκιον· Τῇ ὑπερμάχῳ, καὶ τίθεται ἀνάγνωσις εἰς τὸν λόγον τῆς ἀκαθίστου, ὃν καὶ ποιοῦμεν δόσεις γ′. Μετὰ τὸν Ἄμωμον καὶ οἴκους ς′ καὶ πάλιν τὸ κοντάκιον καὶ ἀνάγνωσις, εἶτα ὁ ν′ καὶ εὐθέως ὁ κανὼν τῆς ἀκαθίστου ἦχος δ′ πρὸς Ἀνοίξω τὸ στόμα μου, οὐ δευτεροῦμεν τοὺς εἱρμούς, ἐν δὲ τοῖς τροπαρίοις ἱστῶμεν στίχους ιβ′, καταβασία τοὺς εἱρμοὺς αὐτοῦ ὁμοῦ οἱ β′ χοροί. Ἀπὸ γ′ ᾠδῆς τὸ κοντάκιον καὶ οἴκους ς′ καὶ πάλιν τὸ κοντάκιον καὶ ἀνάγνωσις. Εἰς δὲ τὴν ς′ ᾠδὴν εἰσέρχονται τὰ τετραῴδια, καὶ ψάλλεται ὁ μὲν κανὼν τῆς ἀκαθίστου μετὰ εἱρμῶν εἰς ς′, τὰ δὲ τετραῴδια εἰς τὴν τάξιν αὐτῶν, οὐ μέντοι στιχολογοῦνται ᾠδαί, ὕστερον δὲ λέγομεν τοὺς εἱρμοὺς τοῦ ὑστέρου τετραῳδίου, ὁμοῦ οἱ δύο χοροί. Μετὰ τὴν ς′ ᾠδὴν τὸ κοντάκιον καὶ οἱ οἶκοι ς′, καὶ πάλιν τὸ κοντάκιον, καὶ ὁ κανονάρχης τὸν πρῶτον οἶκον ἐν τῷ ἀναλογίῳ, εἰς ὃν καὶ κάθισμα καὶ ἀνάγνωσις εἰς τὸ Συναξάριον. Εἰ δὲ ἡ ὥρα, τίθεται καὶ εἰς τὴν Ἑξαήμερον ἀνάγνωσις. Ἐν τῇ θ′ ᾠδῇ Ἡ Τιμιωτέρα οὐ στιχολογεῖται. Μετὰ δὲ ταύτην ἐξαποστειλάριον τῆς ἀκαθίστου ἐκ β′, εἰς τοὺς αἴνους, Πᾶσα πνοή, στιχηρὰ προσόμοια τῆς ἑορτῆς τοῦ Εὐαγγελισμοῦ, οἷα θέλει, εἰς δὲ τὸ Δόξα καὶ νῦν ἦχος δ′. Γλῶσσαν, ἣν οὐκ ἔγνω, δοξολογία μεγάλη καὶ ἀπόλυσις.

[л. **249** об.). Περὶ τοῦ πότε καὶ πῶς ἀναγινώσκομεν τὸ Τετραευάγγελον τῇ ἁγίᾳ ταύτῃ καὶ μεγάλῃ ἑβδομάδι·

Εἰδέναι [1]) χρή, ὅτι τὸ κατὰ Ματθαῖον ἀναγινώσκεται ὅλον, ὁμοίως καὶ τὸ κατὰ Μάρκον, καὶ τὸ κατὰ Λουκᾶν, τὸ δὲ κατὰ Ἰωάννην ἀναγινώσκεται ἄχρι τῆς διαθήκης. Ποιοῦμεν οὖν τὸ κατὰ Ματθαῖον δόσιν β', ὁμοίως καὶ τὸ κατὰ Μάρκον καὶ τὸ κατὰ Ἰωάννην ἄχρι τῆς διαθήκης, ὡς εἴρηται, τὸ δὲ κατὰ Λουκᾶν γ' ὁμοῦ δόσεων θ' καὶ ὧραι τῶν τριῶν ἡμερῶν τῆς μεγάλης β', τῆς μεγάλης γ' καὶ τῆς μεγάλης τετράδος θ', καὶ πληροῦται ἐν αὐταῖς τὸ Τετραευαγγέλιον. Σημείωσαι, ὅτι οὐχ οὕτως γίνεται νῦν· προσλαμβάνονται γὰρ εἰς τὴν τοῦ Τετραευαγγελίου ἀνάγνωσιν ἀπὸ τῆς παρελθούσης ἑβδομάδος ἡμέραι τρεῖς, ἤγουν ἀπὸ τῆς τετράδος τῆς ἕκτης ἑβδομάδος, καὶ ἀναγινώσκεται ἐν μὲν ταῖς τρισὶ ταύταις ἡμέραις τὸ ἥμισυ τοῦ Τετραευαγγελίου· ἐν δὲ ταῖς τρισὶ τῆς μεγάλης ἑβδομάδος ἡμέραις τὸ λοιπὸν ἥμισυ. Τοῦτο δ' ἐπενοήθη διὰ τὸ ὀκλάζειν τοὺς ἀδελφοὺς ταῖς τοιαύταις ἀναγνώσεσι, μεγάλαις οὔσαις. Αἱ δὲ ἐννάται ὧραι τῶν τριῶν τούτων ἡμερῶν στιχολογίαν οὐκ ἔχουσιν, ὥσπερ οὐδὲ αἱ πρῶται.

[л. **258**). Τῷ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ εἰς τὸν ὄρθρον σημαίνει ὥρας ϛ' καὶ μετὰ τὸ ἑξάψαλμον εἰς τὸ Θεὸς Κύριος τροπάριον ἦχος β'· Ὁ εὐσχήμων Ἰωσὴφ δίς, Δόξα, Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, Καὶ νῦν, Ταῖς μυροφόροις γυναιξί, μέχρι τοῦ Ἐδείχθη ἀλλότριος. Καὶ εὐθέως[2]) στιχολογοῦμεν τὸν Ἄμωμον μετὰ τῶν μεγαλυναρίων αὐτοῦ, τοῦ ἱερέως φοροῦντος στολὴν πορφυρᾶν καὶ θυμιῶντος κατὰ στάσιν· Μακάριοι οἱ ἄμωμοι. . . Μεγαλύνομέν σε, ζωοδότα Χριστέ, καὶ τιμῶμέν σου τὰ πάθη τὰ τίμια καὶ τὴν ἔνδοξον δοξάζομεν ταφήν. Μακάριοι, οἱ ἐξερευνῶν. . . Μεγαλύνομέν σε, ζωοδότα Χριστέ, δι' ἡμᾶς τὸν χθὲς σφαγὴν ὑπομείναντα. . . Εἶτα ποιεῖ μικρὰν συναπτὴν καὶ ἀρχόμεθα τῆς β' στάσεως· Αἱ χεῖρές σου ἐποίησάν με. . . Ἄξιόν ἐστι

---

[1]) Самое чтеніе евангелія описывается такъ: Εὐτρεπισθέντος τοῦ ἀναλογίου μετὰ βλαττίου καὶ τεθέντος ἐν αὐτῷ τοῦ Τετραευαγγελίου, καὶ λαμπάδος ἁπτούσης ἐκ πλαγίου αὐτοῦ, καὶ πάντων ἀσκεπῶν ἱσταμένων, γίνεται ἀνάγνωσις ἐν αὐτῷ παρὰ τοῦ ἱερέως, ἐ π ι τ ρ α χ ή λ ι ο ν μ ό ν ο ν φ ο ρ ο ῦ ν τ ο ς (л. 249; № 321 л. 235).

[2]) Въ Типиконѣ 1446 г. это мѣсто читается такъ: Καὶ εὐθὺς στιχολογοῦμεν τὸν Ἄμωμον μετὰ τῶν μεγαλυναρίων αὐτῶν. Τῆς πρώτης καὶ τῆς δευτέρας ἦχος πλ. β', τῆς δὲ τρίτης ἦχος γ', ἐν ᾧ καὶ θυμιᾷ ὁ ἱερεὺς κατὰ στάσιν, ποιεῖ δὲ καὶ μικρὰν συναπτὴν ἐνδεδυμένος στολὴν πορφυρᾶν. Μετὰ δὲ τὸ τέλος τοῦ Ἀμώμου, Δόξα καὶ νῦν οὐ λέγομεν, ἀλλ' εὐθέως τὰ ἀναστάσιμα τροπάρια ἦχος πλ. α'· Τῶν ἀγγέλων ὁ δῆμος (№ 321, л. 244 об. Ват. библ.).

τοῦ δοξάζειν σε τὸν Θεὸν λόγον, τὸν ἐπὶ τοῦ ξύλου ὑπνώσαντα καὶ ἐξαναστάντα ἐκ τῶν νεκρῶν. Οἱ φοβούμενοί σε. . . Ἄξιόν ἐστι τοῦ δοξάζειν σε, τὸν ζωοδότην, τὸν τὰς πύλας Ἅδου συντρίψαντα καὶ ἐξαναστήσαντα τοὺς νεκρούς. . . Εἶτα ποιεῖ ὁ ἱερεὺς καὶ αὖθις μικρὰν συναπτὴν καὶ ἀρχόμεθα τῆς τρίτης στάσεως: Ἐπίβλεψον ἐπ' ἐμέ. . . Αἱ γενεαὶ πᾶσαι ὕμνον τῇ ταφῇ σου προσφέρομεν οἰκτιρμόν. Τὰ διαβήματά μου. . . Ἔφριξαν ἀγγέλων χοροὶ νεκρόν σε, Χριστέ, γυμνὸν ὁρῶντες. . . [л. 269). Καὶ εὐθέως τὰ ἀναστάσιμα τροπάρια τοῦ Ἀμώμου ἦχος πλ. α'· Τῶν ἀγγέλων ὁ δῆμος καὶ τὰ λοιπά, εἶτα κάθισμα τῆς ἡμέρας ἦχος α' πρὸς Τὸν τάφον σου, Σωτήρ, καὶ ἀνάγνωσις εἰς ἑρμηνείαν τοῦ κατὰ Ματθαῖον λόγου τοῦ εὐαγγελίου τῆς ἡμέρας. Μετὰ δὲ τὴν ἀνάγνωσιν εὐθέως ὁ ν' καὶ ὁ κανὼν ἦχος πλ. β'· Κύματι θαλάσσης, ποίημα μ ο ν α χ ο ῦ Μ ά ρ κ ο υ, γ ε γ ο ν ό τ ο ς ἐ π ι σ κ ό π ο υ Ἰ ν δ ρ ο ῦ ν τ ο ς, μ έ χ ρ ι τ ῆ ς ς' ᾠδῆς, ἀπὸ δὲ τῆς ς' ᾠδῆς Κοσμᾶ μοναχοῦ. Τετράῳδον γὰρ ἦν πρότερον, ἀνεπληρώθη δὲ ὕστερον εἰς κανόνα τέλειον (ркп. № 244 добавляетъ: παρὰ τοῦ αὐτοῦ Μάρκου) κελεύσει τοῦ σοφωτάτου βασιλέως Λέοντος, οὗ δευτεροῦμεν τοὺς εἱρμούς, τὰ δὲ τροπάρια ποιοῦμεν ιβ'. Ὕστερον δὲ πάλιν ὁμοῦ οἱ β' χοροὶ τοὺς εἱρμούς, ἀπὸ γ' ᾠδῆς, κάθισμα ἦχος α'· Τὸν τάφον σου, Σωτήρ, Δόξα καὶ νῦν τὸ αὐτό. Ἀναγινώσκομεν ἐνταῦθα λόγον Γερμανοῦ πατριάρχου τοῦ νέου εἰς δόσιν β', οὗ ἡ ἀρχή· Σάββατόν μεν ἔστιν, ἢ τοῦ μοναχοῦ Μαξίμου τοῦ Πλανούδη, οὗ ἡ ἀρχή· Ἃ μὲν ἄνεσις εἴκασι. Ἀφ' ς', κοντάκιον ἦχος β', πρὸς Χειρόγραφον εἰκόνα· Τὴν ἄβυσσον ὁ κλείσας νεκρὸς ὁρᾶται . . . τὸν οἶκον καὶ τὸ Συναξάριον, εἶτα καὶ ἀνάγνωσις, εἰ ἔχει ἡ ὥρα. Μετὰ τὴν θ' ᾠδήν, Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν εἰς ἦχον β', ἐξαποστειλάριον δὲ οὐ λέγομεν, εἰς τοὺς αἴνους Πᾶσα πνοή, ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα τοὺς γ', δευτεροῦντες καὶ τὸν πλ. β'· Ἠτήσατο Ἰωσήφ, Δόξα ὁ αὐτός· Τὴν σήμερον μυστικῶς, Καὶ νῦν, Ὑπερευλογημένη ὑπάρχεις, δοξολογία μεγάλη. Ὁ δὲ ἱερεύς, ἐνδυσάμενος ἅπασαν τὴν ἱερατικὴν στολὴν εἰς τὸ Τρισάγιον, εἰσοδεύει μετὰ τοῦ Εὐαγγελίου, οὐ καθὼς ἔχει συνήθειαν, ἀλλ' ἐπάνω τοῦ ὤμου βαστάζων τὸ ἅγιον Εὐαγγέλιον, ἐνειλημένον μετὰ τοῦ ἀέρος, καὶ βαδίζων ἀργῶς, ἡμεῖς δὲ ψάλλομεν τὸ Τρισάγιον, καθὼς ἔχομεν ἔθος ψάλλειν εἰς νεκρούς, καὶ ἐλθὼν ὁ ἱερεὺς ἔμπροσθεν τῶν μεγάλων πυλῶν τοῦ ναοῦ, ἵσταται περιμένων τὴν τοῦ Τρισαγίου συμπλήρωσιν, καὶ τελεσθέντος ἐκφωνεῖ· Σοφία, ὀρθοὶ καὶ εὐθέως εἰσοδικὸν τροπάριον ἦχος β'· Ὁ εὐσχήμων Ἰωσήφ. Ὁ ἱερεύς·

Πρόσχωμεν, Εἰρήνη πᾶσι, Σοφία, καὶ εὐθέως ὁ κανονάρχης τροπάριον τῆς προφητείας ἦχος β'· Ὁ συνέχων τὰ πέρατα, προκείμενον τῆς προφητείας [1]) κ. τ. λ.

[л. **241**). Τῇ ἁγίᾳ [2]) καὶ μεγάλῃ κυριακῇ τοῦ Πάσχα.

Τῆς ἁρμοζούσης ὥρας τοῦ ὄρθρου ἐνστάσης, ὁ μὲν ἱερεὺς ἅμα τῷ διακόνῳ, εἰσελθόντες ἐν τῷ διακονικῷ, ἀλλάσσουσιν. Ἀλλάσσει δὲ ὁ ἱερεὺς ἅπασαν τὴν ἱερατικὴν στολήν, εἰ μέντοι τετίμηται ὁ προεστὼς τῷ τῆς ἱερωσύνης ἀξιώματι, οὗτος ἐκπληροῖ τὰ τῆς ἱερατείας. Εἰ δὲ εἰσὶ καὶ ἕτεροι ἱερεῖς, ἀλλάσσουσι καὶ οὗτοι, οὐ μέντοι πᾶσαν τὴν στολήν. Ὁ δὲ ἐκκλησιάρχης διανέμει τοῖς ἀδελφοῖς κηρία καί, ἅπτοντες αὐτά, ἐξερχόμεθα πάντες ἐν τῷ νάρθηκι, τῶν ἱερέων προπορευομένων μετὰ λαμπάδων καὶ θυμιατοῦ. Οἱ δὲ παρεκκλησιάρχαι ἅπαντες ἀπέρχονται καὶ σημαίνουσιν ἐν ταὐτῷ ὅλα τὰ σήμαντρα, διὰ τὸ περιφανὲς τῆς ἑορτῆς, ἤγουν τὸ μικρόν, τὸ μέγα, τὸ σιδηροῦν καὶ τοὺς μεγάλους κώδωνας, εἴπερ εἰσίν, ὃ καὶ διατηρεῖται μέχρι τῆς ἑσπέρας τοῦ σαββάτου τῆς Διακαινησίμου. Εἷς δὲ μόνος κανδηλάπτης, ἐναπομείνας ἐν τῷ ναῷ, ἅπτει τὰ κηρία πάντα καὶ τὰς κανδήλας, ποιήσας δὲ καὶ πυρεῖον μέγα καὶ βαλὼν ἐν αὐτῷ θυμίαμα πολύ, τίθησι μέσον τοῦ ναοῦ. Ὁμοίως δὲ καὶ ἕτερον ἔμπροσθεν τῶν ἁγίων θυρῶν, βαλὼν καὶ εἰς θυμιατὸν θυμίαμα πολύ, κρεμᾷ αὐτὸ ἐντὸς τοῦ βήματος, καὶ θυμιᾶται ὁ ναὸς ἅπας, κεκλεισμένων τῶν πυλῶν. Ὁ δὲ ἱερεὺς ἐν τῷ νάρθηκι μετὰ τὸ θυμιᾶσαι ἅπαντας, προηγουμένου τοῦ διακόνου μετὰ λαμπάδος, ἵσταται κατενώπιον τῶν βασιλικῶν πυλῶν, κεκλεισμένων οὐσῶν, καὶ χαράττων σταυρὸν μετὰ τοῦ θυμιατοῦ τρίς, ἐκφωνεῖ· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ. Καὶ μετὰ τὸ Ἀμὴν ἄρχεται ὁ ἱερεὺς τροπάριον ἦχος πλ. α'· Χριστὸς ἀνέστη, σὺν αὐτῷ δὲ καὶ πάντες οἱ μετ' αὐτοῦ ἱερεῖς τε καὶ διάκονοι. Καὶ λέγουσι τοῦτο τρίς. Ὁμοίως καὶ οἱ ἀδελφοὶ τὸ αὐτὸ τρίς. Εἶθ' οὕτως ὁ ἱερεὺς τοὺς στίχους, στίχος α'· Ἀναστήτω ὁ Θεός, στίχος β'· Ὡς ἐκλείπει καπνός, στίχος γ'· Οὕτως ἀπολοῦνται. Λέγομεν δὲ ἡμεῖς καθ' ἕκαστον στίχον· Χριστὸς ἀνέστη, Δόξα, Χριστὸς ἀνέστη, Καὶ νῦν τὸ αὐτό. Εἶτα πάλιν γεγονωτέρᾳ τῇ φωνῇ ὁ ἱερεύς· Χριστὸς ἀνέστη. Καὶ ἀνοιγομένων πυλῶν, εἰσοδεύει προπορευομένων δηλαδὴ τῶν λαμπάδων καὶ τῶν ἀδελφῶν συνεφεπομένων καὶ

---

[1]) Въ Типиконѣ 1446 г. порядокъ утрени изложенъ такъ же, но нѣтъ непорочныхъ стиховъ (л. 244—245).

[2]) Типиконъ 1446 дѣлаетъ такое заглавіе: Περὶ τῆς ἀκολουθίας τοῦ ὄρθρου τῆς λαμπρᾶς κυριακῆς, ἐν ᾧ καὶ περὶ τοῦ γινομένου ἐν τῷ τέλει τοῦ ἀσπασμοῦ.

ψαλλόντων· Καὶ τοῖς ἐν τοῖς μνήμασιν. Εἰσελθὼν δὲ ὁ ἱερεὺς ἐντὸς τοῦ βήματος, ποιεῖ συναπτὴν μεγάλην καὶ ἐκφωνεῖ· Ὅτι πρέπει σοι. Καὶ εὐθέως ἄρχεται ὁ προεστώς, ἢ τὸ μέρος αὐτοῦ, ἤτοι τὸ δεξιόν· Ἀναστάσεως ἡμέρα, τοὺς εἱρμοὺς ἀνὰ δ', τὰ δὲ τροπάρια ποιοῦμεν ιβ', στίχους δὲ οὐ λέγομεν, εἰ μὴ μόνον τὸ Δόξα καὶ νῦν, ὕστερον δὲ πάλιν τοὺς εἱρμοὺς ἐκ β' ἀνὰ μέρος οἱ β' χοροί, ἤγουν ὁμοῦ μετὰ τῶν εἱρμῶν εἰς ιη'. Ἐν οἵῳ δ' ἂν τύχῃ χορῷ ἡ ἔναρξις, ὁ προεστὼς ἄρχεται κατὰ ταύτην τὴν ἡμέραν καὶ τὸ μέρος αὐτοῦ. Κατὰ δὲ ᾠδὴν γίνεται συναπτὴ μικρὰ παρὰ τοῦ ἱερέως ἔσωθεν τοῦ βήματος, κατὰ ταύτην μόνον τὴν λαμπροφόρον ἡμέραν. Ὁ δὲ ἱερεὺς θυμιᾷ εἰς τὴν ἔναρξιν τοῦ κανόνος, ὁμοίως καὶ εἰς τὴν θ', καὶ εἴπερ εἰσὶ περισσότεροι ἱερεῖς καὶ διάκονοι, θυμιῶσι κἀκεῖνοι, ἀπὸ δὲ τῆς δ' ᾠδῆς οἱ κανδηλάπται. Μετὰ τὴν α' ᾠδὴν ἐκφώνησις· Ὅτι σὸν τὸ κράτος, μετὰ τὴν γ'· Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος, εἶτα ὑπακοὴ ἦχος δ'· Προλαβοῦσαι τὸν ὄρθρον καὶ ἀνάγνωσις εἰς τὸν Θεολόγον· Ἐπὶ τῆς φυλακῆς μου, μετὰ τὴν δ' ᾠδὴν ἐκφώνησις· Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα, μετὰ τὴν ε'· Ὅτι ἡγίασται καὶ δεδόξασται, μετὰ τὴν ς'· Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης, εἶτα τὸ κοντάκιον ἰδιόμελον ἦχος πλ. δ'· Εἰ καὶ ἐν τάφῳ, τὸν οἶκον αὐτοῦ καὶ ἀνάγνωσις εἰς τὸν Θεολόγον· Ἀναστάσεως ἡμέρα. Μετὰ δὲ τὴν ἀνάγνωσιν, Ἀνάστασιν Χριστοῦ θεασάμενοι, ἐκ τρίτου, ἄνευ τοῦ πεντηκοστοῦ, ὁμοίως καὶ τὸ Ἀναστὰς ὁ Ἰησοῦς, ἐκ τρίτου, καὶ ἐκφωνεῖ ὁ ἱερεύς· Σὸν γὰρ ἐστὶ τὸ ἐλεεῖν, καὶ ἀπαρχόμεθα τῆς ζ' ᾠδῆς, μεθ' ἣν ἐκφώνησις· Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν. Μετὰ τὴν η' ᾠδὴν ἐκφώνησις· Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν. Μετὰ τὴν θ'· Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις, ἐξαποστειλάριον· Σαρκὶ ὑπνώσας, ἐκ τρίτου, εἰς τοὺς αἴνους, Πᾶσα πνοή, ἱστῶμεν δὲ στίχους δ', ψάλλομεν στιχηρὰ ἀναστάσιμα τῆς Ὀκτωήχου δ' ἦχος α', εἶτα, ἑνούμενοι οἱ β' χοροί, ψάλλομεν στιχηρὰ τοῦ Πάσχα ἦχος πλ. α', λέγοντες στίχον· Ἀναστήτω ὁ Θεός, Πάσχα ἱερὸν . . . Δόξα καὶ νῦν ὁ αὐτός· Ἀναστάσεως ἡμέρα, οὗ ἐν τῷ τέλει λέγομεν τὸ Χριστὸς ἀνέστη πολλάκις, ἐστ' ἂν πληρωθῇ ὁ ἀσπασμός, ὅστις γίνεται οὕτως· λαμβάνει ὁ ἱερεὺς τὸ ἅγιον Εὐαγγέλιον καὶ ἵσταται πρὸ τῶν θυρῶν τοῦ ἁγίου βήματος καὶ ἀσπάζεται ὁ προεστὼς τὸ ἅγιον Εὐαγγέλιον, εἶτα τὸν ἱερέα, εἶθ' οὕτως λαμβάνει τὸ ἅγιον Εὐαγγέλιον ὁ προεστώς, εἰ τετίμηται δηλονότι τῷ τῆς ἱερωσύνης ἀξιώματι, καὶ ἵσταται ἐκ δεξιῶν τοῦ ἱερέως. Ὁμοίως καὶ οἱ ἀδελφοὶ κατὰ τὴν τάξιν αὐτῶν, ἀσπαζόμενοί τε ἀλλήλους καὶ ἱστάμενοι ἐκ πλαγίου τοῦ λαγχάνοντος τελευταίου. Μετὰ δὲ τὸ πληρωθῆναι τὸν ἀσπασμόν,

ἀναγινώσκει ὁ προεστὼς τὸν κατηχητικὸν λόγον τοῦ Χρυσοστόμου, πάντων ἱσταμένων, ἔνθα ἔτυχεν ἕκαστος ἐν τῷ ἁγιασμῷ, καὶ ἀκροωμένων, λέγοντος οὕτως . . . Καὶ λέγομεν τὸ ἀπολυτίκιον τοῦ Χρυσοστόμου· Ἡ τοῦ στόματός σου καθάπερ πυρσός, εἶτα γίνεται ὑπὸ τοῦ ἱερέως ἐκτενή, εἶτα συναπτὴ καὶ τελεία ἀπόλυσις. Λιτὴ δὲ ἐν ταύτῃ τῇ λαμπροφόρῳ ἡμέρᾳ οὐ γίνεται.

[л. **274** об.). На литургiи εὐαγγέλιον κατὰ Ἰωάννην· Ἐν ἀρχῇ ἦν ὁ λόγος. Εἰ λειτουργεῖ καὶ διάκονος, λέγεται τὸ εὐαγγέλιον καὶ ὑπὲρ ἀμφοτέρων, τοῦ τε ἱερέως καὶ τοῦ διακόνου, κατὰ στιγμὴν κρούει δὲ καὶ κανδηλάπτης τὸν μέγαν σημαντῆρα κατὰ στιγμὴν βαρέαν α', καὶ καθεξῆς ἡ θεία λειτουργία τοῦ Χρυσοστόμου.

[л. **288** об.). Εἰ δὲ τύχοι ἐν ταύτῃ δὴ τῇ ἀποδόσει (т. е. праздника отцевъ) ἡ τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου μνήμη, ἢ ἑτέρου μεγάλου ἁγίου καὶ ἑορτάζομεν εἰς ς', ἤγουν τῶν ἁγίων Κωνσταντίνου καὶ Ἑλένης, τοῦ ἁγίου Συμεὼν τοῦ θαυμαστορείτου καὶ τῆς εὑρέσεως τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου, καταλιμπάνεται ἡ τῶν ἁγίων Πατέρων ἀκολουθία. Εἰ δὲ καὶ χρή, ὅτι τὴν ἀκολουθίαν λαγχανόντων ἁγίων τῇ τε παρασκευῇ τῇ πρὸ τῆς ν', ἐν ᾗ ἀποδίδεται ἡ ἑορτὴ τῆς Ἀναλήψεως, τῷ σαββάτῳ τῶν ψυχῶν, τῇ κυριακῇ τῆς ν' καὶ τῇ β' τοῦ ἁγίου Πνεύματος ψάλλομεν ἐν τοῖς ἀποδείπνοις, ὅτε θέλει ὁ ἐκκλησιάρχης.

[л. **290**). Вечерню на Троицу служитъ священникъ, ἀλλάξας τὴν ἅπασαν ἱερετικὴν στολήν. О чтенiи молитвъ замѣчено: Καὶ ἡμῶν κλινάντων τὸ γόνυ καὶ ἀσκεπῶν ἐπ' ἐδάφους κειμένων, ἀναγινώσκει ὁ ἱερεὺς τὴν πρώτην εὐχὴν ἀπὸ τοῦ βήματος μεγαλοφώνως. Остальной порядокъ, какъ у Гоара pag. 597—603.

[л. **300** об.). Εἴδησις τῶν ἐαθέντων ἀποστολοευαγγελίων τῶν μὴ ἑορταζομένων ἁγίων.

[л. **302**). Προκείμενα ἀναστάσιμα τῶν ὀκτὼ ἤχων, ἅπερ λέγονται ἐν τοῖς εὐαγγελίοις τοῦ ὄρθρου τῶν κυριακῶν.

[л. **302** об.). Προκείμενα καὶ ἀλληλουάρια τῶν ὀκτὼ ἤχων, τὰ λεγόμενα ἐν ταῖς λειτουργίαις τῶν κυριακῶν, ἤτοι τὰ ἄμνημα.

[л. **303**). Προκείμενα καὶ ἀλληλουάρια, τὰ λεγόμενα ἐν τῇ λειτουργίᾳ, ὅτε ἐστὶν ἅγιος ἑορταζόμενος.

[л. **303** об.). Ὕμνοι τριαδικοὶ τῶν ὀκτὼ ἤχων.

[л. **304** об.). Τὰ φωταγωγικὰ τῶν ὀκτὼ ἤχων.

[л. 305). Τροπάρια καὶ προφητεῖαι εἰς τὸν ἁγιασμὸν τῶν ἁγίων Θεοφανείων,

[л. 308) чистый.

[л. 309). Ἀκολουθία τοῦ ἁγιασμοῦ. Небольшая перестановка въ тропаряхъ и нѣтъ указанія на апостолъ и евангеліе, а во всемъ остальномъ чинъ сходенъ съ Гоаровскимъ чиномъ pag. 358—362.

[л. 315). Миніатюра изображаетъ муч. Евгенія Трапезунтскаго съ большимъ шестиконечнымъ крестомъ въ рукахъ. Миніатюра сохранилась очень плохо.

Рукопись настоящая, будучи отлична отъ всѣхъ другихъ Типиконовъ того же имени по составу своему, въ то же время даетъ широкое мѣсто свободѣ дѣйствій настоятеля и екклисіарха. Здѣсь почти на каждомъ листѣ можно встрѣтить указанія: «если желаетъ», «если хочетъ екклисіархъ или настоятель» и т. п., или же выраженія личнаго недоумѣнія: «я не знаю». Указывая нѣкоторыя служебныя особенности мѣстнаго характера, составитель въ то же время вводитъ нѣкоторыя новыя Марковыя главы, которыхъ въ другихъ Типиконахъ не встрѣчаемъ. Наконецъ, списатель рукописи иногда старался дать объясненія нѣкоторымъ своимъ особенностямъ, и ради сего испещрилъ поля на рукописи киноварными замѣчаніями, которыя теперь въ болшинствѣ случаевъ или нечитаемы, или читаются съ великимъ трудомъ. Для примѣра приведемъ нѣкоторыя изъ нихъ: Ἐν τῷ ἀπάρξασθαι τῶν κανόνων ὁ διάκονος ἐξελθὼν θυμιᾷ, ἅπτουσι καὶ τὰ κηρία πάντα ἀπ' ἀρχῆς τῶν ἀναβαθμῶν ἄχρι συμπληρώσεως τῆς γ' ᾠδῆς, ὁμοίως καὶ ἀπὸ τῆς θ' ᾠδῆς ἄχρι τῆς ἀπολύσεως [л. 16 об.). Относительно утренняго водоосвященія въ день Богоявленія: Ἐν ταῖς κατὰ μέρος ἐκλέγειν, τῇ δὲ ἐπαύριον συνέρχονται ἅπαντες μετὰ τοῦ πατριάρχου καὶ ἐκτελοῦσι τὸν τοιοῦτον ἁγιασμὸν καὶ ἐν τῷ Ἰορδάνῃ ποταμῷ, διὸ γοῦν ἐπηνέχθη τὸ παρὸν Τυπικὸν ἀπὸ τῶν κατὰ τῶν Ἱεροσολυμιτικῶν μονῶν, ὡς ἐν τῇ ἀρχῇ τοῦ βιβλίου δεδήλωται, διατέτακται ἐν τούτῳ ὁ διπλοῦς ἁγιασμὸς κατὰ τὴν Ἱεροσολύμων μονῶν συνήθειαν. Относительно выхода въ великую субботу замѣчено, что въ нѣкоторыхъ Типиконахъ, послѣ «Премудрость прости», тропарь пророчества. Οἶμαι δὲ τό. при-

бавляется на полѣ, ἐντὸς κρεῖττον . . . διὰ τοῦτο γὰρ ἐπεκράτησε καὶ παρὰ τοῖς πλείστοις [л. **269** об.).

DXXVI. № 324 (935). Τυπικόν (заглавія нѣтъ), рукопись той же библ. въ 16 долю листа, 229 листовъ, писана мелкою скорописью 1405 года. Время написанія рукописи опредѣляется слѣдующею припискою: Ἐτελειώθη τὸ παρὸν Τυπικὸν ἐν ἔτει ςϡιβ′ (1405) ἰνδικτιῶνος ιβ′, ἐν μηνὶ Νοεμβρίῳ ιε′. Τῷ ἔχοντι καὶ γράψαντι σῶσον. Θεῷ τὸ δῶρον καὶ Γερμανοῦ ὁ πόνος. Καὶ οἱ ἀναγινώσκοντες εὔχεσθέ μοι διὰ τὸν Κύριον.

Перваго листа недостаетъ.

[л. **2**). Окончаніе статьи о точномъ соблюденіи устава настоятелемъ. Въ концѣ статьи замѣтка: Ἑπτὰ εἰσὶ τοῦ ἀνθρώπου ἡλικίαι· βρέφος λέγεται ἀπὸ γεννήσεως ἕως ἐτῶν δ′, παῖς ἀπὸ ἐτῶν ε′ ἕως τῶν ιδ′, ἀπὸ ἐτῶν ιε′ ἕως ἐτῶν κβ′ νεανίσκος, ἀπὸ ἐτῶν κγ′ ἕως ἐτῶν μδ′ ἀνήρ, ἀπὸ ἐτῶν με′ ἕως τῶν νζ′ γηραιός, ἀπὸ τῶν νη′ ἕως ἐτῶν ξδ′ πρεσβύτερος, ἀπὸ ἐτῶν ξε′ μέχρι τέλους τῆς ζωῆς αὐτοῦ [л. **4** об.).

[л. **4** об.). Πίναξ τῶν τοῦ βιβλίου κεφαλαίων. Всѣхъ 146.

[л. **9** об.). Εὐχὴ εἰς εὐλόγησιν σταφυλῶν.

«Εὐλόγησον, Κύριε, τὸν καρπὸν τοῦτον τὸν νέον τῆς ἀμπέλου, ὃν διὰ τῆς τοῦ ἀέρος εὐκρασίας, ἢ τῶν σταγόνων τῆς βροχῆς. Goar. pag. 553. Молитва не окончена.

[л. **10**). Недостаетъ листа. Нѣтъ чина малой вечерни и начала великой. Начинается: τὸ Κύριε εὐλόγησον, καὶ θυμιᾷ αὖθις τὸν προεστῶτα, ἢ εἰς τὸν τόπον αὐτοῦ, εἶτα καὶ τὸν ἅγιον. Εἰσελθὼν δὲ εἰς τὸ ἅγιον βῆμα, ἵσταται ἔμπροσθεν τῆς ἁγίας τραπέζης καὶ ποιεῖ σταυροὺς γ′ μετὰ τοῦ θυμιατοῦ, τελευταῖον ἐκφωνῶν οὕτως· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ. . .

[л. **110** об.). Εἰ δὲ τύχοι (праздникъ Срѣтенія) ἐν μ′, ἤγουν τῇ α′ ἡμέρᾳ· ἀδύνατον γὰρ ἐστὶ τυχεῖν ἐν ἄλλῃ ἡμέρᾳ, ἐν τῇ παραμονῇ, ἤγουν τῇ κυριακῇ τῆς τυρινῆς ἑσπέρᾳ, εἰς τὸν μικρὸν ἑσπερινὸν στιχηρὰ προσόμοια τοῦ Τριῳδίου γ′ καὶ τῆς ἑορτῆς ἰδιόμελον ἓν ἦχος β′, Δόξα καὶ νῦν τῆς ἑορτῆς. Εἰς τὸν στίχον τὸ ἰδιόμελον τοῦ Τριῳδίου δὶς καὶ μαρτυρικὸν εἰς τὸν αὐτὸν ἦχον, Δόξα καὶ νῦν, ἦχος δ′ τῆς ἑορτῆς· Σήμερον ἡ ἱερά, τροπάριον τῆς ἑορτῆς, αἱ γ′ μεγάλαι μετάνοιαι καὶ ἀπόλυσις.

Ἐν τῷ μεγάλῳ ἑσπερινῷ ἡ ἀκολουθία ἀπαραλλάκτως, ὡς προδεδήλωται, προκείμενον δὲ λέγομεν τὸ μέγα· Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου, μετὰ τῶν στίχων αὐτοῦ. Ἐν τῷ ὄρθρῳ εἰς τὸ Θεὸς Κύριος, τροπάριον τῆς ἑορτῆς ἐκ γ', ἡ συνήθης στιχολογία τῶν τριῶν καθισμάτων καὶ ὁ πολυέλεος. Καθίσματα δὲ λέγομεν μετὰ τὴν α' στιχολογίαν καὶ τὰ β' τοῦ Τριῳδίου, Δόξα καὶ νῦν, θεοτοκίον προσόμοιον τῆς ἡμέρας. Εἰς δὲ ἕτερα καθίσματα καὶ μετὰ τὸν πολυέλεον καθίσματα τῆς ἑορτῆς κατὰ τὴν τάξιν αὐτῶν. Οἱ ἀναβαθμοί, τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου, προκείμενον· Πᾶσα πνοὴ καὶ εὐαγγέλιον, ὡς δεδήλωται ὄπισθεν, ἐν αἷς δὲ ᾠδαῖς εἰσὶ τὰ τριῳδικά, ἤγουν ἐν τῇ α', τῇ η' καὶ τῇ θ', ὁ κανὼν τῆς ἑορτῆς μετὰ τῶν εἱρμῶν εἰς ς' καὶ τὰ τριῴδια εἰς τὴν τάξιν αὐτῶν, εἰς τοὺς αἴνους στιχηρὰ τῆς ἑορτῆς, ὡς συνήθως, Πᾶσα πνοὴ οὐ λέγομεν διὰ τὸ μὴ γίνεσθαι μεγάλη δοξολογία. Εἰς τὸν στίχον τῶν αἴνων στιχηρὸν ἰδιόμελον τοῦ Τριῳδίου δὶς καὶ τὸ μαρτυρικόν, Δόξα καὶ νῦν τῆς ἑορτῆς ἦχος α'· Σήμερον ὁ πάλαι τῷ Μωσεῖ, τροπάριον τῆς ἑορτῆς, αἱ γ' μεγάλαι μετάνοιαι καὶ συνάπτομεν τὴν α' ὥραν ἄνευ στιχολογίας καὶ μετανοιῶν, πλὴν τῶν γ' μεγάλων, καὶ οὕτω γίνεται τέλος ἀπολύσεως.

[л. 189 об.). Περὶ τῆς ἀκολουθίας τοῦ σαββάτου. Τῇ παρασκευῇ μετὰ τὸ ἐξελθεῖν ἡμᾶς τῆς τραπέζης, ἑτοιμάζει ὁ διάκονος ὁ παραεκκλησιάρχης καὶ ψάλλουσιν οἱ ἱερεῖς μνημόσυνον ὑπὲρ τῶν κεκοιμημένων ἀδελφῶν ἡμῶν. Καὶ μετὰ μικρὸν σημαίνει τοὺς κώδωνας καὶ τὸ μικρὸν σήμαντρον κύκλω τῆς ἐκκλησίας καὶ ψάλλομεν τὸ κόλυβον ἐν τῷ νάρθηκι, ὡς σύνηθες, καί, καθεσθέντων ἡμῶν ἐν τοῖς στασιδίοις καὶ τοῦ κολύβου διανεμηθέντος, σημαίνει τὸ μικρὸν σιδηροῦν καὶ ψάλλομεν ἐν τῷ νάρθηκι μικρὸν ἀπόδειπνον, καὶ εἴ μεν ἐστὶ τὸ α' σάββατον τῶν νηστειῶν, λέγομεν τὸ κοντάκιον τοῦ ἁγίου Θεοδώρου, εἰ δὲ τῆς ἀκαθίστου, λέγομεν· Τῇ ὑπερμάχῳ, ψάλλομεν δὲ καὶ ἀντὶ κανόνος τὸ τετρᾳδιον τῆς ἡμέρας. Εἰ δὲ ἔστιν Ἀλληλούια, λέγομεν· Μετὰ τῶν ἁγίων ἀνάπαυσον, μόνον [л. 189 об.).

О праздничномъ кадилѣ въ субботу первой недѣли: Ἀνάπτομεν τοὺς σταυροὺς καὶ θυμιᾷ ὁ διάκονος μετὰ τοῦ ἑ ο ρ τ α σ ί μ ο υ θ υ μ ι α τ ο ῦ, τ ο ῦ ἔ χ ο ν τ ο ς τ ο ὺ ς κ ώ δ ω ν α ς (л. 189 об.).

Во 2 недѣлю. Ποιοῦμεν τὴν ἀγρυπνίαν διὰ αἰτίαν τοιαύτην· ὁ πανιερώτατος μητροπολίτης πρώην Μπελιγραδίου ἀφιέρωσεν ἐν τῷ μοναστηρίῳ ἀρχιερατικὰς στολὰς δύο διὰ γρ. χιλιάδας καὶ μετρητὰ γρόσια 1000 τοῦ νοσοκομίου ἕτερα 500, τῆς Πέτρας 100, 6780. Προσέτι διὰ τοὺς ἀσθενεῖς ἐν τῷ νοσοκομίῳ ἔτι ἑκατὸν εἰς πλακίαν δύο καλικίας [л. 194 об.).

Евангелій нѣтъ на утреняхъ страстной седмицы [л. 208 об.).

Статьи дальнѣйшія тѣ же, что въ Иверск. Типиконѣ, но далѣе послѣ статьи: Περὶ ἁγίου, ἔχοντος ἀγρυπνίαν, εἰ τύχοι ἐν κυριακῇ, слѣдуютъ:

[л. 284). Περὶ ἁγίου, ἔχοντος· Μακάριος ἀνὴρ καὶ πολυέλεον, εἰ τύχοι ἐν κυριακῇ.

[л. 284 об.). Περὶ ἁγίου, ἔχοντος εἰκόνα, εἰ τύχοι ἐν κυριακῇ μετὰ προεορτίων, ἢ μεθεορτίων Δεσποτικῶν καὶ περὶ μὴ ἔχοντος.

[л. 285). Περὶ προεορτίων καὶ μεθεορτίων, εἰ τύχωσιν ἐν κυριακῇ μετὰ β' ἁγίων.

— Περὶ τοῦ πότε οὐ στιχολογοῦμεν Τῷ Κυρίῳ ᾄσωμεν.

[л. **285**). Περὶ τοῦ πότε στιχολογεῖται καὶ πότε οὐ στιχολογεῖται Ἡ Τιμιωτέρα.

[л. **286**). Περὶ τοῦ πῶς ψάλλονται αἱ καταβασίαι ἐν ὅλῳ τῷ ἐνιαυτῷ.

[л. **288** об.). Μεγαλυνάρια, ψαλλόμενα εἰς τὰς Δεσποτικὰς καὶ Θεομητορικὰς ἑορτάς, ἐννάται ᾠδαὶ εἰς τὰ Εἰσόδια τῆς Θεοτόκου.

[л. **290**). Περὶ τῶν κτητορικῶν ὀνομάτων, ὧν μνημονεύομεν.

Χρὴ εἰδέναι καὶ περὶ τῶν κτητορικῶν ὀνομάτων, ὧν μνημονεύομεν παῤῥησίᾳ, τίνες δὲ εἰσὶ καὶ τίνα τὴν ἀνάκτησιν ἢ βελτίωσιν ἐποίησεν εἷς ἕκαστος αὐτῶν ἐν τῇ μονῇ· ὁ μὲν οὖν Νέαγκος [1]) ὑπῆρξεν αὐθέντης τῆς Βλαχίας πρὸ τοῦ Πέτρου, ὃς ἐγένετο καὶ τοῦ κὺρ Νήφωνος (1488—1490, 1499—1500, 1502) τοῦ πατριάρχου τέκνον πνευματικόν· αὐτὸς οὖν ἔδωκε τὴν δαπάνην καὶ ἐκτίσθη ὁ πύργος καὶ ἐφθιάσθη καὶ ὁ ὑδραγωγὸς τοῦ ὕδατος κτιστός, καθὼς ὁρᾶται νῦν, πρότερον διὰ ξυλίνων γουρνῶν κατήρχετο τὸ ὕδωρ εἰς τὸ μοναστήριον, ἀλλὰ καὶ τὴν κάραν τοῦ Προδρόμου μετὰ τῆς χρυσῆς θήκης καὶ μετὰ λίθων τιμίων κεκοσμημένην αὐτὸς ἐδωρήσατο τῇ ἡμετέρᾳ μονῇ [2]). Αὐτὸς ἐποίησε καὶ τὴν ἀργύρεαν καὶ περικαλλῆ θήκην, ἔχουσαν τὸ λείψανον τοῦ ἁγίου Νήφωνος, ὁ δὲ σὺν αὐτῷ μνημονευόμενος Θεοδόσιος υἱὸς ὑπῆρξεν αὐτοῦ τοῦ Νεάγκου. Ὁ δὲ Πέτρος, μετὰ τὴν πυρπόλησιν τοῦ πάλαι μοναστηρίου, ἔδωκε τὴν ἔξοδον καὶ ᾠκοδομήθη καὶ ἐζωγραφήθη ὁ ναὸς εὐρύτατος κατὰ πολὺ τοῦ παλαιοῦ καὶ ὑψηλότερον, καθὼς ὁρᾶται νῦν. Ἐζωγραφήθη δὲ παρὰ τοῦ θαυμαστοῦ τεχνίτου ἐκείνου κὺρ Ζώργη τοῦ Κρητός. Αὐτὸς ὁ Πέτρος ἔκτισε καὶ τὸ μέρος τῆς πόρτας ὅλον, ἤγουν ἀπὸ τοῦ μαγειρίου ἕως τοῦ βαϊναρίου. Ὁ δὲ Παχώμιος μοναχὸς ἐστὶν ὁ ποτὲ Ἀλέξανδρος, αὐθέντης καὶ αὐτὸς γενόμενος τῆς Βλαχίας, γαμβρὸς δὲ τοῦ Πέτρου, ἡ δὲ Ῥοξάνδρα θυγάτηρ ἦν τοῦ Πέτρου, γυνὴ δὲ Ἀλεξάνδρου, ᾠκοδόμησε δὲ καὶ οὗτος τὸ νοσοκομεῖον καὶ τὴν τράπεζαν καὶ εἰς τὸν ἐν ε΄ μηνὶ τὸν καιρόν, ὅταν ἐξαγοράσαμεν τὰ μετόχια, κατὰ τὸν ὁρισμὸν τοῦ τότε βασιλέως. Αὐτὴ ἡ Ῥοξάνδρα ἔδωκε τὴν τοιαύτην ἔξοδον. Ὁ δὲ Σιλουανὸς μοναχὸς ἐπιστάτης ἦν καὶ ἐπιτηρητὴς εἰς τὰς οἰκοδομὰς ἐπ' αὐ-

---

[1]) I. Неанкосъ, молдовлахійскій воевода, построилъ въ монастырѣ въ 1520 г. соборъ во имя Предтечи, который въ 1646 г. послѣ пожара возобновилъ воевода Петръ, расписавшій храмъ живописью въ 1644 г. инд. 5.

[2]) Объ этой святынѣ см. прим. выше стр.

τῷ τούτῳ παρὰ τοῦ Πέτρου ἀποσταλείς, ὃς καὶ προθύμως ὑπηρετήσας καὶ τὴν διακονίαν τῆς ἐπιστασίας αὐτοῦ τελειώσας καλῶς, ἀνεπαύσατο ἐν Κυρίῳ ἐν τῷ μοναστηρίῳ, ὅθεν καὶ ἄξιον ἔδοξε τοῖς τότε πατράσι μνημοσύνου καὶ αὐτὸν ἀξιωθῆναι κτητορικοῦ, ὡς πολλὰ κοπιάσαντα καὶ συνεργήσαντα ἐν τῇ οἰκοδομῇ τοῦ νέου μοναστηρίου. Ὁ δὲ Μακάριος μητροπολίτης ἐγένετο Ἡρακλείας καὶ Θράκης, ὃς καὶ παραίτησιν τοῦ θρόνου ποιησάμενος, ἦλθεν εἰς τὸ μοναστήριον μετὰ τῆς περιουσίας αὐτοῦ, ἀφιέρωσεν δὲ καὶ τὸ τζιμπλαρεῖον τὸ ἐν Ἡρακλείᾳ. Λάζαρος δὲ καὶ Μπόϊος ἀδελφοὶ ἦσαν ἀπὸ χώραν, λεγομένην Πιαβίτζαν, κατῴκουν δὲ εἰς τὸν Ἴσβορον. Αὐτοὶ γοῦν ἔκτισαν τὸ δοχεῖον. Μανουὴλ δὲ καὶ Θωμᾶς καὶ αὐτοὶ ἀδελφοὶ ἦσαν ἐκ τῶν Σεῤῥῶν, ἐποίησαν δὲ καὶ αὐτοὶ τὸ μετόχιον τοῦ ὀρφανείου καὶ τὸν ἀρσανᾶν.

Далѣе [л. 291) приписка позднѣйшей руки:

Περὶ τῶν ἀφιερωθέντων ἕκαστον ὁποῖόν ἐστιν· Ὁ πανιερώτατος μητροπολίτης, ὁ τῆς καθ' ἡμᾶς ἱερᾶς μονῆς τοῦ ἁγίου Διονυσίου κοινοβιάτης πρώην Μπελιγραδίου κύριος κὺρ Ἱερεμίας, ὁ ἐκ Ζαγορᾶς, οὗτος παραίτησιν ποιήσας τοῦ θρόνου, ἦλθεν ἐν τῷ μοναστηρίῳ μετὰ πάσης τῆς περιουσίας αὐτοῦ, ἀφιέρωσε δὲ εἰς τὸ μοναστήριον τὰ κατωτέρω, δηλαδή· ἕνα μανδύαν διὰ γροσίων 200, ἓν στιχάριον στόφα χρυσῆ τῆς Βενέτη 300, ἐπιτραχήλιον ὅλον ἕνα σιρίτη 150, περιζώνιον μὲ χρυσοῦν κολάνιον 50. Τὸ ὅλον 7000. Ἐπιγονάτιον κεντητὸν διὰ μαργάρων 200, ἐπιμανίκια μετὰ μαργάρων 100, σάκον κόκκινον πολυσταύρη πολλὰ ὡραῖον 900, ὠμοφόριον διὰ μαργάρων πετρ. σμαράγδ. 950, κορώναν κεντηκὴν διὰ μαργ. πετρ. σμαράγδ. ῥουμπ. 2100, τὸ ὅλον 4950. Πατερίτζαν διὰ διαμάντι ῥουμπ. σμαραγδ. 850, δικηροτρικήρια τζαρκιοῦσι 200. Ἕτερον στιχάριον στόφα σαντέδικι 180, σάκον παρόμοιον 250, πατερίτζα μὲ μαλαγματοκαπνισμένον ἀνεστ. 200, τὸ ὅλον 6630. Ἐπιμανίκια ἐπιτραχ. καὶ ὠμοφόριον 100, μπόχον χρυσοῦν ποχτζὰ φορτζέρι 50. Μετρητὰ ἄσπρα 1000, τοῦ νοσοκομείου ἀφιέρωμα 500, εἰς πλάκαν τοῦ μοναστηρίου 100.

Ἔτι ἀφιέρωσε μίαν ἐνδυμασίαν ἄσπρην λεχικὴν εἰς τὴν ἐκκλησίαν.

Τὰ ὁποῖα πάντα παρὰ τῶν παρευρεθέντων τῆς μονῆς προεστῶν τοῦ τε πανοσιωτάτου προηγουμένου παπᾶ Κοσμᾶ, τοῦ προηγουμένου παπᾶ κὺρ Ἰωακείμ, τοῦ πανοσιωτάτου καὶ ἀρχιμανδρίτου παπᾶ Ἰακώβου, τοῦ ὁσιωτάτου κὺρ χατζῆ Μακαρίου τοῦ ἐκ σαράφιδων, τοῦ ἐν μονα-

χοῖς γέρω Ζαχαρίου γέροντος, τοῦ γέρω Δαβὶδ καὶ δικαίου τῆς μονῆς, καὶ γέροντος χατζῆ Κυρίλλου τιμηθέντα.

Καὶ διὰ ταύτην τὴν πρὸς ἡμᾶς μεγάλην χάριν ὑποσχόμεθα ἐνώπιον Θεοῦ καὶ τῶν τῆς ἱερᾶς μονῆς κατ' ἐξοχὴν ἐφόρων ἁγίων, τοῦ μεγάλου Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νήφωνος, τοῦ ὁσίου πατρὸς ἡμῶν Διονυσίου—τόσον ἡμεῖς, ὅσον καὶ οἱ καθ' ἡμᾶς διάδοχοι νὰ ἐπιτελοῦμεν τὸν καθέκαστον χρόνον, ἐν ὅσῳ διασώζεται ἡ καθ' ἡμᾶς αὕτη μονὴ δύο ἀγρυπνίας διὰ τὴν αὐτοῦ πανιερότητα· μίαν τῇ ια' τοῦ Αὐγούστου, τοῦ ἁγίου Νήφωνος, ἄλλην τῇ β' κυριακῇ τῶν νηστειῶν, Γρηγορίου τοῦ Παλαμᾶ, εἰς τὰς ὁποίας νὰ ψάλλωμεν καὶ μνημόσυνον μὲ κηροδοσίαν καὶ κόλυβον, μνημονεύοντες τὰ ἐφεξῆς ὀνόματα· Ἱερεμίου ἀρχιερέως, Δημητρίου συνοδίας γ' τοῦ Διότα, Χαϊδοῦς Δώση. Προσέτι ὑποσχόμεθα κάθε τρίτην νὰ κάμνωμεν κόλυβον νὰ μνημονεύωμεν εἰς τὴν λειτουργίαν μετὰ Τρισαγίου ἐν τῷ ναῷ τῆς ὑπεραγίας Θεοτόκου μόνον τὸ ὄνομα τῆς αὐτοῦ πανιερότητος μετὰ τὴν ἐν Χριστῷ αὐτοῦ ἀποβίωσιν. Ὅστις δὲ ἐξ ἡμῶν, ἢ τῶν μεθ' ὑμῶν προεστώτων, ἀμελήσῃ καὶ παραβλέψῃ τὰ ἀνωτέρω, αὐτὸς νὰ δώσῃ λόγον ἐν ἡμέρᾳ κρίσεως καὶ ὑπεύθυνος ἔσται ταῖς ἀραῖς τῶν ἁγίων τοῦ μεγάλου Προδρόμου καὶ τοῦ ἁγίου Νήφωνος καὶ ἁγίου Διονυσίου. Ἐγράφη ἐν ἔτει ͵αψπζ', Νοεμβρίου ις'.

CXLIII. Τυπικὸν τοῦ ἱεροῦ τούτου κοινοβίου τοῦ Ξενοφῶντος, συναθροισθὲν ἐκ πολλῶν ἀξιολόγων χειρογράφων τῶν μοναστηρίων τοῦ Ὄρους. Соборный Типиконъ Ксенофскаго монастыря, рукопись въ полулистъ, 244 страницы, писана въ 1794 году, какъ это видно изъ слѣдующей приписки въ концѣ рукописи: Τυπικὸν ἄριστον τοῦ παρόντος ἱεροῦ καὶ βασιλικοῦ κοινοβίου τοῦ Ξενοφῶντος, τοῦ ἐπ' ὀνόματι τοῦ ἁγίου Γεωργίου τιμωμένου, συντεθὲν παρά τινος εὐτελοῦς καὶ ἁμαρτωλοῦ μοναχοῦ Διονυσίου τοῦ ἐκ Παλαιῶν Πατρῶν τῆς Ἀχαΐας καὶ τῆς αὐτῆς μονῆς τέκνου γνησιωτάτου, κατὰ τὸ χιλιοστὸν ἑπτακοσιοστὸν ἐνενηκοστὸν τέταρτον ἔτος σωτήριον καὶ κατὰ μῆνα Ἀπρίλιον καὶ κατὰ τὸ σάββατον τῆς ἑβδομάδος τῶν Μυροφόρων. Οἱ δὲ ἀναγινώσκοντες καὶ εὐκόλως πάντα τὰ ἀπορούμενα εὑρίσκοντες ἐν αὐτῷ, εὔχεσθε ὑπὲρ ἐμοῦ, τοῦ πολλῶν εὐχῶν χρῄζοντος.

Настоящій Типиконъ послужилъ прототипомъ Типикона Костамонитскаго монастыря, а поэтому распорядокъ и составъ статей въ обоихъ одинаковы. Что же касается изложенія ихъ текста, то здѣсь есть немало особенностей и иногда весьма

важныхъ. Въ первой части въ изложеніи статей особенности касаются главнымъ образомъ отдѣльныхъ словъ (см. чинъ всенощнаго бдѣнія по Костамонит. Типик. и варіанты къ нему), но въ Синаксарѣ эти особенности выступаютъ очень рѣзко (см. въ томъ же Типиконѣ). Уже мы не говоримъ объ отличіяхъ изложенія обоихъ Типиконовъ, когда дѣло касается мѣстныхъ храмовыхъ праздниковъ и когда особенности вполнѣ естественны. Мы отмѣтимъ здѣсь нѣсколько разностей въ службахъ для дней, имѣющихъ одинаково важное значеніе въ обѣихъ названныхъ обителяхъ.

26 Октября. Τοῦ ἁγίου μεγαλομάρτυρος Δημητρίου τοῦ μυροβλύτου. Ἡμεῖς ἔχομεν καὶ τοῦτον (μετὰ τὸν ἅγιον Γεώργιον) προστάτην τῆς μονῆς ἡμῶν, διὸ ποιοῦμεν ἀφεύκτως ἀγρυπνίαν, τὸν δὲ μικρὸν ἑσπερινὸν αὐτοῦ εὑρήσεις χειρόγραφον ἐν τῷ τέλει τοῦ Μηναίου, ἡ δὲ λοιπὴ ἀκολουθία αὐτοῦ, ὡς ἐν τῷ Μηναίῳ εὑρίσκεται. Τοῦτο δὲ μόνον λέγομεν, ὅτι εἰς τὴν εὐλόγησιν τῶν ἄρτων οὐ λέγεται τὸ τοῦ σεισμοῦ τροπάριον, ἀλλὰ τὸ τοῦ ἁγίου δὶς καὶ τὸ Θεοτόκε Παρθένε, εἰς δὲ τὸ Θεὸς Κύριος τοῦ ἁγίου δὶς καὶ τοῦ σεισμοῦ ἅπαξ μόνον, εἰς τὸ τέλος τῆς δοξολογίας μόνον τοῦ ἁγίου, εἰς τὴν λιτὴν δὲ μὴ λέγε ἰδιόμελον τοῦ ἁγίου Γεωργίου [л. **66**).

25 Ноября. Τῆς ἁγίας μεγαλομάρτυρος Αἰκατερίνης καὶ τοῦ ἁγίου μεγαλομάρτυρος Μερκουρίου. Ἐν ταύτῃ τῇ ἡμέρᾳ γράφουσι τὰ Μηναῖα ἀπόδοσιν τῆς ἑορτῆς, ἡμεῖς δέ, ἔχοντες λείψανον τοῦ ἁγίου Μερκουρίου, ποιοῦμεν τὴν ἀπόδοσιν τῆς ἑορτῆς κατὰ τὴν εἰκοστὴν ἕκτην τοῦ παρόντος, ψάλλοντες τοὺς κανόνας τῶν ἁγίων ἐν τοῖς ἀποδείπνοις [л. **76**), ποιοῦμεν εἴσοδον ἄνευ ἀναγνωσμάτων.

Того же мѣсяца 28. Τοῦ ὁσίου πατρὸς ἡμῶν Στεφάνου τοῦ νέου καὶ τοῦ ἁγίου μάρτυρος Εἰρηνάρχου. Πᾶσα ἡ ἀκολουθία, ὡς ἐν τῷ Μηναίῳ, εἰπὲ δὲ ἀπὸ γ′ ᾠδῆς τὸ τοῦ ἁγίου Εἰρηνάρχου κοντάκιον καὶ τὸν οἶκον [л. **77**).

26 Января. Τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ξενοφῶντος. Οὗτος ὁ ἅγιος, ὡς δοκεῖ, κτήτωρ ἀρχαῖος ἐστὶ τοῦ ἱεροῦ ἡμῶν κοινοβίου, διὸ ἑορτάζομεν αὐτὸν ἄνευ ἀργίας· ποιοῦμεν δὲ εἴσοδον, κάθισμα Ψαλτηρίου ἐνόρθινον, τὰ εἰς τὸ Κύριε ἐκέκραξα προσόμοια αὐτοῦ εἰς ς′, ἔχομεν δὲ καὶ χειρόγραφα ἐν τῷ τέλει τοῦ Μηναίου ἀπόστιχα καὶ καθίσματα καὶ αἴνους, ψάλλομεν καὶ δοξολογίαν μεγάλην, ἔχομεν τὸ κατωσάγωνον τοῦ υἱοῦ αὐτοῦ, ποιοῦμεν καὶ κόλυβα.

Марковы главы для праздниковъ Срѣтенія и Благовѣщенія берутся изъ древне-іерусалимскихъ Типиконовъ, въ частности изъ Типикона № 57 этой библіотеки (См. выше описаніе этого Типикона стр. 252—253), и помѣщаются въ Синаксарѣ, при чемъ внесены и замѣчанія съ полей Типикона № 57 въ самый текстъ. Впрочемъ, сдѣлано исключеніе для Пасхальнаго дня, который изложенъ съ большими отличіями противъ Типикона № 57. Отсюда произошло то, что изложеніе службъ праздника Благовѣщенія въ великія пятницу и субботу страстной недѣли не согласуется съ изложеніемъ этихъ службъ самостоятельно въ Тріоди. Поэтому-то составитель Типикона Костамонитскаго монастыря, понявъ это, хорошо сдѣлалъ, что названнымъ Благовѣщенскимъ главамъ придалъ совершенно иное изложеніе, несходное съ оригиналомъ, который онъ имѣлъ подъ руками, а скорѣе согласное съ Типикономъ Филоѳеевскаго монастыря. Такимъ образомъ въ Костамонитскомъ Типиконѣ замѣчаемыхъ противорѣчій Типикона Ксенофскаго уже нельзя видѣть. Такъ какъ служба Пасхи имѣетъ иное изложеніе сравнительно съ Типикомъ № 57, то Костамонитскій Типиконъ и беретъ ее смѣло на свои страницы цѣликомъ.

23 Апрѣля. Τοῦ *ἁγίου ἐνδόξου μεγαλομάρτυρος καὶ θαυματουργοῦ καὶ θερμοτάτου προστάτου τοῦ ἱεροῦ τούτου κοινοβίου τοῦ Ξενοφῶντος Γεωργίου τοῦ τροπαιοφόρου, ὡς ἐν τῷ Μηναίῳ πᾶσα αὐτοῦ ἡ ἀκολουθία* [л. **170**).

Главы эти изложены по Типикону № 57, но со внесеніемъ въ текстъ замѣчаній съ полей. Не взято изъ Типикона № 57 лишь замѣчаніе рукописи о томъ, что если праздникъ великомуч. Георгія придется въ великія пятницу или субботу, то служба его переносится на вторникъ, среду и четвергъ пасхальной недѣли.

Τῷ αὐτῷ μηνὶ κδ΄ τῆς ὁσίας μητρὸς ἡμῶν Ἐλισάβετ τῆς θαυματουργοῦ, ποιοῦμεν ἡμεῖς ἐν τῇ μονῇ τοῦ ἁγίου Γεωργίου μεθέορτα, ποιοῦντες ἐν τῷ ἑσπερινῷ τὰ τοῦ ἁγίου προσόμοια γ΄ καὶ τῆς ἁγίας γ΄, Δόξα τοῦ ἁγίου, Καὶ νῦν τῆς ἑορτῆς, εἰς τὸν στίχον τὰ τῆς ἑορτῆς, Δόξα τοῦ ἁγίου, Καὶ νῦν τῆς ἑορτῆς, ἀπολυτίκιον τοῦ ἁγίου καὶ τῆς ἑορτῆς. Ἐν τῷ ὄρθρῳ, εἰς τὸ Θεὸς Κύριος τῆς

ἑορτῆς, τροπάριον τοῦ ἁγίου καὶ πάλιν τῆς ἑορτῆς, εἰς τὰς στιχολογίας ἐν μὲν τῇ α' κάθισμα τῆς ἑορτῆς, ἐν δὲ τῇ β' κάθισμα τοῦ ἁγίου, οἱ κανόνες τῆς ἑορτῆς εἰς ς', τοῦ ἁγίου εἰς δ' καὶ τῆς ὁσίας εἰς δ', ἀπὸ γ' ᾠδῆς κοντάκιον τῆς ἑορτῆς, κάθισμα ἓν τὸ τῆς ὁσίας, Δόξα τοῦ ἁγίου, Καὶ νῦν τῆς ἑορτῆς, ἀφ' ς' τὸ κοντάκιον καὶ ὁ οἶκος τοῦ ἁγίου, ἐξαποστειλάριον τοῦ ἁγίου καὶ τῆς ἑορτῆς, εἰς τοὺς αἴνους τοῦ ἁγίου, Δόξα τοῦ αὐτοῦ, Καὶ νῦν τῆς ἑορτῆς, εἰς τὸν στίχον τῆς ἑορτῆς, Δόξα τοῦ ἁγίου, Καὶ νῦν τῆς ἑορτῆς, τὸ 'Αγαθὸν τὸ ἐξομολογεῖσθαι καὶ τὰ λοιπὰ καὶ ἀπόλυσις. Εἰς τὰς ὥρας τὸ τῆς ἑορτῆς καὶ τὸ τοῦ ἁγίου τροπάριον καὶ κοντάκιον ὁμοίως· λέγομεν δὲ ἐν τῇ λειτουργίᾳ ἐκ τῆς τοῦ ἁγίου ς' ᾠδῆς τροπάρια δ' καὶ ἀπόστολον καὶ εὐαγγέλιον καὶ κοινωνικόν. Ποιοῦμεν καὶ κόλυβα διὰ τοὺς κτήτορας τῆς μονῆς ἔν τε τῷ ἑσπερινῷ καὶ ἐν τῷ ὄρθρῳ [л. **179**).

17 Іюля. Τῆς ἁγίας μεγαλομάρτυρος Μαρίνης, ποιοῦμεν εἴσοδον, οὐ λέγομεν δὲ τὸ Μακάριος ἀνὴρ ἐν τῷ ἑσπερινῷ, ἀλλὰ τὸ ἐνόρδινον κάθισμα, ἀλλ' οὔτε ἐν τῷ ὄρθρῳ ψάλλομεν τῆς Θεοτόκου κανόνα, ἀλλὰ τῆς Παρακλητικῆς εἰς η' καὶ τῆς ἁγίας εἰς ς', καθίσματα τῆς ἁγίας (εἰ βούλῃ) λέγε τὰ εἰς φύλλα 124 τοῦ αὐτοῦ Μηναίου, ποιοῦμεν δοξολογίαν μεγάλην, τὰ δὲ λοιπὰ τῆς ἀκολουθίας, ὡς ἐν τῷ Μηναίῳ καλῶς εὑρίσκονται. Ἔχομεν τὴν δεξιὰν χεῖρα τῆς ἁγίας, ποιοῦμεν καὶ κόλυβα αὐτῆς [л. **158**).

Изложена служба великомученицы и на тотъ случай, если бы эта служба совпала съ недѣлею Святыхъ Отецъ.

Виноградъ положено вкушать 6 Августа [л. **204**). Подъ 15 числомъ Августа замѣчено: Δεῖ δὲ εἰδέναι, ὡς ἐν τῷ ἁγιωνύμῳ τούτῳ Ὄρει ἑορτάζομεν τὴν παροῦσαν ἑορτὴν τῆς Θεοτόκου μέχρι τῆς τοῦ παρόντος κη', διὰ τὸ εἶναι ταύτην καὶ γνωρίζεσθαι προστάτην κατ' ἐξοχὴν τοῦ Ὄρους τούτου, ὁ δὲ ἐκκλησιάρχης οἰκονομήσει σὺν τάξει τὴν ἀκολουθίαν τῶν καθ' ἡμέραν ἁγίων καὶ τὴν μεθέορτον ἄχρι τῆς ἀποδόσεως [л. **205**).

Въ службахъ по Тріодямъ изложеніе одинаковое съ Типикономъ Костамонитскаго монастыря. Отмѣтимъ лишь нѣкоторыя особенности въ службахъ:

'Ιστέον δέ, ὡς ἐν ταῖς μεγάλαις μετανοίαις λέγει ἕκαστος σιγῇ τὴν σημειωθεῖσαν εὐχὴν τοῦ ἁγίου 'Εφραίμ, ἐν δὲ ταῖς ιβ' μικραῖς μετανοίαις λέγει τὸ 'Ο Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ [л. **215**).

Ἐν δὲ ταῖς ὥραις ψάλλομεν τῶν στίχων ἀντὶ τροπαρίου, ἀπέρχεται ὁ κανονάρχης ἐν τῷ μέσῳ ἀσκεπὴς καὶ ποιεῖ γονυκλισίας, λέγων ἐν ἑκάστῃ καὶ τοὺς συνήθεις στίχους [л. 215).

Ἰστέον ἔτι, ὡς ἔθος ἡμῖν· ἀναγινώσκομεν τὸ Τετραευάγγελον ἀπὸ τῆς πρώτης ἡμέρας μέχρι τοῦ σαββάτου τοῦ ἁγίου Λαζάρου κατὰ τὰς πέντε μόνον ἡμέρας τῶν ἑβδομάδων· ἀναγινώσκομεν δὲ αὐτὸ ἐν τῇ τριθέκτῃ καὶ ἐν τῷ ὄρθρῳ, ἅπαξ ἐν μὲν τῇ πρώτῃ ἑβδομάδι δηλαδή, ἐν δὲ ταῖς λοιπαῖς ἅπαξ μόνον ἀναγινώσκομεν αὐτὸ ἐν τῷ ὄρθρῳ δηλαδή. Ἀναγινώσκομεν δὲ τὰ τρία εὐαγγέλια ὁλόκληρα, τὸ δὲ κατὰ Ἰωάννην μέχρι τοῦ Νῦν ἐδοξάσθη ὁ Υἱὸς τοῦ ἀνθρώπου, καταλιμπάνομεν δὲ ἐν τῇ α' ἑβδομάδι τὴν συνήθη παράκλησιν [л. 215).

Въ недѣлю православія на бдѣніи положено освященіе хлѣбовъ [л. 218).

Ἰστέον ἔτι, ὅτι οἱ τῆς Θεοτόκου οἶκοι (въ субботу акаѳиста) ἔνδον τοῦ βήματος ἀναγινώσκονται παρὰ τοῦ ἱερέως, προευτρεπισθέντος τοῦ τετραπόδου ἔμπροσθεν τῶν ἁγίων θυρῶν, ἐφαπτούσης λαμπάδος ἔμπροσθεν μετὰ μανουαλίου, ἀναγινώσκονται μετὰ τὴν ς' ᾠδὴν τοῦ κανόνος καὶ ἔμπροσθεν τῆς εἰκόνος τῆς Θεοτόκου, τὸ δὲ ἐξαποστειλάριον δὶς μόνον λέγομεν, οὐ στιχολογεῖται δὲ Ἡ Τιμιωτέρα ἐν τῇ θ' ᾠδῇ [л. 223).

Ἰστέον ἔτι, ὡς εἰς τὰς τρεῖς ταύτας ἡμέρας ἐν μόνῃ τῇ πρώτῃ ὥρᾳ λέγομεν τροπάριον τὸ Ἰδοὺ ὁ νυμφίος, καὶ ἐν τῷ Τρισαγίῳ τὸ ἑκάστης ἡμέρας ἴδιον κοντάκιον, εἰς δὲ τὰς λοιπὰς ὥρας τὰ συνήθη τροπάρια, ὁμοίως καὶ ἐν τοῖς ἀποδείπνοις. Μετὰ δὲ τὴν μεγάλην τετράδα σχολάζει τὸ μεσονυκτικὸν καὶ τὸ μέγα ἀπόδειπνον, ὁμοίως καὶ ἡ συνήθης παράκλησις καὶ οἱ τῆς Θεοτόκου οἶκοι [л. 225).

Τῇ δὲ μεγάλῃ ε' τῇ α' ὥρᾳ τῆς ἡμέρας γίνεται τὸ εὐχέλαιον. Περὶ δὲ τὴν ς' ψάλλομεν τὰς ὥρας τριψάλμους, μετὰ δὲ τὴν εὐχὴν τῆς θ' ὥρας λέγομεν εὐθὺς τὸ Μνήσθητι ἡμῶν, Κύριε, καὶ τὰ λοιπὰ συνήθη· οὐ γὰρ λέγονται τὰ τυπικά, τὸ κοντάκιον τῆς ἡμέρας, τὸ Κύριε ἐλέησον μ', Δόξα καὶ νῦν καὶ ἡ ἀπόλυσις, τὸ δὲ Εὐλογήσω τὸν Κύριον καὶ τὸ Ὑψώσω σε, λέγομεν μετὰ τὴν ἀπόλυσιν τῆς λειτουργίας, καὶ μετὰ ταῦτα ἀναγινώσκομεν τὴν εὐχαριστίαν τῆς μεταλήψεως καὶ ἀπερχόμεθα εἰς τὴν τράπεζαν [л. 225).

Службы великой пятницы, субботы и Пасхи, какъ въ Костамонитскомъ Типиконѣ.

Ἰστέον ἔτι, ὅτι ἐν τῇ ἀπολύσει τοῦ ὄρθρου, τῆς λειτουργίας καὶ τοῦ ἑσπερινοῦ (т. е. пасхальной недѣли) ἐκφωνεῖ ὁ ἱερεὺς οὕτω· Τοῖς μισοῦσιν ἡμᾶς συγχωρήσωμεν πάντα τῇ ἀναστάσει καὶ οὕτω βοήσωμεν· Χριστὸς ἀνέστη. Καὶ ὁ ἐκκλησιάρχης· Ἀληθῶς ἀνέστη. Χριστὸς ἀνέστη. Ἀληθῶς ἀνέστη. Χριστὸς ἀνέστη, Ἀληθῶς ἀνέστη. Εἶτα πάλιν ὁ ἱερεύς· Προσκυνοῦμεν αὐτοῦ τὴν τριήμερον ἔγερσιν. (Τοῦτο δὲ γίνεται μόνον ἐν τῇ α' ἑβδομάδι) καὶ ὁ ἐκκλησιάρχης· Δόξα τῇ αὐτοῦ τριημέρῳ ἐγέρσει. Εἶτα ὁ ἱερεὺς τὸ Δι' εὐχῶν τῶν ἁγίων καὶ τὰ ἑξῆς [л. 234).

Ἔτι ἰστέον, ὡς ἀπὸ τοῦ ἑσπερινοῦ τῆς μεγάλης πέμπτης μέχρι τοῦ σαββάτου τῆς Διακαινησίμου εἰς τὸ Κύριε ἐκέκραξα καὶ εἰς τοὺς αἴνους οὐ στιχολογοῦμεν τοὺς μεταξὺ στίχους.

На часахъ дважды дѣлается возгласъ: «Молитвами» и въ третій разъ: «Боже, ущедри ны» [л. 234).

Ἰστέον, ὡς τῇ παρασκευῇ τῆς Διακαινησίμου ποιοῦμεν κόλυβον διὰ τὸ τῆς Θεοτόκου θαῦμα, εἰς δὲ τὰς ὥρας, μεσονυκτικὸν καὶ ἀπόδειπνον λέγομεν εἰς τὸ Δόξα τὸ κοντάκιον τῆς Θεοτόκου [л. 234).

Въ субботу на Пасхѣ передъ вечернею ψάλλεται ἡ θ' ὥρα τριψάλμους, λέγοντες τροπάριον τὸ Ἐξ ὕψους κατῆλθες, κοντάκιον δὲ Εἰ καὶ ἐν τάφῳ κατῆλθες [л. 235).

До Вознесенія въ началѣ каждой службы говорится: «Христосъ воскресе» 3-жды, вмѣсто «Слава тебѣ Боже нашъ», Царю небесный и «Святый Боже». Ἀπὸ δὲ τῆς Ἀναλήψεως μέχρι τῆς Πεντηκοστῆς λέγομεν τὸ Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι, καὶ οὐδὲν ἄλλο, ἀλλ' εὐθὺς τὸ Δόξα Πατρί, τὸ Παναγία Τριὰς καὶ τὰ λοιπά, ἀπὸ δὲ τῆς Πεντηκοστῆς πάντοτε, ὡς σύνηθες [л. 235).

На изобразительныхъ, по обычаю святогорскому, читается тропарь: «Аще и во гробъ» и Слава и нынѣ кондакъ Пятидесятницы [л. 238).

Ἡ δὲ ἀπόδοσις (Пасхи) γίνεται οὕτως, ὡς ἔν τισι Τυπικοῖς ἀξιολόγοις εὕρομεν καὶ ὥσπερ ἐπιτελεῖται καὶ ἐν τῇ εὐαγεῖ καὶ μεγίστῃ λαύρᾳ τοῦ Ἄθωνος.

Начало, какъ на Пасху, стихиры на стиховнѣ Пасхи, въ концѣ вечерни—«Собезначальное Слово» и «Радуйся двере Господня непроходимая». На утрени начало Пасхи, канонъ Пасхи, стихиры на хвалитѣхъ дня Пасхи, великое славословіе, часы обычные, отпустъ внутри алтаря, антифоны Пасхи, вход-

ное Пасхи, «Елицы во Христа», кинонникъ Пасхи. На девятомъ часѣ читается «Христосъ воскресе» и бываетъ отданіе [л. 240, 241).

На поляхъ въ этомъ Типиконѣ сдѣлано нѣсколько приписокъ именъ новыхъ святыхъ позднѣйшею рукою: 24 Сентября Ἐν ταύτῃ τῇ ἡμέρᾳ ἑορτάζομεν τὸ θαῦμα τῆς Θεοτόκου ἐν τῷ ναῷ Μύρτου. [л. 61), 14 Октября ἑορτάζομεν τὸν ἅγιον Ἰγνάτιον Μεθύμνης, ἔχομεν καὶ λείψανα αὐτοῦ, ἡ δὲ ἀκολουθία του ὑπάρχει εἰς φυλλάδα [л. 65), 3 Декабря ἑορτάζομεν τὴν μνήμην τοῦ ἁγίου ἱερομάρτυρος Σεραφείμ, ἀρχιεπισκόπου Φαναρίου, ἡ ἀκολουθία αὐτοῦ ὑπάρχει εἰς φυλλάδιον [л. 78), 13 Января ἑορτάζομεν τὸν ἅγιον Μάξιμον τὸν Καυσοκαλύβης σκήτης, ἡ ἀκολουθία σώζεται εἰς φυλλάδιον [л. 100), 29 того же мѣсяца ἔχομεν καὶ ἅγιον λείψανον τοῦ Δυονυσίου τοῦ ἐν Ὀλύμπῳ [л. 102), 17 Февраля τοῦ ἁγίου νοεμάρτυρος Θεοδώρου [л. 119), 13 Апрѣля τοῦ ἁγίου νεομάρτυρος Δημητρίου τοῦ Πελοποννησίου, ἡ ἀκολουθία καὶ ὁ βίος του εἰς τὸ Νέον λειμονάριον, ἔχομεν καὶ ἅγιον λείψανον [л. 169).

CXLIV. Полнаго Типикона въ Аѳонскомъ скиту св. Анны не имѣется, но руководствомъ для типикаря служитъ небольшая книжица въ полулистъ обычнаго формата писчаго листа, 44 листа, писанная въ XVII столѣтіи или даже въ началѣ XVIII ст. Заглавіе этой книжицы такое: Πίναξ ἀκριβὴς κατὰ μῆνα εἰς τὸ νὰ εὑρίσκῃ εὐκόλως ὁ βουλόμενος, εἰς ποῖα βιβλία τῆς βιβλιοθήκης τοῦ Κυριακοῦ εἶναι οἱ πανηγυρικοὶ λόγοι τῶν Δεσποτικῶν καὶ Θεομητορικῶν ἑορτῶν καὶ οἱ βίοι τῶν ἁγίων, οἵ τε εἰς τὴν ἑλληνικὴν φράσιν καὶ ἁπλῆν, οἱ τιθέμενοι εἰς ἀνάγνωσιν ἐν ταῖς ἀγρυπνίαις τοῦ χρόνου ὅλου, ἀρχομένου ἀπὸ τοῦ Σεπτεμβρίου καὶ τελουμένου ἕως τοῦ Αὐγούστου, καὶ καθεξῆς πάλιν ἀπὸ τῆς κυριακῆς τοῦ τελώνου καὶ φαρισαίου μέχρι τῆς κυριακῆς τῶν ἁγίων Πάντων.

Содержаніе рукописи слѣдующее:

[л. 2). Синаксарь, въ которомъ перечислены имена святыхъ и праздниковъ цѣлаго года, начиная съ Сентября и оканчивая Августомъ. Мѣсяцесловъ обычный и ничего особеннаго въ себѣ не заключаетъ. Изложенія службъ нѣтъ.

[л. 15). Ἐνταῦθα σημειοῦνται οἱ λόγοι, οἱ τιθέμενοι εἰς ἀνά-

γνωσιν ἀπὸ τῆς κυριακῆς τοῦ τελώνου καὶ φαρισαίου μέχρι τῆς κυριακῆς τῶν ἁγίων Πάντων.

Заглавіе хорошо объясняетъ содержаніе этой статьи. Указываемыя слова содержатся въ филладахъ, находящихся въ библіотекѣ Киріакона или соборнаго скитскаго храма.

[л. 19). Διατύπωσις περὶ τοῦ ἐν ὁποίαις ἡμέραις ἑορτασίμοις τῶν δώδεκα μηνῶν ἐπιτελεῖται μόνον θεία ἱερουργία εἰς τὸ Κυριακὸν τῆς Θεοπρομήτορος ἁγίας καὶ δικαίας Ἄννης, καὶ ἐν ποίαις ἀγρυπνία τε καὶ λειτουργία.

Замѣчанія кратки. Называются праздники и святые, упоминается о бдѣніи и литургіи и о томъ, что въ память святого предъ иконою его ставится коливо. Есть и мѣстная особенность: въ праздникъ пр. Аѳанасія предоставляется братіи возможность идти на бдѣніе въ лавру. Подъ 17 Января празднуется память сербскихъ святыхъ Симеона и Саввы, основателей Хиландарскаго монастыря [л. 24). Въ великій четвертокъ положено совершать маслоосвященіе [л. 34). О часахъ великой пятницы замѣчено: οἱ δὲ ἀπόστολοι καὶ τὰ εὐαγγέλια τῶν ὡρῶν οὐκ ἀναγινώσκονται κατὰ τὸ ἔθος τῶν ἱερῶν μοναστηρίων τοῦ Ὄρους [л. 37). Въ субботу выносится плащаница.

[л. 41). Σημείωσις περὶ τοῦ πότε ψάλλεται ἡ κοινὴ παράκλησις τῆς ὑπεραγίας Θεοτόκου εἰς τὸ Κυριακὸν καὶ πότε σχολάζει.

[л. 43). Περὶ τῆς μνήμης τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος Γεωργίου τοῦ τροπαιοφόρου, εἰ τύχοι τῆς ἑβδομάδος τῆς Διακαινησίμου. Извлеченіе изъ Марковыхъ главъ.

[л. 44). Περὶ τοῦ πῶς δηλοῦται Τῷ Κυρίῳ ᾄσωμεν καὶ οὐ λέγομεν ἐν ὅλῃ τῇ πεντηκοστῇ. Тутъ же замѣчаніе и о перемѣнѣ хоровъ.

CXLV. Τυπικόν, ἤτοι ἅπαντα τὰ ἀπορούμενα ἐκ τοῦ Τυπικοῦ τῶν ἑορτῶν, ἀρχόμενα ἀπὸ πρώτης τοῦ Σεπτεμβρίου ἕως τέλους Αὐγούστου, ὡσαύτως καὶ τὰ τοῦ Τριῳδίου καὶ Πεντηκοσταρίου ἀπορούμενα καὶ μάλιστα τῆς ἑορτῆς τοῦ θείου Εὐαγγελισμοῦ, ὡσὰν ὅπου συμπίπτει πολλάκις τῇ μεγάλῃ ἑβδομάδι, ὁμοίως καὶ λοιπῶν ἑορτῶν, ἅτινα ἐκκαθαρίσθησαν καὶ ἐγράφησαν, καθὼς τὴν σήμερον συνηθίζομεν, καὶ μάλιστα εἰς τὰ εὐαγῆ ἐνταῦθα μοναστήρια τοῦ Ἁγίου ὄρους, τὰ ὁποῖα ἐγράφησαν διὰ χειρὸς τοῦ Ι θ κ σ χ κ ε ν ύ μ κ ε π χ μ ω ζ (т. е. про-

ηγουμένου Ἰγνατίου μοναχοῦ) πέκε δηξκρόπζκε κατὰ τὸ 1813 Ἰανουαρίου 24. Соборный Типиконъ Аѳоно-Филоѳеевскаго монастыря, рукопись въ листъ, 235 страницъ.

[стр. 3). Τυπικὸν σὺν Θεῷ ἐκ τῶν τοῦ Τυπικοῦ ἀπορουμένων ἁπάσης τῆς ἐκκλησιαστικῆς ἀκολουθίας καὶ πρῶτον περὶ τῆς ἀγρυπνίας. Διάταξις τοῦ μικροῦ ἑσπερινοῦ.

Ὥρᾳ ἐννάτῃ τῆς ἡμέρας ἀπέρχεται ὁ κανδηλάπτης καὶ ποιεῖ μετάνοιαν τῷ προεστῶτι καὶ ὑποστρέψας σημαίνει τὸ μικρὸν καί, συναχθέντων τῶν ἀδελφῶν ἐν τῇ ἐκκλησίᾳ, ποιεῖ ὁ ἱερεὺς Εὐλογητὸν ἐν τῷ νάρθηκι καὶ ψάλλομεν τὴν ἐννάτην ὥραν, ἔπειτα, εἰσελθόντες εἰς τὸν ναόν, εὐλογεῖ ὁ ἱερεὺς καὶ εὐθὺς ὁ κανονάρχης ἄρχεται τὸν προοιμιακόν, εἶθ' οὕτως τὸ Κύριε ἐκέκραξα εἰς τὸν τυχόντα ἦχον τοῦ μικροῦ ἑσπερινοῦ τῆς τυχούσης ἑορτῆς ἱστῶμεν στίχους δ'. Ὅταν δὲ ψάλλωμεν τὸ Κατευθυνθήτω, θυμιᾷ ὁ κανδηλάπτης μὲ τὸ κανζῆ. Μετὰ δὲ τὸ Κατευθυνθήτω, τοὺς μὲν λοιποὺς στίχους ἀφίνομεν, καὶ εὐθὺς ἀρχίζομεν τὸ Ἀπὸ φυλακῆς πρωΐας καὶ ψάλλομεν τὰ δ' τροπάρια τοῦ μικροῦ ἑσπερινοῦ, Δόξα καὶ νῦν, τὸ ἰδιόμελον τῆς ἑορτῆς, τὸ Φῶς ἱλαρὸν παρὰ τοῦ κανονάρχου καὶ τὸ προκείμενον τῆς ἡμέρας, τὸ Καταξίωσον, Κύριε, παρὰ τοῦ κανονάρχου, καὶ εὐθὺς τὰ ἀπόστιχα, τὰ εἰς τὸν μικρὸν ἑσπερινὸν τῆς ἑορτῆς, στίχους δὲ λέγομεν τῆς τυχούσης ἑορτῆς, Δόξα καὶ νῦν τῆς ἑορτῆς, τὸ Νῦν ἀπολύεις παρὰ τοῦ κανονάρχου, τὸ Τρισάγιον, ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν, τὸ ἀπολυτίκιον τῆς ἑορτῆς καὶ ὁ ἱερεὺς τὸ Σοφία, Ὁ ὢν εὐλογητός, τὸ Στερεῶσαι ὁ Θεὸς παρὰ τοῦ κανονάρχου, Τὴν τιμιωτέραν, Δόξα καὶ νῦν καὶ γίνεται ἀπόλυσις καὶ ἀπερχόμεθα ἐν τῇ τραπέζῃ.

[стр. 4). Διάταξις τῆς ἀγρυπνίας.

Καὶ μετὰ τὸ δῦναι τὸν ἥλιον μικρὸν ἀπέρχεται ὁ κανδηλάπτης καὶ ποιεῖ μετάνοιαν τῷ προεστῶτι, εἶτα τραβᾷ τὸ ξυπνητήριον καὶ εὐθὺς ἀνέρχεται, κρούει τὰς βαρείας καὶ τὰς καμπάνας, εἶτα εἰσέρχεται ἐν τῷ ναῷ ἅπτει τὸ θυμιατὸν καί, ἀποστρέψας, τίθησι λαμπάδα μετὰ τοῦ μανουαλίου ἔμπροσθεν τῶν ἁγίων θυρῶν, εἶτα ἀπέρχεται καὶ ποιεῖ μετάνοιαν τῷ ἱερεῖ, τῷ ὀφείλοντι τελέσαι τὴν ἀκολουθίαν, ὁ δὲ ἱερεὺς ἀναστάς, ἀπέρχεται καὶ ποιεῖ μετάνοιαν τῷ καθηγουμένῳ ἢ εἰς τὸν τόπον αὐτοῦ, μὴ παρόντος, εἶτα εἰσελθὼν εἰς τὸ ἅγιον βῆμα καὶ λαβὼν τὸ θυμιατόν, βαλὼν θυμίαμα, λέγει καθ' ἑαυτὸν τὴν εὐχὴν τοῦ θυμιάματος, καὶ θυμιάσας τὴν ἁγίαν τράπεζαν σταυροειδῶς, ἐκφωνεῖ ὁ κανδηλάπτης· Κελεύσατε, γεγονωτέρᾳ φωνῇ, κρατῶν καὶ τὴν λαμπάδα ἐν

τῇ χειρὶ αὐτοῦ. Ὁ δὲ ἱερεὺς ἐξέρχεται διὰ τῶν ἁγίων θυρῶν, ἵσταται ἔνδον τῶν μεγάλων μανουαλίων, θυμιᾷ τρὶς πρὸς τὸν ἡγούμενον, εἶτα ἐπιστρέφει τὸ πρόσωπον κατὰ ἀνατολάς, θυμιᾷ τρὶς πρὸς τὸ ἱερὸν καὶ τρὶς τὴν εἰκόνα τοῦ Χριστοῦ, τρὶς τὴν εἰκόνα τῆς Θεοτόκου, τρὶς τὸ προσκυνητάριον, ὁποῦ εἶναι ἡ εἰκὼν τῆς ἑορτῆς, τρὶς τὴν εἰκόνα τῆς Γλυκοφιλούσης. Εἶτα ἐμβαίνει εἰς τὸν χορὸν ποιεῖ ἀρχὴν τοῦ θυμιᾶσαι ἀπὸ τὸν καθηγούμενον ἀνὰ τρεῖς, ὁμοίως καὶ ὅλους τοὺς ἀδελφούς, ὁποῦ εἰσὶν εἰς τὸν δεξιὸν χορόν, εἶτα, φθάσας εἰς τὴν μέσην τοῦ ναοῦ, ποιεῖ σταυροῦ τύπον μετὰ τοῦ θυμιατοῦ πρὸς τὸν δεξιὸν χορόν, ὁμοίως ποιεῖ καὶ εἰς τὸν ἀριστερὸν χορόν, εἶτα θυμιᾷ καὶ τὸν λοιπὸν ναόν, ἐξέρχεται ἐν τῷ νάρθηκι, θυμιᾷ ὅλον αὐτὸν καὶ τοὺς ἀδελφούς, προπορευομένου τοῦ μανουαλίου. Εἶτα ὑποστρέψας ἐν τῷ ναῷ, φθάνοντος ἐν τῷ μέσῳ τοῦ ναοῦ, ἐκφωνεῖ μεγαλοφώνως· Κύριε εὐλόγησον, καὶ χαράττει σταυροῦ τύπον μὲ τὸ θυμιατόν. Εἶτα θυμιᾷ αὖθις τὸν καθηγούμενον καὶ τὰς ἁγίας εἰκόνας, εἰσέρχεται διὰ τῶν ἁγίων θυρῶν καὶ ἐκφωνεῖ εἰς τὸ ἱερόν· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ ... ποιεῖ σταυροῦ τύπον μετὰ τοῦ θυμιατοῦ. Καὶ ἡμῶν ἀποκρινομένων τὸ Ἀμήν, ἄρχεται ὁ προεστὼς τὸ Δεῦτε προσκυνήσωμεν ἐκ γ', ἀργῶς μετ' εὐλαβείας, λέγει τὸ Εὐγόγει ἡ ψυχή μου . . . ἕως τὸ Δόντος σου αὐτοῖς συλλέξουσιν. Εἶτα ἄρχεται ὁ πρῶτος ψάλτης τὸ Ἀνοίξαντός σου, ὁμοίως καὶ ὁ δεύτερος τὸν ἕτερον στίχον καὶ καθεξῆς. Ὅταν δὲ φθάσωσιν εἰς τὸ Πάντα ἐν σοφίᾳ ἐποίησας, ἀπέρχεται ὁ ἱερεὺς ἔμπροσθεν τῶν ἁγίων θυρῶν, ἀσκεπὴς ἱστάμενος, λέγει τὰς εὐχὰς τοῦ λυχνικοῦ. Εἶτα γίνεται μεγάλη συναπτὴ ἢ ὑπ' αὐτοῦ, ἢ ὑπὸ τοῦ διακόνου. Καὶ μετὰ τοῦτο ὁ ταχθεὶς μοναχός, ὁ μέλλων ψάλτης ἄρχεται τὸ Κύριε ἐκέκραξα ψάλλειν. Ὅταν δὲ ἀρχίσῃ ὁ δεύτερος τὸ Κατευθυνθήτω καὶ εἴπῃ τὸ Ὡς θυμίαμα ἐνώπιόν σου, ἄρχεται ὁ διάκονος καὶ θυμιᾷ τὴν ἁγίαν τράπεζαν καὶ ὅλον τὸ ἱερόν, καὶ ἐξέρχεται διὰ τοῦ βορείου θυμιᾷ ἅπαντας, ὡς ἐδηλώσαμεν. Τὰ δὲ ἑσπέρια ποιοῦμεν αὐτὰ εἰς δέκα ἢ εἰς ὀκτὼ κατὰ τὴν ἑορτήν. Ὅταν δὲ εἴπῃ ὁ β' χορός· Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ, ὁ κανονάρχης ἵσταται ἐν τῷ μέσῳ τοῦ ναοῦ προσκυνήσας τρίς, λέγει τὸν ἦχον τοῦ δοξαστικοῦ. Ὅταν δὲ ἄρξηται ψάλλειν τὸ Δόξα, ὁ κανονάρχης δὲν πηγαίνει ἀπὸ τὸ μέσον τοῦ ναοῦ, ἀλλ' ἐπιστρέφει ὄπισθεν τῶν κιόνων καί, τρὶς προσκυνήσας ἔμπροσθεν τῶν ἁγίων θυρῶν, ποιῶντας σχῆμα, προφθάνει εἰς τὸ ἀναλόγιον, κανοναρχεῖ τὸ ἰδιόμελον τοῦ δοξαστικοῦ, ἄρχεται τοῦ ψάλλειν τούτου, ὁ κανδηλάπτης ἔρχεται ἐν τῷ μέσῳ τοῦ ναοῦ καὶ προσκυνήσας

κατὰ ἀνατολὰς τρίς, ποιεῖ εἰς τοὺς β' χοροὺς σχῆμα, δηλοῖ ἵνα ἀπέλθωσιν οἱ ἱερεῖς καὶ ἱεροδιάκονοι εἰς τὸ ἅγιον βῆμα καὶ ἱεροφορέσωσι, διὰ νὰ κάμουν τὴν εἴσοδον. Καὶ εἰς τὸ ἀκροτελευταῖον τοῦ Δόξα καὶ νῦν ἐξέρχονται οἱ ἱεροδιάκονοι καὶ ἱερεῖς, προπορευομένων τῶν μανουαλίων, ἔρχονται ἐν τῷ συνήθει τόπῳ. Εὐλογοῦντος τοῦ πρώτου ἱερέως τὴν εἴσοδον, εἶτα ὁ πρῶτος τῶν διακόνων θυμιᾷ, ἐκφωνεῖ· Σοφία, ὀρθοί. Ἄρχονται οἱ ἱερεῖς ψάλλειν τὸ Φῶς ἱλαρόν. Ὅταν δὲ εἴπωσιν· Ἰησοῦ Χριστέ, οἱ διάκονοι θυμιῶσι τοὺς ἱερεῖς. Ὅταν δὲ εἴπωσιν· Ὑμνοῦμεν Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα, οἱ ἱερεῖς ποιοῦσι σχῆμα, εἰσέρχονται δύο δύο εἰς τὸ ἱερὸν κατὰ τάξιν. Οἱ δὲ διάκονοι ἵστανται ἔξωθεν τῶν ἁγίων θυρῶν, θυμιῶσι τοὺς εἰσερχομένους ἱερεῖς, τελευταῖον εἰσέρχονται καὶ οἱ ἱεροδιάκονοι. Πληρωθέντος τοῦ Φῶς ἱλαρόν, ψάλλουσιν, οἱ ἐντὸς τοῦ βήματος τὸ προκείμενον τῆς ἡμέρας, ὁμοίως λέγουσι καὶ οἱ δύο χοροὶ τὸ αὐτό, εἶτα πάλιν οἱ ἀπὸ τὸ βῆμα, οὗ πληρωθέντος, ἐκφωνεῖ ὁ διάκονος· Σοφία, καὶ ὁ κανονάρχης τὴν παροιμίαν. Πάλιν ὁ διάκονος· Πρόσχωμεν, καὶ ὁ κανονάρχης (εὐθὺς τὰ ἀναγνώσματα εἰς καθ' ἓν λέγει ὁ διάκονος· Σοφία. Πρόσχωμεν), ὧν πληρωθέντων, ὁ διάκονος ἐξέρχεται καὶ στὰς ἔμπροσθεν τῶν ἁγίων θυρῶν λέγει· Εἴπωμεν πάντες . . . καὶ τὰ λοιπά. Ὁ ἱερεύς· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος, ὁ ἡγούμενος τὸ Καταξίωσον, Κύριε. Εἶτα ὁ διάκονος τὸ Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν, ὁ ἱερεὺς τὴν ἐκφώνησιν· Ὅτι ἀγαθός, τὸ Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν. Ὁ ἱερεὺς τὴν εὐχὴν μυστικῶς καὶ τὴν ἐκφώνησιν· Εἴη τὸ κράτος. Ὁ δὲ διάκονος εἰσέρχεται ἐν τῷ ἁγίῳ βήματι καὶ ἐξέρχεται μετὰ τοῦ ἱερέως διὰ τῶν ἁγίων θυρῶν ἐν τῷ νάρθηκι, προπορευομένων τῶν μανουαλίων. Οἱ δὲ ψάλται ψάλλουσι τὴν λιτήν, ἐξέρχονται καὶ οὗτοι ἐν τῷ νάρθηκι. Ὁ δὲ διάκονος θυμιᾷ ἐν τῷ νάρθηκι κατὰ τὴν συνήθειαν, εἶτα λαμβάνει τὸ θυμιατὸν ἀπὸ τὰς χεῖρας τοῦ διακόνου ὁ κανδηλάπτης καὶ εὐτρεπίζει ἐν τῷ μέσῳ τοῦ ναοῦ τὴν ἀρτοκλασίαν ὁμοῦ μὲ τοὺς ἄρτους, σίτον, οἶνον καὶ ἔλαιον. Πληρωθείσης δὲ τῆς λιτῆς ἐν τῷ νάρθηκι, ἐκφωνεῖ ὁ διάκονος τὸ Σῶσον, ὁ Θεός, τὸν λαόν σου [**стр. 10**), καὶ ἡμεῖς τὸ Κύριε ἐλέησον ιβ'. Εἶτα ὁ διάκονος· Ἐλέησον ἡμᾶς ὁ Θεός, καὶ ἡμεῖς τὸ Κύριε ἐλέησον τρίς. Ὁ διάκονος· Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν, ἡμεῖς τὸ Κύριε ἐλέησον γ'. Ὁ διάκονος· Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν . . . καὶ ἡμεῖς τὸ Κύριε ἐλέησον γ'. Ὁ διάκονος· Ἔτι δεόμεθα ὑπὲρ τοῦ πατρὸς ἡμῶν καὶ πάσης τῆς ἐν Χριστῷ . . . καὶ τὰ λοιπὰ ἕως τέλους. Καὶ ἡμεῖς τὸ Κύριε

ἐλέησον ιβ'. Εἶτα ὁ διάκονος μνημονεύει τὰ ὀνόματα τῶν ταξειδωτῶν καὶ ἄλλα, ὅσα θέλει. Εἶτα λέγει· Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν μονὴν . . . ἕως τέλους. Καὶ ἡμεῖς τὸ Κύριε ἐλέησον μ'. Ὁ δὲ καθηγούμενος, ἢ ὁ ἱερεύς, μὴ παρόντος τοῦ ἡγουμένου· Ἐπάκουσον ἡμῶν ὁ Θεὸς . . . καὶ τὸ Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν . . . Καὶ ὁ ἡγούμενος τὴν εὐχὴν ἐκφώνως· Δέσποτα πολυέλεε . . . ἧς ἀναγινωσκομένης, ἡμεῖς κλίνομεν τὴν κεφαλὴν ἕως ἐδάφους. Πληρωθείσης δὲ τῆς εὐχῆς, οἱ ψάλται ψάλλουσι τὰ ἀπόστιχα μετὰ τῶν στίχων αὐτῶν [**стр. 11**). Ὁ δὲ ἱερεὺς μετὰ τοῦ διακόνου εἰσέρχονται ἐν τῷ ναῷ, προπορευομένων τῶν μανουαλίων, εἶτα τίθενται τὰ μανουάλια ἐν τῷ πλάγει τῶν ἄρτων, ὁ δὲ ἱερεὺς μὲ τὸν διάκονον προσκυνοῦσι γ' καὶ ποιοῦσι σχήματα εἰς τοὺς χορούς, εἰσέρχονται ἐν τῷ ἱερῷ. Πληρωθέντων δὲ τῶν ἀποστίχων, λέγει ὁ ἡγούμενος τὸ Νῦν ἀπολύεις, ὁ διαβαστὴς τὸ Τρισάγιον, ὁ δὲ κανονάρχης ἀπέρχεται ἐν τῷ μέσῳ τοῦ ναοῦ, ποιεῖ μίαν μετάνοιαν κατὰ ἀνατολὰς καὶ μίαν πρὸς τοὺς χορούς, λέγων· Εὐλογεῖτε, συγχωρεῖτέ μοι. Πληρωθέντος δὲ τοῦ Τρισαγίου, ἐκφωνεῖ ὁ ἱερεὺς τὸ Ὅτι σοῦ ἐστιν. Οἱ δὲ ψάλται ψάλλουσι τὸ ἀπολυτίκιον τῆς ἑορτῆς ἐκ γ', ὁ δὲ διάκονος ἐξέρχεται μετὰ τοῦ θυμιατοῦ καὶ θυμιᾷ τοὺς ἄρτους σταυροειδῶς γ', εἰς δὲ τὸ τελευταῖον θυμίαμα ὁμοῦ θυμιᾷ καὶ τὸν ἡγούμενον καὶ τὴν εἰκόνα τοῦ Χριστοῦ καὶ τὴν εἰκόνα τῆς Θεοτόκου. Εἶτα ἐκφωνεῖ ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ δὲ ἱερεύς, κρατῶν ἐν τῇ χειρὶ αὐτοῦ ἕνα ἐκ τῶν ἄρτων, λέγει· Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ εὐλογήσας τοὺς πέντε ἄρτους ... [**стр. 12**). Καὶ ὅταν εἴπῃ· Τοὺς ἄρτους τούτους, τὸν σῖτον, τὸν οἶνον καὶ τὸ ἔλαιον, ἄνωθεν τῶν ἄρτων ποιεῖ σταυροῦ τύπον μὲ τὸν ἐν ταῖς χερσὶν αὐτοῦ ἄρτον. Καὶ ὅταν εἴπῃ· Ὅτι σὺ εἶ ὁ εὐλογῶν . . . εὐλογεῖ καὶ ὁ ἱερεὺς τοὺς ἄρτους μὲ τὴν δεξιάν του, ἂν εἶναι ἡγούμενος παρών, εὐλογεῖ τούτους ὁ ἡγούμενος, εἶτα προσκυνοῦσιν ἐκ γ', ποιοῦσι σχήματα εἰς τοὺς χορούς, ὅ τε ἱερεὺς καὶ διάκονος εἰσέρχονται ἐν τῷ ἁγίῳ βήματι, ὁ δὲ κανονάρχης λέγει· Εἴη τὸ ὄνομα Κυρίου γ', Δόξα καὶ νῦν, τὸ Εὐλογήσω τὸν Κύριον . . . ἕως τὸ Ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν, ἀργῶς μετὰ μέλους, εἶτα ψάλλουσιν οἱ ψάλται εἰς ἦχον βαρύν· Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν . . . Εἶτα ἐκφωνεῖ ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Καὶ ὁ ἱερεύς· Εὐλογία τοῦ Κυρίου ... καὶ τοῦ κανονάρχου εἰπόντος τὸ Ἀμήν, εὐθὺς ἔρχεται τῆς ἀναγνώσεως οὕτως· Λόγος εἰς τὴν ἑορτὴν τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου· εὐλόγησον, δέσποτα. Ὁ ἱε-

ρεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε [стр. 13). Καὶ ἄρχεται ἡ ἀνάγνωσις. Ὁ δὲ κελαρίτης, διακλάσας τοὺς ἄρτους, ἐπιδίδωσι τοῖς ἀδελφοῖς πρὸ τῆς ἀναγνώσεως, ὡσαύτως καὶ ἀπὸ ἑνὸς ποτηρίου οἴνου διὰ τὸν κόπον τῆς ἀγρυπνίας, ὥσπερ ἐξ ἀρχῆς παρελάβομεν παρὰ τῶν ἁγίων πατέρων. Ἀπὸ δὲ τῆς ὥρας ἐκείνης οὐκ ἔχει τις ἐξουσίαν πίνειν ὕδωρ διὰ τὴν μετάληψιν τῶν ἁγίων μυστηρίων. Ὁ δὲ εὐλογηθεὶς ἄρτος ἔχει διάφορα χαρίσματα.

Ὁ δὲ κανδηλάπτης, ποιήσας τὴν συνήθη μετάνοιαν τῷ προεστῶτι, ἀπέρχεται καὶ σημαίνει τὰς βαρέας καὶ καμπάνας διὰ τὸν ὄρθρον. Ὅταν δὲ πληρωθῇ ἡ ἀνάγνωσις, εὐθὺς ἄρχεται ὁ προεστὼς τὸ Δόξα ἐν ὑψίστοις Θεῷ . . . καὶ λέγει τὸν ἑξάψαλμον. Ὅταν δὲ ἄρξηται τὸν ψαλμόν· Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου . . . ἐξέρχεται ὁ ἱερεὺς ἔμπροσθεν τῶν ἁγίων θυρῶν, ἱστάμενος ἀσκεπής, λέγει τὰς εὐχὰς τοῦ ὄρθρου, εἶτα ποιεῖ τὴν συναπτήν, τὸ Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Ἐκφώνησις· Ὅτι πρέπει σοι. Εἶτα ὁ ψάλτης ἄρχεται τὸ Θεὸς Κύριος εἰς τὸν ἦχον τοῦ ἀπολυτικίου, ὁ δὲ κανονάρχης [стр. 14) ἔρχεται ἐν τῷ μέσῳ τοῦ ναοῦ, λέγει τοὺς στίχους, στίχος α΄· Ἐξομολογεῖσθε τῷ Κυρίῳ . . . στίχος β΄· Καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην, στίχος· Παρὰ Κυρίου ἐγένετο αὕτη . . . τὸ δὲ τροπάριον λέγομεν ἐκ γ΄, εἰς δὲ τὸ Καὶ νῦν, ἤτοι τὸ τελευταῖον, ὁ κανονάρχης ποιεῖ σχῆμα εἰς τοὺς χοροὺς καὶ ἀπέρχεται, εἶτα στιχολογοῦμεν ἓν κάθισμα τοῦ Ψαλτηρίου, καὶ γίνεται αἴτησις παρὰ τοῦ ἱερέως, καὶ ψάλλομεν τὸ πρῶτον κάθισμα τῆς ἑορτῆς δίς, καὶ γίνεται ἀνάγνωσις, εἶτα αὖθις στιχολογοῦμεν καὶ τὸ ἕτερον κάθισμα τοῦ Ψαλτηρίου καὶ γίνεται αἴτησις πάλιν, καὶ ψάλλομεν τὸ δεύτερον κάθισμα τῆς ἑορτῆς δίς, καὶ γίνεται αὖθις ἀνάγνωσις, εἶτα ψάλλομεν τὸν πολυέλεον, ἀρχόμεθα τοῦ πολυελέου, ὁ κανδηλάπτης σημαίνει τὸ σίδηρον. καὶ ὅταν ἄρξηται τὸν στίχον· Οἶκος Ἰσραὴλ εὐλογήσατε τὸν Κύριον, ὁ κανδηλάπτης θυμιᾷ μὲ ἀργυροῦν κανζῇ. Πληρωθέντος τοῦ πολυελέου, γίνεται συναπτὴ καὶ ψάλλομεν τὸ μετὰ τὸν πολυέλεον κάθισμα τῆς ἑορτῆς δίς. Εἶτα τὸ ἀντίφωνον τοῦ ἤχου καὶ τὸ προκείμενον, ἔνθα ἀπέρχεται ὁ κανονάρχης ἐν τῷ μέσῳ τοῦ ναοῦ, λέγει τὸν στίχον τοῦ προκειμένου καὶ ποιεῖ σχῆμα εἰς τοὺς χοροὺς [стр. 15). Εἶτα ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ ἱερεύς· Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν. Καὶ τοῦ κανονάρχου εἰπόντος τὸ Ἀμήν, ἔρχεται εἰς τὸν τόπον αὐτοῦ, τὸ Πᾶσα πνοή, τὸ εὐαγγέλιον, τὸν ν΄ ψαλμόν, Δόξα τῆς ἑορτῆς ἁρμόδιον, Καὶ νῦν, Ταῖς τῆς Θεοτόκου, στίχος· Ἐλέησόν με ὁ Θεός, τὸ στιχηρὸν ἰδιόμελον. Ὁ διάκονος τὸ Σῶ-

σον, ὁ Θεός, τὸν λαόν σου, οὗ ἀναγινωσκομένου, ὁ κανονάρχης ποιεῖ μετάνοιαν εἰς τοὺς χορούς, δηλῶν τοῖς ψάλταις τὸν εἱρμὸν τοῦ κανόνος, τὸ Κύριε ἐλέησον ιβ', ὁ ἱερεύς· Ἐλέει καὶ οἰκτιρμοῖς. Εἶτα ἀρχόμεθα τῶν κανόνων, ποιοῦντες μετὰ τῶν εἱρμῶν ιδ'. Εἴ μεν ὑπάρχει Δεσποτικὴ ἑορτή, λέγομεν εἰς καθ' ἓν τροπάριον· Δόξα σοι ὁ Θεὸς ἡμῶν, εἰ δὲ Θεομητορική· Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς. Εἰ δὲ κυριακὴ καὶ ἁγίων μνήμη, τὴν στιχολογίαν· Ἄσωμεν τῷ Κυρίῳ, οἱ περισσότεροι ὅμως εἴτε Δεσποτική, εἴτε Θεομητορική, εἴτε κυριακή, λέγουσι τὸ Ἄσωμεν τῷ Κυρίῳ, δηλαδὴ τὴν στιχολογίαν. Μετὰ τὸ τέλος τῆς πρώτης ᾠδῆς ψάλλομεν τὴν καταβασίαν τῆς ἑορτῆς καὶ μετὰ τὴν τρίτην ᾠδὴν γίνεται αἴτησις παρὰ τοῦ διακόνου. Καὶ εἴ μεν ἔχῃ ὑπακοή, λέγομεν τὴν ὑπακοήν, καὶ τὰ καθίσματα καταλιμπάνονται, εἰ δ' οὔ, λέγομεν τὰ καθίσματα [**стр. 16**), καὶ τίθεται ἀνάγνωσις, ἀφ' ἕκτης κοντάκιον καὶ τὸν οἶκον τῆς ἑορτῆς, εἶτα τὸ Συναξάριον. Ἐν τῇ ἐννάτῃ ᾠδῇ, εἴ μεν εἰσὶν Δεσποτικὴ ἢ Θεομητορικὴ ἑορτή, Ἡ Τιμιωτέρα οὐ στιχολογεῖται, ἀλλ' εὐθὺς μετὰ τὴν ὀγδόην ἀρχίζομεν τὴν ἐννάτην, εἰ δὲ εἶναι κυριακὴ ἢ ἁγίου μνήμη, ἐκφωνεῖ ὁ διάκονος· Τὴν Θεοτόκον καὶ Μητέρα . . . καὶ στιχολογοῦμεν Τὴν τιμιωτέραν. Μετὰ τὴν ἐννάτην τὸ ἐξαποστειλάριον τῆς ἑορτῆς ἐκ γ'. Εἶτα ἀρχόμεθα ψάλλειν τὸ Πᾶσα πνοή, εἰς τὸν ἦχον τῶν αἴνων τῆς ἑορτῆς, ἔνθα ποιεῖ ὁ κανονάρχης μετάνοιαν, λέγομεν καὶ τοὺς λοιποὺς στίχους, ἱστῶμεν στίχους ς' ἢ δ' κατὰ τὴν ἑορτήν, μετὰ δὲ τὸ Καὶ νῦν ψάλλομεν τὴν δοξολογίαν. Ὅταν δὲ φθάσωμεν εἰς τὸ Ἅγιος ὁ Θεός, ὁ κανονάρχης ποιεῖ μετάνοιαν εἰς τοὺς χορούς, λαμβάνει τὴν τελευταίαν συγχώρησιν, εἶτα τὸ ἀπολυτίκιον τῆς ἑορτῆς. Ὁ διάκονος· Ἐλέησον ἡμᾶς, τὸ Πληρώσωμεν τὴν ἑωθινὴν κ. τ. λ., τὸ Σοφία. Ὁ ὢν εὐλογητός, τὸ Στερεῶσαι ὁ Θεός, Τὴν τιμιωτέραν, Δόξα καὶ νῦν καὶ γίνεται ἀπόλυσις. Δίδοται καὶ ἅγιον ἔλαιον τοῖς ἀδελφοῖς, ψάλλομεν καὶ πρώτην ὥραν καὶ τὴν κατήχησιν τοῦ ὁσίου Θεοδώρου τοῦ Στουδίτου καὶ ἀπόλυσις.

[**стр. 17**). Εἴδησις τῇ κυριακῇ, ὅτε οὐκ ἔστιν ἅγιος ἑορταζόμενος, καὶ ποιοῦμεν ἀγρυπνίαν.

[**стр. 20**). Εἴδησις εἰς μνήμην μεγάλου ἁγίου καὶ ὅτε γίνεται ἀγρυπνία.

[**стр. 23**). Περὶ τοῦ μεγάλου ἁγίου, ἐὰν τύχῃ κυριακῇ.

[**стр. 25**). Εἰ δὲ καὶ δὲν γίνεται ἀγρυπνία, ὅταν εἶναι μεγάλου ἁγίου μνήμη ἐν κυριακῇ.

[**стр. 29**). Πῶς ὀφείλει ψάλλεσθαι ἡ ἀκολουθία ἐν ταῖς καθημεριναῖς ὅλη τῇ ἑβδομάδι.

Τῇ κυριακῇ ἑσπέρας Ψαλτήριον οὐ στιχολογεῖται, ἀλλὰ μετὰ τὸ προκείμενον τὸ Κύριε ἐκέκραξα, καὶ εἴ μεν ὁ ἅγιος (ἔχῃ) δοξαστικά, λέγομεν τοῦ ἁγίου προσόμοια εἰς ς', Δόξα τοῦ ἁγίου, Καὶ νῦν θεοτοκίον, εἰ δὲ καὶ δὲν ἔχει ὁ ἅγιος δοξαστικά, λέγομεν τῆς Παρακλητικῆς τρία καὶ τοῦ ἁγίου τρία, Δόξα καὶ νῦν θεοτοκίον ὅμοιον, τὸ Φῶς ἱλαρόν, προκείμενον· Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον, τὸ Καταξίωσον, Κύριε, τὸ Πληρώσωμεν τὴν ἑσπερινήν, εἰς τὰ ἀπόστιχα τῆς Παρακλητικῆς, στίχος α'· Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς, στίχος β'· Ἐλέησον ἡμᾶς, Δόξα τοῦ ἁγίου, εἰ ἔχει, εἰ δ' οὔ, Δόξα καὶ νῦν, θεοτοκίον, τὸ Νῦν ἀπολύεις, Τρισάγιον, ἀπολυτίκιον τοῦ ἁγίου καὶ θεοτοκίον τῆς ἡμέρας, ἐκτενὴς καὶ ἀπόλυσις.

Οὕτω ποιοῦμεν κάθε ἑσπέραν, μὴ οὔσης ἑορτῆς, ἐκτὸς μόνον ὁποῦ στιχολογοῦμεν τὸ ἐνόρδινον κάθισμα τοῦ Ψαλτηρίου καὶ ἐναλλασομένου τοῦ προκειμένου [**стр. 30**).

Ὁ δὲ ὄρθρος ψάλλεται οὕτως· Εἰσερχόμεθα ἐν τῷ νάρθηκι, εὐλογήσαντος τοῦ ἱερέως, Βασιλεῦ, οὐράνιε, Τρισάγιον, Ὅτι σοῦ ἐστι, Κύριε ἐλέησον ιβ', Δόξα καὶ νῦν, Δεῦτε προσκυνήσωμεν ἐκ γ', Ἐλέησόν με ὁ Θεός, εἶτα τὸν Ἄμωμον, ὅλον τὸ κάθισμα, Πιστεύω, τὸ Τρισάγιον, τροπάρια· Ἰδοὺ ὁ νυμφίος ἔρχεται, Τὴν ἡμέραν ἐκείνην, Σὲ τὸ ἀπόρθητον τεῖχος, Κύριε ἐλέησον μ', Ὁ ἐν παντὶ καιρῷ, Ὁ Θεὸς οἰκτηρῆσαι, τὴν εὐχήν· Δέσποτα Θεὲ καὶ τὰς ἑτέρας δύο εὐχάς· Δεῦτε προσκυνήσωμεν ἐκ γ', Ἦρα τοὺς ὀφθαλμοὺς, Ἰδοὺ δὴ εὐλογεῖτε, Δόξα καὶ νῦν, Τρισάγιον, τὰ τροπάρια· Μνήσθητι, Κύριε, ὡς ἀγαθὸς καὶ τὰ λοιπὰ τροπάρια, τὸ Κύριε ἐλέησον ιβ', Μνήσθητι, Κύριε, τῶν ἐπ' ἐλπίδι, Ὑπερένδοξε, ἀειπάρθενε, Ἡ ἐλπίς μου ὁ Πατήρ, Τὴν πᾶσαν ἐλπίδα μου, εἶτα ψάλλουσι τὰ τροπάρια· Ἐλέησον ἡμᾶς, Κύριε, Δόξα, Κύριε, ἐλέησον ἡμᾶς, Καὶ νῦν, Τῆς εὐσπλαγχνίας. Ὁ ἱερεύς· Ἐλέησον ἡμᾶς ὁ Θεός . . . Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν μονήν, τὸ Κύριε ἐλέησον μ'. Ἐπάκουσον ἡμῶν, Δόξα καὶ νῦν, Κύριε ἐλέησον γ', Χριστὸς ἀληθινός, τὸ Εὐξώμεθα ὑπὲρ εἰρήνης καὶ τὰ λοιπά. Δι' εὐχῶν [**стр. 31**).

Εἶτα εἰσερχόμεθα ἐν τῷ ναῷ, ὁ δὲ ἱερεὺς λαμβάνει τὸ θυμιατόν, θυμιᾷ σταυροειδῶς, ἐκφωνεῖ· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, ὁ δὲ διαβαστής· Δεῦτε προσκυνήσωμεν ἐκ γ'· τὸ Ἐπακούσαι σου, Κύριος, ἐν ἡμέρᾳ καὶ τὰ λοιπὰ τοῦ ψαλμοῦ, τὸ Κύριε ἐν τῇ δυνάμει σου, καὶ ὅλον τὸν ψαλ-

μόν, Δόξα καὶ νῦν, τὸ Τρισάγιον. Ταῦτα λέγονται ἀργῶς, ἕως οὗ νὰ θυμιάση ὁ ἱερεὺς ἅπαντας καὶ νὰ ἐπιστρέψῃ νὰ εἰπῇ τὸ "Ὅτι σοῦ ἐστιν, εἶτα· Σῶσον, Κύριε, τὸν λαόν, Δόξα, Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ, Καὶ νῦν, Προστασία φοβερά. Ὁ ἱερεύς· Ἐλέησον ἡμᾶς, "Ὅτι ἐλεήμων, Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ. εἶτα τὸ ἑξάψαλμον. Εἰς τὸ Θεὸς Κύριος τροπάριον τοῦ ἁγίου δίς, θεοτοκίον τῆς ἡμέρας, εἶτα στιχολογοῦμεν τὸ ἓν κάθισμα τοῦ Ψαλτηρίου καὶ καθίσματα τῆς Παρακλητικῆς. Μετὰ τὴν β′ στιχολογίαν γίνεται αἴτησις, καὶ καθίσματα τῆς Παρακλητικῆς, καὶ ἀνάγνωσις εἰς τὸν βίον τοῦ ἁγίου, εἶτα τὸν ν′· Ἐλέησόν με ὁ Θεός, καὶ εὐθὺς ψάλλομεν τοὺς κανόνας μετὰ τοῦ εἱρμοῦ εἰς δ′, λέγομεν καὶ τὴν [стр. 32) μικρὰν στιχολογίαν, εἰς κάθε τροπάριον ἀπὸ ἕνα στίχον, οἱ δὲ κανόνες λέγονται οὕτως· τῆς Παρακλητικῆς οἱ δύο κανόνες εἰς δέκα καὶ τοῦ Μηναίου εἰς δ′, εἰ δ' ἔχει ὁ ἅγιος δοξαστικά, λέγομεν τῆς Παρακλητικῆς εἰς η′ (καταλιμπάνοντες τὰ δύο μαρτυρικὰ) καὶ τοῦ ἁγίου εἰς ϛ′, εἰ δὲ ἔχει τὸ Μηναῖον δύο κανόνας, λέγομεν τῆς Παρακλητικῆς εἰς ϛ′ καὶ τοῦ Μηναίου εἰς η′. Μετὰ τὴν γ′ ᾠδὴν κάθισμα τοῦ Μηναίου καὶ θεοτοκίον, ἀφ' ἕκτης κοντάκιον τοῦ ἁγίου, εἰ ἔχει, εἰ δ' οὔ, τῆς ἡμέρας καὶ τὸ Συναξάριον. Εἰς τὴν ἐννάτην ᾠδὴν στιχολογεῖται Ἡ τιμιωτέρα, μετὰ τὴν ἐννάτην τὸν εἱρμὸν καὶ τὸ "Ἄξιόν ἐστιν ὡς ἀληθῶς καὶ γίνεται αἴτησις, ἐξαποστειλάριον τῆς ἡμέρας, εἰ δ' ἔχει ὁ ἅγιος, λέγομεν τοῦτο εἰς τοὺς αἴνους, εἰ μὲν ἔχει ὁ ἅγιος αἴνους, ψάλλομεν τὸ Πᾶσα πνοὴ καὶ τὸ Αἰνεῖτε αὐτὸν πάντες, τοὺς δὲ λοιποὺς στίχους λέγομεν χύμα καὶ ἀπὸ τοὺς δύο χοροὺς ἕως τὸ Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις καὶ ψάλλομεν εἰς δ′, Δόξα τοῦ ἁγίου, Καὶ νῦν θεοτοκίον, εἶτα Σοὶ δόξα πρέπει καὶ τὰ λοιπά, εἰ δὲ καὶ δὲν ἔχει ὁ ἅγιος αἴνους, μετὰ τὸ ἐξαποστειλάριον εὐθὺς Αἰνεῖτε τὸν Κύριον ἐκ [стр. 33) τῶν οὐρανῶν, χύμα δίχορον καὶ τοὺς γ′ ψαλμούς, εἶτα τὸ Σοὶ δόξα πρέπει, Κύριε (ὅταν δὲ ποιοῦμεν δοξολογίαν μεγάλην, ἀφ' οὗ ψάλλομεν τὸ Πᾶσα πνοή, ψάλλομεν μετὰ μέλους δίχορον καὶ τοὺς γ′ ψαλμους). Μετὰ τὸ Σοὶ δόξα πρέπει, τὸ Πληρώσωμεν, εἶτα τὰ ἀπόστιχα τῆς Παρακλητικῆς, Δόξα τοῦ ἁγίου, εἰ ἔχει, Καὶ νῦν θεοτοκίον, τὸ Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι, Τρισάγιον, τροπάριον τοῦ ἁγίου καὶ θεοτοκίον, μετὰ τὸν ὄρθρον Ἐλέησον ἡμᾶς, Σοφία, Ὁ ὢν εὐλογητός, Τὴν τιμιωτέραν, Δεῦτε προσκυνήσωμεν ἐκ γ′ καὶ ἡ πρώτη ὥρα καὶ ἀπόλυσις.

[стр. 93). Περὶ (τοῦ) ὅταν θέλῃς νὰ ποιήσῃς δοξολογίαν μεγάλην εἰς κανένα ἅγιον χάριν εὐλαβείας.

*

[стр. 35). Ἀλληλούια πότε ψάλλομεν.

Πῶς ψάλλεται ἡ ἀκολουθία, ὅταν εἶναι Ἀλληλούια ἔν τε ἑσπερινῷ καὶ ὄρθρῳ.

[стр. 38). Περὶ τῶν ὡρῶν καὶ μεσωρίων, πῶς ὀφείλει ἀναγινώσκεσθαι ἐν ταῖς δυσὶ ταύταις νηστείαις τῶν τε Χριστουγέννων καὶ τῶν ἁγίων Ἀποστόλων.

Эта вводная часть оканчивается слѣдующею припискою составителя Типикона:

Ὦ φίλτατε, ἰδοὺ ὅσον ἐδυνήθημεν ἐσαφηνήσαμεν ἀκριβῶς τὴν ἀκολουθίαν, ὅσον εἰς ἀγρυπνίας, τόσον εἰς κυριακάς, τόσον καὶ εἰς μνήμην ἁγίων, ὡσαύτως καὶ εἰς ἡμέρας μὴ ἑορταζομένας καὶ εἰς τὰς νηστίμους ἡμέρας τῶν δύο νηστειῶν Χριστουγέννων τε καὶ ἁγίων Ἀποστόλων, ἐν αἷς δηλαδὴ ψάλλεται τὸ Ἀλληλούια. Ἔστω λοιπὸν τὰ παρόντα τύπος καὶ ὑπόδειγμα διὰ ὅλας τὰς ἡμέρας τοῦ χρόνου, ἔχε τὰ ἀνωτέρω πρὸ ὀφθαλμῶν σου πάντοτε καὶ ποτὲ δὲν θέλεις σφάλει [стр. 41).

[стр. 42). Изложеніе особенностей Синаксарныхъ службъ, но только лишь для двунадесятыхъ праздниковъ и великихъ святыхъ, т. е. тѣхъ службъ, которыя въ обычныхъ Типиконахъ излагаются въ «Марковыхъ главахъ». Мѣсяцеслова нѣтъ. Отмѣтимъ нѣкоторыя особенности. На часахъ въ канунъ Рождества кадятъ съ кацею [стр. 63). На канунѣ Богоявленія совершаетъ освященіе воды ефимерій ἐν τῷ μέσῳ τοῦ ναοῦ [стр. 73) и священникъ обходитъ съ этою водою сады, келліи и т. п., а послѣ литургіи въ самый праздникъ положено водоосвященіе на фіалѣ [стр. 77). Есть порядокъ службы трехъ святителей въ недѣли предъуготовительныя [стр. 88 об.). Изложеніе особенностей въ службѣ Благовѣщенія предваряется слѣдующимъ предисловіемъ: Περὶ τῆς ἑορτῆς τοῦ θείου Εὐαγγελισμοῦ. Ἐπειδὴ εἰς ταύτην τὴν ἑορτὴν μετὰ τὸ εἶναι ἡ μνήμη τοῦ ἱεροῦ ἡμῶν μοναστηρίου, διὰ τοῦτο πρέπει νὰ εἶναι καὶ ἡ ἀκολουθία διαφορετικὴ καὶ οὐχί, ὡς ποιοῦσιν τὰ λοιπὰ μοναστήρια, καὶ περὶ ὅταν εἶναι νηστεία, εἰς ταύτην τὴν ἑορτὴν πῶς πρέπει νὰ ποιοῦμεν καὶ πρῶτον ἀρχόμεθα ἀπὸ τῶν προεορτίων [стр. 110). Вообще же изложеніе статей на праздникъ Благовѣщенія весьма немногимъ отличается отъ подобныхъ статей въ Марковыхъ главахъ болѣе древнихъ рукописей, какъ это видно изъ

сличенія. Выдающіяся болѣе же или менѣе особенности представляетъ служба этого праздника въ пятницу страстной седмицы. Вечерня съ литургіею великаго четверга излагается согласно съ древними Типиконами. Великая вечерня вся по Минеи, а утреня имѣетъ нѣкоторыя особенности:

[стр. 135). Εἰς τὸν ὄρθρον μετὰ τὸ ἑξάψαλμον τὸ Θεὸς Κύριος, τροπάριον τῆς ἑορτῆς δίς, τὸ Ὅτε οἱ ἔνδοξοι μαθηταί, ἅπαξ, καὶ εὐθὺς ἀναγινώσκομεν τὸ πρῶτον εὐαγγέλιον τῆς διαθήκης, εἶτα ἀρχόμεθα τῶν ἀντιφώνων, δευτεροῦντες ἅπαντα πλὴν τῶν θεοτοκίων καὶ καθισμάτων. Μετὰ δὲ τὸ τέλος τοῦ ἀντιφώνου τοῦ δευτέρου ἀναγινώσκομεν τὸ δεύτερον εὐαγγέλιον, μετὰ δὲ τὸ τέλος τοῦ τρίτου ἀντιφώνου καὶ τοῦ καθίσματος ἀναγινώσκομεν τὸ γ′ εὐαγγέλιον, μετὰ δὲ τὸ τέλος τοῦ πέμπτου ἀντιφώνου ἀναγινώσκομεν τὸ τέταρτον εὐαγγέλιον, μετὰ δὲ τὸ τέλος τοῦ ἕκτου ἀντιφώνου ἀναγινώσκομεν τὸ πέμπτον εὐαγγέλιον. μετὰ δὲ τὸ τέλος τοῦ ἑβδόμου ἀντιφώνου ἀναγινώσκομεν τὸ ἕκτον εὐαγγέλιον, μετὰ δὲ τὸ τέλος τοῦ ἐννάτου ἀντιφώνου ἀναγινώσκομεν τὸ ἕβδομον εὐαγγέλιον, μετὰ δὲ τὸ τέλος τοῦ δεκάτου πρώτου ἀντιφώνου ἀναγινώσκομεν τὸ ὄγδοον εὐαγγέλιον, μετὰ δὲ τὸ τέλος τοῦ δωδεκάτου ἀντιφώνου ἀναγινώσκομεν τὸ ἔννατον εὐαγγέλιον, μετὰ δὲ τὸ τέλος τοῦ δεκάτου πέμπτου ἀντιφώνου καὶ τοῦ καθίσματος ἀναγινώσκομεν τὸ δέκατον εὐαγγέλιον, ἐνταῦθα λέγομεν τὸ κοντάκιον καὶ οἶκον τῆς ἡμέρας, εἶτα ἀρχόμεθα τοὺς μακαρισμούς, ἦχος δ′· Διὰ ξύλου ὁ Ἀδὰμ καὶ τὰ λοιπά, προκείμενον· Διεμερίσαντο τὰ ἱμάτιά μου καὶ εὐαγγέλιον δέκατον πρῶτον, εἶτα τὸν πολυέλεον τῆς ἑορτῆς καὶ καθίσματα, ὁμοίως τὸ πρῶτον ἀντίφωνον τοῦ δ′ ἤχου, προκείμενον καὶ εὐαγγέλιον τῆς ἑορτῆς, τὸν πεντηκοστόν, καὶ στιχηρὸν τῆς ἑορτῆς· Ἀπεστάλη ἐξ οὐρανοῦ, τὸ Σῶσον, ὁ Θεός, τὸν λαόν σου, ὁ κανὼν τῆς ἑορτῆς **[стр. 136)** μετὰ τῶν εἱρμῶν εἰς ιδ′ ἔνθα δὲ εἰσὶν αἱ ᾠδαὶ τοῦ Τριῳδίου, λέγομεν τῆς ἑορτῆς εἰς η′ καὶ τοῦ τριῳδίου εἰς ς′, καταβασία τῶν εἱρμῶν τῆς ἑορτῆς, ἀπὸ γ′ ᾠδῆς κάθισμα τῆς ἑορτῆς, ἀφ' ἕκτης κοντάκιον καὶ οἶκον τῆς ἑορτῆς, ἐν τῇ θ′ ᾠδῇ οὐ στιχολογεῖται Ἡ τιμιωτέρα, ἐξαποστειλάριον τῆς ἑορτῆς ἐκ γ′, εἰς τοὺς αἴνους ἱστῶμεν στίχους ς′ τῆς ἑορτῆς, ἦχος α′, προσόμοια γ′ καὶ τῆς ἡμέρας ἰδιόμελα ἦχος γ′, τρία, Δόξα ἦχος πλ. δ′ τῆς ἡμέρας· Κύριε, ἀναβαίνοντος ἐν τῷ σταυρῷ, Καὶ νῦν ὁ αὐτὸς τῆς ἑορτῆς· Εὐφραινέσθωσαν οἱ οὐρανοί, δοξολογία μεγάλη, καὶ εὐθὺς μετὰ τὴν δοξολογίαν ἀναγινώσκεται τὸ δέκατον δεύτερον εὐαγγέλιον παρὰ διακόνου, εἶτα ἐκτενὴς καὶ ἀπόλυσις. Ἀναγινώσκεται

καὶ ἡ κατήχησις τῆς ἑορτῆς. Τὰς δὲ μεγάλας ὥρας μὲ τὸ νὰ ἔχῃ νὰ γίνῃ ἡ λειτουργία τοῦ Χρυσοστόμου ταχύτερον τὰς ψάλλομεν τὴν μεγάλην πέμπτην ὁμοῦ μὲ τὰ τροπάρια, ἀναγνώσματα, ἀποστόλους καὶ εὐαγγέλια. Καὶ σήμερον ψάλλομεν τὰς ὥρας τριψάλμους κατὰ τὴν συνήθειαν, εἰ δὲ καὶ θέλεις νὰ ψάλῃς τὰς μεγάλας ὥρας σήμερον κατὰ τὸν παλαιὸν τύπον, οὐδὲν τὸ κωλῦον.

[стр. 137). Ἡ δὲ θεία λειτουργία γίνεται ταχύτερον, καὶ ψάλλονται τὰ τυπικὰ ἐν τοῖς μακαρισμοῖς, ἡ γ' καὶ ς' ᾠδὴ τῆς ἑορτῆς, εἰσοδικὸν τῆς ἑορτῆς, ἀπόστολος, εὐαγγέλιον καὶ κοινωνικὸν τῆς ἑορτῆς καὶ κάθ' ἑξῆς ἡ λειτουργία τοῦ Χρυσοστόμου. Εἰς τὴν τράπεζαν μόνον ὁποῦ οἶνον καταλύει, ἡμεῖς δὲ εἰς δόξαν τῆς Εὐαγγελιστρίας καταλύομεν εἰς ἔλαιον καὶ οἶνον.

Περὶ δὲ ὥραν δεκάτην τῆς ἡμέρας ποιοῦμεν ἑσπερινόν, ἐν ᾧ ἀποδίδομεν καὶ τὴν ἑορτὴν τοῦ Εὐαγγελισμοῦ, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους δέκα καὶ ψάλλομεν τὰ ἰδιόμελα τὸ α', τοὺς τρεῖς δευτέρους, τοὺς δύο πλ. β' καὶ τῆς ἑορτῆς, τὸ Βουλὴν προαιώνιον καὶ τὰ λοιπὰ εἰς δ', Δόξα ἦχος πλ. β'· Φοβερὸν καὶ παράδοξον μυστήριον, Καὶ νῦν τῆς ἑορτῆς πλ. β'· Ἀπεστάλη ἐξ οὐρανοῦ Γαβριήλ, εἴσοδος, τὰ γ' ἀναγνώσματα τῆς ἡμέρας, τὸν ἀπόστολον καὶ εὐαγγέλιον τῆς ἡμέρας, τὸ Εἴπωμεν πάντες, Καταξίωσον, Κύριε, τὸ Πληρώσωμεν καὶ τὰ ἀπόστιχα ἦχος β'· Ὅτε ἐκ τοῦ ξύλου καὶ τὰ λοιπὰ μετὰ τῶν στίχων αὐτῶν, Δόξα, ἦχος πλ. δ' τῆς ἑορτῆς· Εὐφραινέσθωσαν οἱ οὐρανοί, Καὶ νῦν, Σὲ τὸν ἀναβαλλόμενον, ἐν ᾧ ε ὐ γ ά ν ο μ ε ν κ α ὶ τ ὸ ἐ π ι τ ά φ ι ο ν καὶ τὸ θέτομεν ἐν τῷ μέσῳ τοῦ ναοῦ, εἶτα τὸ Νῦν ἀπολύεις, τροπάριον· Ὁ εὐσχήμων Ἰωσήφ, Ταῖς μυροφόροις γυναιξὶ καὶ Σήμερον τῆς σωτηρίας ἡμῶν, καὶ γίνεται ἀπόλυσις.

Въ субботу въ свое время (служба та же, что и въ старыхъ Типиконахъ) совершался выносъ епитафія. Ὁ πρῶτος ἱερεὺς ἀλλάσσει ὅλην τὴν ἱερατικὴν στολὴν καὶ οἱ λοιποὶ μόνον τὰ ἐπιτραχήλια καὶ φελώνια, αἴροντες τὸ ἅγιον Εὐαγγέλιον καὶ τὸ ἐπιτάφιον εἰς τὸ τελευταῖον Τρισάγιον καὶ εἰσοδεύουσι, ποιοῦντες λιτανίαν γύρωθεν τῆς ἐκκλησίας, ἔνθα μνημονεύουσιν α' ἀντικρὺς τοῦ δεξιοῦ χοροῦ τοὺς κτητόρους καὶ β' ὄπισθεν τοῦ ἁγίου βήματος πάντας τοὺς κεκοιμημένους πατέρας καὶ ἀδελφοὺς καὶ γ' ἀντικρὺς τοῦ ἀριστεροῦ χοροῦ πάντας τοὺς εὐσεβεῖς ἐλεοῦντας καὶ βοηθοῦντας, δ' δὲ καὶ τελευταῖον, ὅταν φθάσουν ἔμπροσθεν τῆς πύλης τοῦ ἔξωθεν νάρθηκος, μνημονεύουν τὸν ἡγούμενον καὶ τοὺς λοιποὺς ζῶντας ἀδελφούς. Εἶτα λέγει· Καὶ ὑπὲρ τοῦ δια-

φυλαχθῆναι τὴν ἁγίαν μονὴν ταύτην κ. τ. λ. Εἶτα εἰσέρχονται εἰς τὸν ναόν, φθάσαντες εἰς τὸ μέσον τοῦ ναοῦ, ἐκφωνεῖ ὁ ἡγούμενος· Σοφία, ὀρθοί, χαράττει σταυροῦ τύπον μετὰ τοῦ Εὐαγγελίου. Εἶτα, εἰσερχομένων ἐν τῷ ἱερῷ, ψάλλουσιν· Ὁ εὐσχήμων Ἰωσήφ, Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, Ταῖς μυροφόροις γυναιξί. Τούτων ψαλλομένων, γυρίζουσιν, τρὶς τὴν ἁγίαν τράπεζαν, εἶτα θέτουν τὸ ἅγιον ἐπιτάφιον ἐπάνωθεν τῆς τραπέζης, καὶ εὐθὺς ὁ κανονάρχης λέγει τὸ τροπάριον τῆς προφητείας ὁμοῦ καὶ τὴν προφητείαν [**стр. 140, 141**).

Если праздникъ Благовѣщенія приходился на Пасху, то вечерня совершалась въ великую субботу обычнымъ порядкомъ съ литургіею, съ стихирами на «Господи воззвахъ» на десять. По захожденіи солнца, пѣли всенощное бдѣніе. Великая вечерня вся праздника съ освященіемъ хлѣбовъ. За вечернею слѣдовала полунощница съ пѣніемъ канона великой субботы и, наконецъ, самая утреня. Πρόσεχε. Ὅταν γίνῃ ἡ θεία Ἀνάστασις, πρέπει νὰ εἶναι ἡ ἕκτη ὥρα τῆς νυκτὸς ἀπερασμένη, διότι ὁ Κύριός μας μετὰ τὸ μεσονύκτιον ἀνεστήθη. Πληρωθείσης δὲ τῆς ἀναγνώσεως, ἅπτουσι καὶ ψάλλουσιν οἱ ἱερεῖς τὸ τροπάριον ἀναστάσιμον ἦχος πλ. β'· Τὴν ἀνάστασίν σου Χριστὲ Σωτήρ. Τοῦτο λέγεται πολλάκις ἕως νὰ φθάσωσιν εἰς τὸν διορισμένον τόπον, φθάσαντες δὲ εἰς τὸ διορισμένον τόπον, ἀναγινώσκεται τὸ εὐαγγέλιον τοῦ μεγάλου σαββάτου. Ὀψὲ σαββάτου τῇ ἐπιφωσκούσῃ. Μετὰ δὲ τὴν ἀνάγνωσιν τοῦ εὐαγγελίου ἐκφωνεῖ ὁ διάκονος τὸ Εὐλόγησον, δέσποτα, καὶ ὁ ἱερεύς· Δόξα τῇ ἁγίᾳ .... εἶτα ἀρχόμεθα τὸ Χριστὸς ἀνέστη. Τοῦτο λέγεται τρὶς παρὰ τοῦ ἱερέως καὶ τρὶς παρὰ τῶν ἀδελφῶν, εἶτα λέγει τοὺς στίχους, στίχος α'· Ἐξομολογεῖσθε τῷ Κυρίῳ. . . στίχος β'· Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν . . . στίχος γ'· Συστήσασθε ἑορτήν. . . καὶ ἡμεῖς εἰς κάθε στίχον· Χριστὸς ἀνέστη. (Ἰστέον, ὅτι οὗτοι οἱ στίχοι δὲν λέγονται πάντα, ἀλλὰ ὅταν τύχῃ τοῦ Εὐαγγελισμοῦ). Εἶτα λέγει· Δόξα Σήμερον σωτηρίας, Καὶ νῦν τὸ αὐτό, εἶτα, Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν κ. τ. λ. καὶ εἰσερχόμεθα ἐν τῷ ναῷ, ψάλλομεν τοὺς κανόνας и т. д. [**стр. 144, 145**), какъ въ древнихъ Типиконахъ.

Вечеромъ совершается служба Пасхи съ Благовѣщеніемъ.

По поводу всей этой главы на поляхъ замѣчено слѣдующее: Εἰς τοὺς 1817, ὁποῦ ἦλθεν τοῦ Εὐαγγελισμοῦ μὲ τὸ Πάσχα, εἰς τὴν ἱερὰν μονὴν τοῦ Βατοπαιδίου ἠκολούθησαν ἀπαραλλάκτως κατὰ τὴν ἑρμηνείαν τοῦ παρόντος ἡμετέρου Τυπικοῦ, ἐκτὸς μόνον τὴν λιτὴν ἀφη-

σαν, διὰ ποίαν αἰτίαν ὅμως τὴν ἄφησαν καὶ τί τὸ κωλῦον ἀγνοῶ, σὺ ὅμως ἀκολούθει κατὰ τὴν παροῦσαν ἑρμηνείαν διὰ τὴν λαμπρὰν ἑορτήν μας καὶ δὲν σφάλλεις τελείως. Ὁ αὐτός, ὁποῦ ἔγραψε τὸ παρὸν Τυπικόν [стр. 144).

Несмотря на то, что изложеніе службъ сходно съ древнимъ Типикономъ, составитель Филоѳеевскаго Типикона нашелъ нужнымъ сдѣлать въ концѣ такую прибавку: Ἰστέον, ὅτι κατὰ τὴν ἑρμηνείαν τοῦ Εὐαγγελισμοῦ, ὁποῦ ἐσημείωσαν ἐνταῦθα, μόνον ἡμεῖς οὕτως ἀκολουθοῦμεν, ὡσὰν ὁποῦ εἶναι ἑορτὴ τοῦ μοναστηρίου μας, τὰ δὲ λοιπὰ μοναστήρια ἀκολουθοῦν κατὰ τὸν παλαιὸν Τύπον, ὅθεν, ὄντος τοῦ μοναστηρίου μας ἑορτή, πρέπει νὰ πανηγυρίζωμεν λαμπροτέρως τὴν τοιαύτην ἑορτὴν ἀπὸ τοὺς λοιπούς, ὅθεν μὴ ξενίζεσαι, ἀδελφέ, βλέποντας τὴν ἀλλαγὴν τῆς ἀκολουθίας τοῦ θείου Εὐαγγελισμοῦ, οὐδὲ νὰ μᾶς κατηγορήσῃς [стр. 150).

Εὗρον εἰς ἕνα νεότυπον Τυπικόν, διαγορεῦον περὶ τῆς θείας ἑορτῆς τοῦ θείου Εὐαγγελισμοῦ αὐτολεξεὶ οὕτως· Ἐὰν τύχῃ ὁ Εὐαγγελισμὸς τῇ μεγάλῃ παρασκευῇ ἢ τῷ μεγάλῳ σαββάτῳ, νὰ μετατίθεται ἡ ἑορτὴ τῇ τρίτῃ τῆς Διακαινησίμου, ὅτι ἐν ταύταις ταῖς δύο ἡμέραις οὐκ εὐάρμοστα τὰ χαρμόσυνα καὶ λυπηρὰ ὁμοῦ τροπάρια, τίς γὰρ συμφωνεία· Σήμερον κρεμᾶται ἐπὶ ξύλου καὶ Σήμερον χαρᾶς εὐαγγέλια, ἢ τίς κοινωνία· Φρίξον ἥλιε, στέναξον γῆ καὶ Εὐαγγελίζου γῆ χαρὰν μεγάλην. Διὰ τοῦτο πρέπον μετατίθεται οὕτω, ἵνα τὰ χαροποιὰ τῆς ἑορτῆς μὲ τὰ χαροποιὰ τῆς Ἀναστάσεως τροπάρια μελῳδήσωμεν. Κατὰ τοῦτον γοῦν τὸν τύπον ὀφείλει γίνεσθαι ἐν πάσαις ταῖς ἐκκλησίαις, ἐπακολουθούσαις τοῖς ἴχνεσι τῆς μητρὸς μεγάλης ἐκκλησίας [1]). Μὴ σταχαζόμενος τοῦ ἐν τῇ ἑορτῇ κεκρυμμένου μυστηρίου, λέγει ἀνωτέρω νὰ μετατίθεται ἡ ἑορτὴ τῇ γ′ τῆς Διακαινησίμου, ἐπειδὴ ἡ αὐτὴ ἑορτὴ ἂν μετατεθῇ ἐλαττοῦται ὁ ἀριθμὸς τῶν ἡμερῶν, ὁποῦ ἐστάθη ὁ Κύριός μας εἰς τὴν κοιλίαν τῆς Θεοτόκου, ὅθεν εἶναι μεγάλη παρανομία, ἢ καὶ νὰ εἰπῶ αἵρεσις, διὰ τοῦτο μὴν σε καταπείσῃ τινὰς νὰ μεταθέσῃς τὴν ἑορτὴν ταύτην καὶ οἵα ἡμέρα τύχῃ, ἑόρτασον αὐτὴν κατὰ τὴν ἑρμηνείαν ἐν κεφαλαίῳ ξγ′ καὶ ξδ′ [стр. 151).

---

[1]) Здѣсь составитель Типика полемизируетъ съ Константиномъ протопсалтомъ, издавшимъ «Типиконъ Великой Церкви» въ 1838 г., и его предшественниками, которые держались этой практики. (Τυπικόν. Ἐν Κωνσταντινουπόλει 1888, σελ. 242).

Въ числѣ главъ на особенные случаи имѣются двѣ, которыхъ въ обычныхъ древнихъ Типиконахъ не находимъ: α) Περὶ ἑορταζομένων ἁγίων, εἰ τύχωσιν ἐν μιᾷ τῶν ἡμερῶν τῶν καθημερινῶν, ἐν ὅσον ψάλλεται τὸ Χριστὸς ἀνέστη πρὶν τῆς Ἀναλήψεως и β) Περὶ τῆς μνήμης τῶν ἁγίων Κωνσταντίνου καὶ Ἑλένης, εἰ τύχοι ἐν ταῖς προγεγραμμέναις ἑορταῖς. Въ этой послѣдней главѣ изложенія службы нѣтъ, но указывается совершать ее по главамъ великомученика Георгія и Іоанна Богослова.

[**стр. 169**). Περὶ μεθεόρτων τῶν Δεσποτικῶν καὶ Θεομητορικῶν ἑορτῶν, εἰ τύχωσιν ἐν κυριακῇ. 80 гл.

[**стр. 160**). Περὶ ἀποδόσεως τῶν Δεσποτικῶν ἑορτῶν, εἰ τύχωσιν ἐν κυριακῇ κεφ. 81.

(**стр. 170**). Περὶ ἀποδόσεως τῶν Δεσποτικῶν ἑορτῶν, μὴ οὔσης κυριακῆς κεφ. 82.

[**стр. 172**). Περὶ προεορτίων καὶ μεθεορτίων πῶς ψάλλονται μετὰ τῶν ἐν Μηναίῳ ἁγίων κεφ. 93.

[**стр. 173**). Περὶ τροπαρίων καὶ κοντακίων μεθεόρτων, εἰ τύχωσιν ἐν κυριακῇ κεφ. 84.

[**стр. 174**). Περὶ τῶν στίχων· Τῷ Κυρίῳ ᾄσωμεν, πότε τοὺς στιχολογοῦμεν καὶ πότε οὐ εἰς ὅλον τὸν ἐνιαυτόν κεφ. 85.

[**стр. 175**). Περὶ τοῦ πότε στιχολογεῖται Ἡ τιμιωτέρα καὶ πότε οὐ στιχολογεῖται κεφ. 86.

[**стр. 176**). Πῶς ψάλλεται ἡ ἀκολουθία τῆς Ὀκτωήχου καὶ τοῦ Μηναίου ἐν ὅλῃ τῇ ἑβδομάδι καὶ πρῶτον τῇ κυριακῇ κεφ. 87.

[**стр. 177**). Τῇ δευτέρᾳ πῶς ψάλλεται ἡ ἀκολουθία τῆς Ὀκτωήχου μετὰ τοῦ Μηναίου κεφ. 88.

[**стр. 178—182**). На всю недѣлю до субботы подобныя главы κεφ. 89—93.

[**стр. 182**). Περὶ τῆς ἑβδομάδος τῆς τυρινῆς, πῶς ὀφείλει ψάλλεσθαι ἡ ἀκολουθία κεφ. 94.

[**стр. 184**). Περὶ τῆς μεγάλης τεσσαρακοστῆς, πῶς ὀφείλει ψάλλεσθαι ἡ ἀκολουθία κεφ. 95.

[**стр. 189**). Περὶ τοῦ Ψαλτηρίου, πῶς ὀφείλει στιχολογεῖσθαι ἐν ὅλῳ τῷ χρόνῳ κεφ. 96.

[**стр. 191**). Εἴδησις τῶν ἀγρυπνιῶν ὅλου τοῦ ἐνιαυτοῦ, πότε δηλαδὴ ποιοῦμεν ἀγρυπνίαν κεφ. 97.

Совершается всенощное бдѣніе, по преданію ктиторовъ:

8 и 14 Сентября, 26 Октября, 13 и 21 Ноября, 5 или 6 и 25 Декабря, 6, 23 (τοῦ ἁγίου Διονυσίου τοῦ ἐν τῷ Ὀλύμπῳ καὶ νέου κτήτορος τοῦ μοναστηρίου μας) и 30 Января, 2 Февраля, 25 Марта, въ субботу Акаѳиста, въ недѣлю Ваій, на Пасху, въ Вознесеніе, въ Пятидесятницу, 24 и 29 Іюня, 6 и 15 Августа. По желанію игумена, 26 Сентября, 8 Ноября, 1 и 17 Января, 8 Мая, 29 Августа и во всѣ недѣли или воскресные дни.

[стр. 193). Περὶ μνημοσύνων καὶ κολύβων πότε δεῖ ποιοῦμεν εἰς ὅλον τὸ ἔτος κεφ. 98.

Περὶ μνημοσύνων καὶ κολύβων πρὸ ὀλίγων χρόνων ἔφθασε νὰ ἀκολουθήσῃ μία μεγαλεοτάτη διχόνοια εἰς τὸ ἅγιον Ὄρος ἀναμεταξὺ εἰς μερικούς, οἵτινες δισχυριζόμενοι καὶ ἐναντιούμενοι εἷς ὑπὲρ τοῦ ἄλλου εἰς ἓν π ε ῖ σ μ α σ α τ α ν ι κ ό ν, ὁποῦ ἂν εὕρισκον καιρὸν νὰ θανατῶσιν. Ἐπειδὴ τὸ ἕνα μέρος δισχυριζόμενοι εἰς τὸ νὰ γίνουνται μνημόσυνα διὰ τοὺς κεκοιμημένους μόνον τὸ σάββατον καὶ οὐχὶ τὴν κυριακήν, τάχα ἀκολουθοῦντες τὸν τύπον τῆς ἐκκλησίας, τὸ δὲ ἕτερον μέρος ἐπιμένει ἐναντίον τῶν ἄλλων, ἐκτελοῦντες μνημόσυνα τὴν κυριακὴν καὶ οὐχὶ τὸ σάββατον κ α ὶ ἄ χ ρ ι τ ὴ ν σ ή μ ε ρ ο ν ἐ π λ ή θ υ ν ε τ ὸ κ α κ ὸ ν τ ο ῦ τ ο κ α ὶ ἐ ξ η π λ ώ θ η εἰς ὅλον τό ἁγιώνυμον Ὄρος, καὶ γεγόναμεν παίγνιον τοῖς κοσμικοῖς ἡμεῖς οἱ ἅγιοι καὶ πνευματικοί. Ὅθεν, ἀδελφοί μου **[стр. 194)**, παρακαλῶ τὸν Κύριόν μου, καθὼς μᾶς ἐφύλαξεν ἀπὸ τὴν ἀσθένειαν ταύτην ἕως τὴν σήμερον, οὕτως νὰ μᾶς φυλάξῃ καὶ εἰς τὸ ἑξῆς, καὶ ἀποστρεφόμεθα τοὺς τοιούτους πεισματάριδας ὅσον τὸ ἕνα μέρος, τόσον καὶ τὸ ἄλλον, καὶ ἂς ἀκολουθοῦμεν κατὰ τὴν παλαιὰν παράδοσιν, ὁποῦ παρελάβομεν ἀπὸ τῶν κτητόρων τοῦ ἱεροῦ μας μοναστηρίου, τὸ ὁποῖον εἶναι καὶ νόμιμον καὶ δικαιότατον νὰ ἀκολουθοῦμεν ἡμεῖς τὰ τέκνα τοὺς γονεῖς μας. Οὕτως παρελάβομεν·

Κάθε παρασκευῇ ἑσπέρας ἀπερχόμεθα ἐν τῷ κοιμητηρίῳ καὶ ποιοῦμεν παννυχίδα, ψάλλομεν τὸν νεκρώσιμον κανόνα καὶ τὰ λοιπά, μνημονεύοντες πάντας τοὺς προκεκοιμημένους ἀδελφοὺς καὶ ὅλους τοὺς εὐσεβεῖς χριστιανοὺς μετὰ κολύβων, τὸ δὲ πρωΐ, ὅπερ ἐστι σάββατον, ἀπερχόμεθα ἅπαντες ἐν τῷ κοιμητηρίῳ καὶ γίνεται λειτουργία, μνημονεύομεν, καθὼς καὶ ἀφ᾽ ἑσπέρας, τοὺς κεκοιμημένους μετὰ κολύβων. Εἰ δὲ καὶ ἀποθάνῃ τινὰς ἐκ τῶν ἀδελφῶν, ποιοῦμεν αὐτοῦ τὰ μνημόσυνα, ὅσον τὰ τρίτα, τὰ ἔννατα **[л. 195)**, τὰ τεσσαρακοστὰ οἷα ἡμέρα

πέσουν, κἄν τε κυριακὴν κἄν τε δευτέραν, ὁποία ἡμέρα ἐστὶν ἀνεμποδίστως καὶ ἀκριματίστως. Μάλιστα τυχένει ὁποῦ μᾶς πλερώνουν οἱ χριστιανοὶ διὰ νὰ ἐκτελέσωμεν διὰ ἀποθανόντας συγγενεῖς τους, ὅσον ἀγρυπνίαν, τόσον καὶ μνημόσυνον καὶ τράπεζαν εἰς μίαν καὶ τὴν αὐτὴν ἡμέραν, τὰ ὁποῖα πρέπει νὰ γίνουν ἢ εἰς μνήμην ἁγίου πάνυ μεγάλου, ἢ εἰς κυριακήν, ἢ εἰς Δεσποτικὴν ἑορτήν, ἐπειδὴ ἡ ἀγρυπνία καθημερινὴ δὲν γίνεται, ἀλλὰ μία ἀπὸ ταῖς ἀνωτέρω ἑορταῖς ἐπ' ἀνάγκαις εἶναι νὰ γίνῃ τῇ αὐτῇ ἡμέρᾳ μετὰ τὴν λειτουργίαν, καὶ τὸ μνημόσυνον καὶ ἔπειτα νὰ ἀνέλθωμεν εἰς τὴν τράπεζαν. Ὅθεν, ἀδελφοί μου, ὅποτε ἔχεις μνημόσυνον, ὁποία ἡμέρα ποίησον αὐτὸ χωρὶς νὰ ἐξαιρέσῃς ἡμέρα, κἄν τε σάββατον, κἄν τε κυριακήν. Τοῦτο δὲν εἶναι καμμία παρανομία οὐδὲ βλασφημία εἰς τὸ ὁμοούσιον. Τοῦτο μόνον κάνομεν τὰ μνημόσυνα ἀπὸ τῷ σαββάτῳ τοῦ δικαίου Λαζάρου ἕως τῷ σαββάτῳ τῆς Διακαινησίμου. Καὶ μάλιστα ἂν τύχῃ ἐν αὐταῖς ταῖς ἡμέραις ἡ ἑορτὴ τοῦ θείου Εὐαγγελισμοῦ, πρέπει νὰ διαβάσωμεν καὶ νὰ ψάλλωμεν τὴν ἀκολουθίαν τῶν κτητόρων κατὰ τὴν συνήθειαν. Καὶ ταῦτα μὲν περὶ μνημοσύνων ἀρχές.

[**стр. 196**). Περὶ νηστείας μοναχῶν κεφ. 99.

Περὶ δὲ τῆς ἡμετέρας νηστείας παρελάβομεν νηστεύειν οὕτως· ὅλας τὰς τετράδας καὶ παρασκευὰς καὶ δευτέρας ὅλου τοῦ χρόνου νηστεύομεν ἀπὸ λάδι καὶ κρασί, ἐσθίομεν ἅπαξ μετὰ τὴν ἐννάτην εἰς ξηροφαγίαν.

Τῇ δὲ ἁγίᾳ καὶ μεγάλῃ τεσσαρακοστῇ, τῇ καθαρᾷ ἑβδομάδι δηλαδή, τὴν πρώτην ἑβδομάδα ἅπαξ τῆς ἡμέρας ἐσθίομεν εἰς ξηροφαγίαν, οἱ δὲ ἐνάρετοι μόνον μετὰ τὴν προηγιασμένην τῆς τετράδος καὶ παρασκευῆς ἐσθίουσιν εἰς ξηροφαγίαν· τῷ δὲ σαββάτῳ καὶ τῇ κυριακῇ ἐσθίομεν εἰς ἔλαιον καὶ οἶνον, τὰς δὲ λοιπὰς ἑβδομάδας τῆς τεσσαρακοστῆς τὰς πέντε ἡμέρας ἅπαξ τῆς ἡμέρας ἐσθίομεν εἰς ξηροφαγίαν, τὰ δὲ σάββατα καὶ κυριακὰς καταλύομεν εἰς ἔλαιον καὶ οἶνον μόνον [**стр. 197**). Ὡσαύτως καταλύομεν εἰς ἔλαιον καὶ οἶνον τῇ μνήμῃ τοῦ Προδρόμου, ἐκτὸς τῆς πρώτης ἑβδομάδος, καταλύομεν εἰς οἶνον καὶ τῇ πέμπτῃ τοῦ μεγάλου κανόνος. Τῇ δὲ ἁγίᾳ καὶ μεγάλῃ ἑβδομάδι ἅπαξ τῆς ἡμέρας ἐσθίομεν εἰς ξηροφαγίαν. Τῇ μεγάλῃ πέμπτῃ ἐσθίομεν εἰς ἔλαιον καὶ οἶνον, τῇ μεγάλῃ παρασκευῇ μένομεν ἄσιτοι ἕως τῆς λειτουργίας τοῦ μεγάλου σαββάτου, τῷ δὲ μεγάλῳ σαββάτῳ καταλύομεν ἀπὸ ἑνὸς κρασοβουλίου οἴνου μόνον. Τῇ δὲ ἑορτῇ τοῦ θείου Εὐαγγελισμοῦ καταλύομεν εἰς ἰχθύας, οἵα ἡμέρα τύχῃ ἐκτὸς τῆς μεγάλης ἑβδομάδος. Εἰ

δὲ καὶ τύχῃ ὁ Εὐαγγελισμὸς τῇ μεγάλῃ ἑβδομάδι, καταλύομεν εἰς ἔλαιον καὶ οἶνον, οἵα ἡμέρα τύχῃ, εἰς δόξαν τῆς Εὐαγγελιστρίας.

Τῇ δὲ νηστείᾳ τῶν Ἁγίων Ἀποστόλων ἀρχόμεθα ἀπὸ τῆς δευτέρας τῶν Ἁγίων Πάντων ἕως τῆς μνήμης αὐτῶν, τῇ δευτέρᾳ τῇ δ' καὶ παρασκευῇ ἅπαξ τῆς ἡμέρας ἐσθίομεν εἰς ξηροφαγίαν, τῇ δὲ τρίτῃ καὶ πέμπτῃ καταλύομεν εἰς ἔλαιον καὶ οἶνον, τῷ δὲ σαββάτῳ καὶ κυριακῇ καταλύομεν ἰχθύας [стр. 198).

Τῇ δὲ νηστείᾳ τῆς Θεοτόκου τὸ ιε' Αὔγουστον ἀρχόμεθα ἀπὸ πρώτης Αὐγούστου καὶ τὰς μὲν πέντε ἡμέρας δηλαδὴ τῆς ἑβδομάδος νηστεύομεν εἰς ξηροφαγίαν, τῷ δὲ σαββάτῳ καὶ κυριακῇ καταλύομεν εἰς ἔλαιον καὶ οἶνον, τῇ δὲ ἑορτῇ τῆς Μεταμορφώσεως καταλύομεν ἰχθύας.

Τῇ δὲ νηστείᾳ τῶν Χριστουγέννων ἀρχόμεθα ἀπὸ τὰς δεκαπέντε τοῦ Νοεμβρίου· τὴν δευτέραν, τετράδην καὶ παρασκευὴν ἅπαξ ἐσθίομεν τὴν ἡμέραν εἰς ξηροφαγίαν, τῇ δὲ τρίτῃ καὶ πέμπτῃ ἐσθίομεν εἰς ἔλαιον καὶ οἶνον, τῷ δὲ σαββάτῳ καὶ κυριακῇ ἐσθίομεν ἰχθύας καὶ τῇ ἑορτῇ τῶν Εἰσόδων τῆς Θεοτόκου. Εἰ δὲ τύχοι ἑορτὴ πάνυ μεγάλου ἁγίου ἐν ταῖς δυσὶ νηστείαις ταύταις τῶν Χριστουγέννων καὶ τῶν ἁγίων Ἀποστόλων, ἐν τῇ τρίτῃ καὶ πέμπτῃ ἐσθίομεν ἰχθύας. Εἰ δὲ τύχουν αἱ τοιαῦται ἑορταὶ εἰς δευτέραν, δ' καὶ παρασκευήν, καταλύομεν εἰς ἔλαιον καὶ οἶνον.

Πότε καταλύομεν ἡμεῖς οἱ μοναχοὶ εἰς τυρὶ καὶ αὐγὰ καὶ λοιπά.

Ἀπὸ τῇ κυριακῇ τοῦ Πάσχα, δηλαδὴ ὅλῃ τῇ ἑβδομάδι τῆς Διακαινησίμου, τῇ ἑβδομάδι τῆς πεντηκοστῆς, τὸ δωδεκαήμερον ὅλον, ἐκτὸς τῆς παραμονῆς τῶν Φώτων [стр. 199), τῇ ἑβδομάδι ὁποῦ ἐμβαίνει τὸ Τριῴδιον καὶ τῇ ἑβδομάδι τῆς τυρινῆς.

Πότε καταλύομεν εἰς ἰχθύας.

Καταλύομεν εἰς ἰχθύας ὅλας τὰς Δεσποτικὰς ἑορτάς, ἐκτὸς τῆς Ὑψώσεως τοῦ σταυροῦ, καὶ ὅλας τὰς Θεομητορικὰς ἑορτάς, τῇ τετάρτῃ τῆς μεσοπεντηκοστῆς, τῇ τετάρτῃ πρὸ τῆς Ἀναλήψεως τῷ γενεσίῳ τοῦ Προδρόμου, εἰς τὴν μνήμην τῶν ἀποστόλων Πέτρου καὶ Παύλου καὶ τῇ ἐπαύριον, ὁποῦ εἶναι ἡ μνήμη τῶν δώδεκα ἀποστόλων, εἰς τὰς ιδ' τοῦ Νοεμβρίου καὶ εἰς τὰς ζ' Ἰανουαρίου. Ταύτας τὰς ἑορτάς, οἵα ἡμέρᾳ τύχῃ, ἐσθίομεν ἰχθύας.

Πότε καταλύομεν εἰς ἔλαιον καὶ οἶνον.

Καταλύομεν εἰς ἔλαιον καὶ οἶνον ὅλας τὰς τετράδας καὶ παρασκευὰς ἀπὸ τῇ νέᾳ κυριακῇ τοῦ Θωμᾶ ἕως τῆς Πεντηκοστῆς, καταλύομεν εἰς ἔλαιον καὶ οἶνον, ὁπότε ποιοῦμεν δοξολογίαν, ἂν τύχῃ τετράδῃ, ἢ παρασκευῇ, ἢ δευτέρᾳ, καταλύομεν εἰσέτι καὶ τῇ παραμονῇ τοῦ Εὐαγγελισμοῦ, τῶν Χριστουγέννων καὶ τῇ τῶν Θεοφανίων, παραμονῇ, οἵα ἡμέρα τύχῃ. Ταῦτα πάντα στέκουν καὶ εἰς τὴν διάκρισιν τοῦ καθενός.

[стр. 200). Πότε πρέπει νὰ μεταλαμβάνουν οἱ μοναχοὶ τῶν θείων μυστηρίων κεφ. 100.

Παρελάβομεν ἀπὸ τοῦ πρὸ ἡμῶν, κατὰ τὴν διάταξιν τῶν ἁγίων πατέρων, ὅτι ὀφείλουσιν οἱ μοναχοὶ νὰ μεταλαμβάνουν τῶν θείων μυστηρίων κάθε εἰς τεσσαράκοντα ἡμέρας, ἐξομολογούμενοι πρότερον τὰς ἁμαρτίας αὐτῶν εἰς δοκιμωτάτους πνευματικούς, καὶ ἀφ' οὗ νηστεύσωσιν εἰς ξηροφαγίαν τὰς πέντε ἡμέρας, ἢ τουλάχιστον τρεῖς ἡμέρας, ἂς μεταλάβωσι τῶν θείων μυστηρίων. Εἰ δὲ καὶ τύχοι τινὰς ἐγκρατὴς πολλὰ καὶ ἐνάρετος, ὁποῦ ἐγκρατεύεται τελείως ἀπὸ τυρὶ καὶ ἰχθύας, ἔχει ἀπόφασιν νὰ μὴν καταλύσῃ εἰς ὅλην τὴν ζωὴν ἀπ' αὐτὰ καὶ μόνον εἰς ἔλαιον καὶ οἶνον καταλύει σαββατοκυριακόν, τὰς δὲ λοιπὰς πέντε ἡμέρας τῆς ἑβδομάδος νηστεύει μεγάλως, ὁ τοιοῦτος εὐλαβὴς καὶ ἐγκρατὴς δὲν βλάπτει νὰ μεταλαμβάνῃ κάθε σάββατον.

Εἰ δὲ καὶ εἶναι τινὰς ἀσθενὴς καὶ κινδυνεύει εἰς θάνατον, ὁ τοιοῦτος νὰ μεταλαμβάνῃ, εἰ δὲ καὶ τῇ ἐρχομένῃ ἡμέρᾳ ἐβάρυνε περισσότερον, πάλιν νὰ μεταλαμβάνῃ, εἰ δὲ καὶ πηγαίνει ὁ τοιοῦτος ἀσθενὴς ὅλο εἰς τὸ χειρότερον, ἂς μεταλαμβάνῃ, εἰ δὲ καὶ ἀρχίσῃ εἰς καλλιώτερα καὶ δὲν εἶναι διὰ θάνατον, ἂς παύσῃ ἕως νὰ ἔλθουν αἱ τεσσαράκοντα ἡμέραι. Μάλιστα τὸ τοιοῦτον στέκει εἰς τὴν διάκρισιν τοῦ πνευματικοῦ του.

[стр. 201). Προκείμενα, ὅλης τῆς ἑβδομάδος λεγόμενα εἰς τὸν ἑσπερινόν. Здѣсь же прокимны на утрени предъ евангеліемъ и на литургіи предъ апостоломъ.

[стр. 203). Ἀκολουθία ὅλης τῆς ἑβδομάδος, ὅτε οὐκ ἔστιν ἑορταζόμενος ἅγιος, τά τε προκείμενα τῶν ἀποστόλων, ἀποστόλους, ἀλληλουάρια, εὐαγγέλια καὶ κοινωνικὰ и общимъ святымъ.

[стр. 216). Πότε ποιοῦμεν παράκλησιν εἰς τὴν Θεοτόκον ἐν ὅλῳ τῷ ἐνιαυτῷ.

[стр. 217). Περὶ τῶν μεγάλων προκειμένων τῶν Δεσποτικῶν ἑορτῶν, ποῖα προτιμοῦνται.

— Περὶ δύο ἁγίων, ἐχόντων κοντάκια, εἰ τύχωσιν εἰς προεόρτια ἢ εἰς μεθέορτα, πῶς ψάλλονται.

— Περὶ εἰς μνήμην ἁγίου, ἔχοντος εἴσοδον, ποῖα θεοτοκία λέγονται.

[**стр. 218**). Περὶ τοῦ πρώτου θεοτοκίου τῇ παρασκευῇ ἑσπέρας εἰ τύχωσι προεόρτια εἰς μεθέορτα Δεσποτικῶν ἑορτῶν, ἂν λέγεται.

— Περὶ ἁγίου, ἔχοντος δοξαλογίαν, ἂν ψάλλεται ἡ Ὀκτώηχος.

[**стр. 219**). Ἐνταῦθά μοι ἐφάνη εὔλογον νὰ σημειώσω ποίας ἡμέρας ποιοῦμεν ἀργίαν καὶ ποίας ποιοῦμεν δοξολογίαν· καὶ ποίας καταλύομεν εἰς ἔλαιον καὶ οἶνον ὀνομαστί.

[**стр. 227**). Περὶ τῆς παννυχίδος τοῦ μεγάλου σαββάτου καὶ διάταξις τῆς λαμπρᾶς ἀκολουθίας.

Съ этой послѣдней службою мы уже знакомы по выдержкѣ изъ Благовѣщенскихъ статей. Здѣсь мы лишь дополнимъ ее. На девятой пѣсни канона полунощницы ὁ ἱερεὺς θυμιᾷ ἅπαντας. Къ утрени облачается лишь игуменъ во всю священническую одежду, а остальные священники,—только въ епитрахиль и фелонь. Πληρωθείσης δὲ τῆς ἀναγνώσεως, ὁ ἡγούμενος ψάλλει ἀπ' ἔνδον τοῦ βήματος τὸ ἀναστάσιμον στιχηρόν, ἦχος πλ. β'· Τὴν ἀνάστασίν σου, Χριστὲ Σωτήρ. Εἶτα ἐξέρχεται ἐν τῷ νάρθηκι, προπορευομένων λαμπάδων, καὶ ὁ μὲν ἡγούμενος κρατῶν τὸ Εὐαγγέλιον, ὁ δὲ δεύτερος τὴν εἰκόνα τῆς Ἀναστάσεως, καὶ ἀπέρχονται ἐν τῷ διωρισμένῳ τόπῳ, ψαλλόντων πολλάκις τὸ ἄνωθεν τροπάριον, ἕως νὰ φθάσσωμεν, καὶ τίθεται τὸ ἅγιον Εὐαγγέλιον ὁμοῦ μὲ τὴν εἰκόνα τῆς Ἀναστάσεως ἐπάνωθεν τοῦ τρισκελίου, εὐπρεπισθέντος πρότερον παρὰ τοῦ κανδηλάπτου [**стр. 228**). Кандилаптъ въ храмѣ наполняетъ горшки угольями и ѳиміамомъ. Читается евангеліе, послѣ котораго игуменъ θυμιᾷ γύρωθεν τὸ τρισκέλιον σταυροειδῶς τρίς, εἶτα ἵσταται βλέπων κατὰ ἀνατολὰς [**стр. 229**) и дѣлаетъ начало. При пѣніи канона, входятъ въ храмъ. Μετὰ τὴν καταβασίαν ψάλλεται τὸ Χριστὸς ἀνέστη ἐκ γ', τὸ Ἀναστὰς ὁ Ἰησοῦς ἅπαξ. Δεῖ εἰδέναι, ὅτι εἰς κάθε ᾠδὴν θυμιῶσιν οἱ ἱερεῖς κατὰ τάξιν, εἰς τὴν πρώτην ᾠδὴν ὁ ἡγούμενος θυμιᾷ, εἰς τὴν γ' ὁ δεύτερος καὶ καθεξῆς [**стр. 231**).

Въ 1817 году (запись позднѣйшей руки) случилось Благовѣщеніе на Пасху. Въ Ватопедѣ праздничную малую вечерню соединили съ велико-субботней, а великую вечерню на всенощномъ бдѣніи служили по Минеи [**стр. 233**).

Въ 1820 г. случилось Благовѣщеніе въ великій четвертокъ. Тамъ же наканунѣ оставили Тріодь и службу правили только по Минеи, но на самый праздникъ соединили обѣ службы [**стр. 234**).

[**стр. 235**). Ἑρμηνεία διὰ τὰς τάξεις τῶν σημαντήρων, ὁποῦ σημαίνουν εἰς τὸν καιρὸν τῆς ἁγίας καὶ μεγάλης τεσσαρακοστῆς.

Εἰς τὸν ὄρθρον ὡσὰν καὶ τὸν λοιπὸν καιρόν, ἤγουν πρῶτον τὸ σιδερένιον, ἔπειτα καὶ τὸ χειροσήμαντρον καὶ τὰ ἑξῆς κατὰ τὴν τάξιν. Εἰς ὥρας τρίτην, ἕκτην καὶ ἐννάτην κρούεις μίαν πρὸς μίαν ἕως ἐννέα, ἔπειτα πάλιν ἀπὸ τρεῖς γίνονται ἐννέα, λαμβάνει ἡ κάθε ὥρα ἀπὸ τρεῖς, ἤγουν τρεῖς ἡ τρίτη ὥρα καὶ τρεῖς ἡ ἕκτη καὶ τρεῖς ἡ ἐννάτη, ὁποῦ γίνονται ἐννέα, καὶ ὅταν κρούῃς μίαν πρὸς μίαν, ὡς ἄνωθεν εἴπομεν, λέγεις καὶ ἕνα Πιστεύω εἰς ἕνα Θεὸν καὶ τὰ ἑξῆς, εἰς κάθε φορὰν ὁποῦ κρούεις, ἔπειτα, τελειώνοντες οἱ μακαρισμοί, βάλλεις μετάνοιαν εἰς τὸν ἡγούμενον καὶ σημάνεις τὸ κόπανο μεταξὺ καὶ τὸ σίδερο διὰ τὸν ἑσπερινὸν καὶ γίνεται ἀπόλυσις, ἔπειτα διὰ τὸ ἀπόδειπνον κρούεις μίαν πρὸς μίαν δώδεκα καὶ λέγεις καὶ τὸ Ἐλέησόν με ὁ Θεός, ἐὰν θέλῃς ὅλον, εἰ δὲ μὴ τὸ μισὸν εἰς κάθε φοράν, ἔπειτα πάλιν τέσσαρες φορὲς ἀπὸ τρεῖς ξέχωρα γίνονται πάλιν δώδεκα. Αὔτη ἡ τάξις τῶν σημαντήρων ε'ς τὸ ἅγιον Ὄρος τοῦ Ἄθω ἀρχαία παράδοσις καὶ φυλάττεται καὶ ἕως τοῦ νῦν.

CXLVI. Τυπικὸν ἀκριβὲς τῆς ἐκκλησιαστικῆς ἀκολουθίας ἀπό τε τοῦ Τυπικοῦ τοῦ ἁγίου Σάββα καὶ ἑτέρων ἀθροισθὲν διαφόρων, ἔχον καὶ τὰ κεφάλαια τοῦ μοναχοῦ κὺρ Μάρκου, ἐν οἷς ἕκαστον αὐτῶν ζητεῖται χωρίοις μεθ' ἑτέρων ἀναγκαίων σημειώσεων. Соборный Типиконъ русскаго Пантелеимоновскаго (Руссика) монастыря. Рукопись въ четвертку, на 559 стр., написана четкою скорописью 1841 года. Подъ такимъ точно заглавіемъ проф. С. Ламбросъ въ своемъ Каталогѣ аѳонскихъ рукописей описываетъ еще одинъ Типиконъ: ркп. Пантелеимоновской библ. № 5869 (362), XVIII в. въ полулистъ (0,22×0,15), стр. 266, въ концѣ коего находится слѣдующая приписка: Τὸ παρὸν Τυπικὸν μοὶ ἐδωρήθη ὑπὸ τοῦ σεβαστοῦ μου γέροντος καὶ καθηγουμένου Γερασίμου, ὅπως πάντοτε καταγίνωμαι ἐν αὐτῷ. Ὁ ἀρχιγραμματεὺς τῆς ἑλληνικῆς γλώσσης ἐν τῷ Ῥωσσικῷ κοινοβίῳ τοῦ ἁγίου Παντελεήμονος Ναθαναὴλ ἱερομόναχος. 1870 σεπτεμβρίου 17. (S. Lambros. Catalogue of the Greek manuscript on Mont Athos. Cembrid.

180 an. pag. 366). Мы пользовались этимъ Типикономъ, получивъ его изъ рукъ владѣльца о. Наѳанаила, когда послѣдній проживалъ на Кареѣ въ качествѣ антипросопа Пантелеимоновскаго монастыря. Несомнѣнно, это была первоначальная, черновая копія Діонисіатскаго Типикона (Ἐκ τοῦ Διονυσιακοῦ Τυπικοῦ [л. 2), съ которой потомъ уже начисто переписанъ былъ Соборный Типиконъ. Интересующій насъ Типиконъ о. Наѳанаила попалъ въ число рукописей Пантелеимоновской обители уже позднѣе, когда проф. Ламбросу предоставилъ великодушно свое описаніе рукописей Пантелеимоновской библіотеки незабвенный библіотекарь этой сокровищницы монахъ Матѳей, описавшій и рукопись о. Наѳанаила, переданную мною по принадлежности въ эту библіотеку, послѣ кончины ея владѣльца о. Наѳанаила.

Κεφ. α'. Εἴδησις τοῦ μικροῦ ἑσπερινοῦ.

Πρὸ τοῦ δῦναι τὸν ἥλιον ἀνέρχεται ὁ κανδηλάπτης καὶ ποιεῖ μετάνοιαν τῷ προεστῶτι, καὶ ἀπελθὼν σημαίνει τὸ [μικρόν, καὶ συναχθέντες ἐν τῇ ἐκκλησίᾳ ψάλλομεν πρῶτον· ἐν τῇ νάρθηκι τὴν θ' ὥραν, ὡς σύνηθες, εἶτα σημαίνει τὸ σιδηροῦν, καὶ εἰσερχόμεθα ἐν τῷ ναῷ. Καὶ τοῦ ἱερέως ἐν τῷ ἰδίῳ τόπῳ ἱσταμένου καὶ εἰπόντος· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, λέγομεν· Δεῦτε προσκυνήσωμεν γ', καὶ τὸν προοιμιακὸν ψαλμὸν ὁμοῦ πάντες ἡσύχῳ καὶ ἠρεμαίᾳ φωνῇ, εἶθ' οὕτως λέγομεν τὸ Κύριε ἐκέκραξα εἰς τὸν ἦχον τῆς κυριακῆς, ἱστῶμεν δὲ [стр. 2), στίχους δ' καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα τοῦ ἤχου γ', δευτεροῦντες τὸ α', Δόξα καὶ νῦν, θεοτοκίον, δογματικὸν τὸ β' τοῦ ἤχου, εἶτα τὸ Φῶς ἱλαρόν, προκείμενον· Ὁ Κύριος ἐβασίλευσεν· στίχος· Καὶ γὰρ ἐστερέωσεν, εἶτα τὸ Καταξίωσον καὶ εὐθέως τὸ ἀναστάσιμον στιχηρὸν τοῦ ἤχου καὶ τῆς Θεοτόκου προσόμοια γ' εἰς τὸν αὐτὸν ἦχον· λέγομεν δὲ εἰς μὲν τὸ α' καὶ β' στίχ. τῆς Θεοτόκου· στίχος α'· Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου, στίχος β'· Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, εἰς δὲ τὸ τρίτον Δόξα καὶ νῦν, Νῦν ἀπολύεις, Τρισάγιον, τὸ ἀναστάσιμον ἀπολυτίκιον, Δόξα καὶ νῦν, θεοτοκίον τὸ α' τοῦ ἤχου, ἐκτενὴς μικρὰ καὶ ἀπόλυσις, καὶ εἰσερχόμεθα εἰς τὴν τράπεζαν.

Κεφάλαιον β'. Διάταξις τῆς ἀγρυπνίας, ἤτοι τοῦ μεγάλου ἑσπερινοῦ καὶ τοῦ ὄρθρου τῆς κυριακῆς.

Μετὰ τὸ δῦναι τὸν ἥλιον, εἴπερ ἡ νὺξ εἴη μικρά, εἰδ' οὔ, μετὰ τὴν α' καὶ β' ὥραν τῆς νυκτός, ἀπέρχεται ὁ κανδηλάπτης καὶ ποιεῖ

μετάνοιαν τῷ προεστῶτι, ὃς καὶ ἀνελθὼν κρούει τὰς βαρέας [1]) σχολαίως ἄχρι τῶν ιβ', ψάλλων καὶ τὸν Ἄμωμον (τοῦτο γίνεται [стр. 3) ἀπὸ τῆς ιδ' τοῦ Σεπτεμβρίου μέχρι καὶ τῆς κυριακῆς τῶν Βαΐων, ἐν δὲ ταῖς λοιπαῖς ἀγρυπνίαις χύμα σημαίνει), ὃν καὶ ποιεῖ στάσεις ιβ', ἢ ἀντὶ τοῦ Ἀμώμου, τὸν ν' δωδεκάκις, ὅπερ [2]) ἐπεκράτησε παρὰ τοῖς πλείστοις. Μετὰ δὲ τὴν τῶν βαρέων συμπλήρωσιν σημαίνει τὸν μέγαν σημαντῆρα, ὡς ἔθος, εἶτα τὸ σιδηροῦν, καὶ τοὺς μεγίστους κώδωνας, εἴπερ εἰσίν, εἶτα κατελθών, ἅπτει τὰς κανδήλας, καὶ εὐτρεπίσας τὸν θυμιατόν, τίθησι λαμπάδα μετὰ κηρομανουαλίου ἔμπροσθεν τῶν ἁγίων θυρῶν· ἀναστὰς δὲ ὁ τὴν ἐφημερίαν ἔχων ἱερεύς, καὶ ποιήσας μετάνοιαν τῷ ἡγουμένῳ, ἢ εἰς τὸν τόπον αὐτοῦ, δηλονότι μὴ ἐνδημοῦντος ἐκείνου, ἀπελθών, ποιεῖ μετανοίας γ' ἔμπροσθεν [3]) τοῦ μεγάλου σίγνου καὶ ἀσπάζεται αὐτό, εἶτα ποιεῖ καὶ τοῖς χοροῖς πρὸς μίαν μετάνοιαν, πάντων τῶν ἀδελφῶν καθημένων. Εἰσελθὼν δὲ εἰς τὸ ἅγιον βῆμα καὶ λαβὼν τὸν θυμιατόν, ἵσταται ἐνώπιον τῆς ἁγίας τραπέζης, καὶ βαλὼν θυμίαμα, λέγει καθ' ἑαυτὸν τὴν εὐχὴν τοῦ θυμιάματος, ὁ δὲ κανδηλάπτης ἐκφωνεῖ τὸ Κελεύσατε, γεγονωτέρᾳ τῇ φωνῇ, κρατῶν καὶ τὴν λαμπάδα ἐν τῇ χειρὶ αὐτοῦ. Ὁ δὲ ἱερεύς, θυμιάσας σταυροειδῶς τὴν ἁγίαν τράπεζαν καὶ ὅλον τὸ ἅγιον θυσιαστήριον, ἐξέρχεται [стр. 4) διὰ τῶν ἁγίων θυρῶν, καὶ ποιήσας σταυρὸν μετὰ τοῦ θυμιατοῦ κατέναντι τοῦ ἱλαστηρίου, ἀπέρχεται καὶ θυμιᾷ τὴν εἰκόνα τοῦ ἁγίου, εἶτα τὸν ἡγούμενον καὶ εἰς τοὺς δύο χοροὺς κατὰ τάξιν, τῆς λαμπάδος προπορευομένης αὐτοῦ. Ἐξελθὼν δὲ καὶ εἰς τὸν νάρθηκα καὶ θυμιάσας κἀνταῦθα τοὺς ἀδελφοὺς κατὰ τάξιν, ὑποστρέφει, καὶ εἰσελθὼν ἔσω τῆς βασιλικῆς πύλης, χαράττει σταυρὸν μετὰ θυμιατοῦ [4]) καὶ ἐκφωνεῖ μεγαλοφώνως τὸ Κύριε εὐλόγησον, καὶ θυμιᾷ αὖθις τὸν προεστῶτα, ἢ τὸν τόπον αὐτοῦ, εἶτα τὸν ἅγιον, καὶ εἰσελθὼν εἰς τὸ ἅγιον βῆμα, ἵσταται ἔμπροσθεν τῆς ἁγίας τραπέζης, καὶ ποιεῖ σταυροὺς γ' μετὰ τοῦ θυμιατοῦ, τελευτῶν ἐκφωνεῖ οὕτως· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ, καὶ μετὰ τὸ Ἀμήν, λέγει ὁ ταχθεὶς μοναχὸς τὸ Δεῦτε προσκυνήσωμεν, καὶ τὸν προοιμιακὸν ψαλμόν, ὡς σύνηθες,

---

[1]) Въ рук. Костамон. библ. № 26 (22) съ боку замѣчено: Τοῦτο γίνεται ἀπὸ τῆς τῶν Σεπτεμβρίου ιδ' μέχρι καὶ τῆς κυριακῆς τῶν Βαΐων, ἐν δὲ ταῖς λοιπαῖς ἀγρυπνίαις χύμα σημαίνει. [2]) Ibid. Этого замѣчанія нѣтъ. [3]) ἔμπροσθεν τῆς εἰκόνος τοῦ ἐν τῇ μονῇ σίγνου, καὶ ἀσπάζεται αὐτήν. Εἶτα ποιεῖ εἰς τοὺς χορούς. [4]) Εἰ βούλει ἀκριβέστερον μαθεῖν, ὅπως δεῖ θυμιᾶν, ζήτει τὸ θ' κεφάλαιον τοῦ παρόντος βιβλίου καὶ εὑρήσεις. Подобныя замѣчанія имѣются только въ ркп. Пантел. монастыря.

ἄχρι τοῦ Ἀνοίξαντός σου τὴν χεῖρα. Ὁ δὲ ἱερεὺς μετὰ τοῦ κανδηλάπτου, τοῦ μέλλοντος κανοναρχεῖν, ἐξελθὼν τοῦ ἁγίου θυσιαστηρίου καὶ ποιήσας σὺν αὐτῷ μετάνοιαν κατέναντι τῶν ἁγίων θυρῶν, ὡσαύτως καὶ εἰς τοὺς χοροὺς πρὸς μίαν· ὁ μὲν ἱερεὺς ἀπέρχεται εἰς τὸ στασίδιον αὐτοῦ, ὁ δὲ κανονάρχης, λαβὼν τὸ βιβλίον [**стр. 5**) ἀπὸ τοῦ ἀναλογίου, τὸ περιέχον τοὺς τοῦ ψαλμοῦ στίχους, ἀπέρχεται ἐν τῷ μέσῳ τοῦ ναοῦ εἰς τόπον καὶ ἵσταται ἐκεῖ, ἵνα ᾖ ἕτοιμος, μετὰ τὸ Ἀνοίξαντός σου τὴν χεῖρα, κανοναρχεῖν. Ὅταν οὖν ἔλθῃ ὁ τὸν προοιμιακὸν λέγων εἰς τὸ Ἀνοίξαντός σου, ὁ μὲν ἵσταται αὐτοῦ, ὁ δὲ ἐκκλησιάρχης ποιεῖ μετάνοιαν τῷ ἡγουμένῳ καὶ ψάλλει τοῦτο μετὰ τοῦ συνήθους μέλους αὐτοῦ, καὶ οὕτω ψάλλονται οἱ ἑξῆς στίχοι τοῦ ψαλμοῦ μέχρι τέλους, οὐκ ἐν τῷ μέσῳ παρ' ἀμφοτέρων τῶν μερῶν, ἀλλ' ἰδίᾳ καὶ ἰδίᾳ ἀνὰ μέρος. Πληρουμένου δὲ τοῦ ψαλμοῦ, ψάλλεται ὁ τελευταῖος στίχος, ἤτοι τὸ Πάντα ἐν σοφίᾳ ἐποίησας, ἐν τῷ μέσῳ παρ' ἀμφοτέρων τῶν μερῶν [1]), ὁμοίως καὶ τὸ Ἀλληλούια, ἀλληλούια, ἀλληλούια, Δόξα σοι ὁ Θεός. Τούτου δὲ ψαλλομένου, ὁ ἱερεύς, ἀπελθών, λέγει τὰς εὐχὰς τοῦ λυχνικοῦ, ἱστάμενος ἀσκεπὴς ἔμπροσθεν τῶν ἁγίων θυρῶν, καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ ψαλμοῦ ποιεῖ συναπτὴν μεγάλην. Εἶτα στιχολογοῦμεν τὸ Μακάριος ἀνὴρ εἰς ἦχον πλ. δ'· ἄρχεται δὲ τούτου οὐχ ὁ ἐναρχόμενος χορός, ἀλλ' ὁ ἕτερος, τοῦ δὲ β' ψαλμοῦ ὁ ἐναρχόμενος χορός [2]). Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ α' ἀντιφώνου, ἤτοι τοῦ γ' ψαλμοῦ, ποιεῖ ὁ κανδηλάπτης μετάνοιαν καὶ ἔρχεται εἰς τὸ ἀναλογεῖον, καὶ στιχολογεῖ τὰ ἐφεξῆς δύο ἀντίφωνα χύμα, ὧν πληρωθέντων, [**стр. 6**) ποιεῖ ὁ ἱερεὺς μικρὰν συναπτήν. Καὶ μετὰ τὴν ἐκφώνησιν ψάλλομεν τὸ Κύριε ἐκέκραξα εἰς τὸν ἦχον τῆς Ὀκτωήχου, τοῦ κανονάρχου ποιήσαντος μετάνοιαν εἰς τὸν χορόν, τὸν ποιοῦντα τὴν ἔναρξιν, καὶ τὸν ἦχον ἐκφωνήσαντος, εἶτα θυμιᾷ ὁ ἱερεύς, ἢ ὁ διάκονος, ὡς ἔθος ἐστίν, ἡμεῖς δὲ στιχολογοῦντες τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ι' ἀπὸ τοῦ Ἐξάγαγε, καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα γ' τοῦ ἤχου, ἀνατολικὰ δ' καὶ τοῦ Μηναίου γ', Δόξα, ἰδιόμελον τοῦ κατὰ τὴν ἡμέραν ἁγίου, εἴπερ ἔχει, εἰδ' οὔ, Δόξα καὶ νῦν θεοτοκίον τὸ α' τοῦ ἤχου, καὶ γίνεται εἴσοδος [3]). Ἰστέον, ὅτι πάντοτε εἰς τὸν στίχον, τὸ Ὅτι ἐκραταιώθη, ποιεῖ ὁ κανονάρχης μετάνοιαν, καὶ ἀπελθών, ἵστα-

---

[1]) χορῶν, ὁμοίως καὶ τὸ Ἀλληλούια, ἀλληλούια δόξα σοι ὁ Θεός. [2]) Τοῦ δὲ β' ψαλμοῦ ὁ ἐναρχόμενος χορὸς καὶ γ' πάλιν ὁ ἕτερος χορός. Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ α' ἀντιφώνου . . . [3]) Ζήτει τὸ η' κεφ. τοῦ βιβλίου καὶ εὑρήσεις περὶ τούτου ἀκριβέστερον ркп. Пант.

ται ἐν τῷ μέσῳ τοῦ ναοῦ ἀσκεπής [1]), καὶ ψάλλεται τὸ τελευταῖον στιχηρὸν παρ' ἀμφοτέρων τῶν χορῶν γεγονωτέρᾳ τῇ φωνῇ, ὁμοίως καὶ τὸ Δόξα καὶ νῦν, ἔτι γεγονωτέρᾳ. Ὅτε δὲ μέλλει γε[ν]έσθαι εἴσοδος εἰς τὸν αὐτὸν στίχον καὶ τὸν τελευταῖον, ὡς εἴρηται, στίχον, ὁ ἱερεὺς καὶ ὁ διάκονος, ἀπελθόντες, ποιοῦσι μετάνοιαν τῷ προεστῶτι, ἢ εἰς τὸν τόπον αὐτοῦ, καὶ εἰσελθόντες ἐν τῷ διακονικῷ, ἀλλάσσουσι τὴν ἱερατικὴν στολήν, καὶ ἐξελθόντες ἐν τῷ ναῷ, εἰσοδεύουσι μετὰ θυμιατοῦ, τῶν λαμπάδων προπορευομένων αὐτῶν [**стр. 7**). Οἱ δὲ ἀδελφοὶ πάντες ἀποσκεπάζονται, λέγοντος τοῦ ἱερέως τὴν εὐχὴν τῆς εἰσόδου, μετὰ δὲ τὸ τέλος τοῦ θεοτοκίου, χαράττει σταυρὸν ὁ διάκονος μετὰ τοῦ θυμιατοῦ, λέγων· Σοφία, ὀρθοί. Καὶ ὁ ταχθεὶς μοναχὸς τὸ Φῶς ἱλαρόν. Εἶτα ὁ κανονάρχης, ποιήσας μετάνοιαν τῷ προεστῶτι, ψάλλει τὸ τῆς ἡμέρας προκείμενον μέσον τοῦ ναοῦ ἀσκεπής, μετὰ τῶν δύο στίχων αὐτοῦ, μετὰ δὲ τὸν τελευταῖον στίχον ψάλλεται τὸ προκείμενον, ἑνουμένων τῶν δύο χορῶν, μετὰ τοὺς συνήθους μέλους τῆς δοχῆς. Ὁ δὲ κανονάρχης, στραφεὶς πρὸς δυσμάς, καὶ ποιήσας μετάνοιαν εἰς τοὺς χορούς, ἀπέρχεται εἰς τὸν τόπον αὐτοῦ. Μετὰ δὲ τὸ προκείμενον λέγει ὁ διάκονος· Εἴπωμεν πάντες, καὶ ποιεῖ τὴν συνήθη ἐκτενῆ. Καὶ ὁ ταχθεὶς μοναχὸς τὸ Καταξίωσον, Κύριε. Εἶτα πάλιν ὁ διάκονος· Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν καὶ τὰ λοιπὰ τῆς συναπτῆς, καὶ ἐκφωνεῖ ὁ ἱερεύς· Ὅτι ἀγαθός, Εἰρήνη πᾶσιν, ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν, καὶ λέγει ὁ ἱερεὺς τὴν εὐχὴν τῆς κεφαλοκλισίας μυστικῶς καὶ ἐκφωνεῖ· Εἴη τὸ κράτος. Εἶθ' οὕτως ψάλλεται ἰδιόμελον τοῦ κατὰ τὴν μονὴν ἁγίου εἰς τὸν ἦχον τῆς ἡμέρας, λιτανεύοντες [**стр. 8**) ἐν τῷ νάρθηκι, τοῦ ἱερέως καὶ τοῦ διακόνου προπορευομένων [2]) καὶ λαμπάδων. Εἶτα καὶ στιχηρὰ τοῦ ἤχου, θεοτοκία δογματικά, ἢ τοῦ κατὰ τὴν ἡμέραν ἁγίου ἰδιόμελα, εἴπερ ἐστιν ἑορταζόμενος καὶ ἔχει πλείονας στίχους, ἰδιόμελα, Δόξα καὶ νῦν, θεοτοκίον δογματικόν. Ὁ δὲ ἱερεύς, ἢ ὁ διάκονος θυμιᾷ, ψαλλομένων τῶν ἰδιομέλων στιχηρῶν. Εἶτα ἐκφωνεῖ εἰς ἐπήκοον πάντων· Σῶσον, ὁ Θεός, τὸν λαόν σου [3]), καὶ τὰ λοιπά, καὶ ἡμεῖς τὸ Κύριε ἐλέησον μ' (ταῦτα μὲν ἐν τῷ τοῦ χειμῶνος καιρῷ, ὅτε μεγάλαι εἰσὶν αἱ νύκτες, ὁμοίως τελεῖται παρὰ πάντων, ἐν δὲ τῷ τοῦ θέρους καιρῷ μετὰ τὸ εἰπεῖν τὸ Κύριε ἐλέησον μεγαλοφώνως γ', ὁ μὲν διά-

---

[1]) Слова ἀσκεπής — нѣтъ. [2]) προπορευομένων μετὰ θυμιατοῦ καὶ λαμπάδων.
[3]) μεταξὺ δὲ τῶν ἄλλων ἁγίων λέγει καὶ τὸ ὄνομα τοῦ ἁγίου τῆς μονῆς καὶ τοῦ κατὰ τὴν ἡμέραν ἁγίου, εἴπερ εἴη ἑορταζόμενος.

κονος λέγει ἀδιαστάτως τὰ λοιπὰ τῶν αἰτήσεων, οἱ δὲ ἀδιακόπως τὸ Κύριε ἐλέησον), τοῦ δὲ διακόνου τὰς αἰτήσεις πληρώσαντος, λέγομεν καὶ αὖθις μεγαλοφώνως τὸ Κύριε ἐλέησον γ', καὶ εὐθὺς ἐκφωνεῖ ὁ ἱεροδιάκονος· Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν καὶ τὰ λοιπά, τὸ Κύριε ἐλέησον γ'. Ἔτι δεόμεθα ὑπὲρ ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ δούλου τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν (τοῦδε) καὶ πάσης ψυχῆς χριστιανῶν [**стр. 9**) καὶ τὰ λοιπά. Καὶ μετὰ τὸ τέλος ἐκφωνεῖ ὁ ἱερεύς· Ἐπάκουσον ἡμῶν ὁ Θεός, ὁ ἱερεύς· Εἰρήνη πᾶσιν, ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν, καὶ ὁ ἱερεὺς στραφεὶς πρὸς δυσμὰς λέγει τὴν εὐχὴν μεγαλοφώνως· Δέσποτα, Κύριε, Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, πρεσβείαις καὶ τὰ λοιπά. Καὶ μετὰ τὸ τέλος εὐθέως ψάλλονται, καὶ μετὰ τοῦτο ἀναῤῥοοῦμεν μικρὸν τὴν φωνήν, καὶ ψάλλομεν καὶ ἕτερα στιχηρὰ ἐκ τῶν κατὰ α', β', γ', ἡνωμένων τῶν δύο χορῶν, ἐπᾴδοντες καὶ τοὺς στίχους αὐτῶν τὸ Ὁ Κύριος ἐβασίλευσεν, στίχος β'· Καὶ γὰρ ἐστερέωσε, στίχος· Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Δόξα ἰδιόμελλον τοῦ κατὰ τὴν ἡμέραν ἁγίου, εἴπερ ἔχει, Καὶ νῦν θεοτοκίον τοῦ ἀλφαβήτου τὸ εἰς τὸν ἦχον [1]) τῶν στιχηρῶν, Νῦν ἀπολύεις, Τρισάγιον· μετὰ δὲ τὸ Πάτερ ἡμῶν ἐκφωνεῖ ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία [2]), καὶ ἡμεῖς τὸ ἀπολυτίκιον ἦχος πλ. α'· Θεοτόκε Παρθένε, λέγοντες αὐτὸ ἐκ γ'. Εἰ δὲ ἐστὶν ὁ ἅγιος ἑορταζόμενος, λέγομεν τὸ τροπάριον τοῦ ἁγίου δὶς καὶ τὸ Θεοτόκε Παρθένε ἅπαξ. Ὁ δὲ κελαρίτης ἐν τῷ τὴν εἰς τὸν νάρθηκα ἐκτελεῖσθαι λιτήν, προτίθησιν ἐν τῷ αναλογίῳ κατὰ τὸ μέσον τοῦ ναοῦ [**стр. 10**) ἄρτους ε', ἐξ ὧν προσφέρομεν ἐν τῷ ναῷ, οὓς καὶ προσφορὰς καλεῖν ἔθος, ὡσαύτως καὶ στάμνον μεστὴν οἴνου τοῦ χρείττονος [3]), πάντοτε καὶ ἔλαιον, καὶ ἅπτουσι καὶ δύο λαμπάδας ἔνθεν κἀκεῖθεν τοῦ ἀναλογίου. Καὶ ὁ μὲν διάκονος ἐν τῷ λέγειν ἡμᾶς τὸ τελευταῖον ἀπολυτίκιον θυμιᾷ τοὺς ἄρτους κύκλωθεν, καὶ ἀπὸ τῶν τεσσάρων δηλονότι μερῶν, εἶτα τὴν ἐν τῷ στασιδίῳ τοῦ ἡγουμένου ἁγίαν εἰκόνα, καὶ αὐτὸν τὸν προεστῶτα, καὶ πάλιν τοὺς ἄρτους ἀπὸ τοῦ ἔμπροσθεν μέρους. Ὁ δὲ ἱερεὺς μετὰ τὸ τέλος τοῦ ἀπολυτικίου, λαβὼν ἄρτον ἕνα ἐπὶ χεῖρας καὶ τυπώσας ἐν αὐτῷ καὶ δι' αὐτοῦ σταυρόν, εἰπόντος τοῦ διακόνου· Τοῦ Κυρίου δεη-

---

1) Εἰς τὸν αὐτὸν ἦχον. Εἰδ' οὐ Δόξα καὶ νῦν θεοτοκίον τοῦ αβ, τὸ εἰς τον ἦχον τῶν στιχηρῶν· Νῦν ἀπολύεις . . 2) Εἰδ' ἔστι Δεσποτική, ἤτοι Θεομητορικὴ ἑορτὴ λέγεται τὸ τροπάριον τῆς ἑορτῆς ἐκ γ', λέγω μόνον Θεομητορική· ἐν γὰρ ταῖς Δεσποτικαῖς πάντα καταλιμπάνονται. 3) τίθησιν.

θῶμεν, ἐπεύχεται ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην μεγαλοφώνως, τοῦ διακόνου τὸ ὠράριον τῇ δεξιᾷ χειρὶ κατέχοντος· Κύριε, Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ εὐλογήσας τοὺς πέντε ἄρτους ἐν τῇ ἐρήμῳ καὶ τὰ ἑξῆς. Καὶ μετὰ τὸ Ἀμήν, ὁ ἱερεὺς καὶ ὁ διάκονος, ποιήσαντες μετάνοιαν τῷ ἡγουμένῳ, εἰς τὸ βῆμα, ἢ εἰς τὸν τόπον αὐτῶν, ἀπέρχονται, ἡμεῖς δὲ λέγομεν τὸν λγ' ψαλμὸν ἕως τοῦ μέσου, ἤγουν τὸ Εὐλογήσω τὸν Κύριον, ἕως τοῦ Οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ, ὁ δὲ ἱερεὺς ἀπελθών, ἵσταται [**стр. 11**) ἔμπροσθεν τῶν ἁγίων θυρῶν, βλέπων πρὸς δυσμάς, μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ ψαλμοῦ ἐπεύχεται, λέγων· Εὐλογία Κυρίου ἐφ' ὑμᾶς, καὶ εὐθέως τίθεται ἀνάγνωσις εἰς τὸν Πραξαπόστολον. Ἰστέον γάρ, ὅτι ἀπὸ τῆς Κυριακῆς τοῦ Πάσχα ἄχρι τῆς Πεντηκοστῆς εἰς τὴν τοιαύτην ἀνάγνωσιν, λέγω δὲ τὴν μετὰ τὸν μέγαν ἑσπερινόν, αἱ Πράξεις τῶν ἀποστόλων ἀναγινώσκονται, εἰς δὲ τὰς λοιπὰς κυριακὰς ὅλου τοῦ χρόνου αἱ ἑπτὰ καθολικαὶ ἐπιστολαί, καὶ αἱ ιδ' τοῦ ἁγίου ἀποστόλου Παύλου, καὶ ἡ Ἀποκάλυψις τοῦ Θεολόγου [1]). Ὁ δὲ κελαρίτης πρὸ τοῦ τεθῆναι τὴν ἀνάγνωσιν, διακλάσας τοὺς ἄρτους, ἐπιδίδωσι τοῖς ἀδελφοῖς, ὡσαύτως καὶ ἀπὸ ἑνὸς ποτηρίου οἴνου διὰ τὸν κόπον τῆς ἀγρυπνίας, ὥσπερ ἐξ ἀρχῆς παρελάβομεν παρὰ τῶν ἁγίων πατέρων. Οἱ οὖν διακονηταί, ποιήσαντες [2]) μετάνοιαν ἔμπροσθεν τῶν ἁγίων θυρῶν καὶ εἰς τοὺς χοροὺς πρὸς α', ἐξέρχονται. Ἀπὸ δὲ τῆς ὥρας ἐκείνης, οὐκ ἔχει τις ἐξουσίαν τροφῆς χρήσασθαι, ἢ πόσεως, διὰ τὴν μετάληψιν τῶν ἀχράντων μυστηρίων. Ὁ δὲ εὐλογηθεὶς ἄρτος ἔχει χαρίσματα διάφορα, ἤγουν παύει πυρετούς, πινόμενος μετὰ ὕδατος, φρίκην διώκει, καὶ πᾶσαν μαλακίαν ἴᾶται [**стр. 12**), πρὸς δὲ τούτοις καὶ σῆτας ἀπὸ τῶν γεννημάτων ἐλαύνει. Πλὴν εἰδέναι χρή, ὅτι οὐκ ἀεὶ γίνεται ἀρτοκλασία, ἀλλ' ἐν μόνῳ τῷ τοῦ χειμῶνος καιρῷ, ὅτε μεγάλαι εἰσὶν αἱ νύκτες, ἤγουν ἀπὸ τῆς Ὑψώσεως τοῦ τιμίου σταυροῦ ἄχρι τοῦ μεγάλου Πάσχα, παρ' ὅσον δηλονότι καιρὸν καὶ τὰς βαρέας ἐν ταῖς ἀγρυπνίαις βραδέως [3]) σημαίνει. Μετὰ δὲ τὴν ἀνάγνωσιν τοῦ Πραξαποστόλου, ὁ μὲν κανδηλάπτης ἀπέρχεται καὶ σημαίνει τὸ μέγα σήμαντρον καὶ τοὺς κώδωνας. Τοῦ δὲ ἱερέως εὐλογήσαντος, ἄρχεται ὁ ταχθεὶς μοναχὸς τοῦ ἑξαψάλμου. Ὅταν δὲ ἄρξηται τοῦ ψαλμοῦ· Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου,

---

1) Εἰ μὴ τύχειεν ταύταις Δεσποτικὴ ἑορτὴ τότε καὶ ἐν τῇ α' ἀναγνώσει ἐκ τῶν πανηγυρικῶν λόγων τῆς ἑορτῆς ἀναγινώσκομεν. 2) τὴν συνήθη. 3) Слова βραδέως нѣтъ.

ὁ ἱερεὺς ἀπελθών, λέγει τὰς εὐχὰς τοῦ ὄρθρου, ἱστάμενος ἀσκεπὴς ἔμπροσθεν τῶν ἁγίων θυρῶν. Μετὰ δὲ τέλος τοῦ ἑξαψάλμου ποιεῖ συναπτὴν μεγάλην καὶ ἐκφώνησιν, καὶ εὐθέως ἄρχεται τὸ Θεὸς Κύριος εἰς τὸν ἦχον τῆς Ὀκτωήχου, καὶ ἡμεῖς αὐτὸ τετράκις, ὁ δὲ ἱερεὺς λέγει τοὺς στίχους αὐτοῦ καὶ ψάλλομεν τὸ ἀναστάσιμον τροπάριον τοῦ ἤχου, δευτεροῦντες αὐτό, εἶτα τοῦ κατὰ τὴν ἡμέραν ἁγίου, εἴπερ ἐστὶν ἑορταζόμενος, ἅπαξ, καὶ θεοτοκίον [1]) τοῦ ἤχου τὸ α', μετὰ δὲ τοῦτο στιχολογοῦμεν τὸ δεύτερον κάθισμα, ἤτοι τὸ Ἐξομολογήσομαί σοι, Κύριε [**стр 13**). Καὶ μετὰ τὸ τέλος αὐτοῦ συναπτὴ μικρὰ παρὰ τοῦ ἱερέως, καὶ λέγομεν καθίσματα ἀναστάσιμα τῆς Ὀκτωήχου, εἰ μὲν εἰσὶ δύο πρὸς μίαν, εἰ δὲ ἓν δευτεροῦντες αὐτό, Δόξα καὶ νῦν ὁ κανονάρχης, καὶ ἡμεῖς θεοτοκίον. Πλὴν ἰστέον, ὅτι εἰ μὴ εἴπωμεν τὸ α' θεοτοκίον τοῦ ἤχου εἰς τὸ Θεὸς Κύριος, ἐνταῦθα μετὰ τὴν πρώτην στιχολογίαν τοῦτο λέγομεν, εἰ δὲ εἴπωμεν αὐτὸ ἐκεῖσε, λέγομεν ἐνταῦθα ἕτερον τὸ ἐν τοῖς ἀναστασίμοις καθίσμασι συντεταγμένον, καὶ γίνεται ἀνάγνωσις, καὶ πάλιν στιχολογοῦμεν κάθισμα α' τὸ Ἀγαπήσω σε, Κύριε. Μετὰ δὲ τὸ τέλος αὐτοῦ μικρὰ συναπτὴ καὶ καθίσματα ἀναστάσιμα β', Δόξα καὶ νῦν θεοτοκίον, καὶ ἀνάγνωσις, εἶτα στιχολογοῦμεν τὸν Ἄμωμον εἰς στάσεις γ', καὶ μετὰ τὸ τέλος τοῦ Ἀμώμου τροπάρια ἀναστάσιμα εἰς ἦχον πλ. α'· Τῶν ἀγγέλων ὁ δῆμος καὶ τὰ λοιπά, λέγοντες καθ' ἕκαστον αὐτῶν στίχους· Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Εἰς τὸ τριαδικὸν Δόξα, καὶ εἰς τὸ θεοτοκίον Καὶ νῦν, εἶτα Ἀλληλούια [2]), ἀλληλούια, ἀλληλούια, δόξα σοι ὁ Θεὸς εἰς τὸν αὐτὸν ἦχον. Καὶ γίνεται μικρὰ συναπτὴ παρὰ τοῦ ἱερέως, καὶ εὐθέως ἡ ὑπακοὴ τοῦ ἤχου, καὶ ἀνάγνωσις, εἶτα οἱ ἀναβαθμοὶ τοῦ ἤχου, ἐν οἷς ἀπέρχεται ὁ κανδηλάπτης καὶ σημαίνει τὸ σιδηροῦν [**стр. 14**). Προκείμενον ἀναστάσιμον τοῦ ἤχου καὶ ἐκφωνεῖ ὁ ἱερεύς· Ὅτι ἅγιος εἶ ὁ Θεός, τὸ Πᾶσα πνοὴ εἰς τὸν ἦχον τῆς Ὀκτωήχου, στίχος· Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ. Καὶ λέγει ὁ διάκονος· Ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς, Σοφία, ὀρθοί, ἀκούσωμεν, καὶ ὁ ἱερεὺς τὸ ἑωθινὸν εὐαγγέλιον τοῦ ἐνορδίνου, εἶθ' οὕτω τὸ Ἀνάστασιν Χριστοῦ θεασάμενοι, ὁ ν' μετὰ μέλους εἰς ἦχον β'. Ὁ δὲ ἱερεύς, λαβὼν τὸ ἅγιον Εὐαγγέλιον ἀνὰ χεῖρας καὶ ἐξελθὼν διὰ τῶν ἁγίων θυρῶν, τοῦ διακόνου μετὰ λαμπάδος προπορευομένου, ἀπέρχεται καὶ

---

[1]) Καὶ θεοτοκίον τὸ α' τοῦ αὐτοῦ ἤχου, εἰ δ' οὔ, τὸ θεοτοκίον τὸ α' τοῦ ἤχου μετὰ δὲ τοῦτο. . . [2]) Слово Ἀλληλούια написано дважды.

ἵσταται ἐν τῷ μέσῳ τοῦ ναοῦ, καὶ ἀπέρχεται ὁ καθηγούμενος, καὶ ἀσπάζεται τὸ ἅγιον Εὐαγγέλιον, ποιῶν πρὸ τοῦ ἀσπάσασθαι μετάνοιαν μίαν, ὡσαύτως καὶ μετὰ τὸ ἀσπάσασθαι, εἶτα καὶ εἰς τοὺς χοροὺς πρὸς μίαν, καὶ καθ' ἑξῆς οἱ ἀδελφοὶ ἀφ' ἑκατέρου χοροῦ δύο, δύο ποιοῦντες ὁμοίως· ἀλλὰ δὴ καὶ οἱ ἐν τῷ νάρθηκι. Μετὰ δὲ τὸ τέλος τοῦ ν' λέγει ὁ ἐναρχόμενος χορὸς Δόξα [1]), Ταῖς τῶν ἀποστόλων, Καὶ νῦν Ταῖς τῆς Θεοτόκου εἰς ἦχον β', εἶτα στίχος εἰς ἦχον πλ. β', ὁμοῦ οἱ δύο χοροί· Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ ψάλλομεν στιχηρὸν ἀναστάσιμον· Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου. Εἶτα λέγει ὁ διάκονος· **[стр. 15)** Σῶσον, ὁ Θεός, τὸν λαόν σου, τὸ Κύριε ἐλέησον ιβ', καὶ ἐκφωνεῖ ὁ ἱερεύς· Ἐλέει καὶ οἰκτιρμοῖς, καὶ ἀρχόμεθα τῶν κανόνων, ἐν ᾧ ὁ διάκονος, ἐξελθών, θυμιᾷ, ὡς σύνηθες· ἅπτουσι δὲ καὶ τὰ κηρία πάντα ἀπὸ τῶν ἀναβαθμῶν ἄχρι τῆς συμπληρώσεως τῆς γ' ᾠδῆς. Ψάλλομεν οὖν ἀναστασίμους κανόνας δύο, τὸν μὲν πρῶτον μετὰ τῶν εἱρμῶν εἰς τέσσαρα· ἔχει γὰρ ἑκάστη ᾠδὴ τροπάρια γ', καὶ λέγομεν τοὺς εἱρμοὺς ἅπαξ καὶ τὸ ἓν τροπάριον ἄστιχον, εἰς δὲ τὰ [2]) β' τροπάρια στίχους β', ἀρχομένων τῶν στίχων ἀπ' ἀρχῆς· τὸ δὲ Τῷ Κυρίῳ ᾄσωμεν οὐ λέγομεν οὕτως, ποιοῦντες ἐν ταῖς Δεσποτικαῖς ἑορταῖς καὶ ἐν πάσαις ταῖς ἑορτασίμοις ἡμέραις· τὸν δὲ δεύτερον κανόνα εἰς δ', τῆς Θεοτόκου εἰς δύο, καὶ τοῦ ἁγίου τοῦ ἐν τῷ Μηναίῳ εἰς δ', ὁμοῦ ιδ'. Ἰστέον δέ, ὅτι, εἰ ἑορτάζεται ὁ ἅγιος τοῦ Μηναίου εἰς η', καταλιμπάνεται ὁ σταυροαναστάσιμος κανὼν τῆς Ὀκτωήχου, ἤτοι ὁ β'. Τὸ αὐτὸ γίνεται καὶ εἴπερ εἰσὶν ἐν τῷ Μηναίῳ δύο ἅγιοι, ἢ προεόρτια, ἢ μεθέορτα, εἰ δὲ ἑορτάζεται εἰς ς', λέγομεν τὸν σταυροαναστάσιμον εἰς δύο. Καταβασίας δὲ λέγομεν, ἢ τοὺς εἱρμοὺς τῆς ἐγγιζούσης Δεσποτικῆς ἑορτῆς, ἢ Ἀνοίξω τὸ στόμα μου. Ἀπὸ γ' ᾠδῆς κάθισμα τοῦ Μηναίου, Δόξα καὶ νῦν θεοτοκίον ὅμοιον ἐγκωμιαστικόν· εἰ δὲ ἑορτάζεται **[стр. 16)** ὁ ἅγιος, Δόξα πάλιν τὸ τοῦ ἁγίου, καὶ νῦν θεοτοκίον. Πλὴν ἰστέον, ὅτι ἀεὶ τὸ Δόξα καὶ νῦν ἐν τοῖς καθίσμασιν ὁ κανονάρχης λέγει ἐν τῷ ἀναλογίῳ. Ἀφ' ἕκτης ᾠδῆς κοντάκιον τοῦ ἁγίου, εἴπερ ἐστὶν ἑορταζόμενος, εἰ δ' οὔ, τῆς Θεοτόκου ἰδιόμελον ἦχος πλ. β'· Προστασία τῶν χριστιανῶν ἀκαταίσχυντε. Εἰδέναι γὰρ χρή, ὅτι ἀναστάσιμα κοντάκια καὶ οἶκοι οὐ λέγονται, εἰ καὶ παρά τισι τῶν βιβλίων εὑρίσκονται. Εἶτα ἀνάγνωσις εἰς τὸ

---

[1]) Δόξα ἦχος β' Ταῖς τῶν ἀποστόλων. Καὶ νῦν, ὁ ἕτερος· Ταῖς τῆς Θεοτόκου. λοιπά.

Συναξάριον, μετὰ δὲ τὴν η′ ᾠδὴν ποιοῦμεν πάντες μετανοίας ἐξίσου ἄχρι τοῦ ἐδάφους, τοῦ δὲ ἱερέως ἀλλάξαντος φαιλόνιον, καὶ εἰπόντος μεγαλοφώνως εἰς ἦχον πλ. β′· Τὴν Θεοτόκον ἐν ὕμνοις μεγαλύνομεν, στιχολογοῦμεν Τὴν τιμιωτέραν ἐν τοῖς ς′ στίχοις τῆς Θεοτόκου· ποιοῦμεν δὲ καὶ καθ' ἕκαστον στίχον, μετὰ τὸ εἰπεῖν Τὴν τιμιωτέραν, ὁ ψάλλων δηλονότι χορὸς μετάνοιαν ἕως γῆς. Ὁ δὲ διάκονος θυμιᾷ, ὡς σύνηθες. Μετὰ δὲ τὴν θ′ ᾠδὴν Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν εἰς τὸν ἦχον τῆς Ὀκτωήχου μετὰ τοῦ στίχου αὐτοῦ, καὶ [1]) λέγομεν τὸ ἀναστάσιμον ἐξαποστειλάριον μετὰ τοῦ θεοτοκίου αὐτοῦ. Εἰ δὲ ἑορτάζεται ὁ ἅγιος, λέγομεν τὸ ἀναστάσιμον, τοῦ ἁγίου καὶ τὸ θεοτοκίον αὐτοῦ. Εἰς τοὺς αἴνους, Πᾶσα πνοή, ἱστῶμεν στίχους ι′ [2]) καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα τῆς Ὀκτωήχου δ′ καὶ ἀνατολικὰ δ′. [**стр. 17**). Λέγομεν δὲ εἰς τὰ δύο ἀνατολικὰ στιχηρὰ καὶ ἑτέρους στίχους β′· Ἀνάστηθι, Κύριε ὁ Θεός μου, καὶ Ἐξομολογήσομαί σοι, Κύριε. Εἰ δὲ ἑορτάζεται ὁ ἅγιος εἰς ς′, καταλιμπάνομεν τὰ γ′ ἀνατολικὰ καὶ λέγομεν τοῦ ἁγίου [3]) δ′, εἶτα Δόξα, τὸ ἑωθινὸν ἰδιόμελον, Καὶ νῦν ἦχος β′· Ὑπερευλογημένη· λέγομεν δὲ τοῦτο χαμηλοτέρᾳ φωνῇ, δοξολογία μεγάλη καὶ τὸ συνημμένον αὐτῇ τελευταῖον Τρισάγιον μετὰ τοῦ συνήθους μέλους καὶ τροπάριον ἀναστάσιμον ἓν ἀπὸ τῶν δύο, ἢ Σήμερον σωτηρία τῷ κόσμῳ, ἢ Ἀναστὰς ἐκ τοῦ μνήματος. Ἰστέον, ὅτι τὰ τοιαῦτα β′ ἀναστάσιμα τροπάρια λέγονται κατὰ κυριακὴν ἓν πρὸς ἕν, ἤγουν εἰς μὲν τὸν α′ ἦχον, τὸν γ′, τὸν πλ. α′ καὶ τὸν βαρὺν τὸ Σήμερον σωτηρία, εἰς δὲ τὸν β′ ἦχον, τὸν δ′, τὸν πλ. β′ καὶ πλ. δ′ τὸ Ἀναστὰς ἐκ τοῦ μνήματος. Εἶτα ἐκτενής, καὶ Πληρώσωμεν τὴν ἑωθινήν, ἐκφώνησις· Ὅτι Θεὸς ἐλέους, Εἰρήνη πᾶσι, Τὰς κεφαλὰς ἡμῶν, καὶ ἐκφώνησις· Σὸν γὰρ ἐστὶ τὸ ἐλεεῖν, καὶ ἡ εὐχή· Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν. Εἶθ' οὕτω στερεοῦμεν τοὺς βασιλεῖς, ὡς σύνηθες. Μετὰ δὲ τὴν ἀπόλυσιν ποιοῦμεν λιτὴν ἐν τῷ νάρθηκι, [**стр. 18**) ψάλλοντες στίχους τοῦ ἁγίου τῆς μονῆς, ἐκφωνουμένων καὶ τῶν προγραφεισῶν εὐχῶν διὰ τοῦ ἱερέως, ἤγουν τῶν ἐκτενῶν καὶ τῶν λοιπῶν, εἶτα τὴν εὐχήν· Δέσποτα πολυέλεε, ἡ α′ ὥρα καὶ γίνεται τελεία ἀπόλυσις. Δεῖ δὲ τὸν ἐκκλησιάρχην ἔχειν ἀκρίβειαν εἰς τὴν ψαλμῳδίαν καὶ εἰς τὴν ἀνάγνωσιν, ὅπως, ἡλίου ἀνίσχοντος, γίνηται ἡ ἀπόλυσις.

---

[1]) λέγει τούτους ὁ ἱερεύς, ἢ ὁ διάκονος, τὸ ἀναστάσιμον ἐξαποστειλάριον. [2]) στίχους β′. [3]) καὶ λέγομεν τοῦ ἁγίου στιχηρὰ μετὰ τῶν στίχων αὐτοῦ. Εἰ δὲ ἑορτάζεται εἰς η′, καταλιμπάνομεν καὶ τὰ δύο ἀνατολικὰ καὶ λέγομεν τοῦ ἁγίου δ′, εἶτα Δόξα τὸ σύνηθες. . .

Ἀπὸ δὲ τῆς ἀγρυπνίας οὐ κοιμώμεθα διὰ τὴν μετάληψιν τῶν ἀχράντων μυστηρίων, ἡ δὲ λειτουργία τῆς κυριακῆς ταχύτερον ἐκτελεῖται διὰ τὸν κόπον τῆς ἀγρυπνίας, τὸ δὲ λυχνικὸν βραδύτερον. Ἰστέον δὲ καὶ τοῦτο, ὅτι παρελάβομεν ἐν Παλαιστίνῃ, ὥστε τοὺς ὄρθρους τῆς ὅλης ἑβδομάδος ἀπολύειν ἔτι σκοτίας οὔσης, τὴν δὲ ἀγρυπνίαν ἡλίου ἀνατέλλοντος, ὡς εἴρηται.

Κεφάλαιον ε′ [**стр. 21**). Περὶ τοῦ, ὅπως δεῖ σημαίνειν καθ' ἑκάστην ἡμέραν, ἐν ᾧ καὶ διάταξις τοῦ ἑσπερινοῦ καὶ τοῦ ὄρθρου τῶν ἡμερῶν τῆς ἑβδομάδος, ἐν αἷς ψάλλομεν Ἀλληλούια, καὶ περὶ τῆς α′ ὥρας.

[**стр. 22**). Δεῖ γινώσκειν, πῶς χρὴ σημαίνειν καθ' ἑκάστην ἡμέραν· πρὸ τοῦ λυχνικοῦ σημαίνει ὁ κανδηλάπτης τὸ μικρόν, καὶ συναχθέντες ψάλλομεν ἐν τῷ νάρθηκι τὴν θ′ ὥραν, εἶτα ἀπελθὼν σημαίνει τὸ μέγα καὶ τὸ σιδηροῦν, καὶ εἰσερχόμεθα ἐντὸς τοῦ ναοῦ, καὶ εὐλογήσαντος τοῦ ἱερέως, εἰ μὲν ἐστὶν Ἀλληλούια, ἀρχόμεθα τοῦ Τρισαγίου, ποιοῦντες καὶ μετανοίας. Μετὰ δὲ τὸ Πάτερ ἡμῶν, ἐκφωνεῖ ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν, Κύριε ἐλέησον ιβ′, τὸ Δεῦτε προσκυνήσωμεν γ′ [1]) καὶ μετανοίας γ′. Τοῦ δὲ προοιμιακοῦ λεγομένου, ὁ ἱερεὺς λέγει ἔμπροσθεν τῶν ἁγίων θυρῶν τὰς εὐχὰς τοῦ λυχνικοῦ μυστικῶς. Εἰτα ποιεῖ συναπτὴν μεγάλην, καὶ εὐθέως ἡ στιχολογία τοῦ συνήθους καθίσματος, καὶ ἐν ἑκάστῳ ἀντιφώνῳ εἰς τὸ Ἀλληλούια [2]), ἀλληλούια, ἀλληλούια, δόξα σοι ὁ Θεός, ποιοῦμεν μετανοίας γ′. Εἶτα τὸ Κύριε ἐκέκραξα εἰς τὸν ἦχον τῶν στιχηρῶν τοῦ Μηναίου. Ἱστῶμεν δὲ στίχους ς′, καὶ εἰ μὲν εἰσὶν ἅγιοι β′, ψάλλονται τὰ στιχηρὰ ἀνὰ γ′, εἰ δὲ [3]) γ′, λέγονται τὰ γ′ τοῦ ἁγίου, καὶ γ′ τῆς Θεοτόκου εἰς τὸν αὐτὸν ἦχον, καὶ εἰ μὲν ἔχει ὁ ἅγιος ἰδιόμελον στιχηρόν, λέγομεν αὐτὸ δοξαστικόν, ἑνουμένων τῶν δύο χορῶν, εἰ δὲ μή, Δόξα καὶ νῦν θεοτοκίον προσόμοιον τῆς ἡμέρας, τὸ Φῶς ἱλαρόν, ἀντὶ τοῦ προκειμένου [**стр. 23**) Ἀλληλούια εἰς ἦχον πλ. β′· λέγονται δὲ στίχοι οὗτοι· τῇ β′ ἑσπέρας· Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, τῇ γ′ καὶ τῇ ε′ ἑσπέρας· Καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, τῇ δ′ ἑσπέ-

---

[1]) ἄλλοῦ δὲ τοῦτο γίνεται νῦν οὕτως· ἀλλ' εἴτε Ἀλληλούια ἐστίν, εἴτε καὶ μή, μετὰ τὸν Εὐλογητὸν τοῦ ἱερέως εὐθὺς ὁ ταχθεὶς μοναχὸς λέγει τὸ Δεῦτε προσκυνήσωμεν γ′, καὶ τὸν προοιμιακὸν ψαλμόν, ὡς σύνηθες. Ποιοῦμεν δὲ εἰς τὸ Δεῦτε προσκυνήσωμεν, καὶ εἰς τὸ Ἀλληλούια, ἀλληλούια, ἀλληλούια μετανοίας μικρὰς γ′. [2]) Слово Ἀλληλούια написано дважды. [3]) Εἰ δὲ ἐστὶν εἷς, λέγομεν γ′ τοῦ ἁγίου καὶ γ′ τῆς Θεοτόκου, προσόμοιον εἰς τὸν αὐτὸν ἦχον, καὶ εἰ μὲν ἔχει ὁ ἅγιος. . .

ρας· Καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. Εἶθ' οὕτως ἐν πάσαις ταῖς ἡμέραις στίχος β'· Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Καὶ οἱ ἀδελφοὶ γεγονωτέρᾳ φωνῇ τὸ 'Αλληλούια. Καὶ ὁ κανονάρχης τὸ 'Αλληλούια, καὶ ποιήσας μετάνοιαν ἔμπροσθεν τῶν ἁγίων θυρῶν καὶ ὄπισθεν τοῖς ἀδελφοῖς ἀπέρχεται εἰς τὸ στασίδιον αὐτοῦ, εἶτα τὸ Καταξίωσον καὶ μετανοίας γ', ὁ ἱερεύς· Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν, καὶ τὰ λοιπὰ τῆς συναπτῆς. Μετὰ δὲ τὴν ἐκφώνησιν ἑνούμενοι ψάλλομεν τὰ στιχηρὰ τοῦ στίχου, ἤγουν τῆς 'Οκτωήχου. Λέγομεν δὲ τῇ μὲν κυριακῇ ἑσπέρας κατανυκτικὰ β' καὶ μαρτυρικὸν τὸ α', τῶν τοῦ ἑσπερινοῦ, τῇ δὲ δευτέρᾳ ὡσαύτως κατανυκτικὰ β' καὶ μαρτυρικὸν τὸ β', τῇ γ' ἑσπέρας σταυρώσιμα β' καὶ μαρτυρικὸν τὸ γ', τῇ δ' ἑσπέρας ἀποστολικὰ β' καὶ μαρτυρικὸν τὸ δ', τῇ ε' ἑσπέρας σταυρώσιμα β' καὶ μαρτυρικὸν τὸ α'. Αὖθις στίχους δὲ λέγομεν· Πρὸς σέ, Κύριε, ἦρα [1]) τοὺς ὀφθαλμούς μου, καὶ 'Ελέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, Δόξα καὶ νῦν θεοτοκίον, Νῦν ἀπολύεις, Τρισάγιον καὶ μετανοίας γ'. Μετὰ δὲ τὸ Πάτερ ἡμῶν ἐκφωνεῖ ὁ ἱερεύς [стр. 24)· Ὅτι σοῦ, τροπάρια· Θεοτόκε Παρθένε, ματάνοιαν α', Δόξα, Βαπτιστὰ τοῦ Χριστοῦ, μετάνοιαν α', Καὶ νῦν, Ἱκετεύσατε ὑπὲρ ἡμῶν, μετάνοιαν α', Ὑπὸ τὴν σὴν εὐσπλαγχνίαν, χωρὶς μετανοίας. Λέγομεν δὲ τὰ τροπάρια ταῦτα ἐνταῦθα χύμα καὶ οὐ μετὰ μέλους, τὸ Κύριε ἐλέησον μ', καὶ ἐπεύχεται ὁ ἱερεύς· Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, καὶ λέγομεν ἡμεῖς· 'Επουράνιε βασιλεῦ. Εἶτα ποιοῦμεν μετανοίας μεγάλας γ' καὶ μικρὰς ια', καὶ αὖθις μετάνοιαν α', καὶ εὐθὺς Τρισάγιον, καὶ μετανοίας γ', τὸ Κύριε ἐλέησον ιβ', καί, λεγομένης εὐχῆς, ἀπολυόμεθα. Γίνεται δὲ ἡ συνήθης λιτὴ ἐν τῷ νάρθηκι, καὶ ἡ λοιπὴ ἀκολουθία καὶ τελεία ἀπόλυσις. Οὕτω γίνεται ἡ ἀκολουθία τοῦ λυχνικοῦ, ὅτε ψάλλομεν 'Αλληλούια.

Περὶ τῶν ἀποδείπνων. Μετὰ δὲ τὸ ἐξελθεῖν τῆς τραπέζης, σημαίνει τὸ μικρὸν καὶ ψάλλομεν τὰ ἀπόδειπνα ἀπ' ἀρχῆς ἄχρι τέλους, ποιοῦντες καὶ τὰς ἀποτεταγμένας μετανοίας, καθὼς ἐν τῇ ἁγίᾳ καὶ μεγάλῃ μ' διατέτακται [2]). Μετὰ δὲ τὸ Δόξα ἐν ὑψίστοις Θεῷ, ἀπέρχεται ὁ κανδηλάπτης καὶ σημαίνει τὸ σιδηροῦν, καὶ ψάλλομεν δὲ καὶ κανόνα παρακλητικὸν τῆς ὑπεραγίας Θεοτόκου εἰς τὸν ἦχον τῆς

[1]) ἦρα τὴν ψυχήν μου. [2]) Περὶ τῶν ἀποδείπνων ζήτει κεφάλ. ΙΗ' καὶ εὑρήσεις ἀκριβέστερον.

Ὀκτωήχου. Μετὰ δὲ τὴν ἀπόλυσιν, ἀπελθόντες ἐν τοῖς κελλίοις, ἀναπαυόμεθα.

Περὶ τοῦ ὄρθρου [стр. 25). Εἰς δὲ τὸν ὄρθρον ὁ κανδηλάπτης, ἀπελθὼν καὶ ποιήσας μετάνοιαν τῷ προεστῶτι, ἀπέρχεται καὶ σημαίνει τὸ μικρόν, καὶ συναχθέντες ψάλλομεν ἐν τῇ νάρθηκι, ἢ καὶ ἐντὸς τοῦ ναοῦ τὸ μεσονυκτικὸν μετὰ τῶν μετανοιῶν [1]), εἶτα σημαίνει τὸ μέγα καὶ τὸ σιδηροῦν, καὶ εἰσερχόμεθα ἐντὸς τοῦ ναοῦ. Τοῦ δὲ ἱερέως, ποιήσαντος τὴν συνήθη μετάνοιαν τῷ προεστῶτι καὶ εἰσελθόντος ἐντὸς τοῦ θυσιαστηρίου, καὶ λαβόντος τὸν θυμιατὸν ἀνὰ χεῖρας, σταθέντος τε ἔμπροσθεν τῆς ἁγίας τραπέζης, καὶ τὸν Εὐλογητὸν ἐκφωνήσαντος, ἀρχόμεθα τοῦ ὄρθρου, Τρισάγιον ἄνευ μετανοιῶν. Ὁ δὲ ἱερεύς, θυμιάσας τήν τε ἁγίαν τράπεζαν σταυροειδῶς καὶ ἅπαν τὸ ἱλαστήριον, ἐξέρχεται διὰ τοῦ βορείου κλείτους εἰς τὸν ναόν, καὶ θυμιῶν [2]) τὰς ἁγίας εἰκόνας, ἔρχεται ἔμπροσθεν τῶν ἁγίων θυρῶν, καὶ ἐκφωνεῖ πληρωθέντος δηλονότι τοῦ Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστιν ἡ βασιλεία. Καὶ μετὰ τὸ Ἀμήν, τὸ Κύριε ἐλέησον ιβ', Δεῦτε προσκυνήσωμεν γ', χωρὶς μετανοιῶν, καὶ τοὺς ψαλμούς· Ἐπακούσαι σου Κύριος, Κύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται, Δόξα καὶ νῦν, Τρισάγιον χωρὶς μετανοιῶν. Μετὰ δὲ τὸ Πάτερ ἡμῶν ὁ ἱερεὺς ἐκφωνεῖ· Ὅτι σοῦ ἐστιν. Ὀφείλει δὲ ἔχειν ἀκρίβειαν, ὡσὰν μετὰ τὸ θυμιᾶσαι ἐντὸς τοῦ ναοῦ καὶ [стр. 26) ἐκτὸς εἰς τὸν νάρθηκα ὑποστρέψῃ καὶ εὑρεθῆναι ἐν τῷ μέσῳ τοῦ ναοῦ, ὅτε τὸ Πάτερ ἡμῶν παρ' ἡμῶν πληρωθῇ. Μετὰ δὲ τὴν ἐκφώνησιν, τροπάρια· Σῶσον, Κύριε, τὸν λαόν σου, Δόξα, Ὁ ὑψωθείς, Καὶ νῦν, Προστασία φοβερά. Ὁ δὲ ἱερεὺς ποιεῖ ἐκτενῆ μικρὰν ὑπὲρ τῶν βασιλέων, καὶ ἐκφωνεῖ· Ὅτι ἐλεήμων, καὶ μετὰ τὸ Ἀμήν, θυμιᾷ τὴν ἁγίαν τράπεζαν σταυροειδῶς καὶ ἐκφωνεῖ· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ εὐθὺς ὁ ταχθεὶς μοναχός, ὁ εἰπὼν ἀφ' ἑσπέρας ἐν τῷ λυχνικῷ τὸν προοιμιακὸν ψαλμόν, λέγει καὶ τὸν ἑξάψαλμον, ἀρχόμενος τοῦ Δόξα ἐν ὑψίστοις Θεῷ γ', Κύριε, τὰ χείλη μου ἀνοίξεις, ἐκ β', καὶ τῶν ψαλμῶν. Εἰς δὲ τὴν ἔναρξιν τοῦ πζ' ψαλμοῦ, ἤγουν τὸ Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, ἀπελθὼν ὁ ἱερεὺς λέγει τὰς ἑωθινὰς εὐχὰς ἔμπροσθεν τῶν ἁγίων θυρῶν, ἱστάμενος ἀσκεπής. Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ ἑξαψάλμου, Ἀλληλούια [3]), ἀλληλούια, ἀλλη-

---

[1]) ζήτει αὐτὸ ἐν τῇ Συνόψει τῆς ἁγίας καὶ μεγάλης μ' ἐν κεφαλαίῳ ρκβ [2]) Οὕτω θυμιᾷ ὅλον τὸν ἐνιαυτόν. [3]) Слово Ἀλληλούια дважды.

λούια γ', καὶ μετανοίας γ'. Ὁ δὲ ἱερεὺς ποιεῖ συναπτὴν μεγάλην καὶ ἐκφώνησιν· βῆξαι δὲ ἢ πτῦσαι οὐκ ἔχει τις ἄδειαν ἄχρις ἂν πληρωθῇ ὁ ἑξάψαλμος. Ὁ δὲ ἱερεὺς μετὰ τὸ ἐκφωνῆσαι [1]) ἄρχεται τὸ Ἀλληλούια εἰς τὸν ἦχον τῆς Ὀκτωήχου, καὶ ἡμεῖς ψάλλομεν αὐτό, ὁ δὲ κανονάρχης λέγει καθ' ἕκαστον τοὺς στίχους, τοὺς δὲ στίχους α'· Ἐπὶ τῆς γῆς ἀλήθειαν οὐ μὴ ποιήσει, στίχος β' [стр. 27)· Καὶ νῦν πῦρ τοὺς ὑπεναντίους ἔδεται, στίχος γ'· Πρόσθες αὐτοῖς κακά, στίχος δ'· Οὕτως ἐγεννήθημεν τῷ ἀγαπητῷ σου· καὶ εὐθέως τὰ τριαδικὰ τοῦ ἤχου. Ὁ δὲ ἱερεὺς λέγει εἰς τὸ β', Δόξα, εἰς δὲ τὸ ἕτερον Καὶ νῦν. Εἶτα στιχολογοῦμεν τὰ συνήθη καθίσματα τοῦ Ψαλτηρίου, ποιοῦντες κατὰ ἀντίφωνον εἰς τὸ Ἀλληλούια [2]), ἀλληλούια, ἀλληλούια, δόξα σοι ὁ Θεὸς μετανοίας γ'. Μετὰ δὲ τὴν α' στιχολογίαν λέγομεν καθίσματα τῆς Ὀκτωήχου β'· τῇ μὲν β' καὶ γ' κατανυκτικά, τῇ δὲ δ' καὶ ς' σταυρώσιμα, τῇ δὲ ε' ἀποστολικά, Δόξα καὶ νῦν θεοτοκίον τῆς ἡμέρας, καὶ ἀνάγνωσις· μετὰ δὲ τὴν β' στιχολογίαν ἕτερα καθίσματα τῆς ἡμέρας β', καὶ θεοτοκίον, καὶ πάλιν ἀνάγνωσις, καὶ εὐθέως ὁ ν', καὶ ἀρχόμεθα τῶν κανόνων· στιχολογοῦμεν δὲ τὰς ᾠδάς, λέγοντες· Τῷ Κυρίῳ ᾄσωμεν, καὶ κρατοῦντες στίχους ιδ'· τοὺς μὲν ς' εἰς τὸν α' κανόνα τῆς Ὀκτωήχου, τοὺς δὲ δ' εἰς τὸν β', τοὺς δὲ λοιποὺς δ' εἰς τὸν κανόνα τοῦ Μηναίου. Εἰ δὲ ἔχει τὸ Μηναῖον κανόνας β', καταλιμπάνεται ὁ β' κανὼν τῆς Ὀκτωήχου, ἢ καταλιμπάνομεν ἀπὸ τοῦ α' κανόνος τῆς Ὀκτωήχου τροπάρια β' καὶ ἀπὸ τοῦ ἑτέρου τροπάρια β'· λέγομεν δὲ τῆς Ὀκτωήχου τῇ μὲν β' κατανυκτικὸν καὶ τῶν Ἀσωμάτων, τῇ δὲ γ' κατανυκτικὸν καὶ τοῦ Προδρόμου, τῇ δὲ δ' καὶ ς' σταυρώσιμον καὶ τῆς Θεοτόκου, τῇ ε' τῶν ἀποστόλων καὶ τοῦ ἁγίου Νικολάου. Μετὰ δὲ τὴν γ' ᾠδὴν τὸν εἱρμὸν [стр. 28) τοῦ κανόνος τοῦ Μηναίου, εἶτα μικρὰν συναπτήν, καὶ κάθισμα τοῦ Μηναίου [3]), μετὰ δὲ τὴν ς' ᾠδὴν τὸν εἱρμὸν ὡσαύτως τοῦ Μηναίου, καὶ συναπτὴν μικράν, καὶ κάθισμα μαρτυρικόν· τῇ β' τὸ α', τῇ γ' τὸ β', τῇ δ' τὸ γ', τῇ ε' τὸ δ', τῇ παρασκευῇ πάλιν τὸ α' [4]), Δόξα καὶ νῦν θεοτοκίον, καὶ ἀνάγνωσις εἰς τὸ Συναξάριον τοῦ ἁγίου τῆς ἡμέρας. Μετὰ δὲ τὴν η' ᾠδὴν τὸν εἱρμὸν τοῦ Μηναίου, εἶτα στιχολογοῦμεν τὴν Τιμιωτέραν, ὡς ἐν τῷ ὄρθρῳ τῆς κυριακῆς ἐδηλώθη. Καὶ ὁ ἱερεὺς θυμιᾷ, μετὰ δὲ τὴν θ' ᾠδὴν ὁ εἱρμὸς τοῦ Μηναίου, εἶτα

---

[1]) τοῦτο εὕρηται ὄπισθεν ἐν τοῖς πλείοσι τὸν ἀναγνώστην ποιεῖν. [2]) Ἀλληλούια дважды. [3]) [Δόξα καὶ νῦν θεοτοκίον καὶ ἀνάγνωσις]. [4]) νῦν μόνον τὸ μαρτυρικὸν λέγεται.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς εἰς ἦχον πλ. β' καὶ τὴν Τιμιωτέραν ἅπαξ, εἶθ' οὕτως ἕτερον προσόμοιον τῆς ἡμέρας, ἤγουν τῇ β' τῶν Ἀσωμάτων, τῇ γ' τοῦ Προδρόμου, τῇ δ' καὶ τῇ ς' σταυρώσιμον, τῇ ε' τῶν ἁγίων ἀποστόλων, καὶ εἰ βούλει, τοῦ ἁγίου Νικολάου. Μετὰ δὲ τὸ τῆς ἡμέρας καθ' ἑκάστην προστίθεμεν καὶ τοῦ ἁγίου τῆς μονῆς, καὶ τελευταῖον ἕτερον θεοτοκίον ὅμοιον, εἶτα συναπτὴ μικρά, εἶτα τὸ φωταγωγικὸν τοῦ ἤχου, ἐκ γ'· ἄρχεται δὲ τούτου ὁ ἱερεύς, λέγομεν δὲ εἰς μὲν τὸ α' τῇ μὲν β'· Προστασίαις τῶν Ἀσωμάτων, τῇ γ'· Πρεσβείαις τοῦ Προδρόμου, τῇ δ'· Δυνάμει τοῦ σταυροῦ σου, ὡσαύτως καὶ τῇ ς', τῇ ε'· Πρεσβείαις τῶν ἀποστόλων, εἰς δὲ τὸ β' καθ' ἑκάστην· Πρεσβείαις [стр. 29) τῶν ἁγίων σου, εἰς δὲ τὸ γ' [1]), Πρεσβείαις τῆς Θεοτόκου. Εἶτα στιχολογοῦμεν τοὺς αἴνους εἰς τὸν ἦχον τῆς Ὀκτωήχου καὶ ψάλλοντες οἱ ὅλοι στίχους μετὰ μέλους ἄχρι τέλους, καὶ αὐτοῦ τοῦ Δόξα καὶ νῦν, οὐ μέντοι λέγομεν στιχηρά. Εἶτα ὁ ταχθεὶς μοναχός· Σοὶ δόξα πρέπει, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ τὰ λοιπὰ τῆς δοξολογίας, ἡμεῖς δὲ ποιοῦμεν μετανοίας γ', ἀρχομένου τοῦ Δόξα ἐν ὑψίστοις Θεῷ, μετὰ δὲ τὸ τέλος τῆς δοξολογίας ὁ ἱερεύς, ἀπελθὼν ἔμπροσθεν τῶν ἁγίων θυρῶν, λέγει· Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν, καὶ τὰ λοιπὰ τῆς συναπτῆς· μετὰ δὲ τὴν ἐκφώνησιν, ἑνούμενοι οἱ δύο χοροί, ψάλλομεν τὰ τοῦ στίχου στιχηρά, ἤγουν τὰ τῆς Ὀκτωήχου [2]), Λέγομεν δὲ τῇ μὲν β' κατανυκτικὰ β' καὶ μαρτυρικὸν ἕν, τὸ α' τῶν εἰς τοὺς αἴνους, τῇ γ' κατανυκτικὰ β' καὶ μαρτυρικὸν τὸ β', τῇ δ' καὶ τῇ ς' σταυρώσιμα β' καὶ [3]) τὸ γ', καὶ πρῶτον μαρτυρικόν, τῇ ε' ἀποστολικὰ β' καὶ τὸ δ' μαρτυρικόν· στίχους δὲ λέγομεν· Ἐνεπλήσθημεν τὸ πρωὶ τοῦ ἐλέους σου, καὶ τὸ Καὶ ἔστω ἡ λαμπρότης Κυρίου, Δόξα καὶ νῦν θεοτοκίον, εἶτα Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι, Τρισάγιον καὶ μετανοίας γ'. Μετὰ δὲ τὸ Πάτερ ἡμῶν, ἐκφωνεῖ ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν, τὸ Κύριε ἐλέησον μ' καὶ ἐπεύχεται ὁ ἱερεύς, λέγων· Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, καὶ ἡμεῖς· Ἐπουράνιε βασιλεῦ, μετανοίας μεγάλας γ' καὶ μικρὰς ια', εἶτα πάλιν μετάνοιαν α'.

---

[1]) εἰς δὲ τὸ γ' καθ' ἑκάστην ὁμοίως· Πρεσβείαις τῆς Θεοτόκου. [2]) Ἰστέον, ὡς οὕτως ψάλλεται πάντοτε ὁ ὄρθρος, ἐάν τε Ἀλληλούια ἐστίν, ἐάν τε μή, δίχως μόνον τῶν μετανοιῶν καὶ τῶν καθισμάτων, τῶν μαρτυρικῶν ἐν τῇ ζ' ᾠδῇ· ταῦτα γὰρ ἐν τοῖς καθίσμασι λέγομεν τῆς β' στήλης ἐν τῇ ζ' ᾠδῇ τὸ τῆς ἡμέρας τοῦ ἁγίου κοντάκιον, ἢ μόνον τὸ μαρτυρικὸν λέγομεν, ἐὰν Ἀλληλούια ᾖ. [3]) καὶ μαρτυρικὸν τὸ γ'· τῇ δὲ ε' ἀποστολικὰ β' καὶ μαρτυρικὸν τὸ δ', τῇ παρασκευῇ σταυρώσιμα δύο καὶ μαρτυρικὸν πάλιν τὸ α', στίχους δὲ λέγομεν· Ἐνεπλήσθημεν.

Περὶ τῆς α' ὥρας. Καὶ εὐθὺς τὸ Δεῦτε προσκυνήσωμεν γ', καὶ μετανοίας γ' [стр. 30) καὶ ψάλλομεν τὴν α' ὥραν, τρίψαλμον, εἰς τὰ Ἀλληλούια μετανοίας γ'. Ὁ δὲ κανονάρχης, στὰς ἐν τῷ μέσῳ τοῦ ναοῦ, λέγει· **Τὸ πρωῒ** εἰσάκουσον τῆς φωνῆς μου, καὶ ἡμεῖς τὸ αὐτὸ χύμα, καὶ ἄνευ μέλους, ὁ δὲ λέγει τὸν στίχον· Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε, ποιῶν καὶ τὰς γονυκλισίας, ὡς ἐν τῇ Συνόψει τῆς ἁγίας μ' διατέτακται, Δόξα καὶ νῦν, Τί σε καλέσωμεν [1]), Τρισάγιον καὶ μετανοίας γ', μετὰ δὲ τὸ Πάτερ ἡμῶν, λέγει ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν, καὶ ἡμεῖς τροπάριον· Ταχὺ προκατάλαβε, τὸ Κύριε ἐλέησον μ' καὶ ἡ εὐχή· Ὁ ἐν παντὶ καιρῷ, εἶθ' οὕτως Δόξα καὶ νῦν, Κύριε ἐλέησον γ', τὴν Τιμιωτέραν καὶ μετάνοιαν α', καὶ λέγει ὁ ἱερεύς· Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ ποιοῦμεν μετανοίας μεγάλας γ' καὶ μικρὰς ια', καὶ αὖθις μετάνοιαν μεγάλην α', εἶτα Τρισάγιον καὶ μετανοίας γ', τὸ Πάτερ ἡμῶν, ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν, Κύριε ἐλέησον ιβ', ἡ εὐχή· Χριστὲ τὸ φῶς τὸ ἀληθινόν, καὶ γίνεται ἀπόλυσις καὶ ἡ συνήθης λιτὴ ἐν τῷ νάρθηκι.

Δεῖ δὲ εἰδέναι, ὅτι τῇ κυριακῇ ὀψέ, εἰ τύχοι τῇ β' Ἀλληλούια-οὐδέποτε λέγομεν ἀντὶ τοῦ προκειμένου Ἀλληλούια, ἀλλὰ τὸ τῆς ἡμέρας προκείμενον τὸ Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον. Ὡσαύτως καὶ τῇ παρασκευῇ ἑσπέρας τὸ Ὁ Θεὸς ἀντιλήπτωρ μου εἶ.

Κεφάλ. ιδ' [стр. 42). Περὶ τῆς ἀκολουθίας τοῦ σαββάτου, ὅτε ἐστὶ Θεὸς Κύριος.

Ἰστέον, ὅτι ἡ ἀκολουθία τοῦ σαββάτου, ὅτε τύχοι Θεὸς Κύριος, οὐ μέντοι ἑορτάζεται ὁ ἅγιος εἰς η', οὕτως γίνεται. Ἑσπέρας ἐν τῷ λυχνικῷ, ἤγουν τῇ παρασκευῇ, ψάλλομεν, ὡς σύνηθες, τὸν προοιμιακὸν ψαλμόν, καὶ στιχολογοῦμεν τὰ Πρὸς Κύριον. Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς' καὶ ψάλλομεν τὰ τοῦ ἁγίου προσόμοια εἰς ς', δευτεροῦντες αὐτά, εἰ δὲ εἰσὶν ἕξ, λέγομεν αὐτὰ πρὸς α', Δόξα τοῦ ἁγίου ἰδιόμελον, εἰ ἔχει, Καὶ νῦν θεοτοκίον τὸ α' τοῦ ἤχου, εἰ δ' οὔ, Δόξα καὶ νῦν [2]) θεοτοκίον, τὸ προκείμενον τῆς ἡμέρας, εἰς τὸν στίχον στιχηρὰ μαρτυρικὰ γ' τοῦ ἤχου, τὸ β', τὸ γ', καὶ τὸ δ', τὸ γὰρ πρῶτον καταλιμπάνεται [3]). Λέγομεν δὲ τοὺς συνήθεις στίχους· Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου, Ἐλέησον ἡμᾶς, Κύριε, εἶτα στίχους· Μακάριοι,

---

[1]) Τί σε καλέσωμεν, καὶ μετανοίας γ', Τὰ διαβήματά μου, χύμα καὶ χωρὶς μετανοίας, Τρισάγιον καὶ μετανοίας γ'. Μετὰ δὲ τὸ Πάτερ ἡμῶν. . . [2]) τὸ αὐτό. [3]) προεψάλομεν.

οὓς ἐξελέξω, καὶ νεκρώσιμον τοῦ κυρίου Ἰωάννου τὸ α′ τοῦ αὐτοῦ ἤχου [стр. 43), Δόξα ἰδιόμελον τοῦ ἁγίου, εἰ ἔχει, εἰ δ' οὔ, Δόξα καὶ νῦν θεοτοκίον τῆς ἡμέρας, τὸ Νῦν ἀπολύεις, Τρισάγιον, ἀπολυτίκιον τοῦ ἁγίου, Δόξα καὶ νῦν θεοτοκίον τὸ α′ τοῦ αὐτοῦ ἤχου, ἐκτενὴς καὶ ἀπόλυσις [1]).

Εἰς τὸν ὄρθρον συνήθως τὸν ἑξάψαλμον, εἰς τὸ Θεὸς Κύριος, τροπάριον τοῦ ἁγίου δίς, Δόξα καὶ νῦν, θεοτοκίον τὸ α′ τοῦ αὐτοῦ ἤχου, εἶτα στιχολογοῦμεν τὸ Εἶπεν ὁ Κύριος τῷ κυρίῳ μου, μετὰ δὲ τὴν α′ στιχολογίαν κάθισμα τῆς Ὀκτωήχου, μαρτυρικὸν β′ τὸ β′ καὶ τὸ γ′· τὸ γὰρ α′ καταλιμπάνεται [2]), Δόξα καὶ νῦν θεοτοκίον τὸ α′ τοῦ ἐνορδίνου ἤχου. Τοῦτο δὲ δῆλον, εἰ μὴ ἔτυχεν ὁ ἦχος τοῦ τροπαρίου τοῦ ἁγίου καὶ τῆς Ὀκτωήχου ὁ αὐτός, εἰ γὰρ οὕτως τύχοι, λέγομεν ἐνταῦθα, μετὰ τὴν α′ στιχολογίαν, οὐ τὸ πρῶτον θεοτοκίον τοῦ ἤχου, ἀλλὰ τὸ τῆς ἡμέρας, εἶτα γίνεται ἀνάγνωσις, μεθ' ἣν στιχολογοῦμεν τὸν Ἄμωμον, εἰς στάσεις γ′. Μετὰ δὲ τὸν Ἄμωμον κάθισμα μαρτυρικὸν τὸ δ′ καὶ τὸ νεκρώσιμον, Δόξα καὶ νῦν θεοτοκίον τῆς ἡμέρας, καὶ ἀνάγνωσις, ὁ ν′ καὶ οἱ κανόνες· ὁ κανὼν τοῦ Μηναίου μετὰ τοῦ εἱρμοῦ εἰς ϛ′, τοῦ ἁγίου τῆς μονῆς ὁ εἰς τὸν ἦχον τῆς Ὀκτωήχου εἰς δ′ καὶ τῆς Ὀκτωήχου εἰς δ′, ἀπὸ γ′ ᾠδῆς κάθισμα τοῦ Μηναίου, Δόξα καὶ νῦν θεοτοκίον. Εἰ δὲ ἑορτάζεται ὁ ἅγιος εἰς ϛ′, δὶς λέγεται τὸ κάθισμα [стр. 44) αὐτοῦ, εἶτα ἀνάγνωσις, ἀφ' ἕκτης κοντάκιον τοῦ ἁγίου, εἰ ἔχει, καὶ τὸν οἶκον, εἰ δ' οὔ, κοντάκιον μαρτυρικὸν ἦχος πλ. δ′· Ὡς ἀπαρχὰς τῆς φύσεως [3]), εἰς τὴν θ′ ᾠδὴν στιχολογεῖται Ἡ Τιμιωτέρα· μετὰ δὲ τὴν θ′ ἐξαποστειλάριον τοῦ ἁγίου καὶ θεοτοκίον. Εἰς τοὺς αἴνους, εἰ μὲν ἔχει ὁ ἅγιος στιχηρὰ προσόμοια, ἢ ἰδιόμελα, λέγομεν αὐτά, ψάλλοντες τὸ Αἰνεῖτε τὸν Κύριον εἰς τὸν ἦχον τῶν αὐτῶν στιχηρῶν, ὁμοίως καὶ τοὺς λοιποὺς στίχους, Δόξα, ἰδιόμελον τοῦ ἁγίου, Καὶ νῦν θεοτοκίον τῆς ἡμέρας εἰς τὸν αὐτὸν ἦχον, εἰ δ' οὐκ εἰσὶ στιχηρὰ τοῦ ἁγίου, λέγομεν τοὺς αἴνους εἰς τὸν ἦχον τῆς Ὀκτωήχου ἄχρι τέλους, μετὰ τοῦ Δόξα καὶ νῦν, ἄνευ στίχων, εἶτα Σοὶ δόξα πρέπει καὶ τὰ λοιπὰ τῆς δοξολογίας. Εἰς δὲ τὸν στίχον τῶν αἴνων, στιχηρὰ μαρτυρικὰ τῆς Ὀκτωήχου γ′, τὸ β′, τὸ γ′ καὶ τὸ δ′ μετὰ τῶν συνήθων στίχων, ἤγουν τὸ Ἐνεπλήσθημεν τὸ πρωῒ καὶ τὸ Καὶ ἔστω ἡ λαμπρότης, εἶτα

---

[1]) Ἐκτενὴς καὶ ἀπόλυσις. Εἶτα κρούει ὁ κανδηλάπτης τὸ σιδηροῦν, καὶ συναγόμενοι ἐν τῷ κοιμητηρίῳ, ποιοῦμεν τὴν συνήθη παννυχίδα ὑπὲρ τῶν κεκοιμημένων ἐν Χριστῷ ἀδελφῶν ἡμῶν, εἶτα ψάλλομεν τὸ ἀπόδειπνον. Εἰς τὸν ὄρθρον κτλ. [2]) προεψάλλομεν. [3]) Ὡς ἀπαρχὰς τῆς φύσεως. Εἰ δὲ βούλει τοῦ ἁγίου τῆς μονῆς. Εἰς τὴν θ′ ᾠδήν...

στίχος ἕτερος· Αἱ ψυχαὶ αὐτῶν, καὶ λέγομεν νεκρώσιμον τοῦ κυρίου Ἰωάννου τὸ β', Δόξα, εἰ ἔχει ὁ ἅγιος ἰδιόμελον, εἰ δὲ μή, Δόξα καὶ νῦν θεοτοκίον τῆς ἡμέρας, τὸ Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι, Τρισάγιον, μετὰ τὸ Πάτερ ἡμῶν, τροπάριον τοῦ ἁγίου, Δόξα καὶ νῦν θεοτοκίον, ἐκτενὴς καὶ ἐπεύχεται ὁ ἱερεύς· Ὁ ὢν εὐλογητός, στερεοῦμεν δὲ τοὺς βασιλεῖς, καὶ εὐθέως [стр. 45) συνάπτομεν τὴν α' ὥραν, τρίψαλμον, ἐν ᾗ λέγομεν τροπάριον τοῦ ἁγίου. Μετὰ δὲ τὸ Πάτερ ἡμῶν, εἰ ἔχει ὁ ἅγιος δοξολογίαν, λέγομεν τὸ κοντάκιον αὐτοῦ, εἰ δὲ μή, τοῦ ἁγίου τῆς μονῆς, ἢ μαρτυρικόν, ὁμοίως καὶ ἐν ταῖς λοιπαῖς γ' ὥραις καὶ γίνεται τελεία ἀπόλυσις, καὶ ἡ συνήθης λιτὴ ἐν τῷ νάρθηκι. Εἰς τὴν λειτουργίαν τυπικά, οἱ μακαρισμοὶ τῆς Ὀκτωήχου εἰς ς', καὶ εἰ ἔχει καὶ ὁ ἅγιος ᾠδήν, λέγομεν καὶ ταύτην εἰς δ', προκείμενα, Ἀλληλούια καὶ κοινωνικὸν τοῦ ἁγίου, ἀπόστολος καὶ εὐαγγέλιον πρῶτον τῆς ἡμέρας, εἶτα τοῦ ἁγίου.

Κεφ. ιε'. Περὶ τῆς ἀκολουθίας τοῦ σαββάτου, ὅτε τύχοι Ἀλληλούια.

Εἰ τύχοι ἐν σαββάτῳ Ἀλληλούια, τῇ ς' ἑσπέρας ἐν τῷ λυχνικῷ ψάλλομεν συνήθως τὸν προοιμιακὸν ψαλμόν, μετανοίας μέντοι οὐ ποιοῦμεν καθόλου, εἶτα συναπτὴ μεγάλη παρὰ τοῦ ἱερέως, καὶ στιχολογοῦμεν τὸ Πρὸς Κύριον. Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ς' καὶ ψάλλομεν στιχηρὰ τοῦ Μηναίου γ' καὶ μαρτυρικὰ τῆς Ὀκτωήχου τὸ α', τὸ β' καὶ τὸ γ', Δόξα καὶ νῦν, θεοτοκίον τὸ α' τοῦ ἐνορδίνου ἤχου [1]). Ἀντὶ τοῦ προκειμένου Ἀλληλούια στίχος α'· Μακάριοι, οὓς ἐξελέξω, στίχος β'· Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων [стр. 46). Εἰς τὸν στίχον στιχηρά, μαρτυρικὸν τὸ δ' καὶ τὰ β' νεκρώσιμα τοῦ κυρίου Ἰωάννου Δαμασκηνοῦ· στίχους δὲ λέγομεν· Μακάριοι, οὓς ἐξελέξω, καὶ Αἱ ψυχαὶ αὐτῶν, Δόξα καὶ νῦν, θεοτοκίον τῆς ἡμέρας. Εἰ δὲ τύχουσι β' ἅγιοι, εἰς μὲν [2]) τὸ Κύριε ἐκέκραξα λέγομεν τὰ τούτων προσόμοια ἀνὰ γ', εἰς δὲ τὸν στίχον μαρτυρικὰ τὸ β', τὸ γ' καὶ τὸ δ', καὶ τὸ πρῶτον νεκρώσιμον μετὰ τοῦ στίχου αὐτοῦ, Δόξα, τὸ ἕτερον νεκρώσιμον, Καὶ νῦν θεοτοκίον, τὸ Νῦν ἀπολύεις, Τρισάγιον, ἀπολυτίκιον ἦχος β'· Ἀπόστολοι μάρτυρες, Δόξα, Μνήσθητι Κύριε, Καὶ νῦν, Μήτηρ ἁγία,

---

[1]) Περὶ τούτου ὅρα φύλλα 31. Δόξα καὶ νῦν θεοτοκίον τοῦ α' ἤχου, προκείμενον· Ὁ Θεὸς ἀντιλήπτωρ μου, εἰ δὲ μὴ ἔστιν Ἀλληλούια, στίχος α'· Μακάριοι, οὓς ἐξελέξω. Съ боку противъ словъ: «Ὁ Θεὸς ἀντιλήπτωρ» стоитъ замѣчаніе: ζήτει περὶ τούτου εἰς τὸ τέλος ε' κεφ. [2]) Противъ этихъ словъ съ боку находится замѣчаніе: Εἰ τύχοι μ' οἱ ἅγιοι.

ἐκτενὴς καὶ ἀπόλυσις καὶ ἡ συνήθης λιτὴ ἐν τῷ νάρθηκι. Ἐν τῷ κοιμητηρίῳ ἡ ὑπὲρ τῶν κεκοιμημένων παννυχίς, ὡς δεδήλωται.

Ὄρθρος. Εἰς τὸν ὄρθρον ὁ ἑξάψαλμος, Ἀλληλούϊα εἰς ἦχον β', στίχους δὲ λέγομεν τοὺς συνήθεις, τροπάρια· Ἀπόστολοι μάρτυρες, Δόξα, Μνήσθητι, Κύριε, Καὶ νῦν, Μήτηρ ἁγία, στιχολογία· Εἶπεν ὁ Κύριος τῷ κυρίῳ μου. Μετὰ δὲ τὴν στιχολογίαν καθίσματα μαρτυρικὰ τοῦ ἤχου, τὸ β', τὸ γ' καὶ τὸ δ'. Λέγει δὲ ὁ κανονάρχης εἰς τὸ δ' μαρτυρικὸν στίχον· Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις, εἶτα στίχον ἕτερον· Μακάριοι, οὓς ἐξελέξω, καὶ λέγεται τὸ τοῦ ἤχου νεκρώσιμον, Δόξα καὶ νῦν θεοτοκίον τὸ α' τοῦ ἤχου, ἀνάγνωσις, εἶθ' οὕτως στιχολογοῦμεν τὸν Ἄμωμον εἰς στάσεις β', ἐν ᾧ θυμιᾷ ὁ ἱερεύς [1]). [стр. 47) Εἰς τὸ μέσον τοῦ Ἀμώμου, ἤτοι εἰς τὴν α' στάσιν, λέγομεν τὸν στίχον τὸ Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, ἐκ γ', μετὰ μέλους, καὶ εὐθέως ποιεῖ ὁ ἱερεὺς μικρὰν συναπτὴν ὑπὲρ τῶν κεκοιμημένων. Εἰς δὲ τὸ τέλος τοῦ Ἀμώμου ψάλλομεν τὰ νεκρώσιμα τροπάρια· Τῶν ἁγίων ὁ χορὸς καὶ τὰ λοιπὰ εἰς ἦχον πλ. α', λέγοντες ἐν ἑκάστῳ αὐτῶν· Εὐλογητὸς εἶ, Κύριε, Δόξα τὸ τριαδικόν, καὶ νῦν τὸ θεοτοκίον, εἶτα λέγει ὁ ἱερεύς· Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ, Ἔτι δεόμεθα ὑπὲρ τῶν κεκοιμημένων πατέρων καὶ ἀδελφῶν καὶ τὴν εὐχὴν καὶ τὰ λοιπά, καὶ ἡμεῖς τὸ Κύριε ἐλέησον μ', εἶτα κάθισμα ἦχος πλ. α'· Ἀνάπαυσον, Σωτὴρ ἡμῶν, Δόξα καὶ νῦν θεοτοκίον· Ὁ ἐκ Παρθένου ἀνατείλας, ἀνάγνωσις, ὁ ν', καὶ εὐθέως οἱ κανόνες τοῦ ἁγίου [2]), τοῦ ἐν τῷ Μηναίῳ, μετὰ τῶν εἱρμῶν εἰς ς', τοῦ ἁγίου τῆς μονῆς εἰς δ' καὶ τὸ μαρτυρικὸν [3]) τῆς Ὀκτωήχου εἰς δ',

---

[1]) Ἐν ᾧ καὶ θυμιᾷ ὁ ἱερεύς. Ὅταν δὲ ἔλθωμεν· Εἰς τὸν αἰῶνα, οὐ μὴ ἐπιλάθωμαι, ἐλθὼν ὁ ἱερεὺς ἔμπροσθεν τῶν ἁγίων θυρῶν, ποιεῖ τὴν ὑπὲρ τῶν κεκοιμημένων μικρὰν συναπτήν, λαμπάδος ἁπτούσης ἔμπροσθεν τῶν ἁγίων θυρῶν. Εἶτα ὁ μὲν ἀναγινώσκει τὸ τῆς μονῆς βραβεῖον, ἡμεῖς δὲ λέγομεν τὸ Κύριε ἐλέησον. Ὅταν δὲ εἴπῃ τὸ ἥμισυ τοῦ βραβείου, ἐκφωνεῖ· Καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς, καὶ τὰ λοιπὰ τῆς συναπτῆς, εἶτα τὴν ἐκφώνησιν ἄνευ τῆς εὐχῆς· καὶ εὐθὺς στιχολογοῦμεν τὸ λοιπὸν τοῦ Ἀμώμου μέχρι τέλους, οὗ μετὰ τὸ τέλος ψάλλομεν τὰ νεκρώσιμα τροπάρια ἦχος πλ. α'· Τῶν ἁγίων ὁ χορὸς καὶ τὰ λοιπά, λέγοντες στίχους καθ' ἕκαστον αὐτῶν· Εὐλογητὸς εἶ, Κύριε, Δόξα τὸ τριαδικόν, Καὶ νῦν τὸ θεοτοκίον. Εἶτα λέγει ὁ ἱερεύς· Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα καὶ τὰ λοιπά, καὶ αὖθις μνημονεύει κατ' ὄνομα τῶν λοιπῶν κεκοιμημένων, ἡμῶν ὁμοίως λεγόντων τὸ Κύριε ἐλέησον, εἶτα τὴν εὐχήν· Ὁ Θεὸς τῶν πνευμάτων μεγαλοφώνως, καὶ τὴν ἐκφώνησιν αὐτῆς. Καὶ μετὰ τὸ Ἀμὴν κάθισμα ἦχος πλ. α'· Ἀνάπαυσον, Σωτὴρ ἡμῶν, Δόξα τὸ αὐτό, Καὶ νῦν θεοτοκίον· Ἐκ Παρθένου ἀνατείλας, ἀνάγνωσις καὶ ὁ ν', καὶ εὐθὺς οἱ κανόνες. [2]) Εἰ ἐν τῷ Μηναίῳ εἷς ἅγιος, εἰ δὲ δύο ἅγιοι, καταλιμπάνεται ὁ τῆς μονῆς, ὡς δεδήλωται φύλ. 42. [3]) Καὶ τὸ μαρτυρικὸν εἰς δ'. Εἰ δὲ εἰσὶ δύο ἅγιοι, καταλιμπάνεται ὁ κανὼν τοῦ ἁγίου τῆς μονῆς. Ἀπὸ γ' ᾠδῆς.

ἀπὸ γ' ᾠδῆς κάθισμα τοῦ Μηναίου, Δόξα καὶ νῦν θεοτοκίον, ἀνάγνωσις, ἀφ' ἕκτης ᾠδῆς κοντάκιον νεκρώσιμον ἦχος πλ. δ'· Μετὰ τῶν ἁγίων ἀνάπαυσον καὶ τὸν οἶκον, μετὰ τὴν θ', τὸ φωταγωγικὸν [1]) τοῦ ἤχου ἐκ β'· λέγομεν δὲ εἰς μὲν τὸ πρῶτον· Πρεσβείαις τῶν ἁγίων σου, εἰς δὲ τὸ β'· Πρεσβείαις τῆς Θεοτόκου. Εἰς τοὺς αἴνους μαρτυρικὰ τοῦ ἤχου καὶ τὰ δ', Δόξα καὶ νῦν θεοτοκίον [стр. 48), εἰς τὸν στίχον στιχηρὰ προσόμοια τοῦ κυρίου Θεοφάνους τὰ εἰς τὸν ἦχον τῆς Ὀκτωήχου μετὰ τῶν στίχων αὐτῶν, Δόξα καὶ νῦν θεοτοκίον ἐκ τῶν αὐτῶν στιχηρῶν, Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι, Τρισάγιον, ἀπολυτίκιον· Ἀπόστολοι μάρτυρες, Δόξα, Μνήσθητι, Κύριε, Καὶ νῦν, Μήτηρ ἁγία, ἐκτενής, καὶ ἐπεύχεται ὁ ἱερεύς· Ὁ ὢν εὐλογητός, καὶ συνάπτομεν τὴν α' ὥραν, ὡς σύνηθες, εἶθ' οὕτως γίνεται ἀπόλυσις, καὶ ἡ συνήθης λιτὴ ἐν τῷ νάρθηκι. Ἐν ταῖς ὥραις τροπάρια· Ἀπόστολοι μάρτυρες, Δόξα, Μνήσθητι, Κύριε, Καὶ νῦν, θεοτοκίον τῶν ὡρῶν. Ἐν τοῖς Τρισαγίοις [2]) αὐτῶν τὰ συνήθη τροπάρια. Εἰς τὴν λειτουργίαν οἱ μακαρισμοὶ τοῦ ἤχου εἰς ς', τροπάρια· Ἀπόστολοι μάρτυρες, Μνήσθητι, Κύριε, Δόξα, Μετὰ τῶν ἁγίων ἀνάπαυσον, Καὶ νῦν, Ὡς ἀπαρχάς, προκείμενον ἦχος πλ. β'· Εὐφράνθητε ἐπὶ Κύριον, στίχος· Μακάριοι, ὧν ἀφέθησαν, καὶ νεκρώσιμον· Αἱ ψυχαὶ αὐτῶν, ἀπόστολος τῆς ἡμέρας καὶ νεκρώσιμος, Ἀλληλούια ἦχος πλ. δ'· Ἐκέκραξαν οἱ δίκαιοι καὶ νεκρώσιμον· Μακάριοι, οὓς ἐξελέξω, εὐαγγέλιον τῆς ἡμέρας καὶ νεκρώσιμον, κοινωνικόν· Ἀγαλλιᾶσθε δίκαιοι, καὶ Μακάριοι, οὓς ἐξελέξω.

Περὶ προεορτίων καὶ μεθεόρτων, εἰ τύχωσι μετὰ ἁγίου, ἔχοντος λειτουργίαν ἐν σαββάτῳ [3]).

[стр. 49). Χρὴ δὲ γινώσκειν, ὅτι, ἐὰν τύχωσι προεόρτια, ἢ μεθεόρτια ἐν σαββάτῳ, καὶ ἅγιος, ἔχων λειτουργίαν καὶ ᾠδήν, εἰς τὴν λειτουργίαν ἐν τοῖς μακαρισμοῖς, τῆς ἑορτῆς ἡ ᾠδὴ εἰς δ' καὶ τοῦ ἁγίου εἰς δ'. Εἰ δὲ μὴ ἔχῃ ὁ ἅγιος ᾠδήν, λέγονται μόνον τῆς ἑορτῆς· καὶ εἰ μὲν ἔχῃ δύο κανόνας, λέγομεν ᾠδὰς β' εἰς η', εἰ δὲ ἕνα, ᾠδὴν α' εἰς ἕξ, τροπάρια τῆς ἑορτῆς καὶ τοῦ ἁγίου, Δόξα τὸ κοντάκιον τοῦ ἁγίου, Καὶ νῦν τῆς ἑορτῆς, προκείμενον καὶ Ἀλληλούια τοῦ ἁγίου, ἀπόστολος καὶ εὐαγγέλιον τῆς ἡμέρας καὶ τοῦ ἁγίου, κοινωνικόν, εἰ μὲν

---

[1]) φωταγωγικὸν τοῦ ἤχου, ἢ νεκρώσιμον· Ὁ καὶ νεκρῶν καὶ ζώντων, καὶ θεοτοκίον. Εἰς τοὺς αἴνους. . . [2]) Ἐν τοῖς Τρισαγίοις αὐτῶν κοντάκιον νεκρώσιμον ἐν τῇ μιᾷ· ἐν δὲ τῇ ἑτέρᾳ· Ὡς ἀπαρχὰς τῆς φύσεως. Εἰς τὴν λειτουργίαν. . . [3]) Μάρκου μοναχοῦ ἐκ τῶν αὐτῶν κεφαλαίων.

εἰσὶ μεθέορτα, τῆς ἑορτῆς καὶ τοῦ ἁγίου, εἰ δὲ προεόρτια τοῦ ἁγίου μόνον, εἰ δὲ μὴ ἔχῃ ὁ ἅγιος λειτουργίαν, τῆς ἑορτῆς ᾠδὴ α' εἰς δ', καὶ οἱ μακαρισμοὶ τῆς Ὀκτωήχου εἰς δ', τροπάρια· Ἀπόστολοι μάρτυρες, Μνήσθητι, Κύριε, Δόξα, Μετὰ τῶν ἁγίων ἀνάπαυσον, Καὶ νῦν τὸ κοντάκιον τῆς ἑορτῆς, προκείμενον· Εὐφράνθητε [1]) ἐπὶ Κύριον, στίχος· Μακάριοι, ὧν ἀφέθησαν, καὶ νεκρώσιμον· Αἱ ψυχαὶ αὐτῶν, ἀπόστολος τῆς ἡμέρας καὶ νεκρώσιμος, Ἀλληλούια, Ἐκέκραξαν οἱ δίκαιοι καὶ νεκρώσιμον· Μακάριοι, οὓς ἐξελέξω.

[стр. 64). Ἐκ τῶν κεφαλαίων τοῦ κὺρ Μάρκου μοναχοῦ περὶ τῶν ἀμφιβαλλομένων ἐν τοῖς Τυπικοῖς περὶ τῶν ἑορτῶν τῆς ὑπεραγίας Θεοτόκου· τῆς Γεννήσεως, τῆς Εἰσόδου, τῆς Ὑπαπαντῆς, τοῦ Εὐαγγελισμοῦ καὶ τῆς Κοιμήσεως, εἰ τύχωσιν ἐν ταῖς κυριακαῖς.

Κεφ. μθ'. **[стр. 85).** Περὶ τοῦ πότε στιχολογεῖται ἡ Τιμιωτέρα καὶ πότε οὐ στιχολογεῖται.

Χρὴ εἰδέναι, ὅτι ἡ Τιμιωτέρα στιχολογεῖται ἐν ταῖς κυριακαῖς, ἐν αἷς ψάλλονται ἀναστάσιμοι κανόνες τῆς Ὀκτωήχου [2]), ὁμοίως καὶ ἐν πάσῃ τῇ ἁγίᾳ καὶ μεγάλῃ τεσσαρακοστῇ ἀπ' ἀρχῆς **[стр. 86),** δηλονότι ἄχρι τῆς παρασκευῆς τοῦ Λαζάρου, πάρεξ ὁπότε τύχῃ ὁ Εὐαγγελισμὸς τῆς ὑπεραγίας Θεοτόκου, καὶ ἁπλῶς εἰπεῖν ἐν πάσῃ ἡμέρᾳ, ἐν ᾗ στιχολογεῖται Τῷ Κυρίῳ ᾄσωμεν, οὐ στιχολογεῖται δὲ [3]) ἐν ταῖς Δεσποτικαῖς ἑορταῖς καὶ εἰς τὰ προεόρτια [4]) καὶ μεθέορτα αὐτῶν.

---

[1]) Въ рк. Костамон. послѣ этого сказано только: καὶ λοιπὰ ἀπαραλλάκτως, ὡς μικρὸν ἄνωθεν διείληπται, а дальнѣйшаго изложенія нѣтъ. [2]) Καὶ καθ' ἑκάστην, ὅτε ψάλλονται οἱ παρακλητικοὶ κανόνες τῆς Ὀκτωήχου. Это замѣчаніе имѣется и въ ркп. Костамонитской въ самомъ текстѣ. [3]) Τοῦτο ὃ λέγει· Τῷ Κυρίῳ ᾄσωμεν οὐ στιχολογοῦμεν, οὐ λέγει, ὅτι οὐ στιχολογεῖται ὅλως στιχολογία, ἀλλ' ὅτι οὐ λέγονται ὁλόκληροι αἱ ᾠδαὶ (ὡς εἰώθασιν ἔν τισι τῶν μοναστηρίων), ἐν ταῖς σεσημειωμέναις ταύταις ἡμέραις. Καὶ ὅρα τὸ ἀκόλουθον κεφάλ. τοῦ Μάρκου, τὰ παρ' αὐτῷ ογ', ὅπερ οἱονεὶ διερμηνεύει καὶ σαφηνίζει τὸ παρὸν κεφάλ. τὸ παρ' ἡμῖν μη', παρ' αὐτῷ δὲ οβ', ὃ καὶ σημειοῦμεν αὐτολεξεὶ πρὸς πίστωσιν: Μάρκου κεφ. ογ'. Ἰστέον, ὅτι οὐ σχολάζουσιν οἱ στίχοι, οὓς ψάλλομεν τῇ κυριακῇ, πώποτε, πλὴν τῇ μεγάλῃ κυριακῇ, καὶ πάσῃ τῇ Διακαινησίμῳ ἑβδομάδι. Τοῦτο δὲ ὃ λέγομεν· Τῷ Κυρίῳ ᾄσωμεν, οὐ λέγομεν, οὐ μόνον ἐν ὅλῃ τῇ πεντηκοστῇ οὐ ψάλλομεν αὐτό, ἀλλ' οὐδὲ ἐν μιᾷ ἑτέρᾳ τῶν Δεσποτικῶν ἑορτῶν, ἢ ἁγίου μεγάλου μνήμῃ, ὅποταν δηλονότι οὐ ψάλλωμεν εἰς τὴν Ὀκτώηχον. Περὶ δὲ τοῦ Τῷ Κυρίῳ ᾄσωμεν, πῶς ψάλλεται, ἄκουε. Ὅταν ψάλλεται ἡ Ὀκτώηχος, ἄρχεται ὁ α' χορὸς λέγειν πρὸς τὸν ἦχον τῆς Ὀκτωήχου· Τῷ Κυρίῳ ᾄσωμεν· ἐνδόξως γὰρ δεδόξασται, Ἵππον καὶ ἀναβάτην κ. τ. λ. ὁ ἕτερος χορός· Βοηθὸς καὶ σκεπαστὴς . . . . καὶ αὖθις ὁ α'. [4]) Τοῦτο οὐδαμοῦ ἐνεργεῖται, ἀλλ' οὐδὲ εἰς τὰ τοῦ Μάρκου εὑρίσκεται κεφ. καὶ ὅρα τὸ περὶ τούτου οδ' κεφ. αὐτοῦ εἰς τὸ τύποις ἐκδοθὲν Τυπικόν, ὃ καὶ γράφομεν παρακάτω αὐτολεξεὶ πρὸς πίστωσιν καὶ σαφήνειαν.

*

Καὶ ἐν τοῖς ἑορταζομένοις τῶν ἁγίων, ἐν οἷς ψάλλονται κανόνες τῆς Ὀκτωήχου. Καὶ ἀπὸ τοῦ σαββάτου τοῦ ἁγίου Λαζάρου ἄχρι τῆς κυριακῆς τῶν Ἁγίων Πάντων, πάρεξ τῆς κυριακῆς τῶν Ἁγίων Πατέρων καὶ τοῦ σαββάτου τῶν ψυχῶν.

[**стр. 88**). Ἀκολουθία τῆς ἐκκλησιαστικῆς ψαλμῳδίας τοῦ ὅλου ἐνιαυτοῦ, ἀρχομένη ἀπ' ἀρχῆς τοῦ Σεπτεμβρίου μηνὸς μέχρι τέλους τοῦ Αὐγούστου, συμπεριείληπται δ' ἐν αὐτῇ καὶ τὰ κεφάλαια τοῦ μοναχοῦ κὺρ Μάρκου, ἐν οἷς αὐτῶν ἕκαστον ζητεῖται χωρίοις μεθ' ἑτέρων τινῶν ἀναγκαίων σημειώσεων.

[**стр. 101**). Обрядъ помазанія въ праздники елеемъ описывается такъ: Συναγόμεθα δὲ πάντες ἔμπροσθεν τοῦ προσκυνήματος, καὶ θυμιᾷ ὁ ἱερεὺς ἢ ὁ διάκονος τὴν ἁγίαν εἰκόνα καὶ τὸν προεστῶτα, εἶτα τοὺς ἀδελφοὺς καὶ αὖθις τὴν ἁγίαν εἰκόνα, εἶτα ποιήσας βαμβάκινον (ἢ βαμβάκιον) ἄλειπτρον καὶ ἐμβάψας αὐτὸ εἰς τὴν ἁγίαν κανδήλαν, κρατεῖ αὐτό. Ἐλθὼν δὲ ὁ προεστὼς καὶ προσκυνήσας καὶ ἀσπασάμενος τὴν ἁγίαν εἰκόνα, ἔρχεται πρὸς τὸν ἱερέα, καὶ εἰ μὲν τῷ τῆς ἱερωσύνης τετίμηται ἀξιώματι, λαβὼν τὸ ἄλειπτρον ἀπὸ τῶν τοῦ ἱερέως χειρῶν, πρῶτον μὲν χρίει ἑαυτόν, εἶτα τὸν ἱερέα, ἔπειτα, εἰ μὲν βούλεται αὐτός, χρίει τοὺς ἀδελφούς, εἰ δ' οὔ, δίδωσι τὸ ἄλειπτρον τῷ ἱερεῖ καὶ χρίει αὐτὸς αὐτούς, εἰ δὲ ἰδιώτης ἐστὶν ὁ προεστώς, διὰ τοῦ ἱερέως χρισθείς, ἵσταται εἰς τὸν τόπον αὐτοῦ, εἶτα ἔρχονται οἱ ἀδελφοὶ κατὰ τάξιν καί, προσκυνοῦντες καὶ ἀσπαζόμενοι, καὶ χρισθέντες, καὶ αὖθις προσκυνήσαντες, ἀλλὰ δὴ καὶ εἰς τοὺς χοροὺς τῶν ἀδελφῶν ποιήσαντες μετάνοιαν, τοῦτο καὶ τοῦ ἡγουμένου ποιήσαντος, ἵστανται εἰς τοὺς τόπους αὐτῶν. Μετὰ δὲ τὸ πάντας χρισθῆναι, ἐκφωνεῖ ὁ ἱερεύς· Ἐπάκουσον ἡμῶν, ὁ Θεός. . . Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν, καὶ λέγει τὴν εὐχήν· Δέσποτα πολυέλεε Κύριε... Καὶ μετὰ τὸ τέλος αὐτῆς, Δεῦτε προσκυνήσωμεν, καὶ ἐξελθόντες ἐν τῷ νάρθηκι, ψάλλομεν τὴν α' ὥραν. На полѣ противъ сего мѣста замѣчено: Αὕτη ἡ τάξις παλαιά, νῦν δέ, ψαλλομένων τῶν αἴνων, ἐκβαίνει ὁ ἐφημέριος μετὰ φελωνίου καὶ ἀσπασάμενος τὴν εἰκόνα καὶ τυπώσας σταυρὸν ἐν αὐτῇ τῷ ἀλείπτρῳ, χρίει.

Въ концѣ службы на 8 число замѣчается: Τὸ τοῦ Διονυσίου· ἀλλ' οὐδὲ εἰς τὸ βραβεῖον μνημονεύομεν μετὰ τὸ τέλος τοῦ ἑσπερινοῦ, οὐδὲ λιτὴν ποιοῦμεν εἰς τὸ τέλος τοῦ ἀποδείπνου· οὕτω γὰρ ποιοῦμεν ἐν πάσαις ταῖς ἀγρυπνίαις [**стр. 102**).

Противъ службы 13 Сентября замѣчено: Τὸ τοῦ Διονυσίου· ποιοῦμεν δὲ πάντα τὰ τῆς δοξολογίας, ἤγουν σημαίνει τὸ ἄνω σήμαντρον, ἀνάπτομεν τοὺς σταυρούς, θυμιᾷ δὲ καὶ ὁ διάκονος, καὶ τοῦτο ἀείποτε παρατήρει, ὅταν ψάλληται δοξολογία. О канонѣ на тотъ же день: Τὸ τοῦ Διονυσίου· ὁ τῶν ἐγκαινίων α' εἰς ς', εἶτα τοῦ σταυροῦ εἰς δ' καὶ τοῦ ἁγίου εἰς δ' [стр. 105).

По поводу тропаря воскреснаго и кондака обновленій на часахъ, если 13 Сентября приходилось въ воскресенье, замѣчено: Τὸ τοῦ Διονυσίου λέγει· α' τὴν ὑπακοήν, εἶτα τὸ κοντάκιον· οὐκ οἶδα δὲ εἰ καὶ τὸ μέγα αὐτῶν Τυπικὸν οὕτω διορίζει. Δέος δὲ μὴ τῶν νεωτέρων, οὐδὲν γὰρ τῶν Τυπικῶν λέγει λέγεσθαι τὴν ὑπακοήν, ὄντος κοντακίου [стр. 108).

Въ службѣ на Воздвиженіе о подобой стихирѣ праздника, послѣ евангелія гласъ πλ. β', въ Типиконѣ говорится: Οἶον βούλει, а на поляхъ замѣчено: Τινὰ τῶν Τυπικῶν οὐδὲ τοῦτο λέγουν [стр. 110). Противъ великаго славословія замѣчаніе: Τὸ τοῦ Διονυσίου· Εἰς τὴν ἀρχὴν τοῦ ἑσπερινοῦ τίθεται εἰκὼν τῆς Ὑψώσεως, καὶ ἀρξαμένης τῆς δοξολογίας, αἴρεται ἡ εἰκὼν καὶ τίθεται τὸ τετραπόδιον ἐν τῷ μέσῳ κ. τ. λ., ниже: Τὸ τοῦ Διονυσίου· ὅτι προπορεύεται καὶ ὁ διάκονος μετὰ θυμιατοῦ, καὶ ὅτι αὐτὸς ἐκφωνεῖ τὸ Σοφία, ὀρθοὶ (οὐκ οἶδα δέ, εἰ ὀρθῶς ἔχει) и еще ниже: Τὸ τοῦ Διονυσίου· καὶ λαβὼν τὸν θυμιατὸν παρὰ τοῦ διακόνου, θυμιᾷ [стр. 111).

Относительно прокимна на вечернѣ въ день Воздвиженія: Τὸ τοῦ Διονυσίου· εἰ δὲ ἐστὶ σάββατον ἑσπέρας, τὸ Ὁ Κύριος ἐβασίλευσε· προηγεῖται γὰρ τοῦτο πάντων τῶν προκειμένων (κἂν τῷ παρόντι Τυπικῷ ἔνεστιν ἰδεῖν, ἀλλαχοῦ οὕτως ὁρίζοντι [стр. 116).

Въ службѣ 27 Октября замѣчено: Τὸ τοῦ Διονυσίου θέλει καὶ μεθέορτα τοῦ ἁγίου Δημητρίου καὶ λέγει οὕτως· στιχηρὰ πρῶτον τοῦ ἁγίου Δημητρίου καὶ τοῦ ἁγίου Νέστορος γ', Δόξα τοῦ ἁγίου Δημητρίου. Ὁμοίως εἰς τὸν στίχον, Δόξα τοῦ ἁγίου Δημητρίου, στιχηρὰ δὲ τῆς Ὀκτωήχου, ἀπολυτίκιον· Μέγαν εὕρατο. Εἰς τὸν ὄρθρον κανόνες τῆς Ὀκτωήχου καὶ εἷς τοῦ ἁγίου Δημητρίου, καὶ εἷς τοῦ ἁγίου Νέστορος, εἰς τὸν στίχον τῶν αἴνων στιχηρὰ τῆς Ὀκτωήχου, Δόξα τοῦ ἁγίου Δημητρίου κ. τ. λ. [стр. 156). Въ настоящемъ

же Типиконѣ читаемъ: Τροπάριον· Ὁ μάρτυς σου, Κύριε. Ἡ δὲ ἀκολουθία πᾶσα συνήθης, ὡς καθ' ἑκάστην, о службѣ на 28: Τροπάριον· Οἱ μάρτυρές σου, Κύριε. Ἡ δὲ λοιπὴ ἀκολουθία κοινὴ κ. τ. λ., о службахъ 30 и 31: Εἰς τὸν ὄρθρον τὸ μαρτύριον αὐτῶν [стр. 151: Діонис. Тип. л. 26) и 26 Ноября: Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀλυπίου τοῦ Κιονίτου.—Ἀλληλούια, ἢ τροπάριον ἦχος α'· Ὑπομονῆς στύλος γέγονας, εἰς τὸν ὄρθρον ὁ βίος αὐτοῦ [стр. 178). Внизу замѣчено: Τὸ τοῦ Διονυσίου· Ἐν ταύτῃ τῇ κς' ἀποδίδοσθαι τὴν ἑορτὴν καὶ ψάλλεσθαι τὴν ἀκολουθίαν ἅπασαν τῆς ἑορτῆς, ὡς καὶ ἐν ταῖς λοιπαῖς ἀποδόσεσι, τὸν δὲ ἅγιον εἰς τὸ ἀπόδειπνον [стр. 178; Діонис. Тип. л. 36).

30. Τοῦ ἁγίου πανευφήμου ἀποστόλου Ἀνδρέου τοῦ πρωτοκλήτου. Ἐν τῷ λυχνικῷ, εἰς τὸ Κύριε ἐκέκραξα στιχηρὰ προσόμοια τοῦ ἀποστόλου ἦχος δ', πρὸς Ὁ ἐξ ὑψίστου κληθείς, ποιοῦμεν αὐτὰ ς', Δόξα ὁ αὐτός· Τὴν τῶν ἰχθύων ἄγραν, Καὶ νῦν θεοτοκίον. Εἰς τὸν στίχον στιχηρὰ τῆς Ὀκτωήχου, Δόξα ἦχος γ'· Τὸν συναίμονα Πέτρου, Καὶ νῦν θεοτοκίον, τροπάριον ἦχος δ'· Ὡς τῶν ἀποστόλων πρωτόκλητος. Εἰς τὸν ὄρθρον ἡ συνήθης στιχολογία, ἀνάγνωσις, τὸ ὑπόμνημα τοῦ ἀποστόλου, κανόνες τῆς Ὀκτωήχου καὶ τοῦ ἀποστόλου εἰς ς', ποίημα τοῦ ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ ἦχος α', καταβασία· Χριστὸς γεννᾶται, ἀφ' ἕκτης κοντάκιον ἦχος β'· Τὴν ἐν πρεσβείαις, Τὸν τῆς ἀνδρείας ἐπώνυμον θεηγόρον. Εἰς τοὺς αἴνους· Πᾶσα πνοή, στιχηρὰ ἰδιόμελα τοῦ ἁγίου, τοὺς τρεῖς πρώτους καὶ τὸν γ', Δόξα ἦχος πλ. δ'· Τὸν κήρυκα τῆς πίστεως, Καὶ νῦν θεοτοκίον, δοξολογία μεγάλη καὶ ἀπόλυσις. На полѣ противъ этой службы замѣчено: Νῦν ἄλλως εἴθισται· τὸ Μακάριος ἀνήρ, ἀναγνώσματα ἀπόστιχα τοῦ ἀποστόλου, καθίσματα ὁμοίως, πολυέλεος, τὸ εὐαγγέλιον κ. τ. λ. ὁ κανὼν τῆς Θεοτόκου εἰς ς' καὶ τοῦ ἀποστόλου εἰς η' κ. τ. λ. [стр. 179).

О кондакѣ, по 6 пѣсни, въ службѣ отцевъ замѣчено: Τὸ τοῦ Διονυσίου· κοντάκιον· Χειρόγραφον εἰκόνα [стр. 198), Діон. Тип. л. 42 об.).

Въ Типиконѣ подъ 20 Декабря въ службѣ Игнатія Богоносца говорится, между прочимъ: Τὸ τριῴδιον τῆς αὐτῆς ἡμέρας, συνάπτοντες τούτῳ καὶ τὸ διῴδιον, ἅτινα εἰσὶ προσόμοια τῆς ἁγίας καὶ μεγάλης β', καὶ τῆς μεγάλης γ', ποίημα, ὥς φασί τινες Δαφνοπάττου. Ψάλλομεν οὖν αὐτὰ ἐν τῷ νάρθηκι, ἀναλογίου μετὰ προσκυνήματος προτεθέντος καὶ λαμπάδος ἔμπροσθεν αὐτοῦ ἁπτούσης, ὧν

ψαλλομένων, θυμιᾷ ὁ κανδηλάπτης· δευτεροῦμεν οὖν τοὺς εἱρμούς, τὰ δὲ τροπάρια ποιοῦμεν ϛ', ὕστερον δὲ πάλιν λέγομεν καταβασία τοὺς εἱρμοὺς αὐτῶν, οὕτω ποιοῦντες καὶ ἐν ταῖς ἐφεξῆς τῆς ἑορτῆς ταύτης ἡμέραις καὶ ἐν ταῖς τῶν Φώτων. На полѣ замѣчено противъ этого: Τὸ τοῦ Διονυσίου λέγει, ψάλλειν ταῦτα ἔνδον τοῦ ναοῦ καὶ ἀπόδειπνα καὶ ἀνάπτειν τὰ κηρία [стр. 203).

Ἰστέον δὲ καὶ τοῦτο, ὅτι ἀπὸ τῆς κ' τοῦ Δεκεμβρίου μηνὸς μέχρι τῆς ιδ' τοῦ Ἰαννουαρίου, ἐν ᾗ ἀποδίδοται ἡ ἑορτὴ τῶν Θεοφανείων, τὸ Τῷ Κυρίῳ ᾄσωμεν οὐ λέγεται, ἀλλ' οὐδὲ ἡ Ὀκτώηχος, οὔτε ἡ Τιμιωτέρα στιχολογεῖται, εἰ μὴ μόνον ἐν ταῖς κυριακαῖς. Внизу приписка: Περὶ τῆς Τιμιωτέρας συμφωνεῖ καὶ τὸ τοῦ Διονυσίου, θέλουσιν, ὅτι εἰς τὰ προεόρτια καὶ μεθέορτα πασῶν τῶν ἑορτῶν μὴ ψάλλεσθαι τὴν Τιμιωτέραν, ἀλλ' οὔτε ἐν πάσῃ τῇ ν',ἀπὸ τοῦ σαββάτου δηλαδὴ τοῦ ἁγίου Λαζάρου μέχρι τοῦ σαββάτου τῶν Ἁγίων Πάντων, πλὴν τῆς κυριακῆς τῶν ἁγίων Πατέρων καὶ τοῦ σαββάτου τῶν ψυχῶν, ἀλλ' ἡμεῖς εἰς τοῦτο ἐξακολουθοῦμεν μᾶλλον τῷ τυπωθέντι Τυπικῷ, ὅπερ τὴν διάγνωσιν περὶ τῆς Τιμιωτέρας ἐσημειωσάμεθα ἐν τοῖς γενικοῖς κεφαλαίοις καὶ ὅρα [стр. 205).

Μετὰ δὲ τὸ τέλος τοῦ ὄρθρου (24 Декабря), ἐπισυνάπτομεν τὴν α' ὥραν, ὡς ἔθος, ἐν ᾗ μετὰ τὸ τροπάριον καὶ τὸ θεοτοκίον τὸ Τί σε καλέσωμεν ψάλλομεν τροπάρια γ' ἀπὸ τῶν ιβ', πρότερον κρουσθέντος τοῦ σιδηροῦ, ψάλλομεν δὲ τὸ πρῶτον καὶ τὸ δεύτερον ἀνὰ μέρος ο δύο χοροί, λαμπάδων δ' ἐν τῷ μέσῳ τοῦ ναοῦ ἀπτουσῶν καὶ τοῦ κανδηλάπτου θυμιῶντος. Λέγομεν δὲ τὸ πρῶτον τροπάριον ἄνευ στίχου, δίς, εἰς δὲ τὸ δεύτερον στίχους τούςδε· Ὁ Θεὸς ἀπὸ θεμᾶν . . . καὶ Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου . . ., εἶτα, ἑνούμενοι οἱ δύο χοροί, λέγομεν· Δόξα, καὶ ψάλλομεν τὸ γ', Καὶ νῦν, αὖθις τὸ αὐτό, εἶτα Τὰ διαβήματά μου, καὶ μετὰ τὸ Τρισάγιον, κοντάκιον· Ἡ Παρθένος σήμερον, Κύριε ἐλέησον μ', ἡ εὐχὴ καὶ ἀπόλυσις. Περὶ δὲ ὥραν δ' σημαίνει τὸ μικρὸν καὶ συναγόμεθα ἐν τῇ ἐκκλησίᾳ καὶ ψάλλομεν τὰς τρεῖς ὥρας, τριψάλμους, ὡς συνήθως, καὶ ἐν ἑκάστῃ ὥρᾳ τροπάρια γ', ὡς ἐδηλώθη ἐν τῇ α' ὥρᾳ, καὶ μετὰ τὴν θ' ὥραν ψάλλομεν τὰ τυπικά, ἤγουν τοὺς μακαρισμοὺς χύμα καὶ τὰ λοιπά, ὡς σύνηθες, ἄνευ τοῦ Εὐλογήσω τὸν Κύριον καὶ ἀπολύομεν.

Внизу приписка: Οὔτε τὸ τοῦ Διονυσίου ὁρίζει ἀποστολοευαγγέλια ἐν ταῖς ὥραις ταύταις, ἐν δὲ τῷ Δόξα καὶ νῦν τῆς ἐννάτης

λέγει· ψάλλεται τὸ Δόξα καὶ νῦν παρὰ τῶν ψαλτῶν, τὸ δὲ ἰδιόμελον λέγει α' ἐν τῷ μέσῳ ὁ κανονάρχης, τρισσεύων τὴν ἀρχὴν καὶ τὸ τέλος, καὶ μετὰ τὸ τελειῶσαι, πολυχρονίζει τὸν ἡγούμενον, λέγων· Σῶσαι, Χριστὸς ὁ Θεός, τὸν πανοσιώτατον πατέρα ἡμῶν καὶ καθηγούμενον κύριον (τὸν δεῖνα) ἱερομόναχον σὺν πάσῃ τῇ ἐν Χριστῷ ἡμῶν ἀδελφότητι αἰῶνας. Εἰ δὲ οὐκ ἔστι παρὼν ὁ ἡγούμενος, πολυχρονίζει τὸν δικαῖον (οὕτω καὶ ἐπὶ τῶν Φώτων). Εἶτα ψάλλεται τὸ ἰδιόμελον ὑπὸ τοῦ ψάλτου [**стр. 208**; Діон. Тип. **л. 45**).

Τὸ τοῦ Διονυσίου· Μετὰ τὴν ἀπόλυσιν (часовъ), ποιεῖ ὁ προεστὼς εὐλογητὸν καὶ ἀναγινώσκει τὴν συγχωρητικὴν εὐχήν [**стр. 209**).

Πάντοτε δὲ μετὰ τὴν ἀπόλυσιν τίθεμεν μανουάλια β' ἐν τῷ μέσῳ τοῦ ναοῦ, καὶ ἐξελθὼν ὁ ἱερεὺς καὶ ὁ διάκονος, ἵστανται φορεμένοι μέσον τοῦ ναοῦ καὶ ἑνούμενοι, ψάλλομεν τὸ ἀπολυτίκιον τῆς ἑορτῆς καὶ τὸ κοντάκιον, εἶτα γίνεται ἡ φήμη τῶν βασιλέων συνήθως καὶ τοῦ ἀρχιερέως τῆς πόλεως, εἶτα πολιχρονίζομεν τὸν καθηγούμενον σὺν πάσῃ τῇ ἀδελφότητι, καὶ εἰσερχόμεθα εἰς τὴν τράπεζαν, ἐσθίοντες ἔλαιον, πίνοντες καὶ οἶνον. Μετὰ δὲ τὸ ἐξελθεῖν τῆς τραπέζης, ἀπελθόντες εἰς τὸ ἡγουμενεῖον, πολιχρονίζομεν τὸν ἡγούμενον, εἶτα τὸν οἰκονόμον, τὸν ἐκκλησιάρχην καὶ ἑτέρους, οὓς ἂν βουλόμεθα, τοὺς ἐντιμωτέρους δηλαδὴ τῶν ἀδελφῶν, ὁμοίως ποιοῦντες καὶ ἐν τῇ ἑορτῇ τῶν Φώτων [**стр. 211**).

Относительно стихиры: Σήμερον ὁ Χριστὸς ἐν Βηθλεὲμ γεννᾶται, поемой предъ «Слава въ вышнихъ» на утрени Рождества Христова, замѣчено внизу: Τὸ τοῦ Διονυσίου, ὅτι διὰ τὸ ἔχειν τὸ τέλος τοῦ ἰδιομέλου τὸ Δόξα ἐν ὑψίστοις Θεῷ, ἀρχόμεθα τῆς δοξολογίας ἀπὸ τοῦ Ὑμνοῦμέν σε (Τινὲς δέ, ὃ καὶ κρεῖττον, ποιοῦσιν οὕτως· ἵσταται ὁ ἀριστερὸς χορός, ὁ ψάλλων τὸ Σήμερον μέχρι τοῦ Ἀκαταπαύστως βοῶμεν, καὶ ἄρχεται ὁ ἕτερος τῆς δοξολογίας εὐθὺς τοῦ Δόξα ἐν ὑψίστοις Θεῷ), ([**стр. 214**), Діон. Тип. [**л. 52**).

На Рождество. Τὸ τοῦ Διονυσίου· ὅταν ἔχῃ ἀντίφωνα μετὰ τὴν εὐχὴν τῆς ϛ' ὥρας, συνάπτομεν καὶ τὰ τυπικὰ ἐν τῷ νάρθηκι [**стр. 211**; Діон. Тип. **л. 25** об.).

О канонѣ 26 Декабря: Τὸ τοῦ Διονυσίου· τοὺς εἱρμοὺς τοῦ α' κανόνος ἐκ β', τὰ δὲ τροπάρια ἀμφοτέρων εἰς ιβ', λέγοντες καὶ τὸν εἱρμὸν τοῦ β' κανόνος μετὰ στίχου, καταβασίαν δὲ καὶ τοὺς δύο εἱρμούς, τὸ αὐτὸ δὲ ποιοῦμεν καὶ ἐν τῇ ἀποδόσει, τὰ δὲ μεγαλυνάρια τῆς Θεοτόκου λέγομεν κατ' αὐτὴν τὴν ἡμέραν τῆς ἑορτῆς καὶ ἐπὶ τὴν

αὔριον καὶ ἐν τῇ ἀποδόσει. Ὁμοίως ποιοῦμεν καὶ ἐν τῇ τῶν Φώτων ἑορτῇ, ἐν δὲ ταῖς λοιπαῖς, μόνον ἐν τῇ ἑορτῇ καὶ ἐν τῇ ἀποδόσει [**стр. 217**; Діон. Тип. [**л. 53**).

Противъ тропаря на 27 Декабря: Βασίλειον διάδημα ἐστέφθη σῇ κορυφῇ замѣчено: Τὸ παλαιὸν Τυπικὸν λέγει· Ἀπόστολε ἅγιε... [**стр. 223**).

Въ службѣ 1 Января относительно канона замѣчено: Τὸ τοῦ Διονυσίου ἀδιορίστως λέγει· δευτεροῦμεν τοὺς εἱρμοὺς καὶ τὰ τροπάρια εἰς ιβ', (κρεῖττον δὲ τῆς ἑορτῆς εἰς ς' καὶ τοῦ ἁγίου εἰς η') [**стр. 230**); Діон. Тип. [**л. 57** об.). Относительно непорочныхъ на этотъ праздникъ въ недѣлю говорится: Τὸ τοῦ Διονυσίου· εἰς τὴν α' στιχολογίαν καθίσματα ἀναστάσιμα, εἰς δὲ τὴν β', καθίσματα τοῦ ἁγίου, (ὃ καὶ νῦν ἐπεκράτησεν, ἔχοντος τοῦ ἁγίου πολυέλεον. Ὁμοίως ὅταν ψάλληται πολυέλεος, καταλιμπάνεται ὁ Ἄμωμος [**стр. 232**), Діон. Тип. [**л. 58** об.).

Ἅμα δὲ τῷ εἰπεῖν τὸν ἱερέα τὴν ὀπισθάμβωνον εὐχήν, ἐξερχόμεθα ἐν τῷ λουτῆρι πάντες μετὰ φώτων, κηρίων πᾶσι τοῖς ἀδελφοῖς δοθέντων, τοῦ ἱερέως προπορευομένου μετὰ λαμπάδων καὶ θυμιατοῦ, ἐπιφέροντος καὶ τὸ τίμιον ξύλον τοῦ σταυροῦ ἐν δίσκῳ, ἐπὶ τῆς κεφαλῆς αὐτοῦ κεκαλυμμένον. Замѣчено внизу: Τὸ τοῦ Διονυσίου· ὅτι οὐ σβέννυνται αἱ λαμπάδες, οὐδὲ τὰ κανδήλια μέχρι συμπληρώσεως τοῦ ἁγιασμοῦ [**стр. 241**), Діон. Тип. [**л. 63** об.).

Τὸ τοῦ Διονυσίου λέγει· εἰ μὲν σαββάτῳ (т. е. предпразднество), γίνεται ἡ λειτουργία ἐν τῷ κοιμητηρίῳ καὶ μετὰ τὴν λειτουργίαν αἱ ὧραι συνήθως ἐν τῷ μέσῳ, λεγομένου καὶ ἀποστολοευαγγελίου ἐν τοῖς τυπικοῖς σαββάτῳ πρὸ τῶν Φώτων. Καὶ μετὰ τὰς ὥρας γίνεται τὸ παξιμάδισμα ἐν τῷ νάρθηκι, εἰ δὲ κυριακῇ, ἡ λειτουργία ἐν τῷ μέσῳ καὶ μετὰ τὴν λειτουργίαν τὸ παξιμάδισμα, ἤγουν ἡ διάδοσις τοῦ κλάσματος τοῦ ἄρτου μετὰ τοῦ ποτηρίου τοῦ οἴνου.

Ἰστέον, ὅτι, ἐὰν τύχῃ ἡ παραμονὴ τῶν Χριστουγέννων, ἢ τῶν Φώτων σαββάτῳ ἢ κυριακῇ, ἑσπέρας ὁ ἐφημέριος ἱερεὺς ἐφημερεύει μετὰ τοῦ διακόνου ἐξ ἀρχῆς τοῦ ἑσπερινοῦ, εἰς δὲ τὴν εἴσοδον φοραίνει ὁ προεστὼς σὺν τοῖς λοιποῖς ἱερεῦσι [1]), καὶ γίνεται καὶ ὁ ἁγιασμὸς παρὰ τοῦ προεστῶτος ἐν τῇ τῶν Φώτων [2]). Δεῖ γινώσκειν, ὅτι [3]) ὁ

---

[1]) Въ Діонисіат. ркп. Εἰ δὲ ἐστὶν ἡ ἑορτὴ τῶν Φώτων. [2]) Этого нѣтъ. [3]) ἀφ' ἑσπέρας.

μέλλων ποιήσειν ἑσπέρας τὸν ἁγιασμόν, φορεῖ [1]) πᾶσαν τὴν ἱερατικὴν στολήν, πρωῒ δὲ [2]), διὰ τὸ ἔξω γίνεσθαι, μόνον φελώνιον λινὸν καὶ ἐπιτραχήλιον. Πρωῒ δέ, εὐλογήσαντος τοῦ [**стр. 62** об.) ἱερέως ἐν τῇ ἐκκλησίᾳ, λέγομεν Τρισάγιον κ. τ. λ., τὸ Κύριε ἐλέησον ιβ', τὸ Δεῦτε προσκυνήσωμεν γ' καὶ τὸν ν', εἶτα ἀρχόμεθα ψάλλειν τὸ Φωνὴ Κυρίου [3]), καὶ ἐξερχόμεθα καί, φθάσαντες εἰς τὸν ὡρισμένον τόπον, κατὰ τὴν τάξιν ψάλλομεν τὸν ἁγιασμόν, καὶ ὑποστρέφοντες ψάλλομεν τοὺς κανόνας τῆς ἑορτῆς. Εἰσερχόμενοι δὲ ἔνδον τοῦ ναοῦ ψάλλομεν· Τριάδος ἡ φανέρωσις, εἶτα ὁ ἱερεύς· Ἐλέησον ἡμᾶς, ὁ Θεὸς κ. τ. λ. Ὑπὲρ τοῦ διαφυλαχθῆναι κ. τ. λ., καὶ ἡμεῖς· τὸ Κύριε ἐλέησον μ' καὶ εὐχή· Δέσποτα πολυέλεε καὶ ἀπόλυσις.

Σημειωτέον καὶ τοῦτο, ὅτι ἐν τῇ ἑορτῇ τῶν Χριστουγέννων, τῶν Φώτων, τῆς Λαμπρᾶς καὶ τῆς μονῆς [4]) φοραίνουσι πάντες οἱ ἱερεῖς εἰς τὴν εἴσοδον τοῦ ἑσπερινοῦ ἀφ' ἑσπέρας τῇ παραμονῇ, εἴτε λειτουργία, εἴτε μή, καὶ πάλιν ἐπὶ τὴν αὔριον ἑσπέρας (Τοῦτο, οἶμαι, μόνον ἁρμόζειν τῇ Λαμπρᾷ καὶ τῇ τῆς μονῆς). Ἐν ταύταις δὲ ταῖς ἑορταῖς λέγει καὶ τὸ εὐαγγέλιον ὁ πρῶτος τῶν διακόνων ἀφ' ἑσπέρας καὶ τὸ πρωῒ εἰς τὴν λειτουργίαν, ἐν δὲ ταῖς λοιπαῖς τοῦ χρόνου ἑορταῖς λέγει αὐτὸ ὁ τὴν ἐφημέριαν ἔχων διάκονος [**стр. 243**), Діон. Тип. **62**, **63**).

По Уставу, утромъ положено совершать водоосвященіе по обычаю вечернему. Водоосвященіе бываетъ, по окончаніи утрени, предъ первымъ часомъ. Внизу по этому поводу замѣчено: Τὸ τοῦ Διονυσίου, (ὡς καὶ τὸ ἔθος ἐπεκράτησε), τὴν μὲν α' ὥραν ἐπισυνάπτομεν τῷ ὄρθρῳ καὶ σημὰ γίνεται ἀπόλυσις, καὶ πρὸ τῆς λειτουργίας γίνεται ὁ ἁγιασμός, ὡς προδεδήλωται. Ἰστέον δέ, ὅτι ἐν τῇ Μεγάλῃ Ἐκκλησίᾳ ἑσπέρας μόνον γίνεται ὁ ἁγιασμός, πρωῒ δὲ οὐ [**стр. 246**], Діон. Тип. [**л. 65** об.).

На 27 Января, по Уставу, ἐπιτελοῦμεν ἀγρυπνίαν, а внизу замѣчено: Τὸ τοῦ Διονυσίου· καὶ τὸ ἔθος οὐ τελεῖ ἀγρυπνίαν, ὅτι ἐν

---

[1]) ἐνδύεται. [2]) μελλόντων ἡμῶν κατελθεῖν εἰς τὸν ἀρσανᾶν, μόνον ἐπιτραχήλιον καὶ φελώνιον λινοῦν ἐνδύεται. Εἶτα εὐλογήσαντος [3]) καὶ τὰ ἕτερα γ' ἰδιόμελα τῆς πρώτης ὥρας ἕως οὐ κατέλθωμεν εἰς τὸν ἀρσανᾶν. Τελεσθέντος δὲ κἀκεῖσε τοῦ ἁγιασμοῦ καὶ πάντων τῶν ἀδελφῶν ἁγιασθέντων, ἀρχόμεθα ψάλλειν τοὺς κανόνας τῆς ἑορτῆς ἕως οὗν ἀνέλθωμεν ἄνω εἰς τὸ μοναστήριον. Εἰσερχόμενοι ἔνδον τοῦ ναοῦ, ψάλλομεν τροπάριον· Τριάδος ἡ φανέρωσις. [4]) Προδρόμου. Это храмовой праздникъ въ Діонисіатѣ, а въ Руссикѣ панигирь на память св. великомученика Пантелеимона.

τῇ ιγ' Νοεμβρίου τελεῖται καὶ μεθαύριον ἐν τῇ λα' τῶν τριῶν, βέλτιον δὲ ποιῆσαι εἰς τὰς κε' τοῦ Θεολόγου, ὡς ἅπαξ ἑορταζομένου [**стр. 266**).

[**стр. 269**). Ἰανουάριος λ'. Τοῦ ἁγίου ἱερομάρτυρος Ἱππολύτου, πάπα Ῥώμης. Ἡ ἀκολουθία αὐτοῦ ψάλλεται ἐν τοῖς ἀποδείπνοις. Τῇ αὐτῇ ἡμέρᾳ ψάλλεται ἡ ἀκολουθία τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ μεγάλων ἱεραρχῶν Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, ἡ γεγονυία παρὰ τοῦ κυρίου Ἰωάννου, μητροπολίτου Εὐχαΐτων καὶ ἑτέρων, καὶ ἐπιτελοῦμεν ἀγρυπνίαν.

Ἐν τῷ μικρῷ ἑσπερινῷ, εἰς τὸ Κύριε ἐκέκραξα, στιχηρὰ προσόμοια ἦχος β'· πρὸς Ποίοις εὐφημιῶν, ποίημα κυρίου Νικηφόρου Ξανθοπούλου, Δόξα, ἦχος β', πρὸς Ἱεραρχῶν τὴν καλλονήν, Τοὺς ἱεράρχας τοῦ Χριστοῦ, Καὶ νῦν θεοτοκίον, εἰ βούλει, ὅμοιον, ποίημα Γερμανοῦ πατριάρχου τοῦ νέου. Εἰς τὸν στίχον, στιχηρὰ προσόμοια ἦχος πλ. β'· πρὸς Τριήμερος ἀνέστης, ποίημα Ἰωάννου Εὐχαΐτων, Δόξα, ὁ αὐτός· Ἄνθρωποι τοῦ Θεοῦ, Καὶ νῦν θεοτοκίον, τροπάριον ἦχος δ'· Ὡς τῶν ἀποστόλων ὁμότροποι, Δόξα καὶ νῦν θεοτοκίον τὸ α' τοῦ αὐτοῦ ἤχου. Ἐν δὲ τῷ μεγάλῳ ἑσπερινῷ, μετὰ τὸν προοιμιακὸν ψαλμὸν στιχολογοῦμεν τὸ α' ἀντίφωνον, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ι' καὶ ψάλλομεν στιχηρὰ προσόμοια τῶν ἁγίων ἦχος δ', πρὸς Ὡς γενναῖον ἐν μάρτυσιν. Εἰσὶ δὲ ς', τὰ μὲν γ' τοῦ Ἰωάννου Εὐχαΐτων, τὰ δὲ ἕτερα Γερμανοῦ πατριάρχου, ἐξ ὧν δευτεροῦμεν τὸ πρῶτον, καὶ δεύτερον, καὶ ποιοῦμεν αὐτὰ η', Δόξα [**стр. 270**) ἦχος πλ. β'· Τὰς μυστικὰς σήμερον, Καὶ νῦν θεοτοκίον τὸ α' τοῦ αὐτοῦ ἤχου, εἴσοδος, προκείμενον καὶ ἀναγνώσματα ἱεραρχικά, ζήτει τῇ ιγ' τοῦ Νοεμβρίου. Εἰς τὴν λιτὴν στιχηρὰ ἰδιόμελα, τοὺς δύο πρώτους· Ἀγαλλιάσθω σήμερον ἡ κτίσις, Δεῦτε τῆς οὐρανίου Τριάδος, καὶ τὸν δ'· Τοῦ Δαβὶδ τὴν σφενδόνην, Δόξα ὁ αὐτός· Τοὺς ἀναφθέντας ἄνθρακας, Καὶ νῦν, θεοτοκίον δογματικὸν εἰς τὸν αὐτὸν ἦχον, ἢ τῆς ἐπιούσης ἑορτῆς, ἤτοι τῆς Ὑπαπαντῆς ἦχος ὁ αὐτός· Σήμερον ἡ ἱερὰ Μήτηρ, ἐνταῦθα καὶ μόνον· τὰ δὲ τοιαῦτα ἰδιόμελα τὸ μὲν α' ἐστὶ ποίημα Ἰωάννου Ἀργυροπολίτου, τὰ δὲ λοιπὰ γ' τοῦ Ξανθοπούλου. Εἰς τὸν στίχον στιχηρὰ προσόμοια, ἦχος πλ. α', πρὸς Χαίροις ἀσκητικῶν· στίχον δὲ λέγομεν· Εἰς πᾶσαν τὴν γῆν καὶ Οἱ οὐρανοὶ διηγοῦνται, Δόξα ὁ αὐτός· Σαλπίσωμεν ἐν σάλπιγγι, οὐ τὸ εἰς τὸν ἅγιον Νικόλαον λεγόμενον, ἀλλ' ἕτερον μεταφραστικόν, ποίημα καὶ τοῦτο καὶ τὰ προσόμοια τοῦ Ξανθοπούλου, Καὶ νῦν θεοτοκίον Γερμανοῦ πατριάρχου. Εἰς τὴν

εὐλόγησιν τῶν ἄρτων τροπάριον τοῦ Εὐχαΐτου, ἦχος δὲ προσόμοιος· Ὡς τῶν ἀποστόλων ὁμότροποι, δίς, καὶ τὸ Θεοτόκε Παρθένε, ἅπαξ, καὶ γίνεται ἀνάγνωσις εἰς τὴν Σύνοψιν τῶν βίων τῶν ἁγίων, ἣν συνεγράψατο ὁ Ξανθόπουλος κὺρ Νικηφόρος, ἥντινα καὶ ποιοῦμεν δόσεις γ', τὸ δὲ ἐγκώμιον τοῦ Εὐχαΐτων δόσεις β'. Ἐν τῷ ὄρθρῳ εἰς τὸ Θεὸς Κύριος, τροπάριον τῶν ἁγίων τὸ προγραφέν, δίς, Δόξα καὶ νῦν θεοτοκίον τὸ α' τοῦ αὐτοῦ ἤχου, ἡ συνήθης στιχολογία καὶ πολυέλεος, ἢ ἀντὶ τούτου, οὓς πάντες ποιοῦσιν, ὁ Ἄμωμος καὶ τὰ μεγαλυνάρια αὐτῶν, ποίημα τοῦ Ξανθοπούλου, καθίσματα [стр. 271) δὲ λέγομεν τῶν ἁγίων, Δόξα τὰ αὐτά, Καὶ νῦν θεοτοκία ἐγκωμιαστικά, οἱ ἀναβαθμοὶ τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου, προκείμενον ἦχος δ'· Εἰς πᾶσαν τὴν γῆν, στίχος· Οἱ οὐρανοὶ διηγοῦνται, Πᾶσα πνοή, εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος, ἐγώ εἰμι ἡ θύρα, ζήτει Σεπτεμβρίου γ', ὁ ν' καὶ στιχηρὸν ἰδιόμελον ἦχος πλ. β'· Εὖ δοῦλοι ἀγαθοί, ὁ κανὼν τῆς Θεοτόκου μετὰ τῶν εἱρμῶν εἰς ς' καὶ τῶν ἁγίων δύο κανόνες εἰς η', ποίημα Ἰωάννου Εὐχαΐτων, καταβασία· Χέρσον ἀβυσσοτόκον, ἀφ' ς' κοντάκιον ἦχος β', πρὸς Τοὺς ἀσφαλεῖς· Τοὺς ἱεροὺς καὶ θεοφθόγγους κήρυκας, καὶ ὁ οἶκος αὐτοῦ, εἶτα τὸ Συναξάριον, ὁμοίως τῶν ἁγίων τῆς ἡμέρας, ὡς συνήθως, εἰς τὴν θ' ᾠδὴν λέγομεν ἔν τε τῷ εἱρμῷ καὶ τοῖς τροπαρίοις τοῦ κανόνος τῆς Θεοτόκου, μεγαλυνάριον τῆς Θεοτόκου, ἐν δὲ τοῖς τροπαρίοις τῶν ἁγίων, μεγαλυνάρια τῶν ἁγίων, εἶτα ἐξαποστειλάριον τῶν ἁγίων καὶ τῆς Θεοτόκου. Εἰς τοὺς αἴνους, Πᾶσα πνοή, ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν στιχηρὰ προσόμοια ἦχος δ', πρὸς Ἔδωκας σημείωσιν, Δόξα ἦχος β'· πρὸς Σήμερον ὁ Χριστός, Σήμερον αἱ ψυχαὶ τῶν γηγενῶν, ποίημα τοῦ Ξανθοπούλου, Καὶ νῦν θεοτοκίον, δοξολογία μεγάλη καὶ ἀπόλυσις. Δίδοται καὶ ἅγιον ἔλαιον τοῖς ἀδελφοῖς ἐκ τῆς κανδήλας τῶν ἁγίων, ψαλλομένων τῶν ἰδιομέλων αὐτῶν. Εἰς τὴν λειτουργίαν τυπικὰ καὶ ἐκ τοῦ κανόνος τῶν ἁγίων ᾠδὰς γ' καὶ ς', προκείμενον ἦχος α'· Τὸ στόμα μου λαλήσει σοφίαν, στίχος· Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη, ὁ ἀπόστολος πρὸς Κορινθίους α'· Ἀδελφοί, σοφίαν λαλοῦμεν, ζήτει σαββάτῳ ιγ', Ἀλληλούια [стр. 272) ἦχος β', Οἱ ἱερεῖς σου, Κύριε, στίχος· Τοὺς ἱερεῖς αὐτῆς ἐνδύσει, εὐαγγέλιον κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ὑμεῖς ἐστὲ τὸ φῶς, κοινωνικόν· Εἰς πᾶσαν τὴν γῆν.

Περὶ τῆς αὐτῆς ἑρτῆς, εἰ τύχοι τοῦ τελώνου καὶ τοῦ φαρισαίου, ἢ τοῦ ἀσώτου, ἢ τοῦ ἀποκρέω. Σημειωτέον δὲ οὕτω ποιεῖν καὶ ἐν ταῖς λοιπαῖς μνήμαις τῶν μεγάλων ἁγίων, ἤγουν Ἀντωνίου, Εὐθυμίου,

Γρηγορίου τοῦ Θεολόγου καὶ τοῦ Χρυσοστόμου, εἰ τύχοι ἑκάστη τούτων ἐν μιᾷ τῶν ἀναγεγραμμένων κυριακῶν.

Μάρκου μοναχοῦ, κεφ. ξα'. Χρὴ εἰδέναι, ὅτι, εἰ τύχοι ἡ ἑορτὴ τῶν τριῶν ἱεραρχῶν τῇ κυριακῇ τοῦ τελώνου καὶ τοῦ φαρισαίου, ἢ τοῦ ἀσώτου, ἢ τῆς ἀπόκρεω, ἐν τῷ μικρῷ ἑσπερινῷ στιχηρὰ ἀναστάσιμα καὶ τῆς Θεοτόκου, ὡς σύνηθες, εἰ δὲ βούλει, εἰπὲ τὰ στιχηχηρὰ τοῦ ἀλφαβήτου, διὰ τὸ ἵνα ἐν τῷ μεγάλῳ ἑσπερινῷ εἰς τὸν στίχον εἴπῃς τῶν ἁγίων τὰ στιχηρά.

Ἐν δὲ τῷ μεγάλῳ ἑσπερινῷ μετὰ τὴν συνήθη δοξολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα στιχηρὰ ἀναστάσιμα γ', ἀνατολικὸν α', τοῦ Τριῳδίου γ καὶ τῶν ἁγίων γ', Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν θεοτοκίον τὸ α' τοῦ ἤχου. Εἰς τὴν λιτὴν στιχηρὰ τοῦ ἁγίου τῆς μονῆς καὶ ἰδιόμελα τοῦ Τριῳδίου, τὰ εἰς τοὺς αἴνους, καὶ ἰδιόμελα τῶν ἁγίων, τὰ εἰς τὴν λιτήν, Δόξα ἦχος πλ. β'· Τὰς μυστικὰς σήμερον, Καὶ νῦν θεοτοκίον δογματικὸν εἰς τὸν αὐτὸν ἦχον, ἢ τῆς ἐπιούσης ἑορτῆς, δηλαδὴ τῆς Ὑπαπαντῆς, ἦχος ὁ αὐτός, εἰς τὸν στίχον τὸ ἀναστάσιμον στιχηρὸν τοῦ στίχου καὶ τοῦ ἀλφαβήτου, ἢ τῶν ἁγίων τὰ στιχηρά, ὡς δεδήλωται, Δόξα τῶν ἁγίων, Καὶ νῦν τοῦ Τριῳδίου, εἰς τὴν εὐλόγησιν τῶν ἄρτων τροπάριον [**стр. 273**) τῶν ἁγίων, δίς, καὶ τὸ Θεοτόκε Παρθένε, ἅπαξ. Εἰ δὲ βούλει, ἀναστάσιμον πρῶτον, εἶτα τῶν ἁγίων, εἶτα τὸ Θεοτόκε Παρθένε [1]), ἡ α' ἀνάγνωσις εἰς τὰς ἐπιστολάς, αἱ δὲ ἕτεραι εἰς τὴν Σύνοψιν τῶν βίων τῶν ἁγίων, τὸ ἐγκώμιον τοῦ Εὐχαΐτων καὶ τῆς κυριακῆς, εἰ ἔχεις. Ἐν τῷ ὄρθρῳ, εἰς τὸ Θεὸς Κύριος, τροπάριον τὸ ἀναστάσιμον, δίς, Δόξα τῶν ἁγίων, Καὶ νῦν θεοτοκίον τὸ α' τοῦ αὐτοῦ ἤχου, ἡ συνήθης στιχολογία καὶ ὁ πολυέλεος, ἢ ὁ Ἄμωμος τῶν ἁγίων, ὡς δεδήλωται. Μετὰ τὴν στιχολογίαν τοῦ ψαλμοῦ, λέγομεν καθίσματα ἀναστάσιμα μετὰ τῶν θεοτοκίων αὐτῶν [2]). Μετὰ δὲ τὸν πολυέλεον, ἢ τὸν Ἄμωμον μον, τὰ ἀναστάσιμα τροπάρια, εἶτα ἡ ὑπακοὴ τοῦ ἤχου καὶ καθίσματα τῶν ἁγίων, Δόξα τὸ αὐτό, Καὶ νῦν, θεοτοκίον ἐγκωμιαστικόν, οἱ ἀναβαθμοὶ τοῦ ἤχου, προκείμενον, Πᾶσα πνοὴ καὶ εὐαγγέλιον ἀναστάσιμον. Μετὰ τὸν ν' τροπάρια τὰ ἐν τῷ Τριῳδίῳ, ὡς σύνηθες, οἱ κανόνες· ὁ ἀναστάσιμος εἰς δ', τοῦ Τριῳδίου εἰς δ' καὶ τῶν ἁγίων ὁ κανὼν πλ. δ' εἰς ς'. Τῇ δὲ κυριακῇ τῆς ἀπόκρεω, πρῶτον τῶν ἁγίων εἰς δ',

---

[1]) Подчеркнутыя слова въ Кост. ркп. имѣются съ боку. [2]) Подчеркнутыхъ словъ нѣтъ.

εἶτα τοῦ Τριῳδίου εἰς ϛ', διὰ τὸ ἔχειν καὶ τριαδικά. ἀπὸ γ' ᾠδῆς, τὸ κοντάκιον τῶν ἁγίων καὶ τὸν οἶκον, εἶτα καθίσματα τῶν ἁγίων, Δόξα καὶ νῦν τοῦ Τριῳδίου, ἀφ' ϛ', τὸ κοντάκιον τοῦ Τριῳδίου [1]). Εἰς τοὺς αἴνους στιχηρὰ ἀναστάσιμα δ' καὶ προσόμοια τῶν ἁγίων γ' καὶ τὸ ἰδιόμελον, τὸ εἰς τὸ Δόξα μετὰ τῶν στίχων τῶν ἁγίων, Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν, Ὑπερευλογημένη, δοξολογία μεγάλη καὶ ἀπόλυσις. Ἡ δόσις τοῦ ἁγίου ἐλαίου, ἐν ᾗ ψάλλομεν τὰ ἰδιόμελα τῶν ἁγίων, Δόξα καὶ νῦν τὸ ἑωθινὸν ἰδιόμελον καὶ ἡ α' ὥρα ἐν τῷ νάρθηκι [стр. 244). Ἐν ταῖς ὥραις τροπάριον τὸ ἀναστάσιμον, Δόξα τῶν ἁγίων, Καὶ νῦν θεοτοκίον τῶν ὡρῶν, κοντάκιον τοῦ Τριῳδίου. Εἰς τὴν λειτουργίαν τυπικὰ καὶ μακαρισμοὶ τοῦ ἤχου εἰς ϛ', καὶ τῶν ἁγίων ἡ ϛ' ᾠδὴ εἰς δ'. Εἰ δὲ βούλει, οἱ μακαρισμοὶ τοῦ ἤχου εἰς δ', τοῦ Τριῳδίου ἡ γ' ᾠδὴ εἰς δ' καὶ τῶν ἁγίων εἰς δ', ἡ ϛ' ᾠδή, τροπάριον τὸ ἀναστάσιμον καὶ τῶν ἁγίων, Δόξα, τὸ κοντάκιον τῶν ἁγίων, Καὶ νῦν, τοῦ Τριῳδίου, προκείμενον, ἀπόστολος, Ἀλληλούια, εὐαγγέλιον καὶ κοινωνικά, πρῶτον τῆς ἡμέρας, εἶτα τῶν ἁγίων.

Τὸ τοῦ Διονυσίου εἰς ι' (о канонѣ). Ὡσαύτως, εἰ τύχοι δ' ἢ ϛ', (отданіе Срѣтенія) ὁ κανὼν τῆς ἑορτῆς εἰς ι' καὶ τοῦ ὁλοκλήρου κανόνος εἰς δ' αἱ ᾠδαί, ἔνθα δὲ τύχοι ᾠδὴ τοῦ Τριῳδίου, ὁ κανὼν τῆς ἑορτῆς εἰς ϛ' καὶ τοῦ Τριῳδίου εἰς η' (Ταῦτα πάντα εἰ ἐστὶ μονόειρμον τὸ Τριῴδιον, εἰ δὲ δίειρμον οὐδὲν διαλαμβάνει, ἔτι ἡ διαληφθεῖσα ἑρμηνεία περὶ τῆς ἀποδόσεως ἀπέβλεπον ὅλως, ἵνα μὴ ἐμπέσῃ δ' ἢ ϛ', καὶ νῦν λέγει πάλιν δ' ἢ ϛ', ὅθεν περιττά μοι δοκεῖ) καταβασία τῆς ἑορτῆς, ἡ Τιμιωτέρα οὐ στιχολογεῖται [стр. 287).

О повечеріи на Обрѣтеніе главы св. Предтечи въ субботу первой недѣли въ Типиконѣ замѣчается: Εἰς τὰ ἀπόδειπνα τροπάρια τῶν ἀμφοτέρων, κοντάκιον τοῦ Προδρόμου καὶ αὖθις κοντάκιον τοῦ ἁγίου, а внизу примѣчаніе: Ὡς δοκεῖ, μέγα λέγει, ἀλλ' οὐκ εἴθισται καὶ τὸ τοῦ Διονυσίου μικρὸν ἀπόδειπνον αἰνίττεται, λέγον μόνον κοντάκιον τῶν ἀμφοτέρων καὶ ὁ κανὼν τῆς μονῆς εἰς τὸ ἀπόδειπνον, ὅπερ καὶ βούλεται ἀείποτε, ὅτε οὐ ψάλλεται ἐν τῷ ὄρθρῳ, νῦν δὲ ψαλλομένου, βέλτιον εἰπεῖν τὸν ἕνα κανόνα τοῦ ἁγίου Θεοδώρου [стр. 301), Діон. Тип. [л. 100 об.).

[1]) τὸ κοντάκιον Τριῳδίου, ἐξαποστειλάριον τὸ ἀναστάσιμον τῶν ἁγίων καὶ τοῦ Τριῳδίου. Εἰς τοὺς αἴνους. . .

Περὶ τῆς μνήμης τῶν ἁγίων μ', εἰ τύχοι τῷ σαββάτῳ τῆς ἀκαθίστου [стр. 308).

Μάρκου μοναχοῦ κεφ. οθ'. Χρὴ εἰδέναι, ὅτι εἰ τύχοι ἡ μνήμη τῶν ἁγίων μ' τῷ σαββάτῳ τῆς ἀκαθίστου, ἑσπέρας ἐν τῷ λυχνικῷ, μετὰ τὴν συνήθη στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στιχηρὰ ι καὶ ψάλλομεν τὸ ἰδιόμελλον τῆς ἡμέρας δίς, τῆς ἑορτῆς προσόμοια ἦχος πλ. β' εἰς ε' καὶ τῶν ἁγίων γ'· Φέροντες τὰ παρόντα, Δόξα τῶν ἁγίων ἦχος β'· Προφητικῶς μὲν ἐβόα, Καὶ νῦν τῆς ἑορτῆς ὁ αὐτός· Τὸ ἀπ' αἰῶνος μυστήριον, τὰ ἀναγνώσματα τῆς ἡμέρας, ἡ λοιπὴ ἀκολουθία τῶν προηγιασμένων, ἐν ᾗ ποιοῦμεν καὶ τὰς ἀποτεταγμένας μετανοίας εἰς τὴν προηγιασμένην. Τὰ τετραῴδια τῆς ἡμέρας ψάλλομεν [стр. 309) ἐν τοῖς ἀποδείπνοις. Ἐν τῷ ὄρθρῳ, εἰς τὸ Θεὸς Κύριος, τροπάριον τῆς ἑορτῆς δίς [1]), Δόξα τῶν ἁγίων, Καὶ νῦν αὖθις τῆς ἑορτῆς, ἡ συνήθης στιχολογία, καὶ μετὰ τὸ α' καὶ β' κάθισμα ἀναγινώσκομεν τοὺς οἴκους τῆς ἑορτῆς (ὡς σύνηθες, ὁμοίως καὶ ἀναγνώσεις εἰς τὸν λόγον τῆς ἑορτῆς) ὁ ν', οἱ κανόνες τῆς ἑορτῆς μετὰ τῶν εἱρμῶν εἰς η' καὶ τῶν ἁγίων δίχα τῶν εἱρμῶν εἰς ϛ', εἰ ἐστὶ κανὼν τῶν ἁγίων ἦχος δ', λέγομεν τοῦτον, καταβασία· Ἀνοίξω τὸ στόμα μου. Ἀπὸ γ' ᾠδῆς, κοντάκιον τῆς ἑορτῆς καὶ οἴκους ϛ', εἶτα κοντάκιον τῶν ἁγίων καὶ τὸν οἶκον, καὶ εὐθὺς κάθισμα τῶν ἁγίων, Δόξα καὶ νῦν τῆς ἑορτῆς, ἐκ τῶν καθισμάτων τοῦ Εὐαγγελισμοῦ, καὶ ἀνάγνωσις εἰς τὸ ἐγκώμιον τῶν ἁγίων, ἀφ' ϛ', κοντάκιον τῆς ἑορτῆς καὶ οἴκους ϛ', καὶ πάλιν τὸ κοντάκιον καὶ τὸν οἶκον, ἐν ᾧ καθήμεθα, εἶτα ἀνάγνωσις τῶν ἁγίων, ἐν τῇ θ' ᾠδῇ ἡ Τιμιωτέρα οὐ στιχολογεῖται, ἐξαποστειλάριον τῶν ἁγίων καὶ τῆς ἑορτῆς. Εἰς τοὺς αἴνους, Πᾶσα πνοή, ἱστῶμεν στίχους ϛ' καὶ ψάλλομεν στιχηρὰ προσόμοια τῆς ἑορτῆς γ' καὶ τῶν ἁγίων προσόμοια γ', ἦχος πλ. α', Δόξα τῶν ἁγίων, ἦχος β'· Ἀληθείας κρατῆρα, Καὶ νῦν τῆς ἑορτῆς, ἦχος δ'· Γλῶσσαν, ἣν οὐκ ἔγνω, δοξολογία μεγάλη. Μετὰ τὸ Τρισάγιον τροπάρια τῶν ἁγίων, Δόξα καὶ νῦν τῆς ἑορτῆς, ἐκτενὴς καὶ τὰ λοιπὰ συνήθως καὶ ἀπόλυσις [2]). Ἐν ταῖς ὥραις τροπάρια τῆς ἑορτῆς καὶ τῶν ἁγίων, κοντάκιον τῆς ἑορτῆς. Εἰς τὴν λειτουργίαν τυπικὰ καὶ ἐν τοῖς μακαρισμοῖς τῆς ἑορτῆς, ἡ γ' ᾠδὴ εἰς δ' καὶ τῶν ἁγίων ἡ ϛ' ᾠδὴ εἰς δ', τροπάρια τῆς ἑορτῆς καὶ τῶν ἁγίων, Δόξα, τὸ κοντάκιον τῶν ἁγίων, Καὶ νῦν τῆς ἑορτῆς, προκείμενον, ἀπό-

---

[1]) Слова: δὶς нѣтъ. [2]) Καὶ ἀπόλυσις. Καὶ ἡ α' ὥρα ἐν τῷ νάρθηκι. Εἰ βούλει, καὶ τὴν κατήχησιν τῶν ἁγίων, ἐν ταῖς ὥραις. . .

στολος, Ἀλληλούια, εὐαγγέλιον καὶ κοινωνικόν, πρῶτον τῆς ἑορτῆς, εἶτα τῶν ἁγίων· τὸ δὲ τῆς ἡμέρας ἀποστολοευαγγέλιον [стр. 310) καταλιμπάνεται [1]).

Περὶ τῆς αὐτῆς ἑορτῆς (Εὐαγγελισμοῦ), εἰ τύχοι τῇ μεγάλῃ παρασκευῇ.

Μάρκου μοναχοῦ κεφ. ϟγ' [стр. 334). Χρὴ εἰδέναι, ὅτι, εἰ τύχοι ἡ τοιαύτη ἑορτὴ τῇ μεγάλῃ παρασκευῇ [2]) [стр. 335), ἐν τῇ μεγάλῃ ε' ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ι' καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα τῆς ἡμέρας, τοὺς ε' δευτέρους, καὶ τῆς ἑορτῆς ἰδιόμελα ἦχος ὁ αὐτός· Εὐαγγελίζεται ὁ Γαβριήλ, καὶ ἕτερα ἰδιόμελα, τοὺς δ' τεταρταίους, Δόξα ἦχος πλ. β' τῆς ἡμέρας· Γέννημα ἐχιδνῶν, Καὶ νῦν τῆς ἑορτῆς ὁ αὐτός· Ἀπεστάλη ἐξ οὐρανοῦ, εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, τὸ Φῶς ἱλαρόν, τὰ ἀναγνώσματα τῆς ἡμέρας, εἶτα τῆς ἑορτῆς τὰ γ', ἡ συναπτή, Τρισάγιον, προκείμενον, ἀπόστολος, Ἀλληλούια,

---

[1]) Εἰ τύχοι λειτουργία τῶν ἁγίων ἐν τῇ παραμονῇ τοῦ μεγάλου κανόνος, ἱστῶμεν στίχους ἀπὸ τοῦ Πεσοῦνται, καὶ λέγομεν τὸ ἰδιόμελον τῆς ἡμέρας δὶς καὶ τὸ μαρτυρικόν, τὰ γ' προσόμοια τοῦ Τριῳδίου, καὶ ἐκ τῶν κατὰ ἀλφάβητον, ἐῶντες ἐκ τούτων ς', καὶ λέγομεν τῶν ἁγίων δ', Δόξα τῶν ἁγίων, Καὶ νῦν θεοτοκίον, τὰ δὲ καταλειφθέντα τὸ πρωῒ τῆς ε' εἰς τοὺς αἴνους. Εἰ δὲ τύχοι ἡ παραμονὴ τῶν ἁγίων κυριακῇ, ἑσπέρας ἱστῶμεν στιχηρὰ ι' κατανυκτικὰ δ', τὰ τοῦ Τριῳδίου προσόμοια γ' καὶ τῶν ἁγίων γ', Δόξα τῶν ἁγίων, Καὶ νῦν θεοτοκίον, εἰς τὸν στίχον τὸ ἰδιόμελον δίς, τὸ μαρτυρικόν, Δόξα τῶν ἁγίων, Καὶ νῦν θεοτοκίον, τὸ τροπάριον τῶν ἁγίων χύμα, τὸ Κύριε ἐλέησον μ', αἱ τρεῖς μεγάλαι μετάνοιαι μόνον, καὶ εὐθὺς Δόξα καὶ νῦν καὶ ἀπόλυσις. Ὡσαύτως καὶ εἰς τὸν ὄρθρον οὐ γίνεται ἐκτενὴς μετὰ τὸ ἀπολυτίκιον, ἀλλ' εὐθὺς τὸ Κύριε ἐλέησον κ. τ. λ., αἱ τρεῖς μεγάλαι μετάνοιαι, καὶ εὐθύς· Δεῦτε προσκυνήσωμεν, ἡ α' ὥρα καί, μετὰ τὰς γ' μεγάλας μετανοίας τῆς α' ὥρας, Τρισάγιον οὐ λέγομεν, ἀλλ' εὐθύς· Χριστὲ τὸ φῶς. Καὶ ἐν τῷ τέλει τῶν τυπικῶν, ὡς εἴρηται, καὶ ἐν τῷ μεγάλῳ ἀποδείπνῳ τῆς παραμονῆς, μετὰ τὰς γ' μεγάλας μετανοίας, εὐθὺς τὸ Ἄσπιλε, οὐδὲ τὸ Δέσποτα πολυέλεε λέγεται, ἀλλὰ μετὰ τὸ Τὴν πᾶσαν ἐλπίδα μου, Δόξα καὶ νῦν καὶ ἀπόλυσις, καὶ τὸ Εὐξώμεθα. Λέγεται δὲ τὰ πάντα χύμα, καὶ τὸ ἀπολυτίκιον ἀντὶ τοῦ Φώτισον, καὶ τὸ κοντάκιον, ἀντὶ τοῦ Ἐλέησον ἡμᾶς, καὶ εἷς κανών, ἢ τῆς Θεοτόκου, ἢ τοῦ Μηναίου. Ἐν δὲ τῇ ἑορτῇ ἑσπέρας τὸ μέγα ἀπόδειπνον ψάλλεται ὡς καθ' ἑκάστην, ἐπεὶ ἡ ἑορτὴ ἀπεδόθη, πλὴν ἐν τῇ τοῦ Εὐαγγελισμοῦ, καὶ τότε γὰρ χύμα κ. τ. λ. Πλὴν τῶν ιε' μετανοιῶν, μὴ ἀφαιρουμένων. Ταῦτα καὶ ἐν τῇ τοῦ Προδρόμου κοινά, ὡς καὶ τὰ ἐν τῇ τοῦ Προδρόμου κοινὰ εἰς ταύτην.

Ἔτι εἰ τύχοι μία τῶν β' ἑορτῶν τῷ β', ἢ γ', ἢ δ' σαββάτῳ τῶν νηστειῶν, εἰς τὸν ὄρθρον, εἰς τοὺς κανόνας. τὸν κανόνα τῆς μονῆς εἰς ς' καὶ τῆς ἑορτῆς εἰς ι', ὅτε δὲ ἄρχονται τὰ τετραῴδια (ἀλλαχοῦ δὲ λέγει, ὅτι ψάλλονται ταῦτα εἰς τὸ ἀπόδειπνον, καὶ ποιεῖ, ὃ βούλει), ὁ κανὼν τῆς ἑορτῆς εἰς ς' καὶ τὰ τετραῴδια εἰς η', καταβασίαν δὲ ἐν πάσαις ταῖς ᾠδαῖς τὸ Ἀνοίξω τὸ στόμα μου, καταλιμπανομένων δηλαδὴ τῶν καταβασιῶν τοῦ Τριῳδίου, οὔτε δὲ τὴν ζ' καὶ η' ὅλας στιχολογοῦμεν, ἀλλὰ κρατοῦμεν στίχους ιβ' καὶ Πᾶσα πνοή, τὴν μεγάλην δοξολογίαν ψάλλομεν. Εἰ δ' ἐν ἄλλῃ ἡμέρᾳ τῶν ε' ἡμερῶν τῆς ἑβδομάδος, οὐδὲ καταβασίαν, οὐδὲ Πᾶσα πνοή, δηλαδὴ τοὺς αἴνους, ἢ οὐδὲ μεγάλην δοξολογίαν. [2]) παρασκευῇ. Εἰς τὴν παραμονήν, ἐν τῇ μεγάλῃ. . ..

εὐαγγέλιον καὶ κοινωνικὸν τῆς ἡμέρας, ὁμοίως καὶ ἡ λοιπὴ ἀκολουθία τῆς ἡμέρας. Εἰς τὴν τράπεζαν καταλύομεν ἔλαιον καὶ οἶνον.

Περὶ δὲ ὥραν α' τῆς νυκτὸς σημαίνει τὰς βαρέας, τὸ μέγα καὶ τὸ σιδηροῦν καὶ ἀρχόμεθα τοῦ ὄρθρου. Εἰς τὸ Θεὸς Κύριος, τροπάριον τῆς ἑορτῆς, δίς, Δόξα καὶ νῦν τῆς ἡμέρας ἅπαξ, εἶθ' οὕτω ποιεῖ μικρὰν συναπτὴν ὁ ἱερεύς, καὶ λέγει τὸ πρῶτον εὐαγγέλιον τῶν ἁγίων παθῶν, [εἶτα τὰ ἀντίφωνα καὶ τὰ εὐαγγέλια κατὰ τὴν τάξιν αὐτῶν. Μετὰ δὲ τὴν συμπλήρωσιν τῶν ἀντιφώνων, ἀντὶ καθισμάτων τὸ κοντάκιον τῆς ἡμέρας μόνον· Τὸν δι' ἡμᾶς σταυρωθέντα, εἶτα τὸ ἐνόρδινον, εὐαγγέλιον, οἱ μακαρισμοὶ τῶν ἁγίων παθῶν ἦχος δ', εἶτα προκείμενον τῶν ἁγίων παθῶν ἦχος δ'· Διεμερίσαντο τὰ ἱμάτιά μου, στίχος· Ὁ Θεός, ὁ Θεός μου, πρόσχες μοι, εὐαγγέλιον, τὸ ἐνόρδινον καὶ ἀνάγνωσις τῆς ἡμέρας, οἱ ἀναβαθμοί, τὸ α' ἀντίφωνον τοῦ δ' ἦχου, προκείμενον, Πᾶσα πνοὴ καὶ εὐαγγέλιον τῆς ἑορτῆς, σὺν τούτῳ δὲ καὶ τῶν ἁγίων παθῶν, τὸ ἐνόρδινον, τὸ μετὰ τὸν ν' λεγόμενον, εἶτα ὁ ν', τὸ στιχηρὸν τῆς ἑορτῆς, ὁ κανὼν τῆς ἑορτῆς μετὰ τῶν εἱρμῶν εἰς ιδ', ὕστερον δὲ τοὺς εἱρμοὺς αὐτοῦ, καταβασία ὁμοῦ οἱ δύο χοροί. Ἔνθα δὲ τύχοι τοῦ Τριῳδίου ᾠδή, τῆς ἑορτῆς μετὰ τὸν εἱρμῶν εἰς η' καὶ τοῦ Τριῳδίου ὁμοίως μετὰ τῶν εἱρμῶν εἰς η', καὶ καταβασία τοὺς εἱρμοὺς τοῦ Τριῳδίου ὁμοῦ οἱ δύο χοροί· ἀπὸ γ' ᾠδῆς, κάθισμα [**стр. 336**) τῆς ἑορτῆς καὶ ἀνάγνωσις· Πάλιν χαρᾶς εὐαγγέλια, ἀφ' ς', κοντάκιον τῆς ἑορτῆς καὶ ὁ οἶκος, εἶτα καὶ ὁ οἶκος τοῦ κοντακίου τῆς ἡμέρας· Τὸν ἴδιον ἄρνα, καὶ ἀνάγνωσις εἰς τὸ Συναξάριον, εἶτα καὶ λόγον τῆς ἡμέρας, ἐξαποστειλάριον τῆς ἑορτῆς δίς, καὶ τῆς ἡμέρας ἅπαξ, καὶ εὐθέως εὐαγγέλιον θ' κατὰ Ἰωάννην. Εἰς δὲ τοὺς αἴνους στιχηρὰ ἰδιόμελα τῆς ἑορτῆς ἦχος α', ἢ προσόμοια, Δόξα τῆς ἡμέρας ἦχος πλ. β'· Ἐξέδυσάν με τὰ ἱμάτιά μου, Καὶ νῦν τῆς ἑορτῆς ἦχος β'· Τὸ ἀπ' αἰῶνος μυστήριον, καὶ εὐθέως τὸ ι' εὐαγγέλιον, εἶθ' οὕτως τὸ Δόξα ἐν ὑψίστοις Θεῷ, ὁ ἱερεὺς τὴν συναπτήν· Πληρώσωμεν τὴν δέησιν, καὶ μετὰ τὴν ἐκφώνησιν, εὐαγγέλιον τὸ ια' κατὰ Ἰωάννην, εἶθ' οὕτως στιχηρὰ ἰδιόμελα τῆς ἡμέρας, τὸν α' τοὺς γ' τρίτους, μετὰ τῶν στίχων τῆς ἡμέρας, Δόξα τῆς ἡμέρας ἦχος πλ. δ'· Κύριε, ἀναβαίνοντός σου, Καὶ νῦν τῆς ἑορτῆς ὁ αὐτός· Εὐφραινέσθωσαν οἱ οὐρανοί, καὶ εὐθέως τὸ ιβ' εὐαγγέλιον, εἶτα Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι, Τρισάγιον, τροπάριον ἦχος δ'· Ἐξηγόρασας ἡμᾶς, Δόξα καὶ νῦν τοῦ Εὐαγγελισμοῦ, ἡ ἐκτενή, Σοφία καὶ ἀπόλυσις. Ἡ δὲ α' ὥρα ψάλλεται τὸ πρωΐ, ὡς διατέτακται τῇ μεγάλῃ παρασκευῇ· λέγεται δὲ ἐν αὐτῇ

τροπάριον τῆς ἑορτῆς, Δόξα, τροπάριον τῆς ὥρας, Καὶ νῦν ὁμοίως, θεοτοκίον τῆς ὥρας, κοντάκιον τῆς ἡμέρας. Περὶ δὲ ὥραν ε′ ἢ δ′ σημαίνει τὸ μικρὸν καὶ ποιοῦμεν λιτὴν ἔξω τῆς μονῆς καί, ὑποστρέφοντες, ψάλλομεν τὰς γ′ ὥρας μετὰ τῶν τροπαρίων, τῶν ἀναγνωσμάτων, τῶν ἀποστολοευαγγελίων, τῶν ἀναγνώσεων καὶ τῆς ἄλλης ἀκολουθίας αὐτῶν. Λέγεται δὲ ἐν αὐταῖς τροπάριον τῆς ἑορτῆς καὶ τὰ τροπάρια καὶ θεοτοκία τῶν ὡρῶν, κοντάκιον δὲ τῆς ἡμέρας. Μετὰ τὴν θ′ ὥραν ψάλλομεν τὰ τυπικὰ χύμα, ἤτοι τοὺς μακαρισμούς, καὶ τὸ Μνήσθητι ἡμῶν, χύμα καὶ ἄνευ μέλους, Πιστεύω εἰς ἕνα Θεόν, Ἄνες, ἄφες, **[стр. 337)** Πάτερ ἡμῶν, κοντάκιον τῆς ἡμέρας, Δόξα καὶ νῦν τῆς ἑορτῆς, Κύριε ἐλέησον μ′ καὶ ἀπόλυσις· τὸ γὰρ Εὐλογήσω τὸν Κύριον, ἐνταῦθα οὐ λέγεται, διὰ τὸ μέλλειν αὐτὸ εἰπεῖν ἐν τῇ λειτουργίᾳ.

Περὶ δὲ τὴν ἁρμόζουσαν ὥραν σημαίνει τὸ μέγα, καὶ ἀρχόμεθα τοῦ λυχνικοῦ, ὁ δὲ ἱερεὺς ποιεῖ τὴν προσκομιδήν. Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ι′ καὶ ψάλλομεν στιχηρὰ προσόμοια τῆς ἑορτῆς ἦχος πλ. β′· Βουλὴν προαιώνιον, δευτεροῦντες τὸ α′ τῆς ἡμέρας ἰδιόμελον, τοὺς γ′ δευτέρους καὶ τὰ ἀπολυτίκια γ′ προσόμοια ἦχος ὁ αὐτός· Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν, Δόξα τῆς ἡμέρας ἦχος πλ. β′· Ὢ πῶς ἡ παράνομος, Καὶ νῦν τῆς ἑορτῆς ὁ αὐτός· Ἀπεστάλη ἐξ οὐρανοῦ, εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, τὸ Φῶς ἱλαρόν, προκείμενον, ἀναγνώσματα τῆς ἡμέρας καὶ τῆς ἑορτῆς τὰ β′, συναπτή, Τρισάγιον, προκείμενον, ἀπόστολος, Ἀλληλούια καὶ εὐαγγέλιον, πρῶτον τῆς ἑορτῆς, εἶτα τῆς ἡμέρας καὶ καθ' ἑξῆς ἡ θεία λειτουργία τοῦ Χρυσοστόμου. Κοινωνικὸν τῆς ἑορτῆς. Εἰς τὴν τράπεζαν καταλύομεν οἶνον καὶ βράσμα ἄνευ ἐλαίου.

Περὶ τῆς ἑορτῆς τοῦ Εὐαγγελισμοῦ, εἰ τύχοι τῷ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ. Μάρκου μοναχοῦ κεφ. ϟδ′. Χρὴ εἰδέναι, ὅτι ἐὰν τύχῃ ὁ Εὐαγγελισμὸς τῷ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ, ἑσπέρας τῇ μεγάλῃ παρασκευῇ ἐν τῷ λυχνικῷ εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ι′ καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα τῆς ἡμέρας τοὺς γ′ δευτέρους καὶ τοὺς β′ πλ. β′· Σήμερον ὁ Δεσπότης τῆς κτίσεως, καὶ Φοβερὸν καὶ παράδοξον, εἶτα τῆς ἑορτῆς προσόμοια ἦχος ὁ αὐτός, τὸ Βουλὴν προαιώνιον, ποιοῦντες αὐτὰ ε′, Δόξα τῆς ἡμέρας ὁ αὐτός· Ὢ πῶς ἡ παράνομος συναγωγή, Καὶ νῦν τῆς ἑορτῆς ὁ αὐτός· Ἀπεστάλη ἐξ οὐρανοῦ, εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, τὸ Φῶς ἱλαρόν, **[стр. 338)** καὶ ἀναγνώσματα τῆς ἡμέρας, εἶτα τῆς ἑορτῆς καὶ τὰ πέντε. Μετὰ δὲ τὰ ἀναγνώσματα προκείμενον, ἀπόστολος, Ἀλληλούια καὶ εὐαγγέλιον τῆς ἡμέρας, εἶθ' οὐ-

τως· Εἴπωμεν πάντες, τὸ Καταξίωσον, ὁ ἱερεύς· Πληρώσωμεν, καὶ μετὰ τὴν ἐκφώνησιν στιχηρὰ προσόμοια τῆς ἡμέρας ἦχος β'· Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν, καὶ τὰ ἕτερα β' μετὰ τῶν στίχων αὐτῶν, ὁμοίως καὶ τῆς ἑορτῆς ἰδιόμελα τοὺς δύο δευτέρους, μετὰ τῶν στιχηρῶν τῆς ἑορτῆς, Δόξα τῆς ἡμέρας ἦχος πλ. α'· Σὲ τὸν ἀναβαλλόμενον, Καὶ νῦν τῆς ἑορτῆς ἦχος πλ. δ'· Εὐφραινέσθωσαν οἱ οὐρανοί, τροπάριον τῆς ἑορτῆς, Δόξα καὶ νῦν ἦχος β'· Ὁ εὐσχήμων Ἰωσήφ, ἕως τοῦ Κηδεύσας ἀπέθετο, Σοφία καὶ ἀπόλυσις, τὰ δὲ ἀπόδειπνα ψάλλομεν ἐν τοῖς κελλίοις.

Περὶ δὲ ὥραν β' τῆς νυκτὸς σημαίνει καὶ ἀρχόμεθα τοῦ ὄρθρου· εἰς τὸ Θεὸς Κύριος, τροπάριον τῆς ἡμέρας ἦχος β'· Ὁ εὐσχήμων Ἰωσήφ, Ὅτε κατῆλθες, ἅπαξ, Δόξα, Ταῖς μυροφόροις γυναιξὶν ἕως τοῦ Ἐδείχθη ἀλλότριος, Καὶ νῦν τῆς ἑορτῆς, καὶ εὐθέως ψάλλομεν τὸν Ἄμωμον μετὰ τῶν μεγαλυναρίων αὐτοῦ, ὡς ἐν τῷ μεγάλῳ σαββάτῳ διατέτακται, εἶτα τὰ ἀναστάσιμα τροπάρια, ἦχος πλ. α'· Τῶν ἀγγέλων ὁ δῆμος κ. τ. λ., εἶτα καθίσματα τῆς ἡμέρας καὶ ἀνάγνωσις τῆς ἡμέρας, εἶτα ὁ πολυέλεος, καὶ καθίσματα καὶ ἀνάγνωσις τῆς ἑορτῆς, οἱ ἀναβαθμοί, τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου, προκείμενον, Πᾶσα πνοὴ καὶ εὐαγγέλιον τῆς ἑορτῆς, ὁ ν' καὶ στιχηρὸν ἰδιόμελον τῆς ἑορτῆς, οἱ κανόνες τῆς ἑορτῆς μετὰ τῶν εἱρμῶν εἰς η' καὶ τῆς ἡμέρας ὁμοίως μετὰ τῶν εἱρμῶν εἰς η', καταβασία, τοὺς εἱρμοὺς τοῦ κανόνος τῆς ἡμέρας ὁμοῦ οἱ β' χοροί. Ἀπὸ γ' ᾠδῆς, κοντάκιον τῆς ἡμέρας καὶ τὸν οἶκον, εἶτα καθίσματα τῆς ἡμέρας, Δόξα καὶ νῦν τῆς ἑορτῆς καὶ ἀνάγνωσις τῆς ἑορτῆς· Πάλιν χαρᾶς εὐαγγέλια. Ἀφ' ἕκτης, κοντάκιον τῆς ἑορτῆς καὶ ἀνάγνωσις τῆς ἡμέρας, εἰ ἔχει ὥραν. Μετὰ τὴν θ' ᾠδὴν **[стр. 339)**, τὸ Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν, εἰς ἦχον β', ἐξαποστειλάριον τῆς ἑορτῆς ἐκ γ'. Εἰς τοὺς αἴνους, Πᾶσα πνοή, ἱστῶμεν στίχους ς' καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα τῆς ἑορτῆς, τοὺς γ' πρώτους καὶ τῆς ἡμέρας τοὺς γ' δευτέρους, Δόξα ἦχος πλ. β'· Ἠτήσατο Ἰωσήφ, Καὶ νῦν, Ὑπερευλογημένη, δοξολογία μεγάλη. Τοῦ δὲ ἱερέως ἀλλάξαντος πᾶσαν τὴν ἱερατικὴν στολήν, γίνεται ἡ εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. Καὶ ἡ ἑτέρα ἅπασα ἀκολουθία, ὡς ἐν τῷ μεγάλῳ σαββάτῳ διαλαμβάνεται, ὁμοίως καὶ ἡ τῶν ὡρῶν ἀκολουθία, λιτὴν δὲ ἐν αὐτῇ τῇ ἡμέρᾳ οὐ ποιοῦμεν.

Ἐν ταῖς ὥραις λέγομεν πάντα τὰ τροπάρια τῆς ἑορτῆς, Δόξα τῆς ἡμέρας, Καὶ νῦν θεοτοκίον τῆς ὥρας, τὰ δὲ κοντάκια ἐναλλάσσονται,

*

ἤγουν ἐν τῇ μιᾷ τῆς ἑορτῆς, ἐν δὲ τῇ ἑτέρᾳ τῆς ἡμέρας, τροπάριον δὲ τῆς ἡμέρας λέγομεν τὸ Ὁ εὐσχήμων Ἰωσήφ.

Περὶ [1]) δὲ ὥραν ιβ′ σημαίνει τὸ μέγα καὶ ἀρχόμεθα τοῦ λυχνικοῦ. Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ι′ καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα γ′ ἦχος α′· Τὰς ἑσπερινὰς ἡμῶν εὐχάς, τοῦ μεγάλου σαββάτου ἰδιόμελα γ′, τοὺς πλ. δ′ καὶ τῆς ἑορτῆς ἰδιόμελα, τοὺς δ′ τετάρτους, Δόξα ἦχος πλ. β′· Τὴν σήμερον μυστικῶς, Καὶ νῦν τῆς ἑορτῆς ὁ αὐτός· Ἀπεστάλη ἐξ οὐρανοῦ, εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, τὸ Φῶς ἱλαρόν, προκείμενον οὐ λέγομεν, ἀλλ' εὐθέως ὁ ἱερεύς· Σοφία, καὶ λέγομεν τὰ ἀναγνώσματα τῆς ἡμέρας κατὰ τὴν τάξιν αὐτῶν, καὶ ἡ λοιπὴ ἀκολουθία τῆς λειτουργίας τοῦ μεγάλου σαββάτου· προκείμενον δὲ καὶ Ἀλληλούια τῆς ἡμέρας μόνον λέγεται, ἀπόστολος δὲ καὶ εὐαγγέλιον πρῶτον τῆς ἡμέρας, εἶτα τῆς ἑορτῆς, κοινωνικὸν τῆς ἑορτῆς καὶ τῆς ἡμέρας.

Περὶ τῆς αὐτῆς ἑορτῆς, εἰ τύχοι τῇ μεγάλῃ κυριακῇ τοῦ Πάσχα. Μάρκου μοναχοῦ κεφ. ϛε′. Χρὴ εἰδέναι, ὅτι, ἐὰν τύχῃ ὁ Εὐαγγελισμὸς τῇ ἁγίᾳ καὶ μεγάλῃ κυριακῇ **[стр. 340)** τοῦ Πάσχα, ὅ ἐστι Κύριον Πάσχα, ἑσπέρας τῷ μεγάλῳ σαββάτῳ τὰ στιχηρά, ὡς δεδήλωται μικρὸν ἄνωθεν. Μετὰ δὲ τὸ Φῶς ἱλαρόν, ὁ ἱερεύς· Σοφία, καὶ λέγομεν τὸ α′ ἀνάγνωσμα τῆς ἡμέρας, εἶτα τῆς ἑορτῆς τὰ πέντε, καὶ αὖθις τὰ ἐπίλοιπα ἀναγνώσματα τῆς ἡμέρας, κατὰ τὴν τάξιν αὐτῶν, καὶ ἡ λοιπὴ ἀκολουθία τῆς λειτουργίας τοῦ μεγάλου σαββάτου.

Εἰς τὴν παννυχίδα [2]) τοῦ μεγάλου σαββάτου, ὁ κανὼν τῆς ἡμέρας μετὰ τῶν εἱρμῶν εἰς η′ καὶ τῆς ἑορτῆς ὁμοίως μετὰ τῶν εἱρμῶν εἰς η′, καταβασία, τοὺς εἱρμοὺς τῆς ἡμέρας ὁμοῦ οἱ β′ χοροί. Ἀπὸ γ′ ᾠδῆς, κοντάκιον τῆς ἑορτῆς καὶ τὸν οἶκον, εἶτα κάθισμα τῆς ἡμέρας, Δόξα καὶ νῦν τῆς ἑορτῆς, καὶ ἀνάγνωσις· Πάλιν χαρᾶς εὐαγγέλια. Ἀφ' ϛ′, κοντάκιον τῆς ἡμέρας καὶ τὸν οἶκον καὶ ἀνάγνωσις τῆς ἡμέρας. Μετὰ τὴν θ′ ᾠδὴν Τρισάγιον, τροπάριον· Ὅτε κατῆλθες, Δόξα καὶ νῦν τῆς ἑορτῆς, ἐκτενὴ καὶ ἀπόλυσις. Εἶθ' οὕτως, εἰ ἔχει ὥραν, τίθεται ἀνάγνωσις τῆς ἡμέρας, ἐν ᾗ ὁ ἐκκλησιάρχης διανέμει τὰ κηρία τοῖς ἀδελφοῖς.

Μετὰ δὲ τὴν ἀνάγνωσιν, τῆς ἁρμοζούσης ὥρας ἐνστάσης, οἱ κα-

---

[1]) Περὶ δὲ τὴν ἁρμόζουσαν ὥραν σημαίνει τὸ μέγα. [2]) Εἰς δὲ τὴν παννυχίδα ἑσπέρας, ὁ κανὼν τῆς ἑορτῆς, ἦχος πλ. β′ μετὰ τῶν εἱρμῶν εἰς η′, καὶ τῆς ἡμέρας μετὰ τῶν εἱρμῶν ὁμοίως εἰς η′, καταβασία.

δηλάπται ἀπέρχονται καὶ σημαίνουσι, καὶ ἐξερχόμεθα πάντες ἐν τῷ νάρθηκι, προπορευομένου τοῦ ἱερέως μετὰ λαμπάδων καὶ θυμιατοῦ καί, κλεισθεισῶν τῶν πυλῶν, θυμιᾷ ὁ ἱερεὺς ἐν τῷ νάρθηκι ἅπαντας, ὡς ἔθος ἐστίν. Εἶτα, σταθεὶς ἔμπροσθεν τῶν βασιλικῶν πυλῶν, θυμιᾷ σταυροειδῶς ἐκ γ', λέγων· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ, καὶ ἡμῶν ἀποκρινομένων τὸ Ἀμήν, ἄρχεται ὁ ἱερεὺς τροπάριον ἦχος πλ. α'· Χριστὸς ἀνέστη, καθὼς ἀκριβέστερον διείληπται ἐν τῇ ἀκολουθίᾳ τῆς μεγάλης κυριακῆς, εἶτα λέγει ὁ ἱερεὺς ἀντὶ τῶν συνήθων στίχων τούτους· α'· Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, στίχος β'· Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, στίχος γ'· Συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσι, στίχος δ'· Εἰπάτω δὴ οἶκος Ἰσραὴλ [**стр. 341**), ὅτι ἀγαθός, εἶτα τὸ Δόξα καὶ νῦν, ὡς σύνηθες, καὶ ἀνοιγομένων τῶν πυλῶν, εἰσοδεύει, προπορευομένων τε τῶν λαμπάδων καὶ τοῦ ἡγουμένου ἐφεπομένου ἅμα τοῖς ἀδελφοῖς. Εἰσελθὼν δὲ ὁ ἱερεὺς εἰς τὸ ἱερατεῖον, λέγει· Δόξα ἦχος δ', καὶ ἡμεῖς τὸ τροπάριον τῆς ἑορτῆς, Καὶ νῦν τὸ αὐτό, εἶτα συναπτὴ μεγάλη παρὰ τοῦ ἱερέως, καὶ μετὰ τὴν ἐκφώνησιν ἄρχεται ὁ προεστὼς τὸ Ἀναστάσεως ἡμέρα, τοὺς εἱρμοὺς ἀνὰ δ', τὰ δὲ τροπάρια εἰς ς' ἄνευ στίχων. Τοῦ δὲ κανόνος τῆς ἑορτῆς τοὺς εἱρμοὺς δευτεροῦμεν, τὰ δὲ τροπάρια ποιοῦμεν ς', λέγοντες καὶ τοὺς στίχους ἀπὸ τοῦ Ἕως ἂν παρέλθῃ, ἢ καὶ ἄνευ στίχων, λέγοντες μόνον τὸ Δόξα καὶ νῦν, καταβασία, τοὺς εἱρμοὺς τῶν δύο κανόνων, ἀνὰ μέρος οἱ δύο χοροί· πρῶτον δὲ λέγομεν τοῦ Εὐαγγελισμοῦ, εἶτα τοῦ Πάσχα, ἀπὸ γ' ᾠδῆς, κοντάκιον τοῦ Πάσχα, καὶ τὸν οἶκον· ἡ γὰρ ὑπακοὴ ἐνταῦθα οὐ λέγεται, καὶ ἀνάγνωσις εἰς τὸν Θεολόγον· Ἐπὶ τῆς φυλακῆς μου στήσομαι, ἀφ' ς' κοντάκιον τῆς ἑορτῆς, καὶ ἀνάγνωσις εἰς τὸν Θεολόγον· Ἀναστάσεως ἡμέρα, εἶτα προκείμενον, Πᾶσα πνοὴ καὶ εὐαγγέλιον τῆς ἑορτῆς, Ἀνάστασιν Χριστοῦ θεασάμενοι, ἐκ γ', ἄνευ τοῦ ν', ὁμοίως καὶ τὸ στιχηρὸν ἐκ γ'· Ἀναστὰς ὁ Ἰησοῦς, ἐξαποστειλάριον· Σαρκὶ ὑπνώσας, ἐκ β', καὶ τῆς ἑορτῆς ἅπαξ. Εἰς τοὺς αἴνους, Πᾶσα πνοή, ἱστῶμεν στίχους ς' καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα δ', ἦχος α', καὶ τῆς ἑορτῆς προσόμοιον ὁ αὐτός, λέγοντες καὶ στιχηρὸν τῆς ἑορτῆς, ἔπειτα Ἀναστήτω ὁ Θεός, καὶ τὰ στιχηρὰ τοῦ Πάσχα μετὰ τῶν στίχων αὐτῶν, Δόξα τῆς ἑορτῆς ἦχος πλ. δ'· Εὐφραινέσθωσαν οἱ οὐρανοί, Καὶ νῦν τοῦ Πάσχα, ἦχος πλ. α'· Ἀναστάσεως ἡμέρα, τὸ Χριστὸς ἀνέστη, ὁ ἀσπασμός, ἡ κατήχησις τοῦ Χρυσοστόμου, ἡ ἐκτενὴ παρὰ τοῦ ἱερέως, καὶ ἀπόλυσις.

[**стр. 342**). Αἱ ὧραι ψάλλονται τοῦ Πάσχα, εἰς τὴν λειτουργίαν

ἀντίφωνα τοῦ Πάσχα. Μετὰ δὲ τὴν εἴσοδον καὶ τὸ εἰσοδικὸν τοῦ Πάσχα, τὸ Χριστὸς ἀνέστη, εἶτα τὸ τροπάριον τῆς ἑορτῆς, Δόξα, τὸ κοντάκιον αὐτῆς, Καὶ νῦν, τὸ κοντάκιον τοῦ Πάσχα, προκείμενον, ἀπόστολος, Ἀλληλούια, εὐαγγέλιον καὶ κοινωνικὸν πρῶτον τοῦ Πάσχα, εἶτα τῆς ἑορτῆς.

О службѣ на 26 Марта замѣчено: Τὸ τοῦ Διονυσίου· Ἡ σύναξις τοῦ ἀρχαγγέλου Γαβριήλ. Εἰς τὸν ὄρθρον ψάλλομεν Ἀλληλούια καὶ τὰ τριαδικὰ τοῦ ἤχου, ὁ κανὼν τοῦ ἀρχαγγέλου μετὰ τοῦ εἱρμοῦ εἰς ς' καὶ τῆς Θεοτόκου εἰς δ'· Ὡς ἐν ἠπείρῳ κρατοῦντες, στίχος ἀπὸ τοῦ Τότε ἔσπευσαν, ὡς ἐν τοῖς σάββασιν, ἐν δὲ ταῖς ᾠδαῖς τοῦ Τριῳδίου καταλιμπάνομεν τὸν κανόνα τῆς Θεοτόκου καὶ ψάλλομεν τοῦ ἀρχαγγέλου εἰς ς' καὶ τοῦ Τριῳδίου εἰς η', καὶ ἡ λοιπὴ ἀκολουθία, ὡς καθ' ἑκάστην. Εἰ δὲ ἐν σαββάτῳ, ἐν τῇ λειτουργίᾳ τῆς ἑορτῆς τὸ ἰδιόμελον τῆς ἡμέρας δίς, ἐκ τῆς λιτῆς τοὺς β' πρώτους καὶ τοὺς γ' τετάρτους καὶ τοῦ ἀρχαγγέλου προσόμοια γ', Δόξα καὶ νῦν, Ἀπεστάλη κ. τ. λ. Εἰς δὲ τὸν ὄρθρον τὸ Θεὸς Κύριος, τὸ τροπάριον τῆς ἑορτῆς δίς, καὶ τοῦ ἀρχαγγέλου ἅπαξ καὶ αὖθις τῆς ἑορτῆς. Ὅρα καὶ κατωτέρω τὰ ἐπίλοιπα [**стр. 346**), Діонис. Тип. [**л. 133** об.).

На память царей Константина и Елены ἑσπέρας ἡ συνήθης στιχολογία, а подъ строкою выноска: Ἄλλως ἐν τοῖς εἰς τύπον ἐκδοθεῖσι Μηναίοις ἑορτάσιμος πᾶσα ἡ ἀκολουθία, τὸ Μακάριος ἀνήρ, εἴσοδος, ἀναγνώσματα τῶν ἁγίων, λιτὴ καὶ ἀπόστιχα τῶν ἁγίων, καθίσματα ὁμοίως καὶ πολυέλεος, εὐαγγέλιον καὶ οἱ κανόνες τῆς ἑορτῆς καὶ τῶν ἁγίων, δοξολογία μεγάλη κ. τ. λ. [**стр. 375**).

9 Іюня на память Кирилла Александрійскаго стихиры по обычаю, но внизу замѣчено: Τὸ τοῦ Διονυσίου εἰς ς', Δόξα τοῦ ἁγίου· Εὖ, δοῦλε ἀγαθὲ κ. τ. λ. Εἰς τὸν στίχον τῆς Ὀκτωήχου, Δόξα τοῦ ἁγίου· Ἄνθρωπε τοῦ Θεοῦ κ. τ. λ., ὁ κανὼν τοῦ ἁγίου εἰς ς', εἰς τὸν στίχον στιχηρὰ τῆς Ὀκτωήχου, Δόξα τοῦ ἁγίου· Κληρονόμε Θεοῦ, συγκληρονόμε Χριστοῦ (Ταῦτα εὑρήσεις ἐν τῇ ς' Δεκεμβρίου τοῦ ἁγίου Νικολάου. Βέλτιον δέ μοι δοκεῖ ἀντὶ τούτων εἰπεῖν τὸ Ἐξεχύθη ἡ χάρις καὶ τὸ Ὅσιε τρισμάκαρ, ἁγιώτατε πάτερ, τὰ εἰς τοὺς σοφοὺς ἱεράρχας) [**стр. 379**).

На 16 Іюня замѣчаніе: Ἔνια τῶν Τυπικῶν ὁρίζουσι μετὰ τὴν ιγ' τοῦ παρόντος, ἢ καὶ κατ' αὐτὴν τὴν ιγ', ἐὰν τύχῃ κυριακῇ, μέχρι τῆς ιθ', ὃ καὶ ὀρθότερον, καὶ οὐδέποτε συμβαίνει ἡ τοῦ προφήτου Ἡλι-

οὐ, εἰ μὴ τῆς ἁγίας Μαρίνης μόνον, ἢ συμψάλλεται μετὰ διακρίσεως [стр. 391).

О службѣ на 5 Іюля. Τὸ τοῦ Διονυσίου περὶ τῆς ὁσίας Μάρθας οὐκ ἀναφέρει. Περὶ δὲ τοῦ ὁσίου Ἀθανασίου διορίζει τὴν ἀκολουθίαν ἑορτάσιμον, τὸ Μακάριος ἀνήρ, εἴσοδον, ἀπόστιχον τοῦ ἁγίου, καθίσματα τοῦ ἁγίου, πολυέλεον, εὐαγγέλιον, δοξολογίαν μεγάλην κ. τ. λ., τὴν δὲ ἀκολουθίαν Λαμπαδοῦ ἐν τοῖς ἀποδείπνοις [стр. 387 об.), Діон. Тип. [л. 151).

Ἐν παντὶ τῷ ἁγιωνύμῳ Ὄρει εἴθισται ἀποδίδοσθαι τὴν ἑορτὴν (τὴν Κοίμησιν) εἰς τὰς κη' τοῦ παρόντος, ὡς καὶ τὸ τοῦ Διονυσίου διαλαμβάνει, ὅθεν τὴν τοῦ ἁγίου Ἀγαθονίκου εἰς τὰς κβ' καὶ τὴν τοῦ ἁγίου Λούππου ἀκολουθίαν εἰς τὰς κγ', μεμερισμένων δηλαδὴ μετὰ μεθεόρτων [стр. 409).

Если память святого приходится въ недѣлю мытаря и фарисея, то καὶ συμψάλλεται, κατὰ τὸ τοῦ Διονυσίου, οὕτως· εἰ ἁπλῶς ἑορταζόμενος, ἐν τῷ ἑσπερινῷ ἀναστάσιμα δ', τοῦ Τριῳδίου γ' καὶ τοῦ ἁγίου γ', Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν τῆς Ὀκτωήχου, εἰς δὲ τὸν στίχον Δόξα τοῦ ἁγίου, Καὶ νῦν τοῦ Τριῳδίου, τροπάριον ἀναστάσιμον τοῦ ἁγίου καὶ τὸ α' τοῦ ἤχου. Εἰ δὲ γίνεται ἀγρυπνία, λέγομεν καὶ εἰς τὴν λιτὴν Δόξα τοῦ ἁγίου τὸ α', Καὶ νῦν δογματικόν, εἰς τὸν στίχον, ὡς ἀνωτέρω, τροπάριον τὸ Θεοτόκε Παρθένε, ἐκ γ'. Ἐν τῷ ὄρθρῳ, εἰς τὸ Θεὸς Κύριος, τὸ ἀναστάσιμον δίς, Δόξα τοῦ ἁγίου, Καὶ νῦν τὸ α' τοῦ ἤχου, εἰς τοὺς κανόνας, ὁ ἀναστάσιμος εἰς δ', τῆς Θεοτόκου β', τοῦ Τριῳδίου δ' καὶ τοῦ ἁγίου δ', καταβασία, ἡ πρὸς τὴν ἡμέραν ἁρμόζουσα. Μετὰ τὴν γ' ᾠδὴν τὸ κοντάκιον τοῦ ἁγίου καὶ τὸν οἶκον, καθίσματα τοῦ ἁγίου καὶ τοῦ Τριῳδίου καὶ ἀρκεῖ, ὡσαύτως καὶ ἐξαποστειλάριον τὸ ἀναστάσιμον, τοῦ ἁγίου καὶ τοῦ Τριῳδίου καὶ ἀρκεῖ, εἰς τοὺς αἴνους, εἰ ἔχει ὁ ἅγιος, λέγε μετὰ διακρίσεως, καὶ εἰς τὴν λειτουργίαν οἱ μακαρισμοὶ τοῦ ἤχου εἰς δ', ἡ γ' ᾠδὴ τοῦ Τριῳδίου καὶ ἡ ς' τοῦ ἁγίου, καὶ κοινωνικὸν α' τῆς ἡμέρας, εἶτα τοῦ ἁγίου.

Εἰ δὲ τῶν μεγίστων ἁγίων, ἐν τῷ ἑσπερινῷ ἀναστάσιμα γ', τοῦ Τριῳδίου γ' καὶ τοῦ ἁγίου δ', Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν τοῦ ἤχου, τὰ ἀναγνώσματα τοῦ ἁγίου, εἰς τὴν λιτὴν τὰ εἰς τοὺς αἴνους τοῦ Τριῳδίου καὶ τὰ τῆς λιτῆς τοῦ ἁγίου δίς, καὶ τὸ Θεοτόκε Παρθένε, ἅπαξ, ἐὰν ᾖ ἀγρυπνία, εἰ δὲ μή, ὡς ἀνωτέρω, ὡσαύτως καὶ εἰς τὸ Θεὸς Κύριος, εἰς δὲ τοὺς κανόνας ὁ ἀναστάσιμος εἰς δ', τοῦ Τριῳδίου

εἰς δʹ καὶ τοῦ ἁγίου εἰς ςʹ, καὶ τὰ λοιπά, ὡς ἀνωτέρω [стр. 416), Діон. Тип. [л. 172).

О средѣ и пятницѣ сырной недѣли. Τὸ τοῦ Διονυσίου· πάντα δὲ ἔνδον τοῦ κατολικοῦ ναοῦ. Діон. Тип. [л. 179).

Βούλονται γὰρ τὰ Τυπικὰ πάντα καὶ ἡ συνήθεια τῶν μοναστηρίων μαρτυρεῖ, ὅταν ὦσι μετάνοιαι, πάντα ἔνδον τοῦ ναοῦ, τό τε δηλαδὴ μεσονυκτικόν, ὥρας καὶ ἀπόδειπνον. Εἰς δὲ τὰ τυπικὰ λέγομεν· οὐ δέ γαρ λειτουργία γίνεται, εἰ μήπου τύχοι ἡ Ὑπαπαντή, ἢ ἡ Εὕρεσις, (Εἰς τοῦτο οὐκ οἶδα, εἰ καὶ ἄλλα τῶν Τυπικῶν συνᾴδει, τὸ γὰρ ἡμέτερον οὐ βούλεται καὶ ἄλλα, μόνον εἰς τὴν Ὑπαπαντὴν γίνεται λειτουργία καὶ τῶν τριῶν Ἱεραρχῶν, διότι ἑορτάζονται μετὰ ἀγρυπνίας) [стр. 424 об.), Діон. Тип. [л. 181).

Τὴν λειτουργίαν (въ субботу сырную) οὐ βούλεται τὸ τοῦ Διονυσίου ἐν τῷ μέσῳ, ἀλλ' ἐν τῷ κοιμητηρίῳ, ὡς ἄλλας πολλάς. Μετὰ δὲ τὴν ἰδιαιτέραν λειτουργίαν αἱ ὧραι ψάλλονται ἐν τῷ μέσῳ, κατὰ τὸ ἔθος, καὶ εἰς τοὺς μακαρισμοὺς λέγει γʹ καὶ ςʹ τῶν ἁγίων, ἀπόστολον καὶ εὐαγγέλιον τῆς ἡμέρας. Καὶ μετὰ τὸ τέλος τῶν ὡρῶν εἰσερχόμεθα εἰς τὴν τράπεζαν [стр. 427).

Διάταξις τῆς ὅλης ψαλμῳδίας τοῦ πρώτου νυχθημέρου τῆς ἁγίας τεσσαρακοστῆς [стр. 431).

Κεφ. ρκʹ. Τῇ βʹ τῆς πρώτης ἑβδομάδος εἰς τὸν ὄρθρον σημαίνει βραδύτερον [стр. 432) διὰ τὴν τῆς ἑσπέρας παράκλησιν[1]), καὶ συναγόμεθα πάντες κατὰ τὸν τόπον εἰς τὴν ἐκκλησίαν. Εἶθ' οὕτως ἀνίσταται ὁ ἱερεύς, καὶ ποιήσας τὴν συνήθη μετάνοιαν τῷ προεστῶτι, εἰσέρχεται εἰς τὸ βῆμα, καὶ λαβὼν θυμιατόν, ἵσταται ἐνώπιον τῆς ἁγίας τραπέζης, καὶ θυμιῶν σταυροειδῶς, λέγει· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, καὶ μετὰ τὸ Ἀμήν, Τρισάγιον χωρὶς μετανοίας. Μετὰ δὲ τὸ Πάτερ ἡμῶν, ἐκφωνεῖ ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, τὸ Κύριε ἐλέησον ιβʹ. Δεῦτε προσκυνήσωμεν, χωρὶς μετανοίας, καὶ τοὺς συνήθεις ψαλμούς· Ἐπακούσαι σου Κύριος, καὶ τὸ Κύριε, ἐν τῇ δυνάμει σου. Τούτων δὲ λεγομένων, ὁ ἱερεὺς θυμιᾷ τὸν ναὸν ἅπαντα καὶ τοὺς ἀδελφούς, καθὼς ἔθος ἐστίν, ἡμεῖς δέ, μετὰ τὴν συμπλήρωσιν τῶν δηλωθέντων ψαλμῶν, λέγομεν· Δόξα καὶ νῦν, καὶ εὐθέως Τρισάγιον, ἄνευ μετανοιῶν, μετὰ

[1]) Τὸ τοῦ Διονυσίου θέλει λέγεσθαι καὶ τῇ βʹ μεσονυκτικὸν ἔνδον.

τὸ Πάτερ ἡμῶν δὲ τροπάριον· Σῶσον, Κύριε, τὸν λαόν σου, Δόξα, Ὁ ὑψωθείς, Καὶ νῦν, Προστασία φοβερά. Ὁ ἱερεὺς ποιεῖ συναπτὴν μικρὰν ὑπὲρ τῶν βασιλέων, εἶτα ἐκφωνεῖ· Ὅτι ἐλεήμων, καὶ ἡμεῖς τὸ Ἀμήν, ὁ δὲ ἱερεὺς αὖθις· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ, καὶ λέγει ὁ ταχθεὶς μοναχὸς τὸ Δόξα ἐν ὑψίστοις Θεῷ, ἄνευ μετανοιῶν, ὡς σύνηθες, εἶτα τὸ ἑξάψαλμον, μετὰ προσοχῆς καὶ φόβου Θεοῦ ἡμῶν ἀκροωμένων, κἀκείνου τε λέγοντος, ὡς αὐτῷ δὴ τῷ Θεῷ συλλαλοῦντος ἀοράτως καὶ δυσωποῦντος ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν. Εἰς τὸ Ἀλληλούϊα, τὸ ἐν μέσῳ τοῦ ἑξαψάλμου, μετανοίας οὐ ποιοῦμεν, εἰς δὲ τὸ ἐν τῷ τέλει τοῦ ἑξαψάλμου ποιοῦμεν μετανοίας γ΄. Ἔπειτα συναπτὴ μεγάλη, μετὰ δὲ τὴν ἐκφώνησιν, ψάλλομεν τὸ Ἀλληλούια εἰς τὸν ἦχον τῆς Ὀκτωήχου, λέγοντος τοῦ ἱερέως [1]) τοὺς στίχους αὐτοῦ, [стр. 433) καὶ ψάλλομεν τὰ τριαδικὰ τοῦ ἤχου ἀργά τε καὶ μεγαλοφώνως· λέγομεν δὲ εἰς μὲν τὸ δεύτερον Δόξα, εἰς δὲ τὸ γ΄ Καὶ νῦν [2]), καὶ εὐθέως στιχολογοῦμεν καθίσματα γ΄, κατὰ δὲ ἀντίφωνον εἰς τὸ Ἀλληλούια μετανοίας γ΄ οἱ πάντες ἐξίσου. Μετὰ τὸ α΄ κάθισμα τοῦ Ψαλτηρίου καθίσματα τῆς Ὀκτωήχου β΄, Δόξα καὶ νῦν τῆς ἡμέρας, καὶ ἀνάγνωσις εἰς τὸν Ἐφραίμ, μετὰ τὸ β΄ κάθισμα, καθίσματα τοῦ Τριῳδίου, τὸ τοῦ κυρίου Ἰωσήφ, Δόξα, πάλιν τὸ αὐτό, Καὶ νῦν θεοτοκίον τῆς ἡμέρας, καὶ ἀνάγνωσις εἰς τὸ αὐτὸ βιβλίον τοῦ ἁγίου Ἐφραίμ, μετὰ τὸ γ΄ κάθισμα, ἕτερον κάθισμα τοῦ Τριῳδίου, τὸ τοῦ κυρίου Θεοδώρου, Δόξα τὸ αὐτό, Καὶ νῦν θεοτοκίον ὅμοιον, καὶ ἀνάγνωσις εἰς τὸ Λαυσαϊκόν, ὁ ν΄ καὶ εὐθέως Τῷ Κυρίῳ ᾄσωμεν εἰς τὸν ἦχον τοῦ κανόνος τοῦ κατὰ τὴν ἡμέραν ἁγίου, ὃν καὶ λέγομεν μετὰ τοῦ εἱρμοῦ εἰς στίχους ς΄, ἤγουν ἀπὸ τοῦ στίχου τοῦ Ἐπάγη ὡσεὶ τεῖχος, ἀπὸ δὲ τοῦ στίχου τοῦ Τότε ἔσπευσαν, εἰσέρχεται τὸ τριῴδιον τοῦ κυρίου Ἰωσήφ, ἔχον τροπάρια δ΄, εἰς δὲ τὸ Κύριος βασιλεύων, τὸ τριῴδιον τοῦ Στουδίτου, καὶ ψάλλει ὁ εἷς χορὸς τὸ ἓν τροπάριον, ὁ δὲ ἕτερος τὸ ἄλλο, εἶθ᾽ οὕτως, ἑνούμενοι οἱ δύο χοροί, δοξάζομεν ὑψηλοτέρᾳ φωνῇ, καὶ ψάλλομεν τὸ τριαδικόν, Καὶ νῦν τὸ θεοτοκίον, καὶ πάλιν ἔτι γεγονωτέρᾳ φωνῇ, λέγοντες· Δόξα σοι ὁ Θεὸς ἡμῶν, ψάλλομεν τὸ γ΄ τροπάριον τῆς ᾠδῆς, ἐπειδὴ ἀνὰ ε΄ τροπάρια ἔχει. Καὶ μετὰ τοῦτο εὐθὺς τὸν εἱρμόν, καὶ οὕτως ἀπερχόμεθα ἐν τοῖς στασιδίοις ἡμῶν. Ὁμοί-

---

[1]) Παλαιὰ συνήθεια, νῦν δὲ οὐχ᾽ οὕτως, ἀλλ᾽ ὑπὸ τοῦ κανονάρχου ἐν τῷ μέσῳ. [2]) Подчеркнутыхъ словъ нѣтъ въ ркп. Костам. обители.

ως ποιοῦμεν ἐν τῇ η′ καὶ θ′ ᾠδῇ, ἀλλὰ δὴ καὶ ἐν ταῖς ἑτέραις ᾠδαῖς τοῦ Τριῳδίου.

Ὅπως στιχολογοῦνται καθ' ἑκάστην ἑβδομάδα αἱ θ′ ᾠδαί· τῇ γὰρ δευτέρᾳ στιχολογεῖται ἡ α′ ᾠδὴ καὶ ἡ η′ καὶ ἡ θ′ [1]· τῇ τρίτῃ ἡ β′, ἡ η′ καὶ θ′, τῇ τετάρτῃ ἡ γ′, ἡ η′ καὶ θ′, τῇ πέμπτῃ ἡ δ′, ἡ η′ καὶ θ′, τῇ παρασκευῇ ἡ ε′, ἡ η′ καὶ ἡ θ′, τῷ σαββάτῳ ἡ ς′, ἡ ζ′, ἡ η′ καὶ ἡ θ′ [**стр. 434**). Ἐν αἷς δὲ ᾠδαῖς οὐκ ἔστιν ᾠδὴ τοῦ Τριῳδίου, λέγομεν τὸν εἱρμὸν τοῦ κανόνος τοῦ Μηναίου ἅπαξ, εἶτα στίχους γ′, ἀπὸ τοῦ τέλους τῆς ᾠδῆς καὶ τροπάρια γ′, Δόξα, τὸ α′ τροπάριον, Καὶ νῦν τὸ θεοτοκίον, ὡς ὁμοῦ γίνεσθαι ς′. Εἰ δὲ ἔχει ἡ ᾠδὴ τοῦ Μηναίου τροπάρια δ′, δευτεροῦμεν τὸ α′. Ἀπὸ δὲ γ′ ᾠδῆς κάθισμα τοῦ Μηναίου, Δόξα καὶ νῦν θεοτοκίον τῆς ἡμέρας ὅμοιον καὶ ἀνάγνωσις εἰς τὸ Λαυσαϊκόν. Ἀφ' ς′ κάθισμα, κοντάκιον, μαρτυρικὸν τοῦ ἤχου, Δόξα καὶ νῦν θεοτοκίον, καὶ ἀνάγνωσις εἰς Συναξάριον. Εἰς τὴν θ′ ᾠδὴν στιχολογεῖται Ἡ τιμιωτέρα, μετὰ δὲ τὴν θ′ τὸ φωταγωγικὸν τοῦ ἤχου, ἐκ γ′· λέγομεν δὲ τῇ μὲν β′· Προστασίαις τῶν Ἀσωμάτων, τῇ δὲ γ′· Πρεσβείαις τοῦ Προδρόμου, τῇ δ′ καὶ τῇ ς′· Δυνάμει τοῦ σταυροῦ σου, τῇ ε′· Πρεσβείαις τῶν ἀποστόλων. Καὶ ὅτε δευτεροῦμεν αὐτό, πάντοτε λέγομεν· Πρεσβείαις τῶν ἁγίων σου, εἰς δὲ τὸ γ′· Πρεσβείαις τῆς Θεοτόκου. Εἶτα ψάλλομεν τὸ Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν εἰς τὸν ἦχον τῆς Ὀκτωήχου, καὶ ψάλλομεν τοὺς ὅλους στίχους μέχρι τέλους, στιχηρὰ δὲ οὐ ψάλλομεν, ἀλλὰ καὶ τὸ Δόξα καὶ νῦν ἄνευ στιχηρῶν λέγομεν, καὶ εὐθέως λέγει ὁ ταχθεὶς μοναχός· Σοὶ δόξα πρέπει, Κύριε ὁ Θεός, καὶ ἀπάρχεται τῆς δοξολογίας, ἡμεῖς δὲ ποιοῦμεν μετανοίας γ′ ἅπαντες ἐν ἰσότητι. Πληρωθείσης δὲ τῆς δοξολογίας, λέγει ὁ ἱερεύς· Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν, καὶ μετὰ τὴν ἐκφώνησιν ψάλλομεν τὸ ἰδιόμελον τῆς ἡμέρας, ἐκ β′, καὶ μαρτυρικὸν εἰς τὸν αὐτὸν ἦχον, Δόξα καὶ νῦν θεοτοκίον τῆς ἡμέρας, εἶτα ὁ ταχθεὶς μοναχὸς τὸ Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, ἐκ β′, ἄνευ μετανοιῶν, Τρισάγιον, καὶ μετάνοιαι γ′, μετὰ δὲ τὸ Πάτερ ἡμῶν, ἐκφωνεῖ ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν, καὶ μετὰ τὸ Ἀμὴν τὸ Κύριε ἐλέησον μ′. Τινὲς ἐνταῦθα λέγουσι τροπάρια· Ἐν τῷ ναῷ ἑστῶτες τῆς δόξης σου, εἶτα τὸ Κύριε ἐλέησον μ′, Δόξα καὶ νῦν, [**стр. 435**) Τὴν τιμιωτέραν, μετάνοιαν α′, Ἐν ὀνόματι Κυρίου εὐλόγη-

[1]) Τὰ αὐτὰ ὁρίζει καὶ τὸ τοῦ Διονυσίου περὶ τῶν ᾠδῶν.

σον πάτερ, ὁ ἱερεύς· Ὁ ὢν εὐλογητός, καὶ ἡμεῖς· Ἐπουράνιε βασιλεῦ, εἶθ' οὕτως ποιοῦμεν μετανοίας μεγάλας γ', λέγοντες καθ' ἑαυτοὺς ἐν ἑκάστῃ μετανοίᾳ τὴν ῥηθεῖσαν εὐχὴν τοῦ ἁγίου Ἐφραίμ. Μετὰ δὲ ταύτας ἑτέρας μικρὰς ια', πλὴν ἀργὰ διὰ τὸ ἰσάζειν ἅπαντας, λέγοντες καὶ ἐν αὐταῖς καθ' ἑκάστην τὸ Ὁ Θεὸς ἱλάσθητι τῷ ἁμαρτωλῷ, εἶτ' αὖθις τελευταῖον ἑτέραν μετάνοιαν μεγάλην α', λέγοντες καὶ ἐν ταύτῃ τὴν προγραφεῖσαν εὐχήν. Μετὰ τὸ ἀναστῆναι ἡμᾶς, ἄρχεται ὁ προεστώς· Δεῦτε προσκυνήσωμεν καὶ μετανοίας γ' καὶ ψάλλομεν τὴν α' ὥραν τρίψαλμον, καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ γ' ψαλμοῦ εἰς τὸ Ἀλληλούια, μετανοίας γ'. Δεῖ δὲ εἰδέναι, ὅτι τὰς β' πάσας τῆς ἁγίας καὶ μεγάλης μ' εἰς τὴν α' ὥραν οὐ στιχολογοῦμεν, ὡσαύτως καὶ τῇ παρασκευῇ εἰς τὴν α' ὥραν καὶ τὴν θ', τὰς δὲ λοιπὰς ἡμέρας, καὶ ἐν ταῖς δ' ὥραις στιχολογοῦμεν. Καὶ ὅτε στιχολογοῦμεν, κατὰ ἀντίφωνον ποιοῦμεν μετανοίας γ'. Ὁ δὲ ἀναγνώστης [1]), ἀπελθὼν εἰς τὸ μέσον, ψάλλει προκείμενον ἦχος πλ. β'· Τὸ πρωῒ εἰσάκουσον τῆς φωνῆς μου, καὶ ἡμῶν ἀποκρινομένων, αὐτὸς ποιεῖ γονυκλισίας μέχρι γῆς, ὡσαύτως καὶ εἰς τοὺς λοιποὺς β' στίχους, στίχος α'· Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε, στίχος β'· Ὅτι πρὸς σὲ προσεύξομαι, Δόξα καὶ νῦν, Τί σε καλέσωμεν, ἀργὰ καὶ μετὰ μέλους ποιοῦντες καὶ μετανοίας γ', εἶθ' οὕτως· Τὰ διαβήματά μου, ἐκ γ', μεγαλοφώνως καὶ ἀργά, τὸ δὲ Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, ἅπαξ, εἶτ' αὖθις τὸ Πληρωθήτω τὸ στόμα μου, ἐκ γ', Τρισάγιον, μετανοίας γ', μετὰ δὲ τὸ Πάτερ ἡμῶν, ἐκφωνεῖ ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ εὐθὺς τροπάρια, τῇ μὲν β', τῇ δ' καὶ ς'· Ταχὺ προκατάλαβε, τῇ δὲ γ' καὶ τῇ ε'· Τὴν ὑπερένδοξον **[стр. 436)** τοῦ Χριστοῦ Μητέρα, εἶτα τὸ Κύριε ἐλέησον μ' καὶ τὴν εὐχὴν τοῦ Μεγάλου Βασιλείου· Ὁ ἐν παντὶ καιρῷ, Κύριε ἐλέησον γ', Δόξα καὶ νῦν, Τὴν τιμιωτέραν καὶ μετάνοιαν α', Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ, καὶ ἐπεύχεται ὁ ἱερεύς· Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐθὺς ποιοῦμεν μεγάλας γ' μετανοίας, λέγοντες καὶ τὴν εὐχήν, ὡς προγέγραπται. Εἶθ' οὕτως καὶ τὰς ια', ἐν δὲ τῇ ιβ' ποιοῦμεν, ὡς εἴρηται, καὶ μικρὸν ἡσυχασάντων ἡμῶν, ἄρχεται ὁ προεστὼς τοῦ τελευταίου Τρισαγίου καὶ μετανοίας γ', καὶ ἀσπαζόμεθα τὰς ἁγίας εἰκόνας, μετὰ δὲ τὸ Πάτερ ἡμῶν, τὸ Κύριε ἐλέησον ιβ' καὶ τὴν εὐχήν· Χριστὲ τὸ φῶς τὸ ἀληθινόν, τὸ Δόξα σοι ὁ Θεὸς ἡ ἐλπὶς ἡμῶν, δόξα σοι, καὶ ἡ εὐχὴ παρὰ τοῦ ἱερέως, καὶ ἀπόλυσις. Μικρὸν δὲ πρὸ

[1]) κανονάρχης.

τῆς ἀπολύσεως, ἤγουν μετὰ τὸ Φῶς τὸ ἀληθινόν, ἀναγινώσκει ὁ καθηγούμενος τὴν κατήχησιν τοῦ ἁγίου Θεοδώρου τοῦ Στουδίτου, πλὴν ἐν μόνῃ τῇ δ' καὶ τῇ ς', καὶ οὕτω γίνεται τελεία ἀπόλυσις.

Περὶ ὥραν γ' τῆς ἡμέρας κρούει τὰ τρία ὁ κανδηλάπτης εἰς τὸν μέγαν σημαντῆρα, καὶ συναγόμεθα ἐν τῇ ἐκκλησίᾳ, ἐρχόμενοι ἐντὸς τοῦ ναοῦ· ποιοῦμεν δὲ πρὸ τῆς ἐνάρξεως ἕκαστος ἐν τοῖς στασιδίοις ἡμῶν μετανοίας γ', τοῦτο δὲ γίνεται καὶ ἐν πάσαις ταῖς λοιπαῖς συνάξεσιν. Εἶτα, τοῦ ἱερέως εὐλογήσαντος, ἀρχόμεθα οὕτως Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι, Βασιλεῦ οὐράνιε, εἶτα Τρισάγιον, καὶ μετανοίας γ'. Μετὰ δὲ τὸ Πάτερ ἡμῶν, ἐκφωνεῖ ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν, καὶ μετὰ τὸ Ἀμήν, Κύριε ἐλέησον ιβ', Δόξα καὶ νῦν, Δεῦτε προσκυνήσωμεν γ' καὶ ψάλλομεν τὸ τρίψαλμον, τὰς γ' ὥρας. Μετὰ δὲ τὴν συμπλήρωσιν, εἰς τὸ Ἀλληλούια μετανοίας γ', εἶτα στιχολογία, κάθισμα α', καθ' ἓν δὲ ἀντίφωνον [стр. 437) μετανοίας γ', καὶ μετὰ τὴν συμπλήρωσιν ψάλλει ὁ κανονάρχης τὸ προκείμενον τῆς ἡμέρας ἦχος πλ. β'· Κύριε, ὁ τὸ πανάγιόν σου Πνεῦμα, καὶ ἡμῶν ψαλλόντων αὐτό, αὐτὸς ποιεῖ γονυκλισίας ἕως γῆς, ὡσαύτως καὶ εἰς τοὺς λοιποὺς β' στίχους, στίχος α'· Καρδίαν καθαράν, στίχος β'· Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, Δόξα καὶ νῦν, Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος, μετανοίας γ', καὶ τίθεται ἀνάγνωσις εἰς τὸ βιβλίον τῆς Κλίμακος. Ἄρχεται δὲ ἀπὸ τοῦ παρόντος ὁ ταχθεὶς μοναχὸς ἀφυπνίζειν τοὺς ἀδελφούς, καθ' ὅλην τὴν μ', διέρχεσθαί τε ἡσύχως καὶ ἐπιβλέπειν τοὺς ὑπνώττοντας, καὶ διεγείρειν πρὸς τὴν ἀκρόασιν. Μετὰ δὲ τὴν ἀνάγνωσιν, Κύριος ὁ Θεὸς εὐλογητός, χύμα, Τρισάγιον καὶ μετανοίας γ', μετὰ δὲ τὸ Πάτερ ἡμῶν, καὶ τὴν ἐκφώνησιν, τροπάρια· Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, Δόξα, Ταχεῖαν καὶ σταθεράν, Καὶ νῦν, Ἡ ἐλπὶς καὶ προστασία, Κύριε ἐλέησον μ' καὶ τὴν εὐχήν· Ὁ ἐν παντὶ καιρῷ, Κύριε ἐλέησον γ', Δόξα καὶ νῦν, Τὴν τιμιωτέραν, μετάνοιαν α', Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ. Καὶ λεγομένης εὐχῆς παρὰ τοῦ ἱερέως, ποιοῦμεν τὰς γ' μεγάλας μετανοίας, λέγοντες καθ' ἑαυτοὺς καὶ τὴν εὐχήν, εἶθ' οὕτως καὶ τὰς ἑτέρας ιβ' κατὰ τὸν προγραφέντα τύπον, πληρουμένης δὲ τῆς ιβ', ἄρχεται ὁ προεστὼς τῆς εὐχῆς· Δέσποτα Θεὲ Πάτερ, ὁ δὲ κανδηλάπτης, βαλὼν τὴν συνήθη μετάνοιαν τῷ προεστῶτι, ἀπέρχεται καὶ κρούει τὸ μέγα σήμαντρον ς', ἡμεῖς δὲ μετὰ τὴν συμπλήρωσιν τῆς εὐχῆς, Δεῦτε προσκυνήσωμεν γ', μετανοίας γ' καὶ ψάλλομεν τὸ τρίψαλμον τῆς ς'. Εἰς τὸ Ἀλληλούια μετανοίας γ', καὶ εὐθὺς στιχολογοῦμεν τὸ ἐπιλαγχάνον κάθισμα τοῦ Ψαλτηρίου, κατὰ δὲ ἀντίφωνον ποι-

οῦμεν μετανοίας γ'· μετὰ δὲ τὴν συνήθη στιχολογίαν ἀπελθὼν ὁ κανονάρχης, ψάλλει τὸ προκείμενον τῆς ὥρας, ἦχος β'· Ὁ ἐν ἕκτῃ [стр. 438) ἡμέρᾳ τε καὶ ὥρᾳ, στίχος α'· Ἐνώτισαι ὁ Θεὸς τὴν προσευχήν μου, στίχος β'· Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα, ποιῶν καὶ ἐνταῦθα γονυκλισίας, ὥσπερ γέγραπται, ἡμῶν τὸ προκείμενον ἀντιφωνούντων; Δόξα καὶ νῦν, Ὅτι οὐκ ἔχομεν παῤῥησίαν, μετανοίας γ', καὶ ὁ κανονάρχης εὐθὺς τὸ τροπάριον τῆς προφητείας, καὶ ψάλλομεν εἰς τὸν ἦχον αὐτοῦ, εἶτα λέγει ὁ κανονάρχης Δόξα, καὶ ἡμεῖς τὸ ἀκροτελευταῖον τοῦ τροπαρίου, καὶ αὖθις ὁ κανονάρχης Καὶ νῦν, καὶ ἡμεῖς τὸ τροπάριον ἀπ' ἀρχῆς ἄχρι τέλους, μετὰ δὲ τοῦτο λέγει τὸ ἐνόρδινον, προκείμενον τῆς προφητείας, καὶ τὴν προφητείαν, καὶ πάλιν προκείμενον, καὶ τίθεται ἀνάγνωσις εἰς τὸ τῆς Κλίμακος, μεθ' ἣν ἀνιστάμενοι, λέγομεν· Ταχὺ προκαταλαβέτωσαν, Τρισάγιον καὶ μετάνοιαι γ', μετὰ δὲ τὸ Πάτερ ἡμῶν καὶ τὴν ἐκφώνησιν, τροπάρια ταῦτα· Σωτηρίαν εἰργάσω ἐν μέσῳ τῆς γῆς, Δόξα, Τὴν ἄχραντον εἰκόνα σου, εἰς ὃ καὶ ποιοῦμεν μετάνοιαν α', Καὶ νῦν, Εὐσπλαγχνίας ὑπάρχουσα. Ἕτερον θεοτοκίον, λεγόμενον τῇ δ' καὶ τῇ ς'· Ὑπερδεδοξασμένη ὑπάρχεις, τὸ Κύριε ἐλέησον μ' καὶ τὴν εὐχήν· Ὁ ἐν παντὶ καιρῷ, καὶ λεγομένης εὐχῆς ἀπὸ τοῦ ἱερέως, ποιοῦμεν τὰς γ' μεγάλας μετανοίας, λέγοντες καθ' ἑαυτοὺς καὶ τὴν εὐχὴν τοῦ ἁγίου Ἐφραίμ, καὶ τὰς ἑτέρας ιβ', μετὰ ταῦτα ἀργά, διὰ τὸ ἰσάζειν πάντας. Πληρουμένης δὲ τῆς δωδεκάτης, ἄρχεται ὁ προεστὼς τοῦ τελευταίου Τρισαγίου, μετανοίας γ' καὶ ἀσπαζόμεθα τὰς ἁγίας εἰκόνας. Μετὰ δὲ τὸ Πάτερ ἡμῶν, Κύριε ἐλέησον ιβ'. Τινὲς λέγουσιν ἐνταῦθα καὶ τὴν εὐχήν· Κύριε καὶ Κύριε τῶν δυνάμεων, εἶτα Δόξα σοι ὁ Θεὸς ἡ ἐλπὶς ἡμῶν, εὐχὴ παρὰ τοῦ ἱερέως καὶ τελεία ἀπόλυσις.

Οὗτος ὁ τύπος καὶ ἡ τάξις ὀφείλει γίνεσθαι κατὰ πᾶσαν τὴν ἁγίαν μ' ἐν ταῖς τριθέκταις. Μετὰ δὲ τὴν ἀπόλυσιν, ἐξερχόμενοι τῆς ἐκκλησίας, ἀπερχόμεθα μετὰ πάσης ἡσυχίας ἐν τοῖς ἰδίοις κελλίοις, καὶ οὐκ ἔξεστιν ἡμῖν [стр. 439) συντυχίας πρὸς ἀλλήλους ποιεῖν· κεκώλυται γὰρ παρὰ τῶν ἁγίων πατέρων, ὃ καὶ ὀφείλομεν φυλάσσειν κατὰ πᾶσαν σύναξιν.

Περὶ δὲ ὥραν ς' κρούει ὁ κανδηλάπτης τὴν θ' καὶ συναγόμεθα ἐν τῇ ἐκκλησίᾳ. Τοῦ δὲ ἱερέως εὐλογήσαντος, λέγομεν· Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι, Βασιλεῦ οὐράνιε, Τρισάγιον, καὶ μετανοίας γ', μετὰ δὲ τὸ Πάτερ ἡμῶν, ἐκφωνεῖ ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν, καὶ μετὰ τὸ Ἀμήν, Κύριε ἐλέησον ιβ', Δεῦτε προσκυνήσωμεν γ', καὶ μετανοίας γ',

καὶ ψάλλομεν τὸ τρίψαλμον τῆς θ' ὥρας, ἐν τῷ τέλει τοῦ γ' ψαλμοῦ, εἰς τὸ Ἀλληλούια μετανοίας γ'. Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ καθίσματος, ἐν ᾧ καθ' ἓν ἀντίφωνον, εἰς τὸ Ἀλληλούια μετανοίας γ'. Ψάλλει ὁ κανονάρχης προκείμενον τῆς ὥρας ἦχος πλ. δ'· Ὁ ἐν τῇ ἐννάτῃ ὥρᾳ, στίχος α'· Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου, στίχος β'· Εἰσέλθῃ τὸ ἀξίωμά μου ἐνώπιόν σου, ποιῶν καὶ τὰς ἐν τούτῳ γονυκλισίας, ὡς εἴρηται, Δόξα καὶ νῦν, Ὁ δι' ἡμᾶς γεννηθεὶς καὶ μετανοίας γ', καὶ τίθεται ἀνάγνωσις εἰς τὸ τῆς Κλίμακος. Μετὰ δὲ ταύτην, Μὴ παραδῴης ἡμᾶς, Τρισάγιον καὶ μετανοίας γ', μετὰ δὲ τὸ Πάτερ ἡμῶν, καὶ τὴν ἐκφώνησιν, τροπάρια· Βλέπων ὁ λῃστής. Δόξα, Ἐν μέσῳ δύο λῃστῶν, Καὶ νῦν, Τὸν ἀμνὸν καὶ ποιμένα, Κύριε ἐλέησον μ' καὶ τὴν εὐχήν· Ὁ ἐν παντὶ καιρῷ, καὶ γινομένης εὐχῆς παρὰ τοῦ ἱερέως, ποιοῦμεν τὰς γ' μεγάλας μετανοίας μόνον, λέγοντες καθ' ἑαυτοὺς καὶ τὴν δηλωθεῖσαν εὐχήν, καὶ ἀνισταμένων, ἄρχεται ὁ προεστὼς τῆς εὐχῆς τῆς θ' ὥρας· Δέσποτα, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ μακροθυμήσας. Μετὰ δὲ τὴν συμπλήρωσιν τῆς εὐχῆς, ψάλλει ὁ δομέστικος τοῦ ἐναρχομένου χοροῦ, ἦχος πλ. δ'· Μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου [**стр. 440**), καὶ ψάλλομεν τοὺς μακαρισμοὺς ὅλους εἰς τὸν αὐτὸν ἦχον, ἕνα παρ' ἕνα, οἱ δύο χοροί, ἀρχόμενοι ἀπὸ τοῦ Ἐν τῇ βασιλείᾳ σου μνήσθητι ἡμῶν, Κύριε, ὁμοίως καὶ εἰς τὸ Δόξα καὶ νῦν, λέγοντες καθένα στίχον τὸ Μνήσθητι ἡμῶν, Κύριε. Εἶθ' οὕτως, ἑνούμενοι οἱ δύο χοροί, λέγομεν ὑψηλοτέρᾳ φωνῇ· Μνήσθητι ἡμῶν, Κύριε, μετάνοιαν α', Μνήσθητι ἡμῶν, Δέσποτα, μετάνοιαν α', Μνήσθητι ἡμῶν, Ἅγιε, μετάνοιαν α', καὶ εὐθέως· Χορὸς ὁ ἐπουράνιος, χύμα, ὁμοίως καὶ τοὺς ἑξῆς στίχους· Προσέλθετε πρὸς αὐτόν, καὶ πάλιν λέγομεν· Χορὸς ὁ ἐπουράνιος, Δόξα, Χορὸς ἁγίων ἀγγέλων, Καὶ νῦν, Πιστεύω εἰς ἕνα Θεόν, Ἄνες, ἄφες, Πάτερ ἡμῶν, ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν. Καὶ εὐθέως κοντάκιον τῆς ἡμέρας, εἶτα τοῦ ἁγίου τῆς μονῆς, Δόξα, Μετὰ τῶν ἁγίων ἀνάπαυσον, Καὶ νῦν, Προστασία τῶν χριστιανῶν, Κύριε ἐλέησον μ', Δόξα καὶ νῦν, Τὴν τιμιωτέραν, μετάνοιαν α', καὶ λέγονται στίχοι παρὰ τοῦ ἱερέως, καὶ ποιοῦμεν τὰς γ' μεγάλας μετανοίας, καὶ τὰς ιβ' κατὰ τὸν ῥηθέντα τύπον. Καὶ ἀνισταμένων, ἄρχεται ὁ ταχθεὶς μοναχός·

Δεῦτε προσκυνήσωμεν γ', μετανοίας γ', καὶ λέγει τὸν προοιμιακὸν ψαλμόν, ὡς σύνηθες. Ἐξέρχεται δὲ ὁ κανδηλάπτης καὶ σημαίνει τὸ μέγα καὶ τὸ σιδηροῦν. Ὁ δὲ ἱερεύς, ἐλθὼν ἐν τῷ συνήθει τόπῳ, λέγει τὰς εὐχὰς τοῦ λυχνικοῦ. Μετὰ δὲ τὸ πλήρωμα τοῦ ψαλμοῦ εἰς τὸ Ἀλλη-

λούια μετανοίας γ', καὶ ποιεῖ ὁ ἱερεὺς συναπτὴν μεγάλην, εἶτα στιχολογοῦμεν τὸ Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με. Καθ' ἓν δὲ ἀντίφωνον μετανοίας γ', εἶθ' οὕτως συναπτὴ μικρὰ καὶ εὐθὺς τὸ Κύριε ἐκέκραξα, εἰς τὸν ἦχον τῶν προσομοίων τοῦ Τριῳδίου στιχηρῶν. Ἱστῶμεν δὲ στίχους ς' καὶ ψάλλομεν στιχηρὰ προσόμοια τοῦ κυρίου Ἰωσὴφ β' καὶ τοῦ ἁγίου Θεοδώρου α' [стр. 441), εἶτα τὰ γ' προσόμοια τοῦ Μηναίου, Δόξα καὶ νῦν θεοτοκίον, προσόμοιον τῆς ἡμέρας, τὸ Φῶς ἱλαρόν, καὶ λέγει ὁ κανονάρχης τὸ προκείμενον καὶ τὴν Γένεσιν, εἶτα τὸ ἕτερον προκείμενον καὶ τὴν Παροιμίαν, τὸ Καταξίωσον καὶ μετανοίας γ', ὁ ἱερεύς· Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν κ. τ. λ., μετὰ δὲ τὴν ἐκφώνησιν ψάλλομεν οἱ β' χοροὶ τὸ ἰδιόμελον τῆς ἡμέρας δίς, καὶ μαρτυρικὸν εἰς τὸν αὐτὸν ἦχον, Δόξα καὶ νῦν θεοτοκίον τῆς ἡμέρας, Νῦν ἀπολύεις, Τρισάγιον, καὶ μετανοίας γ'. Μετὰ δὲ τὸ Πάτερ ἡμῶν, ἐκφωνεῖ ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ μετὰ τὸ Ἀμήν, εὐθέως τροπάριον μετὰ μέλους ἦχος πλ. β'· Θεοτόκε Παρθένε, καὶ μετάνοιαν α', Δόξα, Βαπτιστὰ τοῦ Χριστοῦ, μετάνοιαν α', Καὶ νῦν, Ἱκετεύσατε ὑπὲρ ἡμῶν, μετάνοιαν α', τὸ δὲ Ὑπὸ τὴν σὴν εὐσπλαγχνίαν, ἄνευ μέλους καὶ μετανοίας, Κύριε ἐλέησον μ', Δόξα καὶ νῦν, Τὴν τιμιωτέραν καὶ μετάνοιαν α', Ἐν ὀνόματι Κυρίου, ὁ ἱερεύς· Ὁ ὢν εὐλογητός, καὶ μετὰ τὸ Ἀμὴν λέγομεν· Ἐπουράνιε βασιλεῦ, καὶ εὐθέως ποιοῦμεν μετανοίας μεγάλας γ' καὶ τὰς λοιπὰς ιβ', κατὰ τὸν προειρημένον τύπον, εἶτα ἄρχεται ὁ προεστὼς τοῦ Τρισαγίου καὶ μετανοίας γ', καὶ μετὰ τὸ Πάτερ ἡμῶν, Κύριε ἐλέησον ιβ' καὶ εὐθέως· Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον γ', καὶ μετανοίας γ', Δόξα καὶ νῦν, Εὐλογήσω τὸν Κύριον, εἶτα Δόξα σοι ὁ Θεός, καὶ γίνεται ἀπόλυσις. Ἐξερχόμενοι δὲ ἐν τῷ νάρθηκι, ποιοῦμεν τὴν ὑπὲρ τῶν κεκοιμημένων συνήθη λιτήν, ὡς ἐν τῷ ν' κεφαλαίῳ ἀναγέγραπται, καὶ οὕτω γίνεται τελεία ἀπόλυσις.

Αὕτη ἡ ἀκολουθία τοῦ λυχνικοῦ γίνεται, μὴ ὄντων προηγιασμένων· οὐ γὰρ παρελάβομεν ποιεῖν προηγιασμένα ἄχρι τῆς δ' διὰ τὸ νηστεύειν ἐκ παραδόσεως πᾶσαν τὴν ἀδελφότητα. Οἱ δὲ δυνάμενοι καὶ ἕως τῆς παρασκευῆς νήστεις διατελοῦσιν. Τότε γὰρ ὁμοίως ἐκτελοῦνται προηγιασμένα, ὡσαύτως καὶ ἐν ταῖς ἄλλαις [стр. 442) ἑβδομάσι τῆς ἁγίας μ' κατὰ δ' καὶ παρασκευὴν προηγιασμένα ἐκτελοῦνται.

Κεφ. ρκβ'. Ἀκολουθία τοῦ ἑσπερινοῦ, ὅτε γίνεται προηγιασμένα.

Ὅταν δὲ γίνονται προηγιασμένα, μετὰ τὴν συμπλήρωσιν, ἤγουν

τὴν τελευταίαν μετάνοιαν, ὧν προηυτρεπισμένος ὁ ἱερεὺς μετὰ τὸ ἡσυχάσαι ἡμᾶς μικρόν, ἐκφωνεῖ ἀπὸ τοῦ βήματος· Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρός, καὶ ἀρχόμεθα τοῦ λυχνικοῦ· ἐν ἑκάστῳ δὲ ἀντιφώνῳ τῆς στιχολογίας πόιεῖ ὁ ἱερεὺς μικρὰν συναπτὴν ἔσωθεν του βήματος. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στιχηρὰ ι' καὶ ψάλλομεν τὸ ἰδιόμελον τῆς ἡμέρας δίς, καὶ τὸ μαρτυρικόν [1]), ἐν ᾧ ἂν τύχῃ χορῷ, ἅπαξ, ἔπειτα τὰ γ' προσόμοια τοῦ Τριῳδίου καὶ τὰ γ' προσόμοια τοῦ Μηναίου, δευτεροῦντες τὸ α', Δόξα καὶ νῦν θεοτοκίον προσόμοιον τῆς ἡμέρας, εἴσοδος μετὰ λαμπάδος καὶ θυμιατοῦ, τὸ Φῶς ἱλαρόν, τὸ προκείμενον καὶ ἡ Γένεσις, εἶτα τὸ δεύτερον πρόκείμενον, καὶ ἐν τῷ τελευταίῳ στίχῳ ἐκφωνεῖ ὁ διάκονος, εἴπερ ἐστί· Κελεύσατε, καὶ λαβὼν ὁ ἱερεὺς ἐν μὲν τῇ δεξιᾷ χειρὶ τὸν θυμιατόν, ἐν δὲ τῇ ἀριστερᾷ κηρὸν ἡμμένον, ἵσταται ἐνώπιον τῆς ἁγίας τραπέζης καί, χαράττων ταῖς χερσὶν ἀμφοτέραις σταυρόν, ἐκφωνεῖ· Σοφία, ὀρθοί, Φῶς Χριστοῦ φαίνει πᾶσιν, ἤ, ὅπερ ἐν πολλοῖς ἐπεκράτησε, ποιεῖ τοῦτο καὶ ὁ διάκονος ἔξωθεν τοῦ βήματος πρὸ τῶν ἁγίων θυρῶν. Ὁ ἀναγνώστης· Παροιμιῶν τὸ ἀνάγνωσμα, ὁ δὲ κανδηλάπτης, ἀπελθών, σημαίνει τὸ σιδηροῦν. Καὶ μετὰ τὴν συμπλήρωσιν τῶν ἀναγνωσμάτων, λέγει ὁ ἱερεύς· Εἰρήνη σοι, Σοφία, καὶ εὐθέως τὸ Κατευθυνθήτω μετὰ μέλους. Ψάλλει δὲ αὐτὸ πρῶτον ὁ κανονάρχης ἐν τῷ μέσῳ τοῦ ναοῦ ἀσκεπής, ἔπειτα ἡμεῖς, εἶτα λέγει στίχους· Κύριε, ἐκέκραξα πρὸς σέ, στίχος β'· Θοῦ, Κύριε, φυλακήν, στίχος γ'· Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου. Ὅτε [стр. 443) δὲ ψάλλει ὁ ψάλτης τοὺς στίχους, ἡμεῖς ἐπὶ γόνυ κείμεθα, εὐχόμενοι, ὅτε δὲ ψάλλομεν ἡμεῖς τὸ Κατευθυνθήτω, κλίνει αὐτὸς τὸ γόνυ. Εἶτα λέγει ὁ ψάλτης, γεγονωτέρᾳ φωνῇ, τὸ Κατευθυνθήτω, καὶ ἡμεῖς· Ἔπαρσις τῶν χειρῶν μου, καὶ εὐθέως ὁ ἱερεύς· Εἴπωμεν πάντες κ. τ. λ., ἡμεῖς δὲ ποιοῦμεν μετανοίας γ', καὶ ἑξῆς γίνεται ἡ λειτουργία τῶν προηγιασμένων. Ἀντὶ τοῦ συνήθους χερουβικοῦ ὕμνου, ψάλλομεν τὸ Νῦν αἱ δυνάμεις τῶν οὐρανῶν, καὶ γίνεται τῶν ἁγίων δώρων πρόσοδος. Μετὰ δὲ τὴν συμπλήρωσιν τούτου, ποιοῦμεν μετανοίας γ', ὁ δὲ ἱερεὺς αἴρει τὰ καλύμματα ἐκ τῶν ἁγίων καὶ σκεπάζει αὐτὰ τῇ ἀναφορᾷ. Ἀναφορὰν δὲ τὸν ἀέρα εἰώθασι καλεῖν οἱ ἐν τοῖς μέρεσι τῆς Παλαιστίνης. Κοινωνικόν· Γεύσασθε καὶ ἴδετε, ἐκ β'. Μετὰ δὲ τὸ εἰπεῖν τὸν ἱερέα· Προσέλθετε, Εὐλογήσω τὸν Κύριον, ἅπαξ. Οἱ δὲ μεταλαβόντες διακλύον-

---

[1]) Καὶ τὸ μαρτυρικόν, ψάλλομεν δὲ τὸ ἰδιόμελον οὐκ ἐν τῷ μέσῳ, ἀλλ' ἀνὰ μέρος οἱ δύο χοροί, εἶτα το μαρτυρικόν, ἐν ᾧ ἂν τύχοι χορῷ, ἅπαξ, ἔπειτα τὰ γ' προσόμοια.

ται ὕδωρ. Εἰς τὸ Εἴη τὸ ὄνομα Κυρίου μετανοίας γ', τὸ Εὐλογήσω τὸν Κύριον, καὶ δίδοται τὸ κατακλαστόν, καὶ γίνεται τελεία ἀπόλυσις. Μετὰ δὲ τὴν ἀπόλυσιν τῶν προηγιασμένων, εἰσερχόμεθα εἰς τὴν τράπεζαν, ἤγουν ἐν τῇ δ' τῆς α' ἑβδομάδος, καὶ ἐσθίομεν βράσμα τι ἄνευ ἐλαίου, πίνοντες καὶ ζωμὸν μετὰ μέλιτος, τῇ δὲ ε' τῆς αὐτῆς ἑβδομάδος τράπεζαν οὐχ ἱστῶμεν, ἀλλὰ νήστεις διαμένομεν ἄχρι τῆς παρασκευῆς· τότε γὰρ ἐσθίομεν, εἰσερχόμενοι εἰς τὴν τράπεζαν.

Δεῖ (δὲ) εἰδέναι, ὅτι τὰ διακονικὰ τῶν φωτιζομένων καὶ ἡ εὐχὴ ἀπὸ τῆς μεσονηστίμου προτίθενται ἐν τῇ τῶν προηγιασμένων ἀκολουθίᾳ.

Ἀκολουθία τῶν ἀποδείπνων. Περὶ δὲ ὥραν θ' ἢ ι' ἀνέρχεται ὁ κανδηλάπτης καί, βαλὼν μετάνοιαν τῷ προεστῶτι, ἄπεστιν εἰς τὸν σημαντῆρα, καὶ κρούει βαρέας ιβ' [стр. 444), καὶ συναχθέντων ἡμῶν ἐν τῇ ἐκκλησίᾳ, εὐλογεῖ ὁ ἱερεύς, καὶ ἀρχόμεθα τοῦ Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι, Βασιλεῦ οὐράνιε, Τρισάγιον καὶ μετανοίας γ'. Μετὰ δὲ τὸ Πάτερ ἡμῶν καὶ τὴν ἐκφώνησιν, Κύριε ἐλέησον ιβ', Δεῦτε προσκυνήσωμεν γ', καὶ μετανοίας γ', καὶ εὐθέως τὸν ξθ' ψαλμόν· Ὁ Θεός, εἰς τὴν βοήθειάν μου πρόσχες, καὶ εὐθέως ἀρχόμεθα τοῦ μεγάλου κανόνος, ποιοῦντες αὐτὸν καθ' εἱρμοὺς στάσεις δ', ἀφ' ς' κοντάκιον· Ψυχή μου, ψυχή μου. Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ κανόνος, ἀρχόμεθα τοῦ δ' ψαλμοῦ· Ἐν τῷ ἐπικαλεῖσθαί με, καὶ ψάλλομεν τοὺς γ' ψαλμούς, εἰς τὸ Ἀλληλούια μετανοίας γ', ὡσαύτως καὶ μετὰ τὴν συμπλήρωσιν τῶν ἑτέρων γ' ψαλμῶν, εἰς τὸ Ἀλληλούια μετανοίας γ'. Καὶ ἄρχεται ὁ ἐναρχόμενος τοῦ Μεθ' ἡμῶν ὁ Θεός, καὶ ἀποκρίνεται ὁ ἕτερος, καὶ ψάλλομεν ὅλους τοὺς τοιούτους στίχους ἕνα παρ' ἕνα μεγαλοφώνως καὶ μετὰ μέλους οἱ β' χοροί, ὁμοίως καὶ τὸ Δόξα καὶ νῦν, Μεθ' ἡμῶν ὁ Θεός, ὁμοῦ οἱ δύο χοροί κ. τ. λ., ἔτι τε καὶ τὸ Ἡ ἀσώματος φύσις, μετὰ μέλους, τὸ δὲ Πιστεύω εἰς ἕνα Θεὸν καὶ τὰ ἑξῆς, χθαμαλωτέρᾳ φωνῇ, εἶτα πάλιν ὁ ἐναρχόμενος χορὸς ἄνευ μέλους· Παναγία Δέσποινα Θεοτόκε, πρέσβευε ὑπὲρ ἡμῶν, καὶ ποιεῖ ὁ ἕτερος χορὸς μετάνοιαν, καὶ ἀνιστάμενοι ἀνταποκρίνονται καὶ αὐτοὶ τὸ αὐτό, καὶ βάλλουσιν οἱ τοῦ πρώτου ἐναρξαμένου χοροῦ μετάνοιαν καὶ ποιοῦμεν οὕτως εἰς ὅλας τὰς αἰτήσεις, ἤγουν λέγοντος τοῦ ἑνὸς χοροῦ τὴν αἴτησιν, βάλλει ὁ ἕτερος μετάνοιαν, προστίθεμεν δὲ ἀεὶ ταῖς τοιαύταις αἰτήσεσι μίαν αἴτησιν εἰς τὸν τῆς μονῆς ἅγιον, εἴπερ οὐκ ἔστι δηλαδὴ Θεοτόκος, ἢ Πρόδρομος, καὶ τοσοῦτο μᾶλλον ὁ Σωτὴρ Χριστός. Ὅταν δὲ εἴπωμεν· Ὁ Θεὸς

ἱλάσθητι ἡμῖν τοῖς ἁμαρτωλοῖς, τὸ γ' βάλλουσιν οἱ β' χοροὶ μετάνοιαν ὁμοῦ, εἶτα Τρισάγιον χωρὶς μετάνοιαν, μετὰ δὲ τὸ Πάτερ ἡμῶν, τροπάριον ἦχος β' [**стр. 445**)· Φώτισον τοὺς ὀφθαλμούς μου, Δόξα, Ἀντιλήπτωρ τῆς ψυχῆς μου, Καὶ νῦν, Ὅτι οὐκ ἔχομεν παῤῥησίαν. Εἰσὶ δὲ καὶ ἕτερα τροπάρια, ψαλλόμενα καὶ αὐτὰ ἐν τοῖς ἀποδείπνοις ἡμέραν παρ' ἡμέραν ἦχος πλ. δ'· Τῶν ἀοράτων ἐχθρῶν μου, στίχος· Ἐπίβλεψον, εἰσάκουσόν μου, Ὡς φοβερὰ ἡ κρίσις σου, Κύριε, Δόξα, Δάκρυά μοι δός, ὁ Θεός, Καὶ νῦν, Τὴν ἀκαταίσχυντον, Θεοτόκε, ἐλπίδα σου, Κύριε ἐλέησον μ', Δόξα καὶ νῦν, Τὴν τιμιωτέραν καὶ μετάνοιαν α', ὁ ἱερεὺς στίχους, καὶ ἀρχόμεθα τῆς εὐχῆς τοῦ Μεγάλου Βασιλείου· Κύριε, Κύριε, ὁ ῥυσάμενος ἡμᾶς. Ταύτης δὲ τελεσθείσης, λέγομεν· Δεῦτε προσκυνήσωμεν γ' καὶ μετανοίας γ', τὸν ν', εἶτα τὸν ρα' Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, καὶ Ἡ κραυγή μου καὶ τὸ Κύριε Παντοκράτωρ, καὶ μετὰ τὴν συμπλήρωσιν αὐτοῦ Τρισάγιον καὶ μετανοίας γ', καὶ μετὰ τὴν ἐκφώνησιν τροπάρια· Ἐλέησον ἡμᾶς, Κύριε, Δόξα, Κύριε ἐλέησον ἡμᾶς, ἐπὶ σοὶ γάρ, Καὶ νῦν, Τῆς εὐσπλαγχνίας, Κύριε ἐλέησον μ', Δόξα καὶ νῦν, Τὴν τιμιωτέραν, μετάνοιαν α', καὶ λέγει ὁ ἱερεὺς στίχον, καὶ εὐθὺς τὴν εὐχήν· Δέσποτα Θεὲ Πάτερ, καὶ οὕτως ἀρχόμεθα τοῦ ρμβ' ψαλμοῦ[1])· Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου. εἶτα Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ μετὰ τὴν τούτου συμπλήρωσιν Τρισάγιον, μετανοίας γ'. Μετὰ δὲ τὸ Πάτερ ἡμῶν, λέγει ὁ ἐναρχόμενος χορὸς τροπάριον· Κύριε τῶν δυνάμεων μεθ' ἡμῶν γενοῦ, καὶ ἀποκρίνεται ὁ ἕτερος χορὸς τὸ αὐτό, εἶτα λέγει ὁ ἐναρχόμενος χορὸς στίχον· Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, καὶ αὖθις ὁ ἕτερος χορὸς τροπάριον· Κύριε τῶν δυνάμεων. Καὶ οὕτως ὁ μὲν ἐναρξάμενος χορὸς λέγει τοὺς ἑτέρους δ' στίχους [**стр. 446**) τοῦ ρν' ψαλμοῦ, ὁ δὲ ἕτερος ἐν ἑκάστῳ στίχῳ λέγει τὸ προγεγραμμένον τροπάριον· Κύριε τῶν δυνάμεων, μετὰ δὲ τὴν συμπλήρωσιν τῶν στίχων, λέγει αὖθις ὁ ἐναρξάμενος χορός· Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, καὶ ὁ ἕτερος ἀποκρίνεται· Αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ, Δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, Κύριε, εἰ μὴ τοὺς ἁγίους σου εἴχομεν πρεσβευτάς, Καὶ νῦν, Πολλὰ τὰ πλήθη, καὶ τὰ λοιπὰ θεοτοκία, Κύριε ἐλέησον μ' καὶ τὴν εὐχὴν τοῦ Μεγάλου Βασιλείου· Ὁ ἐν παντὶ καιρῷ, Κύριε ἐλέησον γ', Δόξα καὶ νῦν, Τὴν τιμιωτέραν, καὶ μετάνοιαν α', Ἐν ὀνόματι Κυρίου εὐλόγησον, καὶ ὁ ἱερεύς·

---

[1]) Ἐνταῦθα ὁ κανδηλάπτης, ἀπελθών, σημαίνει τὸ σιδηροῦν, εἶτα ὑποστρέψας, θυμιᾷ.

Ὁ Θεὸς οἰκτειρήσαι, καὶ ποιοῦμεν μετανοίας μεγάλας γ′ καὶ ἑτέρας ιβ′ κατὰ τὸν προγραφέντα τύπον, καὶ μικρὸν ἡσυχασάντων, ἄρχεται ὁ προεστὼς τοῦ τελευταίου Τρισαγίου, μετανοίας γ′. Μετὰ δὲ τὸ Πάτερ ἡμῶν, Κύριε ἐλέησον ιβ′, καὶ τὰς εὐχάς· Ἄσπιλε, ἀμόλυντε, καὶ Καὶ δὸς ἡμῖν, εἶτα Δόξα καὶ νῦν, Κύριε ἐλέησον γ′, καὶ ὁ ἱερεὺς τὴν εὐχὴν τῆς ἀπολύσεως· Δέσποτα πολυέλεε Κύριε, ζήτει αὐτὴν ἐν τῇ διατάξει τοῦ μεγάλου ἑσπερινοῦ, ἧς τινος λεγομένης παρὰ τοῦ ἱερέως, ἅπαντες κείμεθα ἐπὶ γόνυ, εἶτα ποιεῖ ὁ προεστὼς μετάνοιαν α′ ἀπὸ γῆς, λέγων· Εὐλογήσατε, πατέρες ἅγιοι, συγχωρήσατέ μοι τῷ ἁμαρτωλῷ, εἴτι ἥμαρτον λόγῳ, ἔργῳ, διανοίᾳ καὶ πάσῃ μου τῇ αἰσθήσει, καὶ ἀνταποκρίνονται οἱ ἀδελφοί· Ὁ Θεὸς συγχωρήσαι σοι, εἶτα ἄρχονται οἱ ἀδελφοὶ κατὰ τάξιν, εἷς καθ' εἷς βάλλοντες μετάνοιαν, καὶ ἐπιλέγοντες τὸν αὐτὸν λόγον, ἄχρις ἂν οἱ πάντες ποιήσωσιν, εἶτα λέγει ὁ ἱερεύς· Εὐξώμεθα ὑπὲρ τῶν κραταιῶν ἡμῶν, καὶ ποιεῖ εὐχήν, ὑπὲρ ὧν ἔχει τελευταίων εὔχεσθαι, πληρωθέντων οὖν καὶ τῶν ὑφ' ἡμῶν εὐχομένων, λέγει ὁ προεστώς· Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, καὶ οὕτω ποιοῦμεν μετάνοιαν τῷ προεστῶτι, καὶ ἀπερχόμεθα ἐν **[стр. 447)**, τοῖς κελλίοις ἡμῶν. Αὕτη ἡ τάξις τῆς ἀκολουθίας τῶν ἀποδείπνων γίνεται καθ' ὅλην τὴν ἁγίαν μ′. Δεῖ δὲ καὶ τὸν ἐκκλησιάρχην τοῦτο σκοπεῖν, ἵνα, ὅτε τὰ ἀπόδειπνα ἀπολύωμεν, ὑπάρχῃ ἀκμὴν ἡμέρας, ἤγουν πρὸ τοῦ συνοψιασμοῦ.

Ἀκολουθία τοῦ μεσονυκτικοῦ. Τῆς ἁρμοζούσης ὥρας τοῦ ὄρθρου ἐνστάσης, ὁ κανδηλάπτης ἀπελθών, καὶ ποιήσας τὴν συνήθη μετάνοιαν τῷ προεστῶτι, ἀνέρχεται καὶ κρούει τὸν σημαντῆρα ιβ′, εἶτα, κατελθών, πέρνει τὸ μικρόν, διερχόμενος κατὰ κύκλῳ τὰ τῶν ἀδελφῶν κελλία, ὅπως ἀφυπνισθῶσι, καὶ συναγόμεθα ἐν τῇ ἐκκλησίᾳ, καὶ τοῦ ἱερέως εὐλογήσαντος, ἀρχόμεθα· Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι, Βασιλεῦ οὐράνιε, Τρισάγιον, καὶ μετανοίας γ′ [1]), τὸν ν′ καὶ εὐθέως τὸν Ἄμωμον ὅλον τὸ κάθισμα, κατὰ στάσιν δὲ εἰς τὸ Ἀλληλούια μετανοίας γ′. Μετὰ δὲ τὸ τέλος τοῦ Ἀμώμου, Δόξα καὶ νῦν, Πιστεύω εἰς ἕνα Θεόν, εἶτα Τρισάγιον, καὶ μετανοίας γ′. Μετὰ δὲ [2]) τὴν ἐκφώνησιν, τροπάριον· Ἰδοὺ ὁ Νυμφίος, Δόξα, Τὴν ἡμέραν τὴν φοβεράν, Καὶ νῦν, Σὲ τὸ ἀπόρθητον τεῖχος, Κύριε ἐλέησον μ′ καὶ τὴν εὐχήν· Ὁ ἐν παντὶ καιρῷ, Κύριε ἐλέησον

---

[1]) Μετανοίας γ′, μετὰ δὲ Πάτερ ἡμῶν καὶ τὴν ἐκφώνησιν, Κύριε ἐλέησον ιβ′, Δεῦτε προσκυνήσωμεν, καὶ μετανοίας γ′, τὸν ν′. [2]) Μετὰ δὲ τὸ Πάτερ ἡμῶν καὶ ἐκφώνησιν, τροπάριον· Ἰδοὺ

*

γ', Δόξα καὶ νῦν, Τὴν τιμιωτέραν, μετάνοιαν α', ὁ ἱερεύς· Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ ποιοῦμεν μετανοίας μεγάλας γ' καὶ μικρὰς ιβ', κατὰ τὸν ῥηθέντα τύπον. Καὶ μικρὸν ἡσυχασάντων, ἄρχεται ὁ προεστὼς τῆς εὐχῆς· Δέσποτα Θεὲ Πάτερ Παντοκράτορ, Δεῦτε προσκυνήσωμεν γ', καὶ εὐθὺς τοὺς ψαλμούς· Ἦρα τοὺς ὀφθαλμούς μου, Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον, Δόξα καὶ νῦν, Τρισάγιον καὶ μετανοίας γ'. Μετὰ δὲ τὸ Πάτερ ἡμῶν, τροπάρια ταῦτα· Μνήσθητι, Κύριε, ὡς ἀγαθός, Ὁ βυθῷ σοφίας, Δόξα, Μετὰ τῶν ἁγίων ἀνάπαυσον, Καὶ νῦν, Μακαρίζομέν σε, Κύριε ἐλέησον ιβ' καὶ τὴν εὐχήν· Μνήσθητι, Κύριε, τῶν ἐπ' ἐλπίδι [стр. **448**), Δόξα καὶ νῦν, Κύριε ἐλέησον γ', ὁ ἱερεὺς τὴν εὐχὴν τῆς ἀπολύσεως, καὶ γίνεται ἡ συγχώρησις, ἅμα δὲ καὶ ἡ ὑπὲρ τῶν βασιλέων καὶ λοιπῶν εὐχή, ὡς ἐν τοῖς ἀποδείπνοις δεδήλωται.

Περὶ τοῦ μεσονυκτικοῦ τοῦ σαββάτου. Ἐν μέντοι τῷ τοῦ σαββάτου μεσονυκτικῷ, μετὰ τὸν ν', ἀντὶ τοῦ Ἀμώμου, λέγομεν τὸ Σοὶ πρέπει ὕμνος ὁ Θεός, τὸ κάθισμα ὅλον, ἀντὶ τῶν τροπαρίων τοῦ Ἰδοὺ ὁ Νυμφίος καὶ τῶν λοιπῶν, Ἄκτιστε φύσις, Δόξα, Τὰς ἄνω δυνάμεις, Καὶ νῦν, Τῆς κλίνης καὶ τοῦ ὕπνου, τὰ δὲ λοιπὰ πάντα ἀπαραλλάκτως ὡς ἐν τούτῳ, πλὴν τῶν μετανοιῶν. Ἰδοὺ οὖν, ὡς προγέγραπται, μίαν ἡμέραν ἀκριβῶς διαταξάμενοι[1]), παρεθήκαμεν τῇ ἀγάπῃ ἡμῶν, τήν τε ποιότητα καὶ ποσότητα τῆς ψαλμῳδίας, ὡσαύτως καὶ τὰς τυπωθείσας μετανοίας παρὰ τῶν ἁγίων πατέρων ἡμῶν, ἃς οὐκ ἔξεστι παραλογίζεσθαι οὐδὲ τὸν ἀμαθέστατον, ποσοῦνται δὲ αἱ ἐν τῇ ἐκκλησίᾳ γινόμεναι μετάνοιαι τοῦ νυχθημέρου εἰς τξε'.

Κεφ. ρκγ'. Παρελάβομεν δὲ ἀπὸ τῶν ἐν Παλαιστίνῃ ἁγίων πατέρων ἐν τοῖς ἰδίοις κελλίοις ψάλλειν τὸ Ψαλτήριον, καὶ οἱ μὲν δυνάμενοι τελειοῦσιν αὐτὸ ὑφ' ὅλου τοῦ νυχθημέρου, οἱ δὲ τρίτον τῆς ἑβδομάδος, οἱ δὲ δίς, μετανοίας δὲ ποιοῦμεν ὅσας ἐν ἑκάστῳ ὁ προεστὼς κατὰ τὴν ἰδίαν δύναμιν τυπώσει.

Κεφ. ρκδ'. Περὶ τῶν ὡρῶν καὶ τοῦ λυχνικοῦ τῆς παρασκευῆς. Δεῖ γινώσκειν, ὅτι ἐν πάσαις ταῖς παρασκευαῖς τῆς ἁγίας τεσσαρακοστῆς ψάλλομεν τὰς γ' ὥρας ὁμοῦ, τὴν τριθέκτην καὶ τὴν θ' μετὰ τῶν τυπικῶν[2]), ἐν γοῦν τῇ θ' οὐ στιχολογοῦμεν, ποιοῦ-

---

[1]) διατάξαντες. [2]) Рук. Діонис. библ. № 449. Τῇ ἁγίᾳ καὶ μεγάλῃ παρασκευῇ εἰς τὰς ὥρας οὐ λέγομεν τυπικά, τὸ αὐτὸ δὲ ποιοῦμεν καὶ τῇ κυριακῇ τῶν Χριστουγέννων καὶ τῶν Φώτων, ἀλλὰ μετὰ τὴν εὐχὴν τὸ Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ... τοὺς μακαρισμοὺς χύμα καὶ τὰ λοιπά.

μεν δὲ καὶ ἀναγνώσεις β′ καὶ μετὰ τὴν συμπλήρωσιν τῶν τυπικῶν, γινομένης ἀπολύσεως, ἐξερχόμεθα τῆς ἐκκλησίας, καὶ μικρᾶς ὥρας παρελθούσης, ὅσον ἡμᾶς ἡσυχάσαι καὶ ἀναπαύσασθαι, ὁ κανδηλάπτης, ἀνελθών, σημαίνει τὸ μέγα καὶ τὸ σιδηροῦν, καὶ συναχθέντες ἐν τῇ ἐκκλησίᾳ, [стр. 449) ἀρχόμεθα τοῦ λυχνικοῦ κατὰ τὴν προγραφεῖσαν διάταξιν τῶν προηγιασμένων, μετανοίας δὲ οὐ ποιοῦμεν· σχολάζουσι γὰρ αὗται ἀπ᾽ ἀρχῆς τοῦ λυχνικοῦ, πλὴν τῶν τεταγμένων ἐν τοῖς προηγιασμένοις, αἵτινες εἰσὶν αὗται· εἰς τὸ Κατευθυνθήτω αἱ γονυκλισίαι, καὶ μετὰ τὸ τέλος γ′ μετάνοιαι, μετὰ τὸ Νῦν αἱ δυνάμεις γ′ μετάνοιαι καὶ εἰς τὸ Εἴη τὸ ὄνομα μετάνοιαι γ′.

Замѣчено: Τὸ τοῦ Διονυσίου· τῇ παρασκευῇ ἑσπέρας ψάλλομεν μικρὸν ἀπόδειπνον καὶ τὸ τροπάριον τῆς ἡμέρας, κοντάκιον δὲ τοῦ ἁγίου Θεοδώρου [стр. 451), тогда какъ, по самому уставу, положено совершать великое повечеріе и въ пятницу на субботу.

Катавасія на утрени въ первую субботу великаго поста «Отверзу уста». По этому поводу замѣчается: Ἔνια τῶν Τυπικῶν καταβασίαν, τοὺς εἱρμοὺς τοῦ κανόνος, ἤγουν τὸ Θαλάσσης, ὃ καὶ ἁρμοδιότερον δοκεῖ [стр. 454).

По поводу перваго часа во вторую субботу замѣчено: Τὸ τοῦ Διονυσίου· ὅτε ψάλλεται Ἀλληλούια τῷ σαββάτῳ, θέλει ἐπισυνάπτεσθαι τῷ ὄρθρῳ ἀμέσως καὶ τὴν α′ ὥραν, καὶ εἰς τὸ τέλος μνημονεύειν τὸν ἱερέα, λέγοντα καὶ τὴν εὐχήν, προλεγόντων ἡμῶν τὸ Μετὰ πνευμάτων δικαίων [стр. 459).

Во второе воскресеніе поста ἡ συνήθης ἀγρυπνία, ἐν ᾗ ψάλλομεν καὶ τὸν εἰς τὸ Μηναῖον ἅγιον τῆς ἡμέρας. По этому поводу внизу примѣчаніе: Ἄρτι ἐτυπώθη καὶ κεκανόνισται ἐν τῇ τοιαύτῃ κυριακῇ συμψάλλεσθαι μετὰ τῆς ἀναστασίμου ἀκολουθίας τὸν ἅγιον Γρηγόριον τὸν Παλαμᾶν, καὶ ὅρα εἰς τὰ ν ε ο τ ύ π ω τ α β ι β λ ί α [стр. 459).

Въ третью недѣлю поста: Δεῖ εἰδέναι, ὅτι μετὰ τὴν ἀπόλυσιν τοῦ ἑσπερινοῦ ἀπέρχεται ὁ ἱερεὺς καὶ ὁ ἐκκλησιάρχης μετὰ τοῦ κανδηλάπτου, κρατοῦντος μανουάλιον μετὰ λαμπάδος, ἐν τῷ σκευοφυλακίῳ, καὶ θυμιάσας ὁ ἱερεὺς τὸ τίμιον ξύλον τοῦ σταυροῦ, αἴρει αὐτὸ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ μετὰ τῆς θήκης, καὶ ψαλλόντων τῶν ἀδελφῶν· Σῶσον, Κύριε, εἰσφέρεται τὸ τίμιον ξύλον ἐν τῷ ναῷ καὶ ἐπιτίθεται τῇ ἁγίᾳ τραπέζῃ, καὶ θυμιᾶται αὖθις ὑπὸ τοῦ ἱερέως καὶ ἅπτει κηρὸς ἔμπροσθεν αὐτοῦ δι᾽ ὅλης τῆς νυκτός [стр. 460). Крестъ,

при выносѣ на утрени, или покрытъ воздухомъ, или находится въ ящикѣ: αἴρει ὁ ἱερεὺς τὸ τίμιον σταυρὸν μετὰ τῆς θήκης αὐτοῦ, ἢ μετὰ δίσκου, κεκαλυμμένον ὄντα ἐπὶ τῆς κεφαλῆς αὐτοῦ [стр. 461). Замѣчаніе: Τὸ τοῦ Διονυσίου· Οὕτω γίνεται ἡ σταυροπροσκύνησις ἐν ταύταις ταῖς τρισὶν ἡμέραις· ἀρξαμένης τῆς α' ὥρας, εἷς τῶν ὑπηρετῶν σημαίνει τὸ σιδηροῦν, ὅτε δὲ τίθησι τὸ προσκυνητάριον ἐν τῷ μέσῳ, ἀρξαμένου δὲ τοῦ Τὸ πρωὶ εἰσάκουσον κ. τ. λ., ὁ κανονάρχης ποιεῖ τὰ συνήθη προσκυνήματα ἐνώπιον τοῦ προσκυνήματος, ἐκείνου δὲ ἀπελθόντος καὶ ἡμῶν ψαλλόντων ἀργῶς· Τί σε καλέσωμεν, ἐξέρχεται ὁ ἱερεὺς μετὰ θυμιατοῦ, ἐνδεδυμένος ἐπιτραχήλιον καὶ φελώνιον, καὶ θυμιᾷ σταυροειδῶς τὸν τίμιον σταυρόν, τὴν εἰκόνα τῆς μονῆς καὶ τὸν ἡγούμενον, εἶτα ἐπιδοὺς τῷ ὑπηρέτῃ τὸν θυμιατόν, καὶ βαλὼν τὸ ἑαυτοῦ καλυμαύχιον, προσκυνεῖ μετὰ τοῦ ἡγουμένου, ὡς καὶ ἐν τῇ κυριακῇ εἴρηται, κατὰ τὴν τάξιν, βαλόντες καὶ τὰς μετανοίας. Ἡμεῖς δὲ μετὰ τὸ Τί σε καλέσωμεν, εὐθὺς ψάλλομεν· Τὸν Σταυρόν σου προσκυνοῦμεν, ἐκ γ', εἶτα τὸ ἰδιόμελον, καὶ οἱ ἀδελφοὶ προσκυνοῦσιν εὐτάκτως ἀνὰ δύο, ὡς καὶ τῇ κυριακῇ, καὶ μετὰ τὸ ἰδιόμελον τὸ Τρισάγιον, τὸ κοντάκιον τοῦ σταυροῦ κ. τ. λ. καὶ ἀπόλυσις [стр. 462).

Службу великаго акаѳиста (см. ниже въ Иверскомъ рукописномъ соборномъ Типиконѣ). Къ ней примѣчанія: 1) Τὸ τοῦ Διονυσίου· ψάλλομεν τὸ μεσονυκτικὸν τοῦ σαββάτου, ὡς ἔθος, ἐν τῷ νάρθηκι, 2) Σχόλιον· Ἰ σ τ έ ο ν, ὅ τ ι ἐ ν π ο λ λ ο ῖ ς τ ῶ ν μ ο ν α σ τ η ρ ί ω ν ἔ ξ ω θ ε ν τ ο ῦ β ή μ α τ ο ς, ἔ μ π ρ ο σ θ ε ν τ ῶ ν ἁ γ ί ω ν θ υ ρ ῶ ν λ έ γ ε ι τ ο ὺ ς ο ἴ κ ο υ ς ὁ ἱ ε ρ ε ύ ς, ο ἶ μ α ι δ ὲ τ ὸ ἐ ν τ ὸ ς κ ρ ε ῖ τ τ ο ν ε ἶ ν α ι, δι' ὃ κ α ὶ ἐ π ε κ ρ ά τ η σ ε π α ρ ὰ τ ο ῖ ς π λ ε ί σ τ ο ι ς, 3) Τὸ τοῦ Διονυσίου· κατὰ τὸ ἔθος οἱ χοροὶ τὸ Τῇ ὑπερμάχῳ ψάλλουσι καὶ τὸ Χαῖρε, νύμφη ἀνύμφευτε, καὶ τὸ Ἀλληλούια, εἰς ἕκαστον οἶκον, πλὴν ὁ α' χορὸς τοῦ α' καὶ β' οἴκου, ὁ β' τοῦ γ' καὶ δ' οἴκου καὶ πάλιν ὁ α' τοῦ ε' καὶ ς' οἴκου τὰ τέλη εἰς δὲ τὴν β' στάσιν ἄρχον, 4) Τὸ τοῦ Διονυσίου· καί τινα Τ ρ ι ῴ δ ι α χ ε ι ρ ό γ ρ α φ α περιέχουσι καὶ β' κανόνας τῆς Θεοτόκου, διαλαμβάνοντα περὶ τῆς ὑποθέσεως (τὰ ἀντιστρόφως κ. τ. λ. τῆς ἡμέρας, λέγεται ὁ α' εἰς η' καὶ ὁ β' εἰς ς', 5) Τὸ τοῦ Διονυσίου· ἡ μὲν αἴτησις παρὰ τοῦ ἐφημερίου ἱερέως, οἱ δὲ οἶκοι ὑπὸ τοῦ γ' κατὰ τὴν τάξιν ἱερέως, 6) Τὸ τοῦ Διονυσίου καὶ τὸ ἔθος· μετὰ τὴν καταβασίαν τῆς ς' ᾠδῆς ἡ συναπτὴ παρὰ τοῦ ἐφημερίου ἱερέως, τὸ κοντάκιον, οἱ οἶκοι

παρὰ τοῦ δ' ἱερέως и 7) ἡ ζ' καὶ η' ᾠδαὶ οὐ στιχολογοῦνται ὅλαι, ἀλλὰ μόνον οἱ συνήθεις στίχοι [стр. 468, 469).

Περὶ τοῦ Τετραευαγγελίου, ὅπως ἀναγινώσκεται ἐν ταῖς δυσὶν ἑβδόμάσι τῇ ς' καὶ τῇ μεγάλῃ.

Ἰστέον, ὡς ἀπὸ τῆς β' τῆς ἕκτης ἑβδομάδος ἀρχόμεθα ἀναγινώσκειν ἐν ταῖς ὥραις, τῇ τρίτῃ δηλαδὴ ὥρᾳ, τῇ ς' καὶ τῇ θ' εἰς τὸ Τετραευαγγέλιον. Ἀναγινώσκομεν οὖν, ὡς εἴρηται, τῇ β', τῇ δ' [καὶ τῇ παρασκευῇ, τῇ δὲ γ' καὶ τῇ ε' ἀναγινώσκομεν τὸν πρὸς ποιμένα λόγον τοῦ Κλίμακος. Καὶ ἀναγινώσκομεν ἐν ταῖς γ' ταύταις ἡμέραις τοὺς δύο εὐαγγελιστάς, τὸν Ματθαῖον δηλαδὴ καὶ τὸν Μάρκον, τῇ δὲ μεγάλῃ β' καὶ τῇ μεγάλῃ γ' καὶ τῇ μεγάλῃ δ' ἀναγινώσκομεν τὸν Λουκᾶν καὶ τὸν Ἰωάννην ἄχρι τῆς διαθήκης· δύο μέντοι ἀναγνώσεις ποιοῦμεν τῇ παρασκευῇ, καὶ τῇ μεγάλῃ δ' ὁμοίως δύο. Προτίθεται τοίνυν ἀναλόγιον μετὰ βλατίων μέσον τοῦ ναοῦ, ἐν ᾧ τίθεται τὸ Τετραευαγγέλιον, λαμπάδος μιᾶς μετὰ κηρομανουαλίου ἁπτούσης ἐκ πλαγίου αὐτοῦ. Ψαλλομένου οὖν τοῦ θεοτοκίου τῆς ὥρας, ἤγουν τὸ Θεοτόκε σὺ εἶ ἡ ἄμπελος, ἀλλάσσει ὁ ἱερεὺς ἐπιτραχήλιον καὶ φελώνιον πορφυροῦν, πρότερον πρὸς τὸν προεστῶτα ποιήσας μετάνοιαν καὶ ἐλθών, θυμιᾷ τὸ ἅγιον Εὐαγγέλιον κύκλῳ σταυροειδῶς, εἶτα θυμιᾷ τὸν προεστῶτα καὶ αὖθις τὸ ἅγιον Εὐαγγέλιον ἀπὸ τοῦ ἔμπροσθεν μέρους καὶ μόνον, καὶ πληρωθέντος τοῦ θεοτοκίου, ἐκφωνεῖ· Σοφία, ὀρθοί, καὶ τὰ λοιπά, ὡς συνήθως, καὶ ἀναγινώσκει, ἡμῶν ἀσκεπῶν ἑστώτων καὶ ἀκροωμένων. Μετὰ δὲ τὴν συμπλήρωσιν τῆς ἀναγνώσεως, προσκυνήσας καὶ ἀσπασάμενος τὸ ἅγιον Εὐαγγέλιον, εἶτα προσκυνήσας καὶ τοὺς δύο χορούς, ἀπέρχεται. Въ примѣчаніи: Τὸ τοῦ Διονυσίου· Ἀρχόμεθα τοῦ Τετραευαγγελίου ἀπὸ τῆς δ' τῶν Βαΐων, καὶ ποιοῦμεν τὸν μὲν Ματθαῖον στάσεις ς', τὸν δὲ Μάρκον στάσεις γ', καὶ ἀναγινώσκεται ὁ Ματθαῖος τῇ δ' καὶ ε', τῇ δὲ παρασκευῇ ὁ Μάρκος. Ὁμοίως τὸν Λουκᾶν εἰς στάσεις ς', τὸν δὲ Ἰωάννην στάσεις γ', καὶ ὁ μὲν Λουκᾶς πληροῦται τῇ μεγάλῃ β' καὶ μεγάλῃ γ', ὁ δὲ Ἰωάννης τῇ μεγάλῃ δ' μέχρι τῆς διαθήκης τῶν παθῶν. Τεθέντος δὲ τοῦ ἀναλογίου, ὅτε ψάλλεται τὸ Κύριε, ὁ τὸ πανάγιόν σου, ἢ τὸ Ὁ δι' ἡμᾶς, μετὰ τὸ ποιῆσαι τὰ προσκυνήματα ὁ κανονάρχης, ὡς ἔθος, καὶ ἀρχόμεθα ψάλλειν τὸ θεοτοκίον τῆς ὥρας τὸ Θεοτόκε, σὺ εἶ, ἢ τὸ Ὁ δι' ἡμᾶς (ἐν γὰρ τῇ ς' μετὰ τὴν προφητείαν), ἐξέρχεται ὁ ἱερεύς, προθυμιάσας τὴν ἁγίαν τράπεζαν σταυροειδῶς, μετὰ φελωνίου καὶ ἐπιτραχηλίου διὰ τῶν βημοθύρων, καὶ ἄρχεται καὶ θυμιᾷ σταυροειδῶς τὸ ἅγιον Εὐαγγέλιον

εἶτα τὴν εἰκόνα τῆς μονῆς καὶ τὸν καθηγούμενον καί, ἐπιδοὺς τῷ ὑπηρέτῃ τὸν θυμιατόν, ἄρχεται· Σοφία, ὀρθοὶ κ. τ. λ. Φθάσας δὲ εἰς τὸ σημεῖον, κλείσας τὸ ἅγιον Εὐαγγέλιον, ἀσπάζεται αὐτὸ καὶ ποιεῖ μετάνοιαν μίαν ἔμπροσθεν αὐτοῦ καὶ ἀνὰ μίαν εἰς τοὺς χοροὺς καί, εἰσελθὼν εἰς τὸ θυσιαστήριον, ξεφορένει. Εἰς δὲ τὴν θ', ὅταν ποιήσῃ τὴν μετάνοιαν ἔμπροσθεν αὐτοῦ καὶ ἀνὰ μίαν εἰς τὸν δεξιὸν χορόν, ὑποστρέφων, περιπτύσσει τῇ ποδιᾷ τὸ Εὐαγγέλιον καὶ ἐπαίρει αὐτὸ ἐκ τοῦ ἀναλογίου καὶ ὁ ὑπηρέτης, ἄρας τὸ ἀναλογίον ἐκ τοῦ μέσου, τίθησιν ἐν τῷ ἰδίῳ τόπῳ [**стр. 470**), Діонисіат. Тип. [**л. 203** об.—**204**).

Замѣчено: Τὸ τοῦ Διονυσίου· Εἰς τὴν ἀπόλυσιν (вечерни Вербнаго воскресенья) λέγει ὁ ἱερεύς· Ὁ ἐπὶ πώλου ὄνου καθεσθῆναι κ. τ. λ., καὶ ἀποδίδοται ἡ ἑορτή, ἤδη αἴρεται καὶ ἡ εἰκὼν τῆς Βαϊοφόρου ἀπὸ τοῦ προσκυνήματος. Καὶ νῦν λέγει μέγα ἀπόδειπνον ἔνδον καὶ χρεῖτον εἰς τὰ τριῴδια λέγομεν τοὺς εἱρμοὺς ἅπαξ ἐν ἀρχῇ, οὐχὶ δὲ καὶ εἰς τὸ τέλος, εἰμὴ μόνον τῆς Θεοτόκου.

Δεῖ εἰδέναι, ὅτι κώδωνας (въ страстную седмицу) οὐ σημαίνομεν ἄχρι τοῦ μεγάλου σαββάτου, ἐκτὸς τοῦ Εὐαγγελισμοῦ, οἵᾳ ἡμέρᾳ τύχοι [**стр. 477**), Діон. Тип. [**л. 207** об.).

Σημείωσαι δέ, ὅτι παρὰ τοῖς πλείστοις τὰ τοιαῦτα τοῦ ὄρθρου (съ понедѣльника страстной седмицы и другихъ дней) εὐαγγέλια οὐ λέγονται, οὐκ οἶδα δι' ἥντινα τὴν αἰτίαν. Положены евангелія.

Внизу примѣчаніе: Οὐδὲ τὸ τοῦ Διονυσίου ἀναφέρει περὶ τούτων, ἔν τισι δὲ λέγονται εὐθὺς μετὰ τὸ κάθισμα, ἡ ἀνάγνωσις χωρὶς δηλαδὴ προκειμένου καὶ τοῦ Πᾶσα πνοὴ [**стр. 478**).

Ἐν τῇ ς' ὥρᾳ (въ среду страстную) ἀποδίδομεν τὸ Ψαλτήριον, καὶ ψάλλομεν τὸν τελευταῖον ψαλμὸν μετὰ μέλους, ἤτοι τὸ Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ εἰς ἦχον πλ. β', λέγοντες καὶ τροπάριά τινα ᾀσματικὰ ς' εἰς δόξαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ [Діон. **л. 211** об.). Θυμιᾷ δὲ καὶ ὁ κανδηλάπτης, τούτων ψαλλομένων, ὧν μετὰ τὴν συμπλήρωσιν, ψάλλομεν τὸ Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μεγαλοφώνως καὶ ἀργά. Συνάπτομεν δὲ μετὰ τῆς τριθέκτης καὶ τὴν θ' καὶ τοὺς μακαρισμούς, ποιοῦντες καὶ τὰς συνήθεις μετανοίας, εἶτα, τοῦ κανδηλάπτου τὸ σιδηροῦν κρούσαντος, καὶ πάντων τῶν ἀδελφῶν καὶ αὐτῶν τῶν ἐν τῷ νάρθηκι ἔνδον τοῦ καθολικοῦ ναοῦ εἰσελθόντων, ὁ ἱερεὺς ἔμπροσθεν τῶν ἁγίων θυρῶν ἐλθών, λέγει τὴν εὐ-

χὴν τῆς ἀπολύσεως ταύτην μεγαλοφώνως, πάντων ἡμῶν ἀσκεπῶν ἐπ' ἐδάφους κειμένων· Δέσποτα πολυέλεε, Κύριε Ἰησοῦ Χριστέ, καὶ εὐθὺς λέγει ὁ προεστώς· Εὐλογήσατε, πατέρες ἅγιοι, συγχωρήσατέ μοι τῷ ἁμαρτωλῷ, εἴτι ἥμαρτον ἐν ὅλῃ μου τῇ ζωῇ καὶ ἐν ταύτῃ τῇ ἁγίᾳ καὶ μεγάλῃ μ' ἔργῳ, λόγῳ, διανοίᾳ καὶ πάσῃ μου τῇ αἰσθήσει. Καὶ ἀποκρίνονται αὐτῷ πάντες· Ὁ Θεὸς συγχωρῆσαί σοι, καὶ εὐθέως ἀνίσταται, καὶ οὕτως ἄρχονται οἱ ἀδελφοὶ πάντες εἷς καθ' εἷς κατὰ τάξιν ἀπὸ γῆς, τὸν αὐτὸν λόγον λέγοντες, καὶ ὑπὸ τῶν λοιπῶν συγχωρεῖσθαι καὶ ἀνίστασθαι. Πάντων οὖν συγχωρηθέντων καὶ ἀνιστάντων, λέγει ὁ ἱερεύς· Εὐξώμεθα ὑπὲρ τῶν κραταιῶν ἡμῶν, καὶ τὰς λοιπὰς αἰτήσεις, ὡς σύνηθες, καὶ εὐθὺς λέγει ὁ προεστὼς στίχους, καὶ ποιήσαντες αὐτῷ μετάνοιαν καὶ συγχωρηθέντες, ἀπερχόμεθα ἐν τοῖς ἰδίοις κελλίοις. Ἀποδίδομεν ἐνταῦθα καὶ τὰς μετανοίας, πλὴν τῶν ἐν τῇ προηγιασμένῃ, ὡς δεδήλωται [стр. **482**), Діон. Тип. [л. об.). Τινὲς δὲ ἐνταῦθα (въ среду великую) οὐδ' ὅλως ψάλλουσιν ἀπόδειπνα, ἕτεροι δὲ ψάλλουσιν ἐν τῷ νάρθηκι τὸ μικρόν, ψάλλοντες καὶ τὸ τριῴδιον τοῦ ἁγίου Ἀνδρέου. По этому поводу замѣчено: Τὸ τοῦ Διονυσίου λέγει· ψάλλομεν τὸ μεσονυκτικὸν ἐν τῷ νάρθηκι, οὐ μόνον δὲ ἐν ταύτῃ, ἀλλὰ καὶ ἐν τῇ ἐπαύριον καὶ τῷ μεγάλῳ σαββάτῳ, ἅπερ πάντῃ ἀνάρμοστα, ὅθεν βέλτιον τὸ οὐδ' ὅλως ψάλλεσθαι μεσονυκτικὸν ἐν ταῖς τρισὶ ταύταις ἁγίαις ἡμέραις, ὃ καὶ ἕως τῆς β' τοῦ Θωμᾶ [стр **483**).

Περὶ δὲ τὸ μέσον τῆς ἡμέρας (четверга великаго) σημαίνει τὸ μικρὸν καὶ ψάλλομεν τὰς γ' ὥρας κατ' αὐτὸν ἐν τῷ νάρθηκι, ὡσαύτως καὶ τοὺς μακαρισμοὺς ἄνευ μέλους, τὸ Πιστεύω εἰς ἕνα Θεόν, Ἄνες, ἄφες, Πάτερ ἡμῶν, τὸ κοντάκιον τῆς ἡμέρας, Κύριε ἐλέησον μ' καὶ ἀπόλυσις. Внизу замѣчено: Τὸ τοῦ Διονυσίου· Τῇ αὐτῇ ἡμέρᾳ περὶ γ' ὥραν τῆς ἡμέρας σημαίνει τὸ μέγα σήμαντρον, τὸ σιδηροῦν τὸ ἄνω καί, συναχθέντων τῶν ἀδελφῶν, προτίθεται τὸ ἀναλόγιον μετὰ τῆς κανδήλας ἐν τῷ μέσῳ καὶ ἐξ ἑκατέρου μέρους τὰ β' εἰσοδικὰ καὶ ἐκ δεξιῶν τὸ ἀναλόγιον μετὰ τοῦ Εὐαγγελίου, εἶτα ψάλλεται τὸ εὐχέλαιον. Καὶ μετὰ τὸ χρισθῆναι πάντας ἐκ τοῦ ἁγίου ἐλαίου, γίνεται ἀπόλυσις. Καὶ εὐθύς, κρουσθέντος τοῦ μικροῦ σιδηροῦ, γίνεται Εὐλογητός, καὶ ἡμεῖς Τρισάγιον κ. τ. λ., καὶ ἀναγινώσκεται ἡ συγχωρητικὴ εὐχὴ παρὰ τοῦ προεστῶτος, καὶ οὕτω γίνεται ἀπόλυσις. Καὶ μετὰ μικρὸν ψάλλομεν τὰς γ' ὥρας ἐν τῷ νάρθηκι μετὰ τῶν τυπικῶν κ. τ. λ., ἄνευ τοῦ Εὐλογήσω τὸν Κύριον· τοῦτο γὰρ λέγεται μετὰ

τὴν λειτουργίαν καὶ τὸ Ὑψώσω σε, ἀπερχόμενοι εἰς τὴν τράπεζαν. [**стр. 484**); Діон. Тип. [**л. 313**). На литургіи «Вечери твоея тайныя» пѣніи 3 раза, вмѣсто «Иже херувимы». Τὸ τοῦ Διονυσίου· τὸ τρισσεύεσθαι τοιοῦτον ἔστι, λέγει ὁ α' χορὸς ὅλον χύμα, καὶ ὁ β' ὁμοίως, εἶτα πάλιν ὁ α', νῦν δὲ μετὰ μέλους, εἰς δὲ τὸ ὕστερον μόνον λέγεται Ἀλληλούια [**стр. 485**); Діон. Тип. [**л. 214** об.).

На утрени въ великій четвертокъ свѣчи раздаютъ во время шестопсалмія. Ектенью малую произноситъ священникъ. По этому поводу замѣчено: Τὸ τοῦ Διονυσίου· χωρὶς συναπτῆς, ἀλλ' εὐθὺς μετὰ τὸ τέλος τοῦ τροπαρίου ἐκφωνεῖ· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι, λέγει δὲ τοῦτο ὁ προεστώς, πρότερον εἰσελθὼν εἰς τὸ ἅγιον βῆμα καὶ φορέσας ἐπιτραχήλιον καὶ φελώνιον, καὶ θυμιάσας σταυροειδῶς τὴν ἁγίαν τράπεζαν, μετὰ τὸ τέλος τοῦ τροπαρίου ἐκφωνεῖ· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι (οὐκ οἶδα δέ, εἰ ἁρμόζει τὸ φελώνιον) [**стр. 488**); Діон. Тип. [**л. 215**).

[**стр. 490**). Часы великой пятницы. Ὥρᾳ δὲ πρώτῃ τῆς ἡμέρας σημαίνει τὸ μικρὸν καὶ συναγόμεθα ἐν τῇ ἐκκλησίᾳ, καὶ εὐλογοῦντος τοῦ ἱερέως, ἀρχόμεθα τῆς α' ὥρας, λέγοντες Τρισάγιον κ. τ. λ., Κύριε ἐλέησον ιβ' καὶ τοὺς ψαλμούς, ψαλμὸς β'· Ἵνα τί ἐφρύαξαν ἔθνη, ψαλμὸς μ'· Μακάριος ὁ συνιῶν ἐπὶ πτωχὸν, καὶ τὸν ρ'· Ἔλεος καὶ κρίσιν ᾄσομαί σοι, Δόξα, τροπάριον ἦχος πλ. β' [1])· Μόνον ἐπάγῃ τὸ ξύλον, Καὶ νῦν, Τί σε καλέσωμεν, καὶ εὐθὺς τροπάρια γ', ἀπὸ τῶν ιβ', ἃ καὶ δευτεροῦμεν, ψάλλοντες αὐτὰ ἀνὰ μέρος οἱ β' χοροί, τὸ μὲν α' [**стр. 491**) ἄνευ στίχου, εἰς δὲ τὸ β' λέγομεν στίχους τούςδε· Διεμερίσαντο τὰ ἱμάτιά μου, καὶ Ἔδωκαν εἰς τὸ βρῶμά μου, εἰς δὲ τὸ γ', ἑνούμενοι οἱ β' χοροί, λέγουσι· Δόξα καὶ νῦν, πάλιν τὸ αὐτό. Ὁ δὲ κανδηλάπτης, τούτων ψαλλομένων, θυμιᾷ. Οὕτω ποιοῦσι καὶ ἐν τοῖς λοιποῖς τροπαρίοις τῶν ὡρῶν. Εἶτα τροπάριον τῆς προφητείας ἦχος α'· Σταυρωθέντος σου Χριστέ [2]), προκείμενον ἦχος δ'· Ἡ καρδία αὐτοῦ συνήγαγεν ἀνομίαν, στίχος· Μακάριος ὁ συνιῶν ἐπὶ πτωχόν, Προφητείας Ζαχαρίου· Τάδε λέγει Κύριος· Λήψομαι τὴν ῥάβδον μου, ὁ ἀπόστολος πρὸς Γαλάτας· Ἀδελφοί, ἐμοὶ μὴ γένοιτο καυχᾶσθαι, ζήτει κυριακῇ κβ' ἀπὸ τοῦ μέσου, εὐαγγέλιον κατὰ

---

[1]) τὰ τοῦ δ', τροπάριον· Σταυρωθέντος σου Χριστὲ κ. τ. λ. [2]) τὸ τοῦ δ'· Ὡς ἔοικεν, ἄλλο τροπάριον ἔχει τῆς προφητείας.

Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ πρωΐας γενομένης, συμβούλιον ἔλαβον· τέλος· Ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου, ζήτει εἰς τὸ Τετραευάγγελον ἀδιακόπως, καὶ εὐθὺς ἡ κατήχησις [1]) τοῦ Στουδίτου, εἶτα Τὰ διαβήματά μου, Τρισάγιον, μετὰ τὸ Πάτερ ἡμῶν, τὸ κοντάκιον· Τὸν δι' ἡμᾶς σταυρωθέντα, Κύριε ἐλέησον μ', ἡ εὐχή· Ὁ ἐν παντὶ καιρῷ κ. τ. λ. συνήθως, καὶ γίνεται ἀπόλυσις.

Ὥρα τρίτη. Περὶ δὲ ὥραν[2]) ε' σημαίνει τὸ μικρὸν[3]) καὶ συναχθέντες ἐν τῇ ἐκκλησίᾳ, ἀρχόμεθα τῆς γ' ὥρας, ὡς ἔθος, ψαλμοὺς δὲ λέγομεν ἀντὶ τῶν συνήθων τούσδε· ψαλμὸς λζ'· Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, ψαλμὸς ογ'· Ἵνα τί ὁ Θεὸς ἀπώσω εἰς τέλος, καὶ τὸν ν', Δόξα, τροπάριον ἦχος πλ. β'· Κύριε, κατέκρινάν σε οἱ Ἰουδαῖοι, Καὶ νῦν, Θεοτόκε σὺ εἶ ἡ ἄμπελος, εἶθ' οὕτως τροπάρια γ', ἐκ τῶν ιβ', ὡς ἐδηλώθη ἐν τῇ α' ὥρᾳ [л. 492). Μετὰ δὲ ταῦτα προκείμενον ἦχος δ'· Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, στίχος· Κύριε, μὴ τῷ θυμῷ σου, Προφητείας Ἡσαΐου· Κύριος δίδωσί μοι γλῶσσαν, ζήτει τῇ μεγάλῃ ε' ἑσπέρας, ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, ἔτι Χριστός, ὄντων ἡμῶν ἀσθενῶν, ζήτει κυριακῇ γ' ἀπὸ τοῦ μέσου, εὐαγγέλιον κατὰ Μάρκον· Τῷ καιρῷ ἐκείνῳ συμβούλιον ἐποίησαν οἱ ἀρχιερεῖς, τέλος· αἱ συναναβᾶσαι αὐτῷ εἰς Ἱεροσόλυμα, ζήτει καὶ τοῦτο ὁμοίως εἰς τὸ Τετραευαγγέλιον ἀδιακόπως, καὶ εὐθὺς τίθεται ἀνάγνωσις, λόγος τοῦ Νικομηδείας Γεωργίου, οὗ ἡ ἀρχή· Πρὸς ὑψηλοτάτην, ὃν καὶ ποιοῦμεν δόσεις γ', εἶτα Κύριος ὁ Θεὸς εὐλογητός, καὶ τὰ λοιπὰ τῆς ὥρας, ὡς σύνηθες.

Ὥρα ἕκτη. Καὶ λεγομένου στιχηροῦ, συνάπτομεν καὶ τὴν ς' ὥραν, ὡς σύνηθες, ψαλμοὺς δὲ λέγομεν τούσδε· ψαλμὸς κα'· Ὁ Θεός, ὁ Θεός μου, πρόσχες μοι, ψαλμὸς πζ'· Κύριε, ὁ Θεὸς τῆς σωτηρίας μου, καὶ τὸν συνήθη· Ὁ κατοικῶν ἐν βοηθείᾳ, Δόξα, τροπάριον ἦχος β'· Σωτηρίαν εἰργάσω, Καὶ νῦν, Ὅτι οὐκ ἔχομεν, καὶ πάλιν τροπάρια γ' ἀπὸ τῶν ιβ', προκείμενον ἦχος πλ. δ'· Ἔδωκαν εἰς τὸ βρῶμά μου, στίχος· Σῶσόν με, ὁ Θεός, ὅτι εἰσήλθοσαν, Προφητείας Ἡσαΐου· Ἰδοὺ συνήσει ὁ παῖς μου· ζήτει τῇ αὐτῇ ἡμέρᾳ ἑσπέρας, ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι, ζήτει Δεκεμβρίου κς', εὐαγγέλιον κατὰ Λουκᾶν· Τῷ καιρῷ ἐκείνῳ συνήχθη τὸ πρεσβυτέριον,

---

[1]) Въ ркп. Костамон. относительно этого внизу страницы сдѣлано замѣчаніе: οὐκ εὐθύς, ἀλλὰ μετὰ τὴν εὐχὴν τὸ Χριστὲ τὸ φῶς τὸ ἀληθινόν, ὡς ἔστι σύνηθες [л. 272 об.). [2]) Ивер. περὶ δὲ ὥραν ζ'. [3]) Ивер. τὸ ξύλινον.

τέλος· ἀκολουθήσασαι ἀπὸ τῆς Γαλιλαίας, ζήτει εἰς τὸ Τετραευαγγέλιον ἀδιακόπως, εἶτα ἀνάγνωσις, μεθ' ἣν Ταχὺ προκαταλαβέτωσαν, καὶ τὰ λοιπὰ τῆς ὥρας.

[стр. 493). Ὥρα θ'. Συνάπτομεν καὶ τὴν θ' ὥραν, λέγοντες Τρισάγιον καὶ ψαλμοὺς τούσδε· ψαλμὸς ξη'· Σῶσόν με, ὁ Θεός, ὅτι εἰσήλθοσαν, ψαλμὸς ξθ'· Ὁ Θεός, εἰς τὴν βοήθειάν μου πρόσχες, καὶ τὸν πε'· Κλῖνον, Κύριε, τὸ οὖς σου, Δόξα, τροπάριον ἦχος πλ. δ'· Βλέπων ὁ λῃστής, Καὶ νῦν, Ὁ δι' ἡμᾶς γεννηθείς, εἶτα τὰ ὑπόλοιπα τροπάρια γ' ἐκ τῶν ιβ', προκείμενον ἦχος δ'· Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, στίχος· Οὐκ ἔστι ποιῶν χρηστότητα, Προφητείας Ἱερεμίου· Κύριε, γνώρισόν μοι καὶ γνώσομαι, ζήτει τῇ μεγάλῃ ε' πρωΐ, ὁ ἀπόστολος· Πρὸς Ἑβραίους· Ἀδελφοί, ἔχοντες παῤῥησίαν, ζήτει κυριακῇ πρὸ τῆς ϛ' τοῦ Νοεμβρίου, εὐαγγέλιον κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ, ἄγουσι τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον, τέλος· ὄψονται εἰς ὃν ἐξεκέντησαν, ζήτει εἰς τὸ Τετραευαγγέλιον ἀδιακόπως, εἶτα ἀνάγνωσις εἰς τὸν ῥηθέντα λόγον, μεθ' ἣν Μὴ παραδῴης ἡμᾶς καὶ τὰ λοιπὰ συνήθως, μετὰ δὲ τὴν εὐχήν· Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ μακροθυμήσας, οἱ Μακαρισμοὶ χύμα, τὸ Πιστεύω εἰς ἕνα Θεόν, Ἄνες, ἄφες, Πάτερ ἡμῶν, τὸ κοντάκιον, Κύριε ἐλέησον μ', Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον, Εὐλογήσω τὸν Κύριον, Τὴν τιμιωτέραν τῶν χερουβίμ, καὶ γίνεται ἀπόλυσις. Сн. [л. 41).

[стр. 494). Ἑσπέρας. Τῇ αὐτῇ ἡμέρᾳ (т. е. въ пятницу), περὶ ὥραν ι' σημαίνει καὶ τὸ σιδηροῦν μόνον, καὶ συναχθέντες ἐν τῇ ἐκκλησίᾳ, ἀρχόμεθα τοῦ ἑσπερινοῦ. Εἰς τὸ Κύριε ἐκέκραξα [1]) ἱστῶμεν στίχους ϛ' καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα τὸν α', ὃν καὶ δευτεροῦμεν, τοὺς γ' δευτέρους, καὶ τὸν πλ. β'· Σήμερον ὁ Δεσπότης τῆς κτίσεως, Δόξα ὁ αὐτός, Ὢ πῶς ἡ παράνομος συναγωγή, Καὶ νῦν ὁ αὐτός, Φοβερὸν καὶ παράδοξον μυστήριον, εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, τὸ Φῶς ἱλαρόν, προκείμενον ἦχος δ'· Διεμερίσαντο τὰ ἱμάτιά μου, στίχος· Ὁ Θεός, ὁ Θεός μου, πρόσχες μοι, ἀνάγνωσμα πρῶτον τῆς Ἐξόδου, προκείμενον ἦχος δ'· Δίκασον, Κύριε, τοὺς ἀδικοῦντάς με, στίχος· Ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ, ἀνάγνωσμα β' Ἰώβ, καὶ μετὰ τοῦτο ἀνάγνωσμα Ἡσαΐου, καὶ εὐθὺς προκείμενον τοῦ ἀποστόλου ἦχος πλ. β'· Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, στίχος· Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, ὁ ἀπόστολος· Πρὸς Κορινθίους α'· Ἀδελφοί, ὁ λόγος ὁ τοῦ σταυροῦ,

---

[1]) Иверск. ркп.: μετὰ τὸν προοιμιακόν.

Ἀλληλούια ἦχος πλ. α'· Σῶσόν με, ὁ Θεός, ὅτι εἰσήλθοσαν, στίχος· Ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου, στίχος· Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτοῦ, εὐαγγέλιον κατὰ Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ, συμβούλιον ἔλαβον, οὗ μετὰ [стр. 495), τίθεται προσκύνημα ὁ ἐνταφιασμός [1]). Εἶθ' οὕτως· Εἴπωμεν πάντες κ. τ. λ., τῆς ἐκτενῆς, τὸ Καταξίωσον, Πληρώσωμεν τὴν ἑσπερινήν, καὶ μετὰ τὴν ἐκφώνησιν ψάλλομεν στιχηρὸν ἦχος β'· Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν, καὶ ἕτερα β', ὅμοια τούτῳ, στίχους δὲ λέγομεν· Ὁ Κύριος ἐβασίλευσε, καὶ Καὶ γὰρ ἐστερέωσε, Δόξα καὶ νῦν ἦχος πλ. α'· Σὲ τὸν ἀναβαλλόμενον, ἀπολυτίκιον ἦχος β'· Ὁ εὐσχήμων Ἰωσήφ, μέχρι τοῦ Κηδεύσας ἀπέθετο, ὁ δὲ ἱερεύς· Σοφία, καὶ ἀπόλυσις. Τὰ δὲ ἀπόδειπνα [2]) ψάλλομεν οἱ εἰδότες ἐν τοῖς κελλίοις, τινὲς δὲ ἐνταῦθα ψάλλουσιν ἐν τῷ νάρθηκι ἀντὶ ἀποδείπνων τὸν εἰς τὸν θρῆνον τῆς ὑπεραγίας Θεοτόκου κανόνα ἦχος πλ. β', πρὸς Κύματι θαλάσσης, Θέλων σου τὸ πλάσμα, ποίημα τοῦ κυρίου Συμεὼν τοῦ Μεταφραστοῦ, λέγοντες Τρισάγιον, Δεῦτε προσκυνήσωμεν, τὸν ν', καὶ εὐθὺς τὸν κανόνα. Μετὰ δὲ τὸ τέλος τοῦ κανόνος, Τρισάγιον, τὸ τροπάριον· Ὁ εὐσχήμων Ἰωσήφ, Δόξα καὶ νῦν, Ὑπερδεδοξασμένη ὑπάρχεις, καὶ ἀπόλυσις.

Τῷ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ.

[стр. 495) Εἰς [3]) τὸν ὄρθρον σημαίνει ὥρα ς' [4]) καὶ μετὰ τὸ ἑξάψαλμον, εἰς τὸ Θεὸς Κύριος, τροπάριον ἦχος β'· Ὁ εὐσχήμων Ἰωσήφ, Δόξα, Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, Καὶ νῦν, Ταῖς μυροφόροις

---

[1]) Τὸ τοῦ Διονυσίου· λεγομένου τοῦ εὐαγγελίου, ὅταν ἔλθῃ εἰς τὸ Ὀψίας δὲ γινομένης κ. τ. λ., αἴρεται ἡ εἰκὼν τῆς σταυρώσεως ἐκ τοῦ προσκυνήματος, καὶ τίθεται ἡ ἀποκαθήλωσις. Μετὰ δὲ τὸ εὐαγγέλιον τίθεται τὸ προσκύνημα ἐν τῷ μέσῳ τοῦ ναοῦ, καὶ δύο μανουάλια ἔνθεν καὶ ἔνθεν, ὁ δὲ διάκονος λέγει τὸ Εἴπωμεν πάντες κ. τ. λ. Μετὰ τὴν ἐκφώνησιν, ἐξελθὼν ὁ ἱερεὺς σὺν τῷ διακόνῳ, ἵσταται πλησίον τῶν . . . καὶ ἡμεῖς πάντες κύκλῳ τοῦ προσκυνήματος, ψάλλοντες τὰ ἀπόστιχα, εἰς δὲ τὸ Δόξα, προσκυνοῦμεν ἀνὰ δύο εὐτάκτως κ. τ. λ. Ταῦτα παλαιὰ ἴσως, νῦν δὲ ἄλλως πως· ψαλλομένων τῶν ἀποστίχων, εὐγάλουσιν οἱ ἱερεῖς φορεμένοι τὸν ἐπιτάφιον, καὶ τιθέασιν αὐτὸν ἐν τῷ μέσῳ, καὶ γίνεται ἡ προσκύνησις εὐτάκτως κ. τ. λ. Эти замѣчанія имѣются и въ Иверскомъ соборномъ Типиконѣ. [2]) Τὸ τοῦ Διονυσίου· Τὸ μικρὸν ἀπόδειπνον ἔνδον τοῦ ναοῦ, βαλόντος τοῦ ἱερέως ἔσωθεν τοῦ βήματος τὸν Εὐλογητόν, καὶ ψαλλομένου συνήθως τοῦ Ἄξιόν ἐστιν, θυμιῶμεν, κοντάκιον· Τὴν ἄβυσσον ὁ κλείσας κ. τ. λ. [3]) Ивер. ркп. Περὶ δὲ ὥραν γ' τῆς νυκτὸς σημαίνει καὶ ψάλλομεν τὸ μεσονυκτικὸν τοῦ σαββάτου ἐν τῷ νάρθηκι, ἤτοι τὸ Σοὶ πρέπει ὕμνος, ἀντὶ δὲ τῶν τροπαρίων Μνήσθητι, Κύριε, καὶ τῶν λοιπῶν, λέγομεν τὸ κοντάκιον τῆς ἡμέρας· Τὴν ἄβυσσον ὁ κλείσας, εἶτα τὸ Κύριε ἐλέησον ιβ', Δόξα καὶ νῦν καὶ ἀπόλυσις. Εἰσελθόντες δὲ ἐν τῷ ναῷ, ἀρχόμεθα τοῦ ὄρθρου κ.τ.λ. [4]) τὸ τοῦ Διονυσίου οὕτω λέγει· περὶ ὥραν ς', εἰ δὲ Ἀπρίλιος, περὶ ε' ὥραν, νῦν δὲ οὐχ οὕτως, ἀλλὰ περὶ δ', ἔνιοι δὲ καὶ ἀφ' ἑσπέρας.

γυναιξί, μέχρι τοῦ Ἐδείχθη ἀλλότριος[1]), ὧν ψαλλομένων, ὁ μὲν ἐκκλησιάρχης διανέμει τὰ κηρία τοῖς ἀδελφοῖς, οἱ δὲ ἱερεῖς ἀλλάσσουσιν ἐπιτραχήλιον καὶ φελώνιον, καὶ ἐλθόντες μέσον τοῦ ναοῦ, ἔνθα καὶ τὸ προσκύνημα ἵσταται, θυμιᾷ ὁ πρῶτος αὐτῶν τὴν ἁγίαν εἰκόνα σταυροειδῶς, εἶτα θυμιῶν ἀπὸ τοῦ ἔμπροσθεν μέρους, ψάλλει τροπάριον ἦχος πλ. α'· Μεγαλύνομέν σε [2]), ζωοδότα Χριστέ, καὶ εὐθέως ψάλλομεν τὸν Ἄμωμον μετὰ τῶν μεγαλυναρίων[3]) αὐτοῦ, τῶν ἱερέων θυμιώντων κατὰ τάξιν. Κατὰ δὲ στάσιν γίνεται μικρὰ συναπτὴ καὶ ἐκφώνησις· Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις ἡμῶν, Χριστὲ ὁ Θεός, καὶ σοῦ τὴν δόξαν ἀναπέμπομεν [4]) κ. τ. λ. Μετὰ δὲ τὸ τέλος τοῦ Ἀμώμου, Δόξα καὶ νῦν οὐ λέγομεν, ἀλλ' εὐθέως τὰ ἀναστάσιμα τροπάρια ἦχος πλ. α'· Τῶν ἀγγέλων ὁ δῆμος κ. τ. λ., εἶτα [5]) κάθισμα· Τὸν τάφον σου Σωτήρ,

[1]) Ивер. ркп. καὶ κηροδοσίας γενομένης, καὶ τοῦ χοροῦ καὶ τῶν στατιαρίων καὶ τῶν σταυρῶν ἀναφθέντων, ἐξέρχονται οἱ ἱερεῖς κ. τ. λ. [2]) Τὸ τοῦ Διονυσίου· τὸ Ἡ ζωὴ ἐν τάφῳ λέγεται πεντάκις, τρὶς παρὰ τῶν ἱερέων καὶ δὶς παρὰ τῶν χορῶν, εἰς οὓς χοροὺς ἔρχονται καὶ οἱ ἱερεῖς καὶ ἵστανται μέχρι τέλους τῆς στάσεως. Ὥστε εἰς τὰς ἀργὰς καὶ τὰ τέλη τῶν στάσεων κυκλοῦν τὸν ἐπιτάφιον τοὺς ἱερεῖς, εἰς δὲ τὰ μέσα ἵστασθαι εἰς τοὺς χορούς, καὶ μετὰ τὸ κάθισμα αἴρουσιν οἱ ἱερεῖς τὸν ἐπιτάφιον καὶ εἰσάγουσιν εἰς τὸ ἱερόν, τὸν δὲ κράββατον ἐξάγουσιν οἱ ὑπηρέται εἰς τὸν νάρθηκα, εἰς δὲ τὴν δοξολογίαν εἰσάγεται αὖθις ὁ κράββατος, καὶ φέρουσιν οἱ ἱερεῖς τὸν ἐπιτάφιον ἔσωθεν, καὶ ἐπιτιθέασι τῷ κραβάτῳ, καὶ μετὰ τὸ τέλος τῆς δοξολογίας γίνεται ἡ εἴσοδος κ. τ. λ. κατὰ τὴν τάξιν. Νῦν δὲ ἀπ' ἀρχῆς τῶν ἐγκωμίων μέχρι τοῦ καθίσματος περιίστανται κύκλῳ τοῦ ἐπιταφίου, ψάλλοντες κ. τ. λ. καὶ ὁ ἐπιτάφιος κεῖται ἐν τῷ μέσῳ μέχρι τέλους τῆς δοξολογίας, καὶ τότε φορεμένων τῶν ἱερέων, γίνεται λιτὴ κύκλῳ τοῦ ναοῦ, ψαλλομένου τοῦ νεκρωσίμου Τρισαγίου [3]) Ивер. ркп. καὶ ἀποκρίνεται το αὐτο τροπάριον ὁ ἐναρξάμενος χορός, ἤτοι ὁ ἀριστερός, καὶ πάλιν τὸ αὐτὸ ὁ προεστώς, συμψαλλόντων καὶ τῶν λοιπῶν ἱερέων, καὶ πάλιν τὸ αὐτὸ ὁ δεξιὸς χορὸς καὶ πάλιν τὸ αὐτο οἱ ἱερεῖς, καὶ οὕτως ἄρχεται ὁ ἀριστερὸς χορὸς τῶν στίχων τῆς α' στάσεως, ὥστε συμβαίνει πεντάκις ψάλλεσθαι τὸ πρῶτον τροπάριον, τρὶς παρὰ τῶν ἱερέων καὶ δὶς παρὰ τῶν δύο χορῶν. Καὶ οἱ μὲν λοιποὶ ἱερεῖς (въ Діонис. Тип. прибавлено: βαλόντες τὰ ἑαυτῶν καμηλαύχια) ἀπέρχονται εἰς τὰ ἑαυτῶν στασίδια, ὁ δὲ προεστὼς θυμιᾷ τὸν ναὸν ἅπαντα καὶ καθεξῆς οἱ λοιποὶ ἱερεῖς καὶ μὲ αὐτοὺς πάλιν οἱ διάκονοι κατὰ τάξιν (въ Діонис. прибавлено: μετὰ δὲ τὸ θυμιᾶσαι, βαλὼν τὸ ἑαυτοῦ καμηλαύχιον ὁ θυμιάσας ἱερεύς, ποιεῖ ἐν τῷ μέσῳ μετάνοιαν καὶ εἰς τοὺς χορούς). Μετὰ δὲ τὸ Δόξα καὶ νῦν, τελειωθείσης τῆς α' στάσεως, συνελθόντες οἱ ἱερεῖς ἔμπροσθεν τοῦ ἐπιταφίου, ψάλλουσι καταβασίαν τὸ α' μεγαλυνάριον, ἤτοι· Ἡ ζωὴ ἐν τάφῳ, ἅπαξ, καὶ οὕτω γίνεται μικρὰ συναπτὴ παρὰ τοῦ διακόνου καὶ ἡ ἐκφώνησις παρὰ τοῦ ἱερέως· Ὅτι σὸν τὸ κράτος. Καὶ οὕτως ἄρχεται πάλιν ὁ προεστὼς τῆς β' στάσεως, λεγομένου τοῦ α' τροπαρίου πεντάκις, καθὼς εἴπομεν, τρὶς μὲν παρὰ τῶν ἱερέων καὶ δὶς παρὰ τῶν χορῶν. Εἶτα ἄρχεται ὁ δεξιὸς χορὸς τῶν στίχων τῆς β' στάσεως, καὶ μετὰ τὸ τέλος ταύτης, συνελθόντων αὖθις ἐν τῷ μέσῳ τῶν ἱερέων, ψάλλεται ἅπαξ καταβασία τὸ α' τροπάριον, εἶτα πάλιν συναπτὴ μικρὰ καὶ ἐκφώνησις· Ὅτι ἀγαθός. Καὶ πάλιν ὁμοίως ἀρχὴ τῆς γ' στάσεως, καὶ μετὰ τὸ τέλος ταύτης εὐθὺς τὰ εὐλογητάρια κ. τ. λ. [4]) καὶ αὕτη ἐν Κωνσταντινουπόλει οὐ λέγεται. [5]) Εἶτα, ψαλλομένου τοῦ καθίσματος, οἱ μὲν ἱερεῖς, ἄραντες τὸν ἐπιτάφιον, εἰσφέρουσιν αὐτὸν διὰ τῶν ἁγίων θυρῶν ἔνδον τοῦ ἁγίου βήματος, καὶ ἀποτιθέασιν αὐτὸν ἐπὶ τῆς ἁγίας τραπέζης, οἱ δὲ ὑπηρέται, ὁ μὲν βάλλει ἀνάγνωσιν,

Δόξα καὶ νῦν τὸ αὐτό καὶ ἀνάγνωσις εἰς τὸν κατὰ Ματθαῖον, λόγος τοῦ εὐαγγελίου τῆς ἡμέρας, μετὰ δὲ τὴν ἀνάγνωσιν εὐθὺς ὁ ν' καὶ ὁ κανὼν ἦχος πλ. β'· Κύματι θαλάσσης, ποίημα Μάρκου [1]) ἐπισκόπου Ἰδροῦντος, μέχρι τῆς ϛ' ᾠδῆς [**стр. 497**), ἀπὸ δὲ τῆς ἕκτης ᾠδῆς τοῦ ἁγίου Κοσμᾶ· τετραῴδιον γὰρ ἦν πρότερον, ἀνεπληρώθη δὲ εἰς κανόνα τέλειον ὕστερον παρὰ τοῦ δηλωθέντος Μάρκου κελεύσει Λέοντος τοῦ βασιλέως [2]), οὐ δευτεροῦμεν τοὺς εἱρμούς, τὰ δὲ τροπάρια ποιοῦμεν ιβ', ὕστερον δὲ πάλιν τοὺς εἱρμοὺς ὁμοῦ οἱ δύο χοροί[3]), ἀπὸ γ' ᾠδῆς κάθισμα ἦχος α' [4])· Σινδόνι καθαρᾷ, Δόξα καὶ νῦν τὸ αὐτό, καὶ ἀνάγνωσις εἰς τὸ κατὰ Ματθαῖον, ἢ εἰς ἕτερον λόγον τῆς ἡμέρας, εἰ ἐστί, ἢ λόγον Γερμανοῦ, πατριάρχου Κωνσταντινουπόλεως τοῦ νέου, οὗ ἡ ἀρχή· Σάββατον μέγα ἐστὶ σήμερον, ἢ Μαξίμου τοῦ Πλανούδη, οὗ ἡ ἀρχή· Ἃ μὲν ἄν τις εἰκάσῃ, ἀφ' ϛ' κοντάκιον ἰδιόμελον ἦχος β'· Τὴν ἄβυσσον ὁ κλείσας, τὸν οἶκον καὶ τὸ Συναξάριον, εἶτα ἀνάγνωσις, εἰ ἔχει ἡ ὥρα [5]). Μετὰ τὴν θ' [6]) ᾠδὴν Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν εἰς ἦχον β', ἐκ γ', ἐξαποστειλάριον οὐ λέγομεν. Εἰς τοὺς αἴνους, Πᾶσα πνοή, ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα τοὺς γ' δευτέρους καὶ τὸν πλ. β'· Ἠτήσατο Ἰωσήφ, Δόξα ὁ αὐτός· Τὴν σήμερον μυστικῶς, Καὶ νῦν, Ὑπερευλογημένη, Δοξολογία μεγάλη, ἧς ψαλλομένης, ὁ ἱερεύς, ἀλλάξας πᾶσαν τὴν ἱερατικὴν στολήν, καὶ εἴπερ εἰσὶ καὶ ἕτεροι ἱερεῖς, ἀλλάξαντες ἐπιτραχήλια καὶ φελώνια, ὁμοίως καὶ οἱ διάκονοι, αἴρουσιν ἐπὶ τῶν ὤμων τὸ ἅγιον Εὐαγγέλιον, ἐνηλειμμένον μετὰ Ἀμνοῦ, καὶ ψαλλομένου μεγαλοφώνως τοῦ Τρισαγίου [7]), ὡς ἔθος ἐστὶ ψάλλεσθαι αὐτὸ εἰς νεκρούς, εἰσοδεύουσι μετὰ λαμπάδων καὶ θυμιατοῦ καὶ ῥιπίδων, εἴπερ εἰσί, προηγουμένων ὁμοῦ καὶ ἐφεπομένων, εὐτάκτως βαδίζοντες καὶ ἀργῶς, ψάλλεται δὲ τὸ Τρισάγιον, τρίτον μὲν παρὰ τῶν ἱερέων, τρίτον δὲ παρὰ τῶν ἀδελφῶν, καὶ τοῦτο πολλάκις ἕως ἂν οἱ ἱερεῖς πλησίον [**стр. 498**) ἔλθωσι τῶν ἁγίων θυρῶν. Ἐλ-

---

ὁ δὲ σβεννύει τοὺς κηροὺς (въ Діонис. Тип. πρώτην ἀνάγνωσιν μετὰ τὰ εὐλογητάρια, τὸ δὲ κράββατον τοῦ ἐπιταφίου τίθεται ἔξω ἐν τῷ νάρθηκι) καὶ μετὰ τὴν ἀνάγνωσιν ὁ ν' καὶ ὁ κανὼν τοῦ μεγάλου σαββάτου ἦχος πλ. β'· Κύματι θαλάσσης κ. τ. λ.

[1]) γεγονότος (Костамон. ркп. № 26 л. 247, об.). [2]) Этого замѣчанія о Маркѣ, составителѣ великосубботняго канона, въ Иверской рукописи нѣтъ. [3]) Діонис. ἀνάπτονται καὶ τὰ κηρία τῶν σταταριῶν. [4]) Τινὲς μετὰ τὸν Ἄμωμον τοῦτο λέγουσι, νῦν δὲ· Τὸν τάφον σου, Σωτήρ, ὅπερ ἁρμοδιώτερον δοκεῖ μοι. [5]) Ивер. ркп. εἰς τὴν ζ' ᾠδὴν ἀνάπτονται πάλιν τὰ κηρία τῶν σταταριῶν καὶ οἱ σταυροί. [6]) εἰς τὴν θ' θυμιᾷ ὁ διάκονος. [7]) ἐξερχόμεθα διὰ τῆς θύρας τοῦ βορείου μέρους.

θόντων δὲ ἐκεῖσε καὶ τοῦ Τρισαγίου πληρωθέντος, ἐκφωνεῖ ὁ διάκονος· Σοφία, ὀρθοί, καὶ εὐθέως οἱ ἱερεῖς εἰσοδεύουσι, τροπάριον ἦχος β'· Ὁ εὐσχήμων Ἰωσὴφ μεγαλοφώνως καὶ ἀργά, μέχρι τοῦ Κηδεύσας ἀπέθετο [1], καὶ ἀποτίθενται τὸ ἅγιον Εὐαγγέλιον ἐν τῇ τραπέζῃ, καὶ καλύπτουσιν αὐτὸ μετὰ τοῦ Ἀμνοῦ καὶ θυμιῶσιν ἐπάνω αὐτοῦ. Καὶ λέγει ὁ ἱερεύς· Πρόσχωμεν, Εἰρήνη πᾶσι, Σοφία, καὶ εὐθὺς ὁ κανονάρχης τὸ τροπάριον τῆς προφητείας ἦχος β'· Ὁ συνέχων τὰ πέρατα, προκείμενον τῆς προφητείας ἦχος δ'· Ἀνάστα, Κύριε, βοήθησον ἡμῖν, στίχος· Ὁ Θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν, προφητείας Ἰεζεκιήλ· Ἐγένετο ἐπ' ἐμὲ χεὶρ Κυρίου, εἶτα ὁ ἱερεὺς πάλιν· Πρόσχωμεν, Εἰρήνη πᾶσι, Σοφία, προκείμενον τοῦ ἀποστόλου ἦχος πλ. β', Ἀνάστηθι, Κύριε ὁ Θεός μου, στίχος· Ἐξομολογήσομαί σοι, Κύριε, ὁ ἀπόστολος πρὸς Κορινθίους α'· Ἀδελφοί, μικρὰ ζύμη· Ἀλληλούια ἦχος δ', Ἀναστήτω ὁ Θεός, στίχος· Ὡς ἐκλείπει καπνός, στίχος· Οὕτως ἀπολοῦνται, εὐαγγέλιον [2]) κατὰ Ματθαῖον· Τῇ ἐπαύριον, ἥτις ἐστὶ μετὰ τὴν παρασκευήν, Εἴπωμεν πάντες κ. τ. λ., τῆς ἐκτενῆς· Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν [3]), καὶ γίνεται ἀπόλυσις. Ἡ α' ὥρα ψάλλεται ἐν τοῖς κελλίοις, αἱ δὲ λοιπαὶ ὧραι ψάλλονται [4]) λιτῶς ὁμοῦ ἐν τῷ νάρθηκι, ὁμοίως καὶ τὰ τυπικὰ χύμα, ἄνευ τοῦ Εὐλογήσω τὸν Κύριον· τοῦτο γὰρ καταλιμπάνομεν διὰ τὸ μέλλειν ἡμᾶς αὐτὸ εἰπεῖν εἰς τὴν λειτουργίαν, ψάλλονται δὲ ὧραι περὶ τὰς ς' ὥρας τῆς ἡμέρας.

Ἑσπέρας περὶ ὥραν ι' σημαίνει τὸ λυχνικὸν καί, ἀλλάσσοντος [**стр. 499**) τοῦ ἱερέως στολὴν λευκὴν καὶ εὐλογοῦντος, ἀπαρχόμεθα τοῦ λυχνικοῦ· εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους η' καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα τῆς Ὀκτωήχου δ', ἦχος α'· Τὰς ἑσπερινὰς ἡμῶν εὐχάς, Κυκλώσατε λαοὶ Σιών, Δεῦτε λαοὶ ὑμνήσωμεν, Τὰ πάθη σου Χριστέ, καὶ ἰδιόμελα τοῦ μεγάλου σαββάτου γ', ἦχος πλ. δ'· Σήμερον ὁ Ἅδης στένων βοᾷ, δευτεροῦντες τὸ α', Δόξα ἦχος πλ. β'· Τὴν σήμερον μυστικῶς, Καὶ νῦν, Τὴν παγκόσμιον δόξαν, εἴσοδος μετὰ τοῦ Εὐαγγελίου,

---

[1]) Ивер. ркп. καὶ ἀποτίθεται ὁ ἐπιτάφιος ἐπὶ τοῦ κραββάτου καὶ εἰσελθόντες οἱ ἱερεῖς εἰς τὸ ἅγιον βῆμα, ἐκβάλλουσι τὰς ἱερατικὰς στολὰς ἄνευ τοῦ ἐφημερίου. Ὁ δὲ ἱερεὺς ἐφημέριος ἐκφωνεῖ· Πρόσχωμεν, **Εἰρήνη** πᾶσι, Σοφία. [2]) Ивер.: τὸ ὁποῖον ἀναγινώσκεται παρὰ τοῦ διακόνου ἔξω ἐν τῷ συνήθει τόπῳ. Τὸ τοῦ Διονυσίου· τὸ εὐαγγέλιον λέγεται ἔξω παρὰ τοῦ διακόνου. [3]) Ивер.: οἱ δὲ ὑπηρέται σβεννύουσι τὰς κανδήλας καὶ τοὺς κηρούς, καὶ γίνεται ἡ προσκύνησις καὶ ὁ ἀσπασμὸς τοῦ ἐπιταφίου. Въ Діонис. прибавлено: καὶ ποιοῦμεν πρὸ τοῦ ἀσπασμοῦ μετάνοιαν μίαν καὶ μετὰ τὸν ἀσπασμὸν ἑτέραν καὶ εἰς τοὺς χορούς.
[4]) Τὸ τοῦ Διονυσίου· ἐν αἷς λέγομεν τὰ τρία τροπάρια ἀνὰ ἓν κατ' ἀνταλλαγήν.

τὸ Φῶς ἱλαρόν, προκείμενον δὲ οὐ λέγεται, ἀλλ' εὐθέως ὁ ἱερεύς· Σοφία, καὶ ἄρχεται ὁ κανονάρχης τῶν ἀναγνωσμάτων, κατὰ τὴν τάξιν αὐτῶν. Μετὰ δὲ τὸ ς' ἀνάγνωσμα, λέγει· Τῷ Κυρίῳ ᾄσωμεν, ἐνδόξως γὰρ δεδόξασται, καὶ ἡμεῖς ἀνιστάμενοι, λέγομεν τὸ αὐτὸ μετὰ μέλους πολλάκις, ὁ δὲ ἀναγνώστης λέγει τοὺς στίχους τῆς ὅλης ᾠδῆς, εἰς ἕνα δὲ ἕκαστον στίχον ἡμεῖς· Ἄσωμεν τῷ Κυρίῳ. Μετὰ δὲ τὸ πληρωθῆναι τοὺς στίχους, ὁ ἀναγνώστης· Δόξα καὶ νῦν, Ἄσωμεν τῷ Κυρίῳ, καὶ ἡμεῖς· Ἐνδόξως γὰρ δεδόξασται, εἶτα τὰ ὑπόλοιπα ἀναγνώσματα. Μετὰ δὲ τὸ ὕστερον ἀνάγνωσμα, ὁ ἀναγνώστης· Ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας, καὶ ἡμεῖς τὸ αὐτὸ μετὰ μέλους, ὁ δὲ τοὺς στίχους τῆς ᾠδῆς ὅλης, εἰς ἕνα δὲ ἕκαστον στίχον ἡμεῖς· Ὑμνεῖτε καὶ ὑπερυψοῦτε. Καὶ μετὰ τὴν πλήρωσιν αὐτῶν, λέγει ὁ ἀναγνώστης· Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα, τὸν Κύριον ὑμνοῦμεν, Καὶ νῦν, καὶ ἡμεῖς· Ὑμνεῖτε καὶ ὑπερυψοῦτε. Καὶ αὖθις ὁ ἀναγνώστης γεγονωτέρᾳ φωνῇ τὸ αὐτό, ὁ δὲ ἱερεὺς ποιεῖ μικρὰν συναπτὴν τοῦ Τρισαγίου, καὶ ψάλλομεν τὸ Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, ψαλμὸς τῷ Δαβὶδ οὐ λέγεται, ἀλλ' εὐθὺς τὸ προκείμενον ἦχος πλ. δ'· Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι [стр. 500), στίχος· Ἀλαλάξατε τῷ Κυρίῳ, ὁ ἀπόστολος· Πρὸς Ῥωμαίους· Ἀδελφοί, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, οὐδ' ἐνταῦθα ψαλμὸς τῷ Δαβίδ, οὔτε μὴν Ἀλληλούια, ἀλλ' εὐθὺς οἱ στίχοι οὗτοι εἰς ἦχον βαρύν· Ἀνάστα, ὁ Θεός, κρῖνον τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσι, στίχος· Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, στίχος β'· Ἕως πότε κρίνετε ἀδικίαν; στίχος γ'· Οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν, εὐαγγέλιον κατὰ Ματθαῖον· Ὀψὲ σαββάτῳ, καὶ καθ' ἑξῆς ἡ θεία λειτουργία τοῦ Μεγάλου Βασιλείου. Ἀντὶ δὲ τοῦ συνήθους χερουβικοῦ, λέγομεν ἕτερον· Σιγησάτω πᾶσα σὰρξ βροτεία. Κοινωνικόν· Ἐξηγέρθη, ὡς ὁ ὑπνῶν Κύριος, καὶ ἀνέστη σώζων ἡμᾶς. Ἀλληλούια. Μετὰ δὲ τὴν ἀπόλυσιν τῆς λειτουργίας δίδοται τὸ κατακλαστὸν παρὰ τοῦ ἱερέως, ὡς συνήθως [1]), εἶθ' οὕτως, ἑτοιμασθέντος τοῦ τετραποδίου μετὰ τῶν ἄρτων καὶ τῶν λοιπῶν συνήθων, γίνεται ἡ τούτων εὐλόγησις παρὰ τοῦ ἱερέως, ὡς ἔθος ἐστίν, ἅμα καὶ θυμιάσαντος αὐτοὺς σταυροειδῶς, ὡς σύνηθες. Ὀφείλει δὲ ἔχειν ἀκρίβειαν ὁ ἐκκλησιάρχης, ἵνα, ὅτε ἀπολύει ἡ λειτουργία, ὑπάρχῃ ὥρα β' τετελεσμένη τῆς νυκτός.

Μετὰ δὲ τὴν ἀπόλυσιν οὐκ ἐξερχόμεθα τῆς ἐκκλησίας [2]), ἀλλὰ κα-

---

[1]) Ивер. ркп. λεγομένου τοῦ Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον. [2]) Ἀπερχομέλων δὲ ἡμῶν εἰς τὴν τράπεζαν, λέγεται ὁ ρμδ' ψαλμός, ὡς σύνηθες.

θήμεθα ἐν τοῖς τόποις ἡμῶν, καὶ εἰσέρχεται ὁ κελλαρίτης καὶ ἐπιδίδοσι τοῖς ἀδελφοῖς [1]) ἀνὰ κλάσματος ἄρτου, καὶ ς' ἰσχάδων καὶ καρύων, καὶ ἀπὸ ἑνὸς κρασοβολίου οἴνου, καὶ τεθείσης ἀναγνώσεως εἰς τὰς Πράξεις τῶν ἁγίων ἀποστόλων, καὶ τοῦ ἱερέως [стр. 501), ὡς ἔθος, τὸν στίχον εἰπόντος, ἐσθίομεν. Μετὰ δὲ [2]) τὴν ἑστίασιν, ἀναστὰς ὁ κανδηλάπτης, ἅπτει τὰς κανδήλας, εἶθ' οὕτως ἐξέρχεται καὶ σημαίνει τὸν μέγαν σημαντῆρα, καὶ εὐθὺς ἵστησι τὴν ἀνάγνωσιν ὁ ἀναγινώσκων, καὶ εὐλογοῦντος τοῦ ἱερέως, ἀρχόμεθα τοῦ Τρισαγίου, Δεῦτε προσκυνήσωμεν γ', τὸν ν' καὶ εὐθὺς τὸν κανόνα τοῦ μεγάλου σαββάτου, δευτεροῦμεν τοὺς εἱρμούς, τὰ δὲ τροπάρια ποιοῦμεν ιβ', ὕστερον δὲ πάλιν τοὺς εἱρμοὺς ὁμοῦ οἱ δύο χοροί, ἀπὸ γ' ᾠδῆς κάθισμα ἦχος α'· Τὸν τάφον σου, Σωτήρ, Δόξα καὶ νῦν τὸ αὐτό, καὶ ἀνάγνωσις εἰς τὸν λόγον τοῦ ἁγίου Ἐπιφανίου, οὗ ἡ ἀρχή· Τί τοῦτο σήμερον, σιγὴ μεγάλη, δν καὶ ποιοῦμεν δόσεις β' [3]), ἀφ' ς' ᾠδῆς, τὸ κοντάκιον τοῦ μεγάλου σαββάτου καὶ ὁ οἶκος, καὶ ἀνάγνωσις εἰς τὸ Συναξάριον τοῦ ἁγίου τῆς ἡμέρας [4]), εἶτα καὶ τὸ ἐπίλοιπον τοῦ λόγου. Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ κανόνος, Τρισάγιον, ἀπολυτίκιον· Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, καὶ γίνεται ἐκτενὴς καὶ ἀπόλυσις, εἶτα, εἰ ἔχει ἡ ὥρα, τίθεται ἀνάγνωσις εἰς τὸ τέλος τοῦ κατὰ Ματθαῖον, ἢ τοῦ κατὰ Ἰωάννην, λόγος ἀναστάσιμος, εἰδ' οὔ, καταλιμπάνεται.

Κεφ. ρλζ' (стр. 502). Περὶ τῆς ἀκολουθίας τοῦ ὄρθρου τῆς Λαμπρᾶς Κυριακῆς, ἐν ᾧ καὶ περὶ τοῦ γινομένου ἐν τῷ τέλει ἀσπασμοῦ.

Τῆς ἁρμοζούσης ὥρας τοῦ ὄρθρου ἐπισταμένης, ὁ μὲν ἱερεὺς ἅμα τῷ διακόνῳ, εἰσελθόντες ἐν τῷ διακονικῷ, ἀλλάσσουσι πᾶσαν τὴν ἱερατικὴν στολήν, καὶ εἴπερ εἰσὶ καὶ ἕτεροι ἱερεῖς, ἀλλάσσουσι καὶ αὐτοὶ ἐπιτραχήλιον καὶ φελώνιον μόνον. Ὁ δὲ ἐκκλησιάρχης διανέμει τοῖς ἀδελφοῖς τὰ κηρία, καὶ, ἅπτοντες αὐτά, ἐξερχόμεθα πάντες ἐν τῷ νάρθηκι, τῶν ἱερέων προπορευομένων μετὰ λαμπάδων καὶ θυμιατοῦ· οἱ μέν τοι παρεκκλησιάρχαι ἅπαντες ἀπέρχονται καὶ σημαίνουσιν ἐν ταὐτῷ ὅλα

---

[1]) Τὸ τοῦ Διονυσίου λέγει· ἐρχόμεθα εἰς τὴν τράπεζαν, καὶ ἀπὸ τῆς τραπέζης εὐθὺς ἐρχόμεθα εἰς τὴν ἐκκλησίαν, καὶ ποιήσαντος τοῦ ἱερέως στίχον, ἤγουν Δι' εὐχῶν, ἀρχόμεθα τῶν Πράξεων. [2]) Ивер. ркп. Περὶ δὲ ὥραν ς' τῆς νυκτὸς σημαίνει, καθὼς καὶ εἰς τὸν ὄρθρον, ἤγουν δύο στάσεις εἰς τὸν σημαντῆρα τὸ ξύλινον καὶ μίαν εἰς τὸν σιδηροῦν. [3]) Ивер. Μετὰ δὲ τὴν ἀνάγνωσιν ψάλλομεν τὰς ἑτέρας ᾠδὰς τοῦ κανόνος. [4]) Ивер. καὶ οὕτω πάλιν ψάλλομεν καὶ τὰς λοιπὰς ᾠδάς, ζ' δηλονότι, η' καὶ θ'. Εἰς τὴν θ' θυμιᾷ ὁ διάκονος, ἐξέρχεται δὲ ἔτι ἀπο τῆς η' διὰ τὸ εἶναι πολλοὶ οἱ ἀδελφοί.

τὰ σήμαντρα διὰ τὸ περιφανὲς τῆς ἑορτῆς, ἤτοι τὸ μικρόν, τὸ μέγα, τὸ σιδηροῦν καὶ τοὺς κώδωνας, ὃ καὶ διατηρεῖται μέχρι τῆς ἑσπέρας τοῦ σαββάτου τῆς Διακαινησίμου. Εἷς δὲ μόνον κανδηλάπτης, ἐναπομείνας ἐν τῷ ναῷ, ἅπτει τὰ κηρία πάντα ὁμοίως καὶ τὰς κανδήλας, καὶ ποιήσας πυρεῖον μέγα, καὶ βαλὼν ἐν αὐτῷ θυμίαμα πολύ, τίθησι μέσον τοῦ ναοῦ, ὁμοίως καὶ ἕτερον πυρεῖον ἔμπροσθεν τῶν ἁγίων θυρῶν, καὶ ἕτερον ἔσωθεν τῶν βασιλικῶν πυλῶν, βαλὼν δὲ καὶ εἰς θυμιατὸν θυμίαμα πολύ, κρεμᾷ αὐτὸν ἐντὸς τοῦ βήματος, καὶ θυμιᾶται ὁ ναὸς ἅπας, κεκλεισμένων οὐσῶν τῶν πυλῶν. Ὁ δὲ ἱερεὺς ἐν τῷ νάρθηκι μετὰ τὸ θυμιᾶσαι ἅπαντας, προηγουμένου τοῦ διακόνου [1]) μετὰ λαμπάδος, ἵσταται κατ᾽ ἐνώπιον τῶν βασιλικῶν πυλῶν, κεκλεισμένων οὐσῶν, καὶ χαράττει σταυρὸν μετὰ θυμιατοῦ [2]), καὶ ἐκφωνεῖ· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ Τριάδι, καὶ μετὰ τὸ Ἀμὴν ἄρχονται οἱ ἱερεῖς [**стр. 503**) τροπάριον ἦχος πλ. α'· Χριστὸς ἀνέστη, καὶ λέγουσι τοῦτο πάντες ὁμοῦ ἱερεῖς τε καὶ διάκονοι γ', ὁμοίως καὶ οἱ ἀδελφοὶ τὸ αὐτὸ γ', εἶθ᾽ οὕτως οἱ ἱερεῖς εἰς στίχους, στίχος α'· Ἀναστήτω ὁ Θεός, στίχος β'· Ὡς ἐκλείπει καπνός, στίχος γ'· Οὕτως ἀπολοῦνται, στίχος δ'· Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἡμεῖς δὲ καθ᾽ ἕκαστον στίχον λέγομεν τὸ Χριστὸς ἀνέστη, Δόξα, Χριστὸς ἀνέστη, Καὶ νῦν τὸ αὐτό, εἶτα οἱ ἱερεῖς γεγονωτέρᾳ φωνῇ· Χριστὸς ἀνέστη. Καὶ ἀνοιγομένων τῶν πυλῶν, εἰσοδεύει ὁ ἱερεὺς σὺν τοῖς λοιποῖς, προπορευομένων δηλαδὴ τῶν λαμπάδων, συνεφεπομένου τε τοῦ καθηγουμένου, καὶ τῶν ἀδελφῶν, ψαλλόντων· Καὶ τοῖς ἐν τοῖς μνήμασιν. Εἰσελθὼν δὲ ὁ ἱερεὺς ἐν τῷ βήματι, ἢ ὅπερ καὶ μᾶλλον παρὰ πᾶσι σχεδὸν πολιτεύεται, στὰς ὁ διάκονος τοῦ ναοῦ μέσον, ἐνώπιον τοῦ προσκυνήματος, ποιεῖ συναπτὴν μεγάλην, καὶ ἐκφωνεῖ ὁ ἱερεύς· Ὅτι πρέπει σοι πᾶσα δόξα [3]), καὶ εὐθὺς ἄρχεται ὁ προεστώς, ἢ τὸ μέρος αὐτοῦ, ἤτοι δεξιόν· Ἀναστάσεως ἡμέρα, τοὺς εἱρμοὺς ἀνὰ δ', τὰ δὲ τροπάρια ποιοῦμεν ιβ' [4]), ὕστερον δὲ πάλιν τοὺς εἱρμοὺς ἐκ β', ἀνὰ μέρος οἱ β' χοροί, ἤγουν ὁμοῦ μετὰ τῶν εἱρμῶν εἰς ιη', ἐν οἵῳ δ᾽ ἂν τύχῃ χορῷ ἡ ἔναρξις, ὁ προεστὼς ἄρχεται τοῦ κανόνος, καὶ τὸ αὐτοῦ μέρος. Εἰς δὲ τὴν γ' ᾠδὴν πάλιν ἰσάζουσιν οἱ χοροὶ κατὰ τὴν τάξιν αὐτῶν. Κατὰ

---

[1]) Τὸ τοῦ Διονυσίου· προηγουμένων δύο διακόνων. [2]) καὶ χαράττων σταυρὸν μετὰ τοῦ θυμιατοῦ τρίς. [3]) Ивер. Οἱ μὲν ἱερεῖς, εἰσερχόμενοι, ἵστανται ἔμπροσθεν τῶν Δεσποτικῶν ἁγίων εἰκόνων μέχρι τέλους τῆς α' ᾠδῆς, ὁ δὲ δεξιὸς χορὸς ἄρχεται ψάλλειν τὸν εἱρμὸν κ. τ. λ. [4]) Ивер. στίχους δὲ οὐ λέγομεν, εἰ μὴ μόνον εἰς τὸ τέλος τὸ Δόξα καὶ νῦν.

δὲ ᾠδὴν γίνεται συναπτὴ μικρὰ παρὰ τοῦ ἱερέως, ἢ τοῦ διακόνου κατὰ ταύτην μόνον τὴν λαμπροφόρον ἡμέραν, οἱ δὲ ἱερεῖς θυμιῶσι μετὰ [1]) τῶν διακόνων κατὰ τάξιν, ἤγουν κατὰ τὴν ᾠδὴν εἷς ἱερεύς, ἀπὸ δὲ [стр. 504), τῆς γ' ᾠδῆς οἱ κανδηλάπται. Μετὰ δὲ τὴν α' ᾠδὴν ἐκφώνησις· Ὅτι σὸν τὸ κράτος, μετὰ τὴν γ'· Ὅτι ἀγαθός, εἶτα ἡ ὑπακοὴ ἦχος δ'· Προλαβοῦσαι τὸν ὄρθρον καὶ ἀνάγνωσις εἰς τὸν Θεολόλον· Ἐπὶ τῆς φυλακῆς μου στήσομεν. Μετὰ τὴν δ' ᾠδὴν ἐκφώνησις· Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα, μετὰ τὴν ε'· Ὅτι [2]) ἡγίασται [3]), μετὰ τὴν ς'· Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης, καὶ εὐθὺς τὸ κοντάκιον ἦχος πλ. δ'· Εἰ καὶ ἐν τάφῳ κατῆλθες, καὶ ὁ οἶκος [4]), εἶτα ἀνάγνωσις εἰς τὸ ἐπίλοιπον τοῦ Θεολόγου, μεθ' ἣν Ἀνάστασιν Χριστοῦ θεασάμενοι, ἐκ γ' ἄνευ τοῦ ν', ὁμοίως καὶ τὸ Ἀναστὰς ὁ Ἰησοῦς, ἐκ γ' [5]), καὶ ἐκφωνεῖ ὁ ἱερεύς· Σὸν γὰρ ἐστὶ τὸ ἐλεεῖν καὶ σώζειν, καὶ ἀπαρχόμεθα τῆς ζ' ᾠδῆς, μεθ' ἣν ἐκφώνησις· Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν καὶ σοὶ πρέπει δόξα, μετὰ τὴν η' ἐκφώνησις· Ὅτι ἅγιος εἶ ὁ Θεός, καὶ μικρὸν καθεσθέντων ἡμῶν, ἀναγινώσκεται εἰς τὸν Θεολόγον τὸ Ἀναστάσεως ἡμέρα, οἱ δὲ ἱερεῖς πάντες καὶ οἱ διάκονοι αὖθις ἀλλάσσουσιν, καὶ μετὰ τὴν ἀνάγνωσιν θυμιῶσι τὴν ἁγίαν τράπεζαν, ἅμα καὶ τῆς θ' ἀπαρχομένης ᾠδῆς· Φωτίζου, φωτίζου, καὶ ψάλλεται ἡ θ', θυμιῶντος τοῦ ἱερέως, τῶν δὲ λοιπῶν ἱερέων κύκλῳ πρὸς τὸ προσκύνημα ἱσταμένων. Μετὰ τὴν θ' ᾠδὴν ἐκφώνησις· Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις, ἐξαποστειλάριον· Σαρκὶ ὑπνώσας, ἐκ γ'. Εἰς τοὺς αἴνους· Πᾶσα πνοή, ἱστῶμεν στίχους δ', καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα τῆς Ὀκτωήχου ἦχος α' [6]) εἶτα, ἑνούμενοι οἱ δύο χοροί, ψάλλομεν στιχηρὰ τοῦ Πάσχα ἦχος πλ. β', λέγοντες στίχον· Ἀναστήτω ὁ Θεὸς καὶ διασκορπισθήτωσαν, Πάσχα ἱερόν, καὶ ἕτερα γ' ὅμοια, λέγοντες καὶ ἐν αὐτοῖς στίχους· Ὡς ἐκλείπει καπνός, Οὕτως ἀπολοῦνται καὶ Αὕτη ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, Δόξα καὶ νῦν ἦχος πλ. α'· Ἀναστάσεως

---

[1]) ἤγουν οἱ ἱερεῖς θυμιῶσι, προπορευομένων τῶν διακόνων, λέγει δὲ τὸ τοῦ Διονυσίου· εἰς μὲν τὴν α' καὶ θ' ἀπαραιτήτως θυμιᾷ ὁ ἱερεύς, προπορευομένων δύο διακόνων, κρατούντων σταυρούς. Εἰς δὲ τὰς λοιπὰς οὐκ ἀναφέρει, λέγει δὲ ὅτι αἱ αἰτήσεις καὶ ἐκφωνήσεις ἐν ἑκάστῃ ᾠδῇ ἐν ταύτῃ τῇ ἁγίᾳ ἡμέρᾳ ἔσωθεν τοῦ βήματος λέγονται. (Этого замѣчанія нѣтъ въ Костам. ркп.). [2]) Ивер. ηὐλόγηται. [3]) καὶ δεδόξασται. [4]) Ивер. τὸ Συναξάριον. [5]) Εἶτα καὶ τὰς λοιπὰς τρεῖς ᾠδάς. Μετὰ γοῦν τὴν ζ' ᾠδὴν ἐκφώνησις· Ὅτι ἡγίασται, μετὰ τὴν η'· Εἴη τὸ κράτος, μετὰ δὲ τὴν θ'· Ὅτι σε αἰνοῦσι. [6]) Οἱ δὲ ἱερεῖς καὶ διάκονοι, ἀλλάξαντες τὰς ἱερατικὰς αὐτῶν στολάς, ἐξέρχονται καὶ ἵστανται συνήθως πρὸ τῶν εἰκόνων καὶ ψάλλουσι τὰ στιχηρὰ τοῦ Πάσχα, ἤτοι Πάσχα ἱερόν, καὶ τὰ ἕτερα τρία μετὰ τῶν στίχων αὐτῶν.

ἡμέρα, καὶ εἰσέρχονται οἱ ἱερεῖς εἰς τὸ ἅγιον [стр. 505) βῆμα καί, ψαλλομένου τοῦ Χριστὸς ἀνέστη, γίνεται ἀσπασμὸς οὕτως· ἀσπάζεται ὁ πρῶτος τῶν ἱερέων τὸ ἅγιον Εὐαγγέλιον, εἶτα ἵσταται αὐτοῦ, καὶ ἐρχόμενοι οἱ λοιποὶ ἱερεῖς, ἀσπάζονται πρῶτον τὸ Εὐαγγέλιον, εἶτα τὸν πρότερον ἀσπασάμενον, εἶτα ἀλλήλους. Εἶθ' οὕτως, ἄραντες τὸ ἅγιον Εὐαγγέλιον, ἐξέρχονται[1]) καὶ ἵστανται πρὸ τῶν θυρῶν τοῦ ἁγίου βήματος, καὶ ἐλθὼν ὁ προεστὼς[2]) ἀσπάζεται αὐτό, εἴπερ οὐκ ἔστιν ἱερεὺς δηλονότι, εἶτα τοὺς ἱερεῖς καὶ ἵσταται αὐτοῦ, καὶ οὕτως ἔρχονται οἱ ἀδελφοὶ κατὰ τάξιν, ἀσπάζονται τὸ ἅγιον Εὐαγγέλιον, τοὺς ἱερεῖς καὶ ἀλλήλους, ἱστάμενοι ἕκαστος ἐκ πλαγίου τοῦ λαγχόνοντος τελευταίου, ψάλλεται δὲ τὸ Χριστὸς ἀνέστη πολλάκις, ἔσταν ἀσπάζωνται οἱ ἀδελφοὶ πάντες[3]). Μετὰ δὲ τὸ πληρωθῆναι τὸν ἀσπασμόν, ἀναγινώσκει ὁ προεστὼς τὸν κατηχητικὸν λόγον τοῦ Χρυσοστόμου, ἐν ᾧ ἱστάμεθα ἅπαντες, ἔνθα ἔτυχεν ἕκαστος ἐν τῷ ἀσπασμῷ, ἀκροώμενοι, λέγοντος οὕτως· Εἴ τις εὐσεβὴς καὶ φιλόχριστος[4]), καὶ τὰ ἑξῆς, καὶ εὐθὺς λέγομεν ἀπολυτίκιον τοῦ Χρυσοστόμου· Ἡ τοῦ στόματός σου καθάπερ πυρσός[5]), εἶτα γίνεται ἐκτενὴ παρὰ τοῦ ἱερέως καὶ συναπτὴ καὶ τελεία ἀπόλυσις.

Περὶ τῶν ὡρῶν τῆς Μεγάλης Κυριακῆς καὶ τῆς ὅλης ἑβδομάδος τῆς Διακαινησίμου.

Κεφ. ρλη'. Δεῖ εἰδέναι, ὅτι ἀπὸ ταύτης τῆς ἡμέρας, τῆς μεγάλης δηλονότι κυριακῆς, καὶ μέχρι τοῦ σαββάτου τῆς Διακαινησίμου αἱ ὧραι καὶ τὰ ἀπόδειπνα οὕτω ψάλλονται[6]). Μετὰ τὸν Εὐλογητόν, Χριστὸς

---

[1]) Ивер. φοροῦντες καὶ τὰ ἑαυτῶν καλυμμαύχια καὶ στάντες στιχηδόν, γίνεται ὁ ἀσπασμὸς πάντων τῶν ἀδελφῶν. [2]) Въ Костамон. ркп. противъ этого съ слова сбоку находится замѣчаніе: Εἰ οὐκ ἔστι ἱερεύς δηλονότι. [3]) Ивер. Εἶτα, εἰσελθόντων αὖθις εἰς τὸ ἅγιον βῆμα καὶ τὰς ἱερὰς στολὰς ἀποθεμένων, ἄνευ τοῦ ἐφημερίου, ἀναγινώσκεται ἡ κατήχησις τῆς ἡμέρας παρ' αὐτῶν. [4]) Предъ этимъ словомъ Іоанна Златоустаго, помѣщеннымъ въ Костамон. ркп. цѣликомъ, стоитъ заглавіе: Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου, λόγος εἰς τὴν ἁγίαν καὶ λαμπροφόρον ἡμέραν τῆς ἐνδόξου καὶ σωτηριώδους Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἀναστάσεως. [5]) Ивер. ркп. Εἶτα ὁ διάκονος· Ἐλέησον ἡμᾶς, ὁ Θεός. Καὶ μετὰ τὴν ἐκφώνησιν πάλιν ὁ διάκονος· Πληρώσωμεν τὴν ἑωθινὴν ἡμῶν δέησιν τῷ Κυρίῳ, καὶ μετὰ τὴν ἐκφώνησιν τὸ Χριστὸς ἀνέστη ἐκ γ', καὶ γίνεται ἀπόλυσις. Καὶ ἡμεῖς· Συγχωρήσωμεν πάντα τῇ ἀναστάσει. Οὕτω ποιοῦμεν ἐν τῷ τέλει τοῦ ὄρθρου δι' ὅλης τῆς ἑβδομάδος ταύτης. [6]) Μετὰ τὸ εἰπεῖν τὸν διάκονον· Εὐλόγησον, δέσποτα, καὶ τὸν ἱερέα Εὐλογημένη ἡ βασιλεία, ἄρχεται οὗτος μετὰ τῶν λοιπῶν ἱερέων καὶ διακόνων καὶ ψάλλουσι τὸ Χριστὸς ἀνέστη, καὶ ἀποκρίνεται ὁ δεξιὸς χορὸς εἰς τὸ τέλος, καὶ πάλιν οἱ ἱερεῖς, καὶ αὖθις ἔξω ὁ ἀριστερὸς χορὸς τὸ αὐτό, καὶ πάλιν οἱ ἱερεῖς ἕως τοῦ μέσου καὶ ὁ δεξιὸς χορὸς ἀναπληροῖ αὐτό, ὁ δὲ διάκονος λέγει καὶ μεγάλην συναπτήν. Τὸ αὐτὸ δὲ γίνεται καὶ ἐν ταῖς δυσὶν ἡμέραις, ἤγουν τῇ δευτέρᾳ καὶ τῇ τρίτῃ, ἐν αἷς δηλονότι γίνεται ἐν τῷ μέσῳ.

ἀνέστη γ', Ἀνάστασιν Χριστοῦ θεασάμενοι γ'. Εἶτα τὴν ὑπακοήν· Προλαβοῦσαι τὸν ὄρθρον, τὸ κοντάκιον· Εἰ καὶ ἐν τάφῳ, καὶ ἀπὸ τοῦ ἀναστασίμου κανόνος τοῦ δ' ἤχου τροπάρια ταῦτα· Ἐν τάφῳ σωματικῶς [**стр. 506**), Δόξα, Ὡς ζωηφόρος, ὡς παραδείσου ὡραιότερος, Καὶ νῦν, Τὸ τοῦ Ὑψίστου ἡγιασμένον, Κύριε ἐλέησον μ', καὶ λέγεται στίχος. Τρισσεύεται δὲ ἡ τοιαύτη ἀκολουθία ἐν ταῖς ὥραις καὶ ἀποδείπνοις. Εἰς τὴν λειτουργίαν [1]) ἀντίφωνα α' ἦχος β'· Ἀλλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, Ταῖς πρεσβείαις τῆς Θεοτόκου [2]), στίχος β'· Εἴπατε τῷ Θεῷ, ὡς φοβερὰ τὰ ἔργα σου, Ταῖς πρεσβείαις, στίχος γ'· Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλλάτωσάν σοι, Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Δόξα, Ταῖς πρεσβείαις, Καὶ νῦν τὸ αὐτό. Ἀντίφωνον β', ἦχον, β'· Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς· Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστὰς [3]), στίχος β'· Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου, Σῶσον ἡμᾶς, στίχος γ'· Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, Σῶσον ἡμᾶς, Δόξα καὶ νῦν, Ὁ μονογενής, ἀντίφωνον γ', ἦχος πλ. α' [**стр. 507**)· Ἀναστήτω ὁ Θεὸς καὶ διασκορπισθήτωσαν, Χριστὸς ἀνέστη ἐκ νεκρῶν, στίχος β'· Ὡς ἐκλείπει καπνός, Χριστὸς ἀνέστη, στίχος γ'· Οὕτως ἀπολοῦνται, Χριστὸς ἀνέστη, εἰσοδικόν· Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ [4]), Χριστὸς ἀνέστη, τὴν ὑπακοήν, Δόξα καὶ νῦν, τὸ κοντάκιον· Εἰ καὶ ἐν τάφῳ κατῆλθες, ἀντὶ τοῦ Τρισαγίου, Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε [5]), προκείμενον ἦχος πλ. δ'· Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, στίχος· Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὁ ἀπόστολος· Πράξεων τῶν ἀποστόλων· Τὸν μὲν πρῶτον λόγον, ἕως τοῦ μέσου, Ἀλληλούια, ἦχος δ'· Σύ, Κύριε, ἀναστάς, οἰκτειρήσεις τὴν Σιών, στίχος· Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ Κύριος, εὐαγγέλιον κατὰ Ἰωάννην· Ἐν ἀρχῇ ἦν ὁ λόγος. Εἰ λειτουργεῖ καὶ διάκονος, λέγεται τὸ εὐαγγέλιον παρ' ἀμφοτέρων, τοῦ ἱερέως καὶ τοῦ διακόνου, κατὰ στιγμήν· ἵστανται δὲ ὁ ἱερεὺς ἐν τῷ ἀνατολικῷ μέρει τῆς ἁγίας τραπέζης, βλέπων πρὸς δυσμάς· σημαίνουσι δὲ καὶ οἱ κανδηλάπται τὰ σήμαντρα

---

[1]) Τὸ τοῦ Διονυσίου· κατὰ τὸ ἔθος, μετὰ τὸ Εὐλογημένη, ψάλλεται τὸ Χριστὸς ἀνέστη, ὡς ἐν τῷ ὄρθρῳ, καὶ ἐν πάσῃ λειτουργίᾳ τῆς Διακαινησίμου. [2]) Въ Костамон. ркп. послѣ этого слѣдуетъ: στίχος α'· Ἀλλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, Ταῖς πρεσβείαις, στίχος β'· Εἴπατε. [3]) Тамъ же στίχος α'· Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, Σῶσον ἡμᾶς, στίχος β'· Τοῦ γνῶναι. [4]) Ивер. ркп. ἀνάπτομεν τὸν χορόν, τοῦτο δὲ ποιοῦμεν καὶ τῇ δευτέρᾳ καὶ τῇ τρίτῃ, ἐν αἷς δηλονότι γίνεται ἡ λειτουργία ἐν τῷ καθολικῷ, ἐν δὲ τῇ πρώτῃ ἡμέρᾳ ἀνάπτομεν ἔτι καὶ τὸν πολυέλεον. [5]) Тамъ же τοῦτο δὲ λέγεται δι' ὅλης τῆς ἑβδομάδος, καθὼς καὶ τὰ ἀντίφωνα καὶ τὸ κοινωνικόν.

κατὰ στιγμήν, κρούοντες αὐτὰ ἅπαξ. Καὶ μετὰ τὸ τέλος σημαίνουσιν αὐτὰ πάντα χύμα, καὶ καθ' ἑξῆς ἡ θεία λειτουργία τοῦ Χρυσοστόμου, κοινωνικόν· Σῶμα Χριστοῦ μεταλάβετε, ἀντὶ δὲ τοῦ Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον, καὶ ἀντὶ τοῦ Εὐλογήσω τὸν Κύριον, Χριστὸς ἀνέστη πολλάκις, ἕστ' ἂν δοθῇ τὸ κατακλαστόν, μετὰ μέλους, ὡσαύτως καὶ ἀντὶ τοῦ Ὑψώσω σε, ἀπερχομένων ἡμῶν εἰς τὴν τράπεζαν. Ἐν τῇ τραπέζῃ [1]) γίνεται παράκλησις μεγάλη τοῖς ἀδελφοῖς· ἀρχόμεθα δὲ ἀπ' αὐτῆς τῆς λαμπροφόρου ἡμέρας ἀναγινώσκειν [стр. 508) τὴν ἑρμηνείαν τοῦ Χρυσοστόμου εἰς τὰς Πράξεις τῶν ἁγίων ἀποστόλων, ἥντινα καὶ τελειοῦμεν δι' ὅλης τῆς ν' ἐν τῇ τραπέζῃ, ἄχρι δηλονότι τῶν ἁγίων Πάντων.

Περὶ τοῦ ἄρτου, ὅπως ὑψοῦται ἀντὶ Παναγίας κατὰ τὴν Διακαινήσιμον ἑβδομάδα.

Κεφ. ρλθ'. Μετὰ τὸ ἀριστῆσαι, ἀνιστάμενοι, λέγομεν, Χριστὸς ἀνέστη γ', καὶ εὐθὺς ὁ κελλαρίτης ὑψοῖ τὸν εἰς τοῦτο ἑτοιμασθέντα ἄρτον, λέγων· Χριστὸς ἀνέστη, καὶ ἡμεῖς· Ἀληθῶς ἀνέστη, καὶ λέγομεν ταῦτα ἐκ γ'. Καὶ μετὰ τοῦτο ὁ κελλαρίτης, χαράττων σταυρὸν μετὰ τοῦ ἄρτου, λέγει· Προσκυνοῦμεν αὐτοῦ τὴν τριήμερον ἔγερσιν, καὶ εὐθὺς ψάλλομεν ἡμεῖς· Φωτίζου, φωτίζου, καὶ τὰ τροπάρια τῆς θ' ᾠδῆς [2]) καὶ ἀσπαζόμεθα τὸν ἄρτον, εἶτα τὴν ὑπακοὴν καὶ τὸ κοντάκιον· Χριστὸς ἀνέστη χύμα, γ', καὶ λεγομένου στίχου, ἐξερχόμεθα τῆς τραπέζης.

Περὶ τοῦ ἑσπερινοῦ καὶ τοῦ ὄρθρου τῆς Διακαινησίμου ἑβδομάδος.

Κεφ. ρμ'. Τῇ αὐτῇ μεγάλῃ κυριακῇ ἑσπέρας [3]) ἀλλάσσει ὁ ἱερεὺς

---

[1]) Иверск. ркп. Εἰσελθόντες δὲ εἰς τὴν τράπεζαν, ψάλλομεν τὸ κοντάκιον· Εἰ καὶ ἐν τάφῳ, εἶτα ὁ διαβαστής· Κύριε ἐλέησον, Εὐλόγησον. Καὶ ὁ ἡγούμενος εὐλογεῖ τὴν τράπεζαν, ἔνθα ἀναγινώσκεται ὁ λόγος Χρυσοστόμου, οὗ ἡ ἀρχή· Ἀποθέμεθα τῆς νηστείας τὸ φορτίον. Ἔστι δὲ ἐν τῷ Πανηγυρικῷ τῆς λαύρας λόγος δ'. [2]) Ивер. Εἶτα ὁ ἱερεύς· Εἰς τὰς πολλὰς πρεσβείας τῆς ὑπερευλογημένης Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ ἡμεῖς· Ταῖς αὐτῆς πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ὁ ἱερεύς· Ἐλεήμων καὶ οἰκτίρμων ὁ Κύριος, καὶ ἡμεῖς τὸ Χριστὸς ἀνέστη, τρίς, Κύριε ἐλέησον γ', Εὐλόγησον, καὶ Ὁ Θεός, ὁ ἐλεῶν καὶ τρέφων ἡμᾶς καὶ τὰ λοιπά, κατὰ τὸ ἔθος, καὶ οὕτως ἐξερχόμεθα πλὴν τῇ πρώτῃ ἡμέρᾳ. Ἐξερχόμενοι ψάλλομεν τὸ Χριστὸς ἀνέστη, ἕως λάβωσι συγχώρησιν πάντες οἱ ἀδελφοί. Εἶτα εἰσελθόντες ἐν τῷ ναῷ καὶ ψάλλοντες, λέγομεν καὶ τὸ κοντάκιον, εἶτα ὁ διάκονος· Ἐλέησον ἡμᾶς ὁ Θεός, καὶ μνημονεύει τὸν καθηγούμενον καὶ τὴν ἀδελφότητα, καὶ ὁ ἱερεύς· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ οὕτω γίνεται ἀπόλυσις.

[3]) Ивер. κρούει ὁ ὑπηρέτης πάντα τὰ σήμαντρα καὶ ἀνάψας πάντα τὰ κηρία τῶν σταταρίων καὶ τῶν σταυρῶν ἵσταται, ὁ δὲ ἐφημέριος κ. τ. λ.

ἅπασαν τὴν ἱερατικὴν στολήν, ἀλλάσσουσι δὲ καὶ οἱ λοιποὶ ἱερεῖς καὶ διάκονοι, ὡς ἐν τῷ ὄρθρῳ δεδήλωται. Στὰς οὖν κατενώπιον τοῦ ἱλαστηρίου, σφραγίζει σταυροειδῶς [1]) μετὰ τοῦ θυμιατοῦ, λέγων· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, καὶ μετὰ τὸ Ἀμήν, ψάλλει σὺν τοῖς λοιποῖς ἱερεῦσι τὸ Χριστὸς ἀνέστη γ', εἶτα ψάλλουσι καὶ οἱ ἀδελφοὶ αὐτὸ γ', καὶ οὕτω λέγει ὁ ἱερεὺς τοὺς προῤῥηθέντας στίχους καὶ τὸ Δόξα καὶ νῦν, ἡμῶν καθ' ἕκαστον στίχον τὸ Χριστὸς ἀνέστη ψαλλόντων, εἶτα οἱ ἱερεῖς γεγονωτέρᾳ φωνῇ· Χριστὸς ἀνέστη, καὶ ἡμεῖς· Καὶ τοῖς ἐν τοῖς μνήμασι, καὶ γίνεται συναπτὴ μεγάλη [2]) [**стр. 509**), καὶ μετὰ τὴν ἐκφώνησιν τὸ Κύριε ἐκέκραξα εἰς ἦχον πλ. β', ἱστῶμεν δὲ στίχους ς' [3]) καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα τῆς Ὀκτωήχου γ' καὶ ἀνατολικὰ γ'. Ὁ μέντοι ἱερεύς, θυμιᾷ, προπορευομένου τοῦ διακόνου[4]), οἱ δὲ λοιποὶ ἱερεῖς ἵστανται ἑκατέρωθεν τοῦ προσκυνήματος, Δόξα, τὸ δ' ἀνατολικόν, Καὶ νῦν, Παρῆλθεν ἡ σκιά, εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, ὁ ἱερεύς· Πρόσχωμεν, **Εἰρήνη** πᾶσι, Σοφία, προκείμενον ἦχος βαρύς· Τίς Θεὸς μέγας, στίχος α'· Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου, στίχος β'· Καὶ εἶπα νῦν ἠρξάμην, στίχος γ'· Ἐμνήσθην τῶν ἔργων Κυρίου, καὶ εὐθέως ὁ ἱερεὺς λέγει· Καὶ [5]) ὑπὲρ τοῦ καταξιωθῆναι, εὐαγγέλιον κατὰ Ἰωάννην· Οὔσης ὀψίας, τέλος· Οὐ μὴ πιστεύσω, εἶτα ἐκτενής· Εἴπωμεν πάντες, καὶ τὰ λοιπά, τὸ Καταξίωσον. Τινὲς δὲ ἀντὶ τούτου λέγουσι τὸ Χριστὸς ἀνέστη, γ' ἄνευ μέλους, Πληρώσωμεν τὴν ἑσπερινήν. Εἰς τὸν στίχον τὸ ἀναστάσιμον στιχηρὸν τοῦ στίχου, εἶτα τὰ στιχηρὰ τοῦ Πάσχα [6]), ἦχος πλ. α'· Πάσχα ἱερὸν καὶ τὰ λοιπὰ μετὰ τῶν στί-

---

[1]) Въ Тип. о. Наθанаила: χαράττει σταυρὸν (стр. 569). [2]) Καὶ αὕτη ἡ συναπτὴ ἡ ἐν τῷδε τῷ ἑσπερινῷ, ὥσπερ καὶ τὸ πρωῒ εἰς τὸν ὄρθρον τῆς κυριακῆς, λέγεται παρὰ τοῦ ἱερέως, ἐὰν ᾖ καὶ διάκονος, τὸ τοῦ Διονυσίου. [3]) Ивер. ркп. ἐν γὰρ ταύτῃ τῇ πρώτῃ ἡμέρᾳ ὁ ἱερεὺς ποιεῖ τὴν μεγάλην συναπτήν, ὥσπερ καὶ τὸ πρωΐ, ὁμοίως θυμιᾷ καὶ εἰς τὸ Κύριε ἐκέκραξα. [4]) Τὸ τοῦ Διονυσίου· Τοῦτο γίνεται ἐν τοῖς ἀποστίχοις, οὐδὲ κατ' ἀρχὰς φοροῦσι, ἀλλ' εἰς τὸ α' δοξαστικόν, ἵνα ποιήσωσι τὴν εἴσοδον, ψάλλοντες καὶ τὸ Φῶς ἱλαρὸν κ. τ. λ. [5]) Τὸ τοῦ Διονυσίου· Ἔνδον τοῦ βήματος λέγει ὁ ἱερεὺς τὸ εὐαγγέλιον (ὡς ἑωθινὸν φαίνεται) οὐδὲ ἀναφέρει, ὅτι τὸ λέγουσι πάντες οἱ ἱερεῖς. [6]) Ивер ркп. Εἰς δὲ τὰ ἀπόστιχα ἐξέρχονται οἵ τε ἱερεῖς καὶ οἱ διάκονοι καὶ ἵστανται πρὸ τῶν ἱερῶν εἰκόνων. Μετὰ δὲ τὸ εἰπεῖν τὸν χορὸν τὸ α' ἀναστάσιμον, ἤτοι Ἡ ἀνάστασίς σου, Χριστὲ Σωτήρ, ψάλλουσιν οἱ ἱερεῖς τὰ στιχηρὰ τοῦ Πάσχα, ἤτοι τὸ Πάσχα ἱερὸν καὶ τὰ λοιπὰ τρία μετὰ τῶν στίχων αὐτῶν, εἶτα ἀρξαμένου τοῦ δεξιοῦ χοροῦ ψάλλειν τὸ Δόξα, ποιήσαντες σχῆμα μετανοίας, εἰσέρχονται εἰς τὸ ἅγιον βῆμα καὶ ἐκδύονται τὴν ἱερατικὴν στολὴν ἐκτὸς τοῦ ἐφημερίου καὶ τοῦ διακόνου· ψάλλομεν δὲ τὸ Χριστὸς ἀνέστη ἐκ γ' ἄνευ τοῦ μέλους τοῦ στιχηροῦ. Εἶθ' οὕτως ὁ διάκονος· Σοφία, καὶ ἡμεῖς· Εὐλόγησον, καὶ ὁ ἱερεύς· Ὁ ὢν εὐλογητός, καὶ ἡμεῖς τὸ Χριστὸς ἀνέστη τρὶς καὶ οὕτω γίνεται ἀπόλυσις καὶ πληροῦται ἡ ἐφημερία τοῦ προεστῶτος.

χῶν αὐτῶν, ὡς ἐδηλώθη τὸ πρωΐ, Χριστὸς ἀνέστη γ', ἄνευ μέντοι τοῦ ἐν τῷ στιχηρῷ, ὁ ἱερεύς· Σοφία [1]) καὶ ἀπόλυσις.

Τῇ β' τῆς Διακαινησίμου εἰς τὸν ὄρθρον. Λαβὼν ὁ ἱερεὺς θυμιατόν, ἐνδεδυμένος ἐπιτραχήλιον καὶ φελώνιον, ἵσταται κατ' ἐνώπιον τῆς ἁγίας τραπέζης, καὶ θυμιῶν καὶ εὐλογῶν, ἄρχεται τοῦ τροπαρίου· Χριστὸς ἀνέστη, καὶ ἡμῶν τὸ αὐτὸ ἀποκρινομένων, πάλιν λέγει αὐτὸ ὁ ἱερεὺς [стр. 510), καὶ ἡμεῖς τὸ αὐτό, καὶ αὖθις ὁ ἱερεύς, καὶ πάλιν ἡμεῖς, εἶτα λέγει ὁ ἱερεὺς τοὺς στίχους καὶ ἡμεῖς τὸ Χριστὸς ἀνέστη, ὡς προεγράφη τῇ κυριακῇ ἑσπέρας, θυμιᾷ δὲ ὁ ἱερεύς, τούτου ψαλλομένου, τὴν ἁγίαν τράπεζαν καὶ τὸ ἱερατεῖον ὅλον. Τινὲς δέ, ὃ καὶ κρεῖττον, πρὸ τοῦ εὐλογῆσαι τοῦτο ποιοῦσιν, εἶτα συναπτὴ μεγάλη καὶ μετὰ τὴν ἐκφώνησιν ἀρχόμεθα τοῦ κανόνος, δευτεροῦμεν τοὺς εἱρμοὺς τὰ δὲ τροπάρια ποιοῦμεν ιβ', στίχους δὲ οὐ λέγομεν, εἰ μὴ μόνον τὸ Δόξα καὶ νῦν, ὕστερον δὲ τοὺς εἱρμοὺς ὁμοῦ οἱ β' χοροὶ ἅπαξ. Εἰς δὲ τὴν ἔναρξιν τοῦ κανόνος, ἐξέρχεται ὁ ἱερεὺς καὶ θυμιᾷ τὸν ναὸν καὶ ἅπαντας τοὺς ἐν αὐτῷ, ὡς ἔθος ἐστίν. Ἀπὸ γ' ᾠδῆς τὴν ὑπακοήν, καὶ ἀνάγνωσις εἰς τὸ α' βιβλίον τῆς ἑρμηνείας τοῦ κατὰ Ἰωάννην· ἀπὸ γὰρ ταύτης τῆς ἡμέρας ἀρχόμεθα τοῦ τρίτου βιβλίου, καὶ μέχρι τῶν ἁγίων Πάντων πληροῦμεν αὐτὸ καὶ τὸ δεύτερον, ἀφ' ς' ᾠδῆς τὸ κοντάκιον καὶ τὸν οἶκον [2]), καὶ ἀνάγνωσις, τὸ Ἀνάστασιν Χριστοῦ θεασάμενοι γ', ὁμοίως καὶ τὸ Ἀναστὰς ὁ Ἰησοῦς. Μετὰ τὴν θ' ᾠδὴν τὸ ἐξαποστειλάριον· Σαρκὶ ὑπνώσας, δίς. Εἰς τοὺς αἴνους, Πᾶσα πνοὴ ἦχος β', ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα τῆς Ὀκτωήχου δ', εἶτα, ἑνούμενοι οἱ δύο χοροί, ψάλλομεν τὰ στιχηρὰ τοῦ Πάσχα, ὡς δεδήλωται [3]), Χριστὸς ἀνέστη γ', ἐκτενή, συναπτὴ καὶ ἀπόλυσις. Καὶ γίνεται λιτὴ ἔξω τῆς μονῆς, ἐν ᾗ ψάλλομεν τὸν κανόνα τοῦ Πάσχα.

Δεῖ δὲ εἰδέναι, ὅτι οὕτω γίνεται ἡ ἀκολουθία τοῦ ὄρθρου κατὰ πᾶσαν τὴν Διακαινήσιμον ἑβδομάδα. Εἰς τὴν λειτουργίαν [4]), τὰ ἀντίφωνα τῆς ἑορτῆς ἀπαραλλάκτως, ὡς ἐκεῖσε δεδήλωται, προκείμενον ἦχος πλ. δ'· Εἰς πᾶσαν τὴν γῆν, στίχος· Οἱ οὐρανοὶ διηγοῦνται [стр. 511)' ὁ ἀπόστολος τῆς ἡμέρας, Πράξεων, Ἀλληλούϊα ἦχος α', Ἐξομολογήσονται οἱ οὐρανοί, στίχος· Ὁ Θεὸς ὁ ἐνδοξαζόμενος, εὐαγγέλιον τῆς

---

[1]) Τὸ τοῦ Διονυσίου· Χριστὸς ἀνέστη κ. τ. λ. καὶ τελειοῦται ἡ ἐφημερία τοῦ προεστῶτος. [2]) Ивер. ркп. τὸ Συναξάριον. [3]) Ивер. ркп. Δόξα καὶ νῦν, Ἀναστάσεως ἡμέρα. [4]) Αἱ ὧραι, ἡ λειτουργία καὶ ἡ ἐν τῇ τραπέζῃ γινομένη τάξις γίνεται, ὡς ἐδηλώθη τε χθές.

ἡμέρας, κοινωνικόν· Σῶμα Χριστοῦ. Εἰς τὴν τράπεζαν [1]) παράκλησις μεγάλη.

Ἐπειδὴ καὶ τὰς τρεῖς μόνας ἡμέρας τῆς Διακαινησίμου γίνεται ἡ λειτουργία ἐν τῷ μέσῳ, ταῖς δὲ λοιπαῖς ἀνὰ μέρος, αἱ ὧραι τῇ δ' τῆς Διακαινησίμου λέγονται ἐν τῷ καθολικῷ οὕτως: Ἐνστάσης ὥρας, λέγονται συνήθως αἱ ὧραι τῆς Λαμπρᾶς, καὶ ἀρχομένης τῆς γ' στάσεως, ὁ μὲν τῶν ὑπηρετῶν [стр. 512).

Въ пятницу не положена служба Живоноснаго источника [стр. 516), нѣтъ также Богородичнаго канона въ понедѣльникъ и другіе дни свѣтлой недѣли.

[стр. 514). Κεφ. ρμα'. Περὶ τῆς ἀκολουθίας τῆς νέας κυριακῆς (ἤτοι τοῦ Θωμᾶ).

Съ воскресенья Ѳомина начинается возвышеніе Панагіи. По этому поводу внизу замѣчено: Βέλτιον τοῦτο, ἢ τὸ τοῦ Διονυσίου· τὸ ἄρχεσθαι δηλαδὴ ὑψοῦσθαι Παναγίαν ἀπὸ τῆς σήμερον, ἢ ἀπὸ τῆς χθές, χθὲς δὲ οὐδόλως ὕψωσιν γενέσθαι, εἰ μὴ πρὸ τῆς τροφῆς ἐσθίεσθαι μόνον τὸν ὑψούμενον ἄρτον [стр. 516).

Въ пятницу Антипасхи стихиры на «Господи воззвахъ» пѣли на 6: праздника 3 и Минеи 3. Замѣчено: Τὸ τοῦ Διονυσίου· Ὅτε τὸ Μηναῖον εἰς τὸ Κύριε ἐκέκραξα, ἐν ταῖς ἡμέραις τοῦ Χριστὸς ἀνέστη, ψάλλεται εἰς γ', λέγομεν πρῶτον τὰ τῆς ἑορτῆς, εἰς δὲ τὸν στίχον τὰ τῆς Ὀκτωήχου, εἰ δὲ τὸ Μηναῖον ψάλλεται ς', εἰς τὸ Κύριε ἐκέκραξα τὰ τῆς ἑορτῆς προσόμοια ψάλλομεν, εἰς τὸν στίχον μετὰ τῶν στιχηρῶν τῆς ἑορτῆς, τὰ δὲ τῆς Ὀκτωήχου καταλιμπάνομεν, πλὴν τῇ παρασκευῇ ἑσπέρας, τότε ἀναγκαίως λέγονται α' τὰ τῆς ἑορτῆς ἰδιόμελα, ὡς ἀποδιδομένης τῆς ἑορτῆς, εἶτα τὰ τοῦ Μηναίου, Δόξα τοῦ Μηναίου, Καὶ νῦν τῆς ἑορτῆς, τὸ δὲ δογματικὸν καταλιμπάνεται, ὡσαύτως καὶ τῇ β' ἑσπέρας τοῦ παραλύτου κ. τ. λ., ἢ λέγεται Δόξα τῆς ἑορτῆς, Καὶ νῦν, τὸ δογματικόν, τὸ δὲ Δόξα τὸ α' τοῦ ἁγίου λέγεται, εἰς τὸν στίχον μετὰ τὰ δ' ἀναστάσιμα μετὰ τοῦ ἁρμόζοντος στίχου [стр. 519).

Въ воскресенье 3 по Пасхѣ на стиховнѣ стихиры воскресныя. Εἰ δὲ βούλει, ἀντὶ τῶν στιχηρῶν τοῦ ἀλφαβήτου, τὰ στιχηρὰ τοῦ Πάσχα μετὰ τῶν στίχων αὐτῶν.

---

[1]) Ивер. ркп. Εἰς τὴν τράπεζαν ἀναγινώσκεται ὁ κατὰ μέθης λόγος τοῦ Μεγάλου Βασιλείου.

Περὶ τῆς ἀποδόσεως τῆς ἑορτῆς τοῦ Πάσχα.

Κεφ. ρμβ' [**стр. 531**). Ἑσπέρας μετὰ τὸ εὐλογῆσαι τὸν ἱερέα, ψάλλομεν τὸ Χριστὸς ἀνέστη μετὰ τῶν στίχων αὐτοῦ, ὡς καὶ ἐν τῇ ἑβδομάδι τῆς Διακαινησίμου [**стр. 532**), ὁμοίως καὶ ἐν τῷ ὄρθρῳ, τοῦτο δὲ παρὰ τοῖς πλείστοις ἐκτελεῖται, καὶ ἐν ταῖς παρελθούσαις κυριακαῖς, ἀλλὰ δὴ καὶ ἐν ταῖς μνήμαις τῶν μεγάλων ἁγίων, εἶτα ὁ προοιμιακὸς ψαλμὸς καὶ ἡ συνήθης στιχολογία. Εἰ δὲ βούλει, ἔασον τὴν στιχολογίαν. Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς' καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα τοῦ τυφλοῦ, τοὺς δύο δευτέρους τὸν δ', τὸν πλ. α' καὶ τοὺς δύο πλ. δ', Δόξα καὶ νῦν ὁ αὐτός· Τίς λαλήσει τὰς δυναστείας σου. Εἰ βούλει, εἴσοδος, εἰς τὸν στίχον στιχηρὸν ἀναστάσιμον τὸ γ', εἶτα τὸ στιχηρὰ τοῦ Πάσχα μετὰ τῶν στίχων αὐτῶν, ὡς ἔθος, Δόξα καὶ νῦν, Ἀναστάσεως ἡμέρα, τὸ Χριστὸς ἀνέστη γ' ἄνευ τοῦ ἐν τῷ στιχηρῷ, τροπάριον τὸ ἀναστάσιμον, τοῦ ἤχου καὶ ἀπόλυσις. Ἐν δὲ τοῖς ἀποδείπνοις ψάλλομεν τὴν ἀκολουθίαν τοῦ κατὰ τὴν ἡμέραν ἁγίου.

Τῇ δ' τῆς ς' ἑβδομάδος ἐν τῷ ὄρθρῳ, μετὰ τὸν εὐλογητὸν τὸ Χριστὸς ἀνέστη, ὡς εἴρηται. Εἰς τὸ Θεὸς Κύριος, τροπάριον τὸ ἀναστάσιμον ἐκ γ', ἡ συνήθης στιχολογία, ἐν ᾗ λέγομεν καὶ ἀναστάσιμον τῆς κυριακῆς ἄνευ [**стр. 533**) θεοτοκίων, κανόνες γ', Ἀναστάσεως ἡμέρα μετὰ τῶν εἱρμῶν, πάρεξ τῶν θεοτοκίων, εἰς ς', τοῦ τυφλοῦ εἰς δ' καὶ ὁ προεόρτιος τῆς Ἀναλήψεως, πρὸς τὸ Ἵππον καὶ ἀναβάτην, εἰς δ', καταβασία· Τῷ Σωτῆρι Θεῷ, ἀπὸ γ' ᾠδῆς κοντάκιον τοῦ τυφλοῦ καὶ τὸν οἶκον, ἀφ' ς' κοντάκιον τοῦ Πάσχα καὶ τὸν οἶκον, ἐξαποστειλάριον τοῦ Πάσχα καὶ τοῦ τυφλοῦ πρὸς μίαν. Εἰς τοὺς αἴνους Πᾶσα πνοή, ἱστῶμεν στίχους η' καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα τοῦ τυφλοῦ, τοὺς β' δευτέρους, καὶ τὸν δ' καὶ τὸν πλ. α', εἶτα, ἑνούμενοι οἱ β' χοροί, ψάλλομεν τὰ στιχηρὰ τοῦ Πάσχα, ὡς σύνηθες, μετὰ τῶν στίχων αὐτῶν, Δόξα καὶ νῦν, Ἀναστάσεως ἡμέρα, Χριστὸς ἀνέστη, δοξολογία μεγάλη, τροπάριον ἀναστάσιμον· Τὸν συνάναρχον λόγον, καὶ ἀπόλυσις. Εἰς τὴν λειτουργίαν τυπικά, καὶ ἐν τοῖς μακαρισμοῖς ἡ γ' καὶ ς' ᾠδὴ τοῦ κανόνος τοῦ Πάσχα εἰς η', τροπάριον τὸ ἀναστάσιμον, Δόξα καὶ νῦν, τὸ κοντάκιον τοῦ Πάσχα, προκείμενον καὶ Ἀλληλούια τοῦ Πάσχα, ἀπόστολον καὶ εὐαγγέλιον τῆς ἡμέρας, κοινωνικόν· Σῶμα Χριστοῦ· ἡ γὰρ ἀκολουθία πᾶσα ἀναστάσιμος γίνεται, διὰ τὸ ἀποδίδοσθαι τὸ Χριστὸς ἀνέστη.

[стр. 541). Κεφ. ρμγ'. Περὶ τῆς ἀκολουθίας τῆς γονυκλισίας (ἤτοι αὐτῇ τῇ κυριακῇ ἑσπέρας τῆς Πεντηκοστῆς).

На вечерни въ Пятидесятницу: Τὸ τοῦ Διονυσίου· ἐν τούτῳ τῷ ἑσπερινῷ ἐφημερεύει ὁ προεστὼς καὶ εἰσοδεύει μόνος μετὰ τοῦ διακόνου **[стр. 541)**, (Діон. Тип. л. 266). Молитвы читаются, καὶ ἡμῶν κλινάντων τὸ γόνυ καὶ ἀσκεπῶν ἐπ' ἐδάφους κειμένων, ἀναγινώσκει ὁ ἱερεὺς τὴν πρώτην εὐχὴν ἀπὸ τοῦ ἁγίου βήματος μεγαλοφώνως **[стр. 542)**. Въ концѣ вечерни λέγει ὁ ἱερεὺς ἑτέρας δύο εὐχὰς μυστικῶς· Σὸν ὡς ἀληθῶς καὶ μέγα ὄντως μυστήριον. Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος, ὁ μόνος ἔχων ἀθανασίαν. Εἰ δὲ μὴ ἐστὶ διάκονος, συνάπτει καὶ ταύτας ὁ ἱερεὺς ταῖς τελευταίαις τρισὶν εὐχαῖς, λέγων καὶ ταύτας ὁμοίως μεγαλοφώνως **[стр. 543)**.

[стр. 544). Κεφ. ρμδ'. Περὶ τῆς ἀκολουθίας καὶ διαίτης τῆς μετὰ τὴν Πεντηκοστὴν ἑβδομάδος.

[стр. 547). Κεφ. ρμε'. Περὶ τῆς ἀκολουθίας καὶ διαίτης τῆς νηστείας τῶν ἁγίων Ἀποστόλων. Τῇ β' μετὰ τὴν μνήμην τῶν ἁγίων Πάντων ἀρχόμεθα τῆς νηστείας τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων.

[стр. 550). Κεφ. ρμς'. Εἴδησις τῶν ἐαθέντων ἀποστολοευαγγελίων τῶν μὴ ἑορταζομένων ἁγίων (ἐν τῷ Τυπικῷ).

[стр. 553). Κεφ. ρμζ'. Προκείμενα ἀναστάσιμα τῶν ὀκτὼ ἤχων, ἅπερ λέγονται ἐν τῷ εὐαγγελίῳ τοῦ ὄρθρου τῆς κυριακῆς.

[стр. 554). Κεφ. ρμη'. Προκείμενα καὶ ἀλληλουάρια τῶν ὀκτὼ ἤχων, τὰ λεγόμενα ἐν ταῖς λειτουργίαις τῶν κυριακῶν, ἤτοι τὸ ἅμνημα.

[стр. 555). Κεφ. ρμθ'. Τὰ ἐν τῇ ἑβδομάδι ψαλλόμενα προκείμενα, ἀλληλουάρια καὶ κοινωνικά, ὅτε οὐκ ἔστιν ἑορταζόμενος ἅγιος.

(Δήλωσις). Ἐκ τοῦ Διονυσιατικοῦ Τυπικοῦ περὶ τῆς ἐναλλαγῆς τοῦ ἤχου.

[стр. 558). Περὶ τοῦ πῶς ψάλλονται αἱ καταβασίαι ἐν ὅλῳ τῷ ἐνιαυτῷ ἐκ τοῦ αὐτοῦ Τυπικοῦ.

Примѣчаніе. ВъТипиконѣ о. Наѳанаила, послужившемъ, какъ мы сказали, оригиналомъ для Соборнаго Типикона Пантелеимоновскаго монастыря, пропущенныя слова переписчикомъ (Пант. Тип. стр.9; сравн. Тип. о. Наѳанаила стр. 10) поставлены на свои мѣста, исправленныя почеркомъ другой руки приняты цѣликомъ въ Пантелеимоновскій Типиконъ, замѣчанія, записанныя на поляхъ, внесены въ самый текстъ, вставлены нѣкоторыя новыя слова, напр., τίθησιν (стр. 10, о. Наѳанаила Типиконъ (стр. 9), ἀνάγνωσις. Изложеніе текста болѣе вразумительно, чѣмъ въ оригиналѣ (Въ Типик. о. Наѳанаила стр. 11: ὁ δὲ κελλαρίτης πρὸ τῆς ἀναγνώσεως διακλάσας, а въ Типиконѣ Пантелеим. соб. ὁ δὲ κελλαρίτης πρὸ

τοῦ τεθῆναι τὴν ἀνάγνωσιν διακλάσας κ. τ. λ.; въ Наѳанаила Тип. стр. 11: ὁ μὲν κανδηλάπτης ἀπέρχεται καὶ σημαίνει τὸ μέγα καὶ τὸ σιδηροῦν, ἢ τὸν κώδωνα, а въ Пантел. Тип. стр. 12: τὸ μέγα σήμαντρον καὶ τοὺς κώδωνας. Тип. Наѳ. 15: Εἶτα Συναξάριον τοῦ Μηναίου, а въ Пант. Тип. Εἶτα ἀνάγνωσις εἰς τὸ Συναξάριον κ. τ. λ.) Встрѣчаемъ въ соборномъ Пантелеимоновскомъ Типиконѣ пропуски, въ родѣ слѣдующаго: Εἰ δὲ ἑορτάζεται εἰς η΄, καταλιμπάνομεν τὰ δ΄ ἀνατολικὰ καὶ λέγομεν τοῦ ἁγίου δ΄ (Наѳанаилов. Типиконъ стр. 16).

№ CXLVII. Τυπικὸν σὺν Θεῷ ἁγίῳ, κατά τε τὸ ἀρχέτυπον τοῦ ἁγίου Σάββα καλούμενον, κυρίως δὲ Σωφρονίου, τοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων, σύνθεμα καὶ Ἰωάννου τοῦ Δαμασκηνοῦ πόνημα πεφυκός, ἤδη δὲ συλλεχθὲν καὶ μεθ᾽ ὅσης πλείστης ἐπιμελείας ἐρανισθὲν ἔκ τε τοῦ παλαιοῦ ἐκείνου, καὶ ἐκ τοῦ ἁγίου Ὄρους τῶν Τυπικῶν κατὰ τὴν ἀρχαίαν παράδοσιν τῶν θεσπεσίων πατέρων καὶ κατὰ τὴν νῦν τοῦ παρόντος τάξιν καὶ συνήθειαν, τῶν ἐν ταῖς εὐαγέσι μοναῖς ελουμένων ἀκολουθιῶν τε καὶ ἀγρυπνιῶν τοῦ ἁγιωνύμου ὄρους το Ἄθω. Соборный Типиконъ Аѳоно-Святопавловскаго монастыря, рукопись въ большой листъ, на 325 листахъ, писана крупною довольно чоткою скорописью. Списатель Типикона не безъ претензій на ученость, а посему дѣлаетъ большія введенія, сличенія службъ по рукописнымъ и печатнымъ Минеямъ, заимствованія прямо изъ рукописей (ὅρα ἐν τῷ χειρογράφῳ стр. 42) и иногда даже говоритъ отъ себя непосредственно («καθ᾽ ἡμᾶς» 67 стр.). Время написанія Типикона опредѣляется слѣдующими данными: Αἰτήσει μὲν τοῦ πανοσιωτάτου ἁγίου καθηγουμένου τῆς ἱερᾶς βασιλικῆς καὶ πατριαρχικῆς μονῆς τοῦ ἱεροῦ κοινοβίου τοῦ ἁγίου Παύλου κυρίου κυρίου Σωφρονίου Κεφαλλίνου, πόνῳ δέ, σπουδῇ καὶ ἐπιμελείᾳ τοῦ ἐν μοναχοῖς ἐλαχίστου οἰκτροῦ Ἰακώβου ἁγιορείτου (τοῦ ἐκ Κυθήρων), καθιερωθὲν τῇ αὐτῇ ἱερᾷ μονῇ, ἵνα μένῃ διὰ παντὸς ἀναπόσπαστον, ἐνεργούμενον παρὰ τοῦ κατὰ καιρὸν ἐκκλησιάρχου εἰς εὐταξίαν τῆς καθεκάστην ᾀδομένης ἀκολουθίας, προσετέθησαν δὲ προσόμοια ἰδιόμελα καὶ κανόνες παλαιῶν χειρογράφων Μηναίων εἰς ἀπάρτησιν πανηγυρικῶν ὕμνων τῶν ἱερῶν ἑορτῶν Δεσποτικῶν, Θεομητορικῶν καὶ ἁγίων ἑορταζομένων. Ἐν ἔτει σωτηρίῳ ͵αωνʹ, 1850, ἐν τῷ ἁγιωνύμῳ ὄρει τοῦ Ἄθω.

Στίχοι πρὸς τοὺς ἀναγνώστας.

Πηγὴν νάουσαν Τυπικοῦ δροσολογίου См. Григоріатскій соборный Типикъ.

Τὸ παρὸν Τυπικὸν καθιερώθη τῇ ἱερᾷ μονῇ τοῦ ἁγίου Παύλου,

ἵνα μένῃ εἰς διατύπωσιν καὶ ῥυθμὸν εὐταξίας τῆς ὅλης ἐκκλησιαστικῆς ἀκολουθίας διὰ παντός, καὶ μηδεὶς τοῦτο ἀποξενώσῃ, ἵνα μὴ ὑφέξῃ τὰς εὐθύνας τῶν ἐν αὐτῷ ὑμνουμένων θεσπεσίων πατέρων.

[Л. 1). Προοίμιον τῆς παρούσης βίβλου τοῦ Τυπικοῦ, διαλαμβάνον πότε ἤρξατο ἡ τάξις τοῦ Τυπικοῦ καὶ ποῖοι οἱ ποιηταὶ καὶ ποῖοι οἱ πρῶτοι τονισταὶ τῶν ἤχων ἐν συνόψει.

Ἔθος μέν ἐστιν ἀντιγράφοις καὶ λογογράφοις, τοῖς ἀντιγράφουσι καὶ συνθέττουσι βίβλον, προσηλοῦν αὐτὴν καὶ καθιεροῦν τοῖς φίλοις, ἡμεῖς δὲ γονυπετῶς μετὰ πάσης εὐλαβείας καὶ βαθυτάτης ἐκστάσεως καὶ ἐδαφιαίας προσκυνήσεως ἀνατιθέμεθα τῇ παντανάσσῃ δεσποσύνῃ ἡμῶν Θεοτόκῳ Μυροβλυτίσσῃ. Σὺ δέ, ὦ πανύμνητε Θεοτόκε, τῇ σῇ ἀκτινομόρφῳ λαμπρότητι ὡράϊσον καὶ κάλλυνον αὐτό, πηδάλιον τῇ ἁγίᾳ σου ἐκκλησίᾳ ἀναδείξασα, εἰς ὁδηγίαν τῶν λιγυφθόγγων ᾀσμάτων, τῶν εὐρύθμως καθεκάστην ᾀδομένων, εἰς δόξαν σὴν καὶ τοῦ μονογενοῦς σου Υἱοῦ, μᾶλλον δὲ τῆς μακαρίας καὶ ὑπερουσίου Τριάδος καὶ πάντων τῶν τε Ἀσωμάτων δυνάμεων καὶ ἁγίων, τῶν ὑμνουμένων καθεκάστην ἐν πάσαις ταῖς ἀνὰ πᾶσαν τὴν ὑφήλιον ἐκκλησίαις τῶν ὀρθοδόξων, καὶ ἀξίωσον τοὺς εὐλαβῶς ἐν ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς δοξολογοῦντας τῆς ἀϊδίου χαρᾶς τῶν πρωτοτόκων ἐν οὐρανοῖς, ὅπως ἐν ἀγαλλιάσει προσκυνῶμεν τὴν ὑπερένδοξον βασιλείαν τοῦ ἀνάρχου Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ παναγίου καὶ ἀγαθοῦ καὶ ζωοποιοῦ Πνεύματος καὶ σὲ τὴν Βασίλισσαν εὐλογοῦμεν εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

— Πόθεν εὑρέθη τὸ ᾆσμα.

[Л. 3). Τί ἐστὶ φωνή.

— Τί ἐστὶ χειροτονία ἢ χειροτομία.

— Τί σημαίνει τὸ τερερὲ καὶ ἀνανές.

[Л. 8). Δήλωσις περὶ τοῦ πότε ἤρξαντο συνθέττειν οἱ ποιηταὶ καὶ ψάλλειν ἐν ἐκκλησίαις ἰδιόμελα τροπάρια καὶ κανόνας.

Ἐν τοῖς χρόνοις τῶν ἁγίων ἀποστόλων τοὺς ψαλμοὺς τοῦ Δαβίδ, τὴν Κυριακὴν εὐχήν, τὸ Πάτερ ἡμῶν, εὐχὰς εἰρηνικὰς καὶ αἰτήσεις καὶ τὴν λειτουργίαν μετήρχοντο οἱ πιστοί, ἀναγνώσεις πυκνὰς εἰς τὴν Παλαιὰν Διαθήκην καὶ νέαν τοῦ Εὐαγγελίου ποιούμενοι, καθὼς εἰς τὰς Διαταγὰς τῶν ἀποστόλων φαίνεται, καὶ μάλιστα, ἔχοντες ἔνοικον τὸν Παράκλητον, θεοδίδακτοι ἦσαν, ἐν ἀλαλήτοις φωναῖς ἐν καρδίᾳ ἀδιαλείπτως ηὔχοντο, μὴ ἔχοντες χρείαν γραφικῶν εὐχῶν καὶ ᾀσμάτων, διὰ στόματος προφερομένων ἐν παντὶ τόπῳ καὶ ἐν παντὶ καιρῷ, αἴροντες ὁσίας χεῖρας καὶ δεόμενοι ἐκτενῶς τῷ Κυρίῳ, καὶ καθὼς τὸ Πνεῦμα ἐκίνει αὐτούς,

οὕτως ηὔχοντο. Ὅτε δὲ συνηθροίζοντο τὰς ἑορτὰς ἐν ἐκκλησίαις, ἀνάγνωσις ψαλμῶν καὶ τῆς ἁγίας Γραφῆς ἐγίνετο εἰς τὰ βιβλία τῶν προφητῶν, Εὐαγγέλιον καὶ Πράξεις τῶν ἀποστόλων μετὰ καιρὸν καὶ εἰς τὰς ἐπιστολάς. Εἶτα, ἀναστάντων πάντων, ἐκήρυττεν ὁ διάκονος ἐπ' ἄμβωνος· Εὔξασθε οἱ κατηχούμενοι καὶ πάντες οἱ πιστοὶ ὑπὲρ αὐτῶν, καὶ λέγων ἐκεῖνος τὰς αἰτήσεις, ὁ λαὸς ἔκραζε τὸ Κύριε ἐλέησον. Εἶτα ὁ ἱερεύς, ἢ ὁ ἐπίσκοπος, κλίνων τὴν κεφαλὴν, ἀνεγίνωσκεν εὐχὴν ὑπὲρ τῶν κατηχουμένων ἀβαπτίστων, κἀκείνων κλινόντων τὰς κεφαλάς, καὶ μετὰ τὴν εὐχὴν ἐξήρχοντο οἱ κατηχούμενοι. Εἶτα ἐγένετο εὐχὴ ὑπὲρ τῶν δαιμονιζομένων καὶ ἐξήρχοντο, εἶτα ὑπὲρ τῶν μελλόντων βαπτισθῆναι, εἶτα ὑπὲρ τῶν μετανοούντων πιστῶν, τῶν δι' ἁμαρτίας κωλυομένων κοινωνῆσαι τῶν μυστηρίων, καὶ οὕτως ἐξήρχοντο οὗτοι πάντες ἐν τῷ νάρθηκι καὶ ἵσταντο κατὰ τάξιν εἰς μέρος, ἀκροώμενοι καὶ μυστικῶς εὐχόμενοι, καὶ τότε ἐγένετο ἡ λειτουργία ἐκοινώνουν, ὅσοι ἄξιοι ἔμενον ἔνδον τοῦ ναοῦ. Μετὰ δὲ τὸ τέλος τῆς λειτουργίας περιέμενον τὸν ἱερέα, ἕως οὗ τελειῶσαι τὰ ἅγια καὶ ἐξελθεῖν πρῶτον αὐτόν. Καὶ ἐξερχομένων τῶν ἀξίων, ἔπιπτον ἐπὶ πρόσωπον πάντες οἱ ἐν τῷ νάρθηκι ἀκοινώνητοι, καθὼς νῦν οἱ διακονηταὶ εἰς τὴν ἐξέλευσιν τῶν πατέρων ἐκ τῆς τραπέζης, καὶ ἐζήτουν εὐχὴν ἐξ ἐκείνων, καὶ ἔσχατον πάντων ἐξήρχοντο καὶ αὐτοί. Ὁμοίως ἐγίνετο καὶ εἰς ἄλλας προσευχάς, ὁποῦ ἐγίνετο, καὶ εἰς μνημόσυνα καὶ εἰς κοινὰς τραπέζας οὐ συνήσθιον τοῖς καθαροῖς, ἀλλ' ἐδίδετο αὐτοῖς τροφὴ καὶ ἀπήρχοντο. Μετὰ δὲ χρόνους ἱκανούς, ὅτε ἤνθει καὶ τὸ βασίλειον τῶν χριστιανῶν, ἔλαβεν ἄλλην μορφήν, ἐτακτοποιήθησαν αἱ ἐκκλησίαι ψάλλειν τὴν ᾀσματικὴν καλουμένην ἀκολουθίαν, περὶ τῆς ὁποίας γράφει σαφέστατα ὁ ἅγιος Συμεὼν Θεσσαλονίκης εἰς τὸ αὐτοῦ βιβλίον σελ. 322, 323 и далѣе подробно излагается порядокъ этой пѣсненной службы. Αὕτη δὲ ἡ ᾀσματικὴ ἀκολουθία ἔπαυσεν εἰς τὴν Κωνσταντινούπολιν, ἀφ' οὗ ἡ μονὴ τῶν Στουδιτῶν ἐσυνήθισεν τὸ Τυπικόν, τὸ ὁποῖον ἐπέμφθη καὶ εἰς τὴν νεοφωτισθεῖσαν τότε Ῥωσσίαν καὶ ὀλίγον κατ' ὀλίγον εἰς τὰς ἁπανταχοῦ ἐκκλησίας τὸ Τυπικὸν τῶν Στουδιτῶν διεδόθη, τὸ ὁποῖον ἀπὸ τοὺς μεταγενεστέρους ἐκλήθη τοῦ ἁγίου Σάββα, καὶ τοῦτο φαίνεται γεγραμμένον εἰς ἁγιορίτικον Τυπικὸν οὑτωσί· Ὅτε οἱ θεῖοι πατέρες Εὐθύμιος, Σάββας, Θεοδόσιος κ.τ.λ. Эта статья представляетъ нѣсколько иное изложеніе той же статьи Григоріатскаго Типикона, впрочемъ, только до словъ: συλλεξάμενος (т. е. Дамаскинъ) καὶ ἴδια μέλη συνθέσας ἰδιόμελα καὶ κανόνας, ἀφῆκεν ἐν

τῇ μονῇ τοῦ ἁγίου Σάββα καὶ ἔλαβε τὴν ἐπωνυμίαν Τυπικὸν τοῦ ἁγίου Σάββα.

Ὅτι παλαιόθεν ἀπὸ τοὺς χρόνους τοῦ μεγάλου Θεοδοσίου συνετέθησαν τροπάρια, δῆλον γίνεται καὶ ἐκ τοῦ βίου τοῦ Χρυσοστόμου, ἔνθα λέγει, ὅτι οἱ ἀριανοί, συνθέσαντες τροπάρια κατὰ τὴν βλάσφημον ἐκείνων αἵρεσιν, ἔψαλλον κατ᾿ οἴκους ἐν Βυζαντίῳ, βλασφημοῦντες τὰ ὀρθόδοξα δόγματα, ὅθεν ὁ θεῖος Χρυσόστομος, ζήλῳ θείῳ κινηθείς, ἐσύνθεσε καὶ αὐτὸς τροπάρια, ἐλέγχοντα τὴν ἐκείνων κακοδοξίαν, καὶ παρέδωκε τοῖς ὀρθοδόξοις, διὰ νὰ ψάλλωσιν αὐτὰ διχόρως, ὡς ἀντίφωνα. Ὁ δὲ ἱερομάρτυς Πέτρος ὁ Δαμασκηνός, ἀκμάσας περὶ τὰ 770 ἔτη, γράφει, ὅτι τὰ ἰδιόμελα τῶν ἁγίων τεσσαράκοντα μαρτύρων, Φέροντες τὰ παρόντα γενναίως, καὶ τινὰ τροπάρια τῶν αὐτῶν ἁγίων νὰ εἶναι ποιήματα τοῦ Μεγάλου Βασιλείου, καὶ τότε αὐτὰ ἀπεδώσαμεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν καὶ ἄλλα παρόμοια. Ἔτι δὲ καὶ ὁ ἅγιος Ῥωμανός, ὁ ποιητὴς τῶν κοντακίων, ἤκμασεν ἐν τοῖς χρόνοις Ἀναστασίου τοῦ Διοσκόρου περὶ τὸ 491, σύγχρονος τοῦ ἁγίου Ἀνατολίου πατριάρχου, τοῦ ποιητοῦ τῶν δ΄ ἀναστασίμων ἰδιομέλων ἑσπερινοῦ καὶ αἴνων, ἐξ οὗ καὶ ἀνατολικὰ ἐκλήθησαν. Φαίνεται, ὅτι πρὸς τὰ κοντάκια καὶ οἴκους καὶ ἄλλα τροπάρια ἐσύνθεσαν ἐν ἐκείνοις τοῖς χρόνοις· ὁ δὲ ἅγιος Ἀνδρέας καὶ ὁ Ἁγιοπολίτης, ἤτοι Ἱεροσολυμίτης, σύγχρονος καὶ αὐτὸς τοῦ ἁγίου Σωφρονίου πατριάρχου, ὅτε ὁ μὲν Σωφρόνιος τὸν βίον τῆς ὁσίας Μαρίας τῆς Αἰγυπτίας, ὁ δὲ Ἀνδρέας τὸν μέγαν ἐκεῖνον κανόνα συνθέσας, ἀπέστειλον ὁμοῦ εἰς Κωνσταντινούπολιν, ὅθεν καὶ πανταχοῦ διεδόθησαν. Τούτου τοῦ ἁγίου Ἀνδρέου ποιήματα ἀεὶ καὶ οἱ ἐν τοῖς ἀποδείπνοις τῆς μεγάλης ἑβδομάδος τριῴδια καὶ κατὰ τὸν συγγραφέα σοφώτατον μουσικὸν Δημήτριον Ταμίαν Κρητικὸν τὸ Σὲ τὸν ἐπὶ ὑδάτων κρεμάσαντα τὴν γῆν ἀσχέτως, ποίημα τοῦ αὐτοῦ Ἀνδρέου Κρήτης εἶναι, ὅθεν καὶ οἱ λοιποὶ εἱρμοί· Κύματι θαλάσσης, καθὼς καὶ ἄλλοι κανόνες πρὸς τὴν Θεοτόκον εἰς τὸν αὐτὸν εἱρμόν, ποιήματα τοῦ αὐτοῦ ἁγίου Ἀνδρέου εὑρίσκονται, καὶ οὐ καθὼς ἐσφαλμένως γράφει τὸ τετυπωμένον Τριῴδιον, ὅτι ἐστὶ ποίημα Κασσίας μοναχῆς, ἥτις ἐπὶ Θεοφίλου εἰκονομάχου ἤκμασε καὶ ἐποίησε τὸ Κύριε, ἡ ἐν πολλαῖς ἁμαρτίαις. Ὁ δὲ Μάρκος διὰ προσταγῆς Λέοντος τοῦ σοφοῦ ἀνεπλήρωσε πρὸς τὸ τετραῴδιον τοῦ ἁγίου Κοσμᾶ τὰς δ΄ ᾠδὰς τοῦ κανόνος, καὶ βλέπε, ὅτι ἡ ἀκροστιχὶς ἄρχεται ἀπὸ τοῦ τροπαρίου καὶ οὐχὶ ἀπὸ τοῦ εἱρμοῦ· Καὶ σήμερον δέ· Κύματι θαλάσσης ἀπὸ τοῦ Κύριε Θεέ μου, Ἄνω σε ἐν θρόνῳ, Ἵνα σου τῆς δόξης, Σύμ-

βολα τῆς ταφῆς σου, Ἥπλωσάς τε πανάγιε, Σύμβολα τῆς ταφῆς σου καὶ καθεξῆς. Ἕτερον δεῖγμα σαφέστατον δείκνυται, ὅτι τὸ Κύματι θαλάσσης εἶναι παλαιὸν ἐκ τοῦ σταυροαναστασίμου κανόνος τοῦ Δαμασκηνοῦ πλ. β'· Βήματι Πιλάτου παρίσταται, θέλων ἀνόμων κρίματι κ. τ. λ. Οἱ δὲ εἱρμοὶ ἦσαν παλαιότεροι, ὅθεν, ἵνα γένῃ ὁ λόγος εὔληπτος, ἰδοὺ σημειοῦμεν ἐνταῦθα τοὺς ποιητὰς τῶν ἱερῶν ᾀσμάτων κατὰ τάξιν. Перечень именъ пѣснотворцевъ сходенъ съ Типикономъ Григоріатскимъ, но въ изложеніи этого перечня и въ порядкѣ размѣщенія пѣснотворцевъ есть незначительныя особенности.

[л. 1). Ἀρχὴ σὺν Θεῷ ἁγίῳ. Τυπικὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας, τῆς ἐν τῷ ἁγίῳ ὄρει τοῦ Ἄθω μονῆς λαύρας τοῦ ἁγίου Ἀθανασίου, Βατοπεδίου, Φιλοθέου καὶ ἁγίου Παύλου. Αὕτη ἡ διάταξις γίνεται καὶ ἐν ταῖς λοιπαῖς μοναῖς.

Εἴδησις τοῦ μικροῦ ἑσπερινοῦ καὶ τοῦ μεγάλου τῆς ἀγρυπνίας.

[л. 8 об.). Εἴδησις τῶν ἀγρυπνιῶν τοῦ ὅλου ἐνιαυτοῦ.

[л. 9). Ἐκ τῆς ἐκκλησιαστικῆς διατάξεως τῶν ἐν Παλαιστίνῃ μονῶν περὶ τοῦ πῶς δεῖ στιχολογεῖσθαι τὸ Ψαλτήριον.

[л. 10). Εἴδησις περὶ τοῦ ἑσπερινοῦ τῶν δύο τεσσαρακοστῶν Χριστουγέννων καὶ τῶν ἁγίων Ἀποστόλων, πῶς ψάλλεται, ὅτε ἔστιν Ἀλληλούια.

[л. 11). Δήλωσις περὶ τοῦ μεσονυκτικοῦ τῶν δύο τούτων τεσσαρακοστῶν, ἐν αἷς ἡμέραις ψάλλομεν Ἀλληλούια, ἢ Θεὸς Κύριος.

[л. 13). Περὶ τοῦ ὄρθρου τῶν δύο τούτων τεσσαρακοστῶν, ἐν αἷς ἡμέραις ἐστὶν Ἀλληλούια, ἢ Θεὸς Κύριος.

[л. 15). Ἐκ τῶν ἀποστολικῶν Διατάξεων περὶ ἑορτῶν καὶ νηστειῶν.

[л. 16). Περὶ νηστειῶν.

[л. 17). Δήλωσις τῶν ὡρῶν καὶ τῶν μεσωρίων τῶν δύο τούτων τεσσαρακοστῶν πῶς ψάλλονται, ὅτε ἔστιν Ἀλληλούια.

[л. 19). Περὶ τῆς ἀκολουθίας.

— Δήλωσις περὶ τοῦ ἀποδείπνου τῶν δύο τούτων τεσσαρακοστῶν, πῶς ψάλλεται, ὅτε ἔστιν Ἀλληλούια.

[л. 20). Δήλωσις περὶ τοῦ ἑσπερινοῦ, ὄρθρου καὶ λειτουργίας τῶν σαββάτων τῶν δύο τούτων τεσσαρακοστῶν, ὅτε τύχῃ Ἀλληλούια.

— Περὶ τοῦ ὄρθρου τοῦ σαββάτου, ὅτε τύχῃ Ἀλληλούια.

[л. 21). Εἴδησις περὶ τῶν προκειμένων τῆς κυριακῆς ἑσπέρας καὶ παρασκευῆς ἑσπέρας.

— Περὶ τῶν ἀποδείπνων, πῶς ψάλλονται.

[л. 22). Περὶ τοῦ πότε δεῖ θυμιᾶν τὸν ἱερέα.

— Δήλωσις περὶ τῶν κυριακῶν, πῶς ψάλλονται ἐν τῷ ὄρθρῳ οἱ ἀναστάσιμοι κανόνες μετὰ τοῦ Μηναίου.

[л. 23). Δήλωσις περὶ τοῦ πότε τελεῖται ἡ λειτουργία τοῦ Μεγάλου Βασιλείου.

— Δήλωσις ποσάκις ἀποσκεπαζόμεθα ἐν τῇ λειτουργίᾳ.

— Δήλωσις περὶ τοῦ πῶς ἀναγινώσκονται τὰ εὐαγγέλια τῶν λειτουργιῶν τοῦ ὅλου ἐνιαυτοῦ.

[л. 24). Εἴδησις περὶ τῶν ἑωθινῶν εὐαγγελίων, πῶς ἀναγινώσκονται ἀπὸ τῆς κυριακῆς τοῦ Πάσχα μέχρι τῆς κυριακῆς τῶν Ἁγίων Πάντων.

[л. 25). Πῶς δεῖ θυμιᾶν τὸν ἱερέα.

[л. 26). Замѣчанія о блаженныхъ и изобразительныхъ на праздники, на масляную недѣлю и въ великія пятницу и субботу.Текстъ этой вводной части, за немногими исключеніями, касающимися звоновъ и поклоновъ игумену, сходенъ съ соборнымъ Тип. Пантократорскаго монастыря XV в.

[л. 27). Ἀκολουθία τῆς ἐκκλησιαστικῆς ψαλμῳδίας τοῦ ὅλου ἐνιαυτοῦ.

11 Сентября. Μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν Θεοδώρας τῆς ἐν Ἀλεξανδρείᾳ· καὶ ἡ ἁγία αὐτῆς κάρα σώζεται ἐν τῇ μονῇ τοῦ ἁγίου Παύλου, ὡς ἐν παλαιοῖς χειρογράφοις ὑπόμνημα φαίνεται, ἀντὶ αὐτῆς δὲ μετωνομάσθη τῆς ἁγίας Νινοδώρας (Νιφοδώρας). Ὁ βίος τῆς ὁσίας εὑρίσκεται χειρόγραφος εἰς τὰς κατηχήσεις τοῦ Στουδίτου, ἔχει δὲ καὶ προσόμοια ἀποστίχου καὶ εἰς τοὺς αἴνους καὶ δοξαστικά, γίνεται δὲ καὶ δοξολογία διὰ τὴν ἁγίαν κάραν αὐτῆς, ψάλλεται δὲ μετὰ τῆς ἑορτῆς. Ἡ δὲ ἀκολουθία τοῦ ἁγίου ἱερομάρτυρος Αὐτονόμου ψάλλεται ἐν τοῖς ἀποδείπνοις [л. 38).

1 Октября. Τῆς ἁγίας Σκέπης τῆς ὑπεραγίας Θεοτόκου [л. 53). Изложена полная служба съ Синаксаремъ. Ἀπολυτίκιον ἦχος α'· Τῆς σκέπης σου τὴν χάριν ἀνυμνοῦμεν, Πανάχραντε, ἣν ἐν τῷ πανσέπτῳ ναῷ σου ἐφηπλώσας τοῖς πᾶσιν [л. 56 об.). Заканчивается служба замѣткою: Ἰστέον οὖν, ὅτι εἰ μὲν ἑορταστικῶς τελεῖται ἡ μνήμη τῆς ἁγίας Σκέπης, ἡ ἀκολουθία τοῦ ἁγίου Ῥωμανοῦ ψάλλεται

ἐν τοῖς ἀποδείπνοις, ἡ δὲ ἀκολουθία τοῦ ἀποστόλου Ἀνανίου ψάλλεται τῇ ἐπαύριον μετὰ τοῦ ἁγίου Κυπριανοῦ, εἰ δὲ βούλει, ψάλλε αὐτὴν μετὰ τῆς ἁγίας Σκέπης ὁμοῦ л. **64** об.).

15 Октября. Τοῦ ἁγίου ὁσιομάρτυρος Λουκιανοῦ καὶ τοῦ ἁγίου ὁσίου πατρὸς ἡμῶν Εὐθυμίου τοῦ νέου, τοῦ ἐν Θεσσαλονίκῃ οἰκοδομήσαντος τὴν μονὴν τῶν Περιστερῶν καὶ ἐν ὁρίοις τοῦ ἁγίου Παύλου, τὸ πρότερον ἐν τῷ σπηλαίῳ ἀσκήσαντος. Αὕτη ἡ ἀκολουθία, σωζομένη ἐν χειρογράφοις, ἐπιδιωρθώθη καὶ ἐπλουτίσθη· ἑορτάζεται δὲ ἐν τῇ ἡμετέρᾳ μονῇ [л. **18**).

20 Октября. Τοῦ ἁγίου μεγαλομάρτυρος Ἀρτεμίου καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Γερασίμου Κεφαλληνίας. Καὶ οἱ δύο οὗτοι ἅγιοι ἑορτάζονται ὁμοῦ, ἔχουσι δὲ ἀμφότεροι ἀκολουθίας ἑορτασίμους εἰς φυλλάδας, ὅθεν ποιοῦμεν ἀγρυπνίαν, ποιοῦντες τὰ πάντα, ὡς ἐκεῖσε φαίνεται· ἡ ἀκολουθία αὐτῶν, καὶ μάλιστα τοῦ ἁγίου Γερασίμου. Κρούουν οἱ κώδωνες [л. **69**).

3 Ноября. Τῶν ἁγίων μαρτύρων Ἀκεψιμᾶ, Ἰωσὴφ καὶ Ἀειθαλᾶ, ὧν ἡ ἀκολουθία ψάλλεται ἐν τοῖς ἀποδείπνοις. Ἐν δὲ τῷ ἑσπερινῷ, ὄρθρῳ καὶ λειτουργίᾳ τελεῖται ἡ ἀκολουθία τῆς ἀνακομιδῆς τοῦ ἁγίου μεγαλομάρτυρος τοῦ ἐν Λύδῃ ναοῦ ἐγκαινισμοῦ. Ἡ τοιαύτη ἀκολουθία εὑρίσκεται εἰς φυλλάδα τῆς μονῆς, καὶ ὅρα ἐκεῖσε, ἀναγινώσκεται δὲ τὸ μαρτύριον τῶν ἁγίων καὶ τὸ ὑπόμνημα τῆς ἀνακομιδῆς τοῦ Γεωργίου καὶ τὸ ἐγκώμιον Ἀνδρέου Κρήτης [л. **75**).

Служба собору архангеловъ [л. **77**) См. выше стр. 332—334.

Σημείωσον, ὅτι τὸ Τυπικὸν τάττει τὴν μνήμην τῆς ἁγίας Αἰκατερίνης κατὰ τὴν παροῦσαν 24 τοῦ μηνός, τὴν δὲ ἀκολουθίαν τῶν ἁγίων ἱεραρχῶν, Κλήμεντος Ῥώμης καὶ Πέτρου Ἀλεξανδρείας, διορίζει κατὰ τὴν κε′ τοῦ μηνός, ἐν ᾗ ποιεῖ καὶ τὴν ἀπόδοσιν. Ἡμεῖς δὲ κατὰ τὴν διάταξιν τῶν τετυπωμένων Μηναίων θέτομεν τὴν μνήμην τῶν ἱεραρχῶν κατὰ τὴν παροῦσαν, τῆς δὲ Αἰκατερίνης τῇ κε′ [л. **90**).

О Рождественскихъ часахъ замѣчено: Περὶ δὲ ὥραν ε′ τῆς ἡμέρας σημαίνει τὸ μικρὸν καὶ ψάλλομεν τὰς μεγάλας ὥρας. Обычные псалмы съ 12 тропарями. Ἐν δὲ τῇ ἐννάτῃ μετὰ τὸ τέλος τοῦ β′ τροπαρίου, σταθεὶς ἐν τῷ μέσῳ ὁ κανονάρχης, ἀναγινώσκει μεγαλοφώνως τὸ Σήμερον γεννᾶται ἐκ Παρθένου, εἶτα πολυχρο

νεῖ τὸν πατριάρχην καὶ ἡγούμενον, λέγων· Σῶσαι, Κύριος, τὸν παναγιώτατον οἰκουμενικὸν πατριάρχην καὶ τὸν πανοσιώτατον πατέρα ἡμῶν ἐν πάσῃ τῇ ἐν Χριστῷ ἡμῶν ἀδελφότητι [л. 104). Περὶ δὲ ὥραν η' τῆς ἡμέρας σημαίνει τὸ μέγα (κόπανος καὶ οἱ κώδωνες) τρισσῶς καὶ συναχθέντες ἐν τῇ ἐκκλησίᾳ, ἐνδεδυμένου τοῦ ἱερέως καὶ τοῦ διακόνου πᾶσαν τὴν ἱερατικὴν στολήν, καὶ θυμιάσαντος, λέγει τὸ Εὐλόγησον, δέσποτα, καὶ ὁ ἱερεύς, ἐνδεδυμένος λαμπρὰν στολὴν λευκήν, λέγει τὸ Εὐλογημένη ἡ βασιλεία, ὁ ἡγούμενος τὸν προοιμιακόν, συναπτὴ μεγάλη· ἅπτουσι δὲ τὰ μεγάλα κηρία τῶν μανουαλίων καὶ τοῦ χοροῦ πάντα, καὶ ψάλλομεν τὸ Κύριε ἐκέκραξα [л. 104). На вечернѣ въ субботу или въ воскресенье, по окончаніи ея, положено многолѣтствованіе архіерея, входъ въ трапезу съ подсвѣчниками и возвышеніе Панагіи. Всенощная начинается въ первый часъ ночи, о чемъ замѣчено: Σημείωσαι, ὅτι πρώτη ὥρα ἐννοεῖται ἡ τρίτη τῆς νυκτός· οὐ γὰρ τύπος ἀκολουθεῖν τὸ παλαιὸν τῶν χριστιανῶν ὡρολόγιον, ἀπὸ ἀνατολὴν ἡλίου ἀρχίζουσα τὴν πρώτην ὥραν, καθὼς τὴν σήμερον φυλάττει μόνη ἡ μονὴ τῶν Ἰβήρων, ὅτι τὸν Δεκέμβριον μῆνα, ἐννέα ὥρας ἔχουσα ἡ ἡμέρα, τὴν ἐννάτην ὥραν γίνεται τὸ ἑσπέρας, ὅθεν ἡ ἀρχὴ τοῦ ἑσπερινοῦ βαθείας ἑσπέρας ἐγίνετο καὶ ἡ τράπεζα, ὥρα δὲ τρίτη τουρκιστὶ ἐσήμαινεν ἡ ἀγρυπνία [л. 106).

Τύπος μητροπολίτου Δυραχίου· Τὸ δωδεκαήμερον νηστείαν ἔχουσιν οἱ Ἀρμένιοι· οὗτοι γὰρ τὰς τρεῖς ἑορτάς, Εὐαγγελισμόν, Γέννησιν Χριστοῦ καὶ Θεοφάνεια συναπτῶς ἑορτάζουσι κατὰ τὴν ἡμέραν τῶν Θεοφανείων, ἀκολουθοῦντες ἄλλοις τε αἱρετικοῖς καὶ τῷ ἀρχηγῷ αὐτῶν Μανταχουρῇ Ἐχενίῳ, διὰ τοῦτο καὶ πρὸ τῶν Θεοφανείων δώδεκα ἡμέρας νηστεύουσιν, ἡμεῖς γοῦν, ἵνα μὴ συμπίπτωμεν τοῖς αἱρετικοῖς, καταλύομεν τὸ δωδεκαήμερον [л. 109).

26 Декабря. Ψάλλεται ἡ ἀκολουθία τῶν τιμίων δώρων [1]) [л. 109).

Ἔνθα δὲ γίνεται πανήγυρις τῆς ἑορτῆς (Срѣтенія) ἅπαντα ψάλλονται ἐν τῷ μικρῷ ἑσπερινῷ, καὶ μεγάλῳ καὶ ὄρθρῳ καὶ λειτουργίᾳ, ἡ δὲ τῶν ὁσίων πατέρων ἀκολουθία τοῦ Τριῳδίου μετατίθεται τῇ πα-

[1]) Дары, принесенные волхвами родшемуся въ міръ Спасителю, показываются въ монастырѣ св. Павла поклонникамъ, и описаны они подробно Григоровичемъ - Барскимъ въ его «Странствованія В. Григоровича-Барскаго по Св. Мѣстамъ Востока съ 1723 по 1747 г.» СПБ. 1887 ч. III, стр. 398—399, и архим. Антониномъ: «Замѣтки поклонника Св. Горы». Кіев. 1864, стр. 249.

ρασκευῇ καὶ ψάλλεται μετὰ τοῦ ἁγίου Τρύφωνος ἑορταστικῶς, ψαλλομένης καὶ μεγάλης δοξολογίας, τελουμένης καὶ τελείας λειτουργίας τοῦ Χρυσοστόμου, καθὼς καὶ ὅτε τύχῃ τοῦ ἁγίου Χαραλάμπους, διότι ἐν τῇ πανηγύρει τὰ τοῦ Τριῳδίου μένουσιν ἀργά [л. **145**).

Ἐὰν οὖν τύχῃ ἡ ἑορτὴ τῆς Ὑπαπαντῆς τῇ δευτέρᾳ τῆς πρώτης ἑβδομάδος, οὐ μετατίθεται, Δεσποτικὴ ἑορτὴ οὖσα, ἀλλὰ ψάλλεται οὕτως. На полѣ и основаніи для сего: «τὸ ὁποῖον συμβαίνει μόλις εἰς ἑκατὸν χρόνους» [л. **149, 150**).

10 Февраля. Τοῦ ἁγίου ἱερομάρτυρος Χαραλάμπους· ἑορτάζεται νῦν ἡ τούτου μνήμη παρὰ πάντων, ὅθεν ἐτυπώθη ἡ τούτου ἀκολουθία ἐν τοῖς Μηναίοις [л. **156** об.).

Если Благовѣщеніе приходилось въ недѣлю крестопоклонную, «τελεῖται δὲ ἡ λειτουργία τοῦ Χρυσοστόμου, εἰς τὸ ἐξαιρέτως· Εὐαγγελίζου γῆ χαρὰν μεγάλην [л. **170**).

Χρὴ εἰδέναι καὶ τοῦτο, ὅτι εὑρίσκεται ἐν τῷ Τυπικῷ τῆς Πέτρας καλούμενον περὶ τοῦ Εὐαγγελισμοῦ, ὡς ἐὰν τύχῃ καὶ ἐπιστῇ ἡ ἑορτὴ τῇ ἡμέρᾳ τοῦ μεγάλου κανόνος, ὁ μὲν μέγας κανὼν ψάλλεται τῇ προλαβούσῃ ἑβδομάδι τῆς μέσης ἑβδομάδος τῆς δ', ἤτοι τῇ τετάρτῃ τῆς μεσονηστίμου ἑσπέρας, καὶ τελεῖται προηγιασμένη τῇ πέμπτῃ, ὅπερ ἐστὶ καὶ εὔλογον· οὕτω γὰρ τὸ ἀπαράλειπτον καὶ αἱ τῶν δύο ἀγρυπνιῶν ἀκολουθίαι ἕξουσι καὶ τὸ ἀσύγχυτον [л. **171**).

Если Благовѣщеніе приходилось въ великую пятницу, то вечерня служилась послѣ заамвонной молитвы. О выносѣ плащаницы не говорится, но замѣчается: «καὶ τίθεται ἡ εἰκὼν τοῦ ἐπιταφίου καὶ γίνεται ἀπόλυσις [л. **181**).

Примѣчаніе: Σημείωσαι, ὅτι τὸ μεσονυκτικὸν καὶ ἀπόδειπνον οὐδέποτε καταλιμπάνεται, καθὼς καὶ ἐν τῇ ἑβδομάδι τῆς Διακαινησίμου, τοῦτο δὲ ὅπερ λέγει ὁ τύπος, ὅτι τῇ μεγάλῃ πέμπτῃ μεσονυκτικὸν οὐ ψάλλεται εἰς τὸ μέσον, δηλοῖ, ὡς ἀλλαχοῦ φαίνεται, ὅτι διὰ τὰς λαύρας ἰδιορρύθμους μονὰς λέγει τινὰ ψάλλουσιν αὐτὰ ἐν τοῖς κελλίοις, τὰ δὲ κοινόβια ἐν τῷ κοινῷ τοῦ ναοῦ, ὅθεν καὶ τῇ μεγάλῃ παρασκευῇ καὶ μεγάλῳ σαββάτῳ ἀναγινώσκεται τὸ ἀπόδειπνον, ὅτι τὰ καθίσματα τοῦ Ψαλτηρίου μόνον σχολάζουσιν. οἱ δὲ ψαλμοὶ ἄχρι τῆς παννυχίδος τοῦ μεγάλου σαββάτου λέγονται [л. **182** об.).

Службы субботы и Пасхи съ Благовѣщеніемъ изложены сходно съ Григоріатскимъ Типикономъ. Литія совершается на повечеріи, послѣ «Слава въ вышнихъ Богу» [л. **182**). Поліе-

лей послѣ непорочныхъ. Δοξολογία μεγάλη, οἱ ἱερεῖς εἰσοδεύουσι μετὰ τοῦ Εὐαγγελίου καὶ ἐπιταφίου ἀντιμινσίου μετὰ τοῦ Ἀμνοῦ, ἤτοι ἁγίου ἄρτου τῆς μεγάλης πέμπτης, Σοφία, ὀρθοί, τροπάριον τῆς προφητείας [л. **183**). Служба на Пасху предваряется повечеріемъ съ литіею, за которой слѣдовалъ канонъ и выходъ въ нарѳиксъ. Стихи: «Исповѣдайтеся Господеви» и др. Предварительно читается евангеліе «Ὀψὲ σαββάτων». Послѣ тропаря «Христосъ воскресе», тропарь праздника 3-жды, великая ектенья καὶ ἄρχεται ὁ ἡγούμενος τοῦ εἱρμοῦ τοῦ κανόνος τοῦ Πάσχα, Ἀναστάσεως ἡμέρα, καὶ κυκλοφοροῦσι τὸν ναὸν πάντες, λιτανεύοντες κύκλωθεν, ψαλλομένης τῆς α' ᾠδῆς, τὸν εἱρμὸν δὶς καὶ τὰ τροπάρια ιβ', εἶτα τὸν εἱρμόν, καταβασία ἐκ δευτέρου παρὰ τῶν δύο χορῶν. Ψαλλομένης δὲ τῆς καταβασίας, εἰσέρχονται ἐν τῷ ναῷ καὶ μετὰ τὴν καταβασίαν τὸ Χριστὸς ἀνέστη ἐκ τρίτου καὶ γίνεται εἰρήνη [л. **185**).

Когда Благовѣщеніе приходилось въ понедѣльникъ, то на вечернѣ, послѣ «Сподоби Господи» литія совершалась, ἔνθα γίνεται πανήγυρις, ἢ καὶ ὅπου βούληται ὁ προεστώς. Δοξολογία μεγάλη ψάλλεται, οὐ γάρ ἐστι ψαλμὸς αὕτη [л. **187**).

Статья о праздновaніи Благовѣщенія въ разные дни поста и Пасхи здѣсь надписывается: Διατύπωσις или Τύπος Μάρκου ἱερομονάχου [л. **188**), съ припискою на полѣ: Ἐκ τοῦ χειρογράφου.

24 Мая. Τοῦ ὁσίου πατρὸς ἡμῶν Συμεὼν τοῦ θαυμαστορείτου, καὶ τούτου ἀκολουθία εὑρίσκεται ἑορτασίμως, συνθεμένη ἐν παλαιοῖς χειρογράφοις Μηναίοις, καθὼς καὶ τοῦ ἁγίου Χαρίτωνος. Τὰ δὲ τετυπωμένα Μηναῖα ἓν μόνον ἰδιόμελον δοξαστικὸν ἔχουσιν. Ὅσοι ἐπενόησαν, ὅτι ὁ ἐν τῇ α' Σεπτεμβρίου ἑορταζόμενος Συμεὼν ὁ στυλίτης εἷς καὶ ὁ αὐτὸς εἶναι, ἔσφαλλον, ὅτι τὸ τροπάριον τῆς ἕκτης ᾠδῆς τῶν ὁσίων πατέρων, ψαλλόμενον τῷ σαββάτῳ τῆς τυρινῆς, μᾶς διδάσκει τέσσαρας ὁμωνύμους Συμεῶνας, τρεῖς στυλίτας καὶ ἕνα διὰ Χριστὸν σαλὸν κτλ. [л. **212**).

11 Іюня. Ἑορτάζεται ἡ ἁγία (т. е. Евѳимія), αὕτη διὰ τὸ ἅγιον αὐτῆς λείψανον τὸ ἐν τῇ Μεγάλῃ Ἐκκλησίᾳ καὶ διὰ τὴν ἐπικύρωσιν τοῦ τόμου τῆς δ' συνόδου. Ἡ ἀκολουθία ἐν τῇ φυλλάδι [л. **229** об.).

13. Ἡ σύναξις τοῦ ἀρχαγγέλου Γαβριὴλ διὰ τὸ θαῦμα τῆς εἰ-

κόνος τοῦ "Αξιον ἐστὶν ἐν τῷ ᾄδειν. Ἡ ἀκολουθία τῆς Θεοτόκου, ζήτει εἰς τὴν φυλλάδα καὶ τοῦ ἀρχαγγέλου [л. 230).

Σημείωσον, ὅτι τὰ παλαιὰ χειρόγραφα Τυπικὰ καὶ Μηναῖα μίαν καὶ τὴν αὐτὴν ἀκολουθίαν ἔχουσι, τὴν α′ καὶ ζ′ καὶ τὴν παροῦσαν δ′ σύνοδον. Ὁ δὲ Γερμανὸς ὁ νέος, πατριάρχης οἰκουμενικὸς χρηματίσας οὐχὶ εἰς Κωνσταντινούπολιν, τὴν ὁποίαν ἐκράτουν τότε οἱ Λατίνοι, ἀλλ' εἰς τὴν Νίκαιαν, ἔνθα ὁ βασιλεὺς Ῥωμαίων Θεόδωρος ὁ Λάσκαρης εἶχε τὸν θρόνον, ἐσύνθεσεν ἑσπέρια καὶ κανόνας εἰς τὴν ἑβδόμην σύνοδον. Μετὰ δὲ ταῦτα ὁ ἁγιώτατος πατριάρχης Φιλόθεος ὁ σοφώτατος ἐσύνθεσε καλλίστην ἀκολουθίαν εἰς τὴν δ′ σύνοδον, καθὼς καὶ ἡ μνήμη τῆς ἁγίας Εὐφημίας κατὰ τὴν ια′ τοῦ παρόντος μηνὸς διὰ τοῦ θαύματος τοῦ τόμου ἐτάχθη, ὅτι ἡ μνήμη τῆς ἀθλήσεως αὐτῆς ἡ ις′ Σεπτεμβρίου γνωρίζει, καὶ ὅτι ἡ ἑορτὴ τῆς δ′ συνόδου ἀναγκαίως τιμᾶται διὰ τὴν βλάσφημον αἵρεσιν τῶν μονοθελητῶν καὶ μονοφυσιτῶν, εἰσὶν νῦν Ἀρμένιοι ἐχθροὶ τῆς ἁγίας Εὐφημίας, οἵτινες παρεκίνησαν τοὺς Πέρσας καὶ κατέστρεψαν τὴν πόλιν Χαλκηδόνος καὶ τὸν ναὸν τῆς ἁγίας, τὸ δὲ ἅγιον αὐτῆς λείψανον ἐσώθη εἰς Κωνσταντινούπολιν, στήλη ὀρθοδοξίας ὑπάρχον· ἀφρόνως οὖν ὁ Νικόδημος ἀναιρεῖ τὴν ἀκολουθίαν καὶ Συναξάριον τῆς δ′ συνόδου, ποίημα τοῦ ἁγιωτάτου Φιλοθέου, καὶ εἰσάγει τὰ ἐκθέσια καὶ τὸν κανόνα τοῦ Γερμανοῦ, τὰ ὁποῖα εἰς τὴν ζ′ ὑνοδον καὶ οὐ χὶ εἰς τὴν δ′ ἐτάχθησαν, αἱ δὲ λοιπαὶ πέντε σύνοδοι ἀνυπακούονται μέν, οὐχὶ δὲ καὶ ἐν τῇ ἀκολουθίᾳ διαλαμβάνονται. Σὺ σδὲ ἀκολούθησον τὴν διάταξιν τῆς Μεγάλης Ἐκκλησίας [л. 232).

28. Τοῦ ὁσίου πατρὸς ἡμῶν Παύλου, δομήτορος τῆς μονῆς ἡμῶν [л. 237).

[л. 256). Περὶ τῶν αἰτήσεων τῶν στιχολογιῶν τοῦ Ψαλτηρίου.

[л. 257). Ἀρχὴ σὺν Θεῷ τοῦ τύπου τοῦ Τριῳδίου καὶ τοῦ Πεντηκοσταρίου.

На утрени недѣли Ваій евангеліе κατὰ Ματθαῖον· "Οτε ἤγγιζεν ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα, ἡ εὐχὴ τῶν Βαΐων εὐθέως μετὰ τὸ εὐαγγέλιον ἐκφώνως ἀπὸ τῶν βημοθύρων [л. 279).

Евангелія читались на утрени на страстной недѣли [л. 281).

Вечерня въ великую пятницу [л. 287). Περὶ δὲ ὥραν δεκάτην σημαίνει τὸ μέγα, καὶ ἀρχόμεθα τοῦ ἑσπερινοῦ. Εἰς τὸ Κύριε ἐκέκραξα τὰ ἰδιόμελα τῆς ἡμέρας ἦχος α′· Πᾶσα ἡ κτίσις ἠλλοιοῦτο,

Δόξα, Ὢ πῶς ἡ παράνομος συναγωγή, Καὶ νῦν [л. 288) Φοβερὸν καὶ παράδοξον, εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, Φῶς ἱλαρὸν ψάλλεται παρ' ὅλων τῶν ἱερέων, ἀλλασσομένων διὰ τὴν ἐκκομιδὴν τοῦ ἐπιταφίου, εἶτα ψάλλεται τὸ προκείμενον ἔσωθεν παρὰ τῶν ἱερέων πρότερον, ἦχος δ'· Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον, στίχος· Ὁ Θεός μου, πρόσχες μοι, τὰ ἀναγνώσματα, ὁ ἀπόστολος, Πρὸς Κορινθίους· Ἀδελφοί, ὁ λόγος ο τοῦ σταυροῦ· εὐαγγέλιον κατὰ Ματθαῖον· Συμβούλιον ἔλαβον, Εἴπωμεν πάντες, Πληρώσωμεν, τὰ λοιπά. Ἀρχομένων δὲ τῶν ἀποστίχων, αἴρουσιν οἱ ἱερεῖς τὸν ἱερὸν πέπλον τῆς εἰκόνος τοῦ ἐπιταφίου, καὶ ψάλλουσιν ἀπόστιχον προσόμοιον· Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν, καὶ εἰσοδεύοντες ἐπιτιθέασιν αὐτὸ ἐν τῷ εὐτρεπισθέντι σκάμνῳ ἐν τῷ μέσῳ τοῦ ναοῦ καὶ βαλόντες μετάνοιαν, ἀσπάζονται κατὰ τάξιν δύο δύο, Δόξα καὶ νῦν ἦχος πλ. α'· Σὲ τὸν ἀναβαλλόμενον τὸ φῶς ὥσπερ ἱμάτιον, Νῦν ἀπολύεις, Τρισάγιον, Ὁ εὐσχήμων Ἰωσήφ, Δόξα καὶ νῦν, Ταῖς μυροφόροις γυναιξί, καὶ ἀπόλυσις. Τράπεζαν δὲ οὐχ ἱστῶμεν ἐν αὐτῇ τῇ ἡμέρᾳ, οὐδὲ ἐσθίομεν, εἰ μή που ἐστὶν ὑπέργηρως καὶ ἀδύνατός τις, ἐπιδίδεται αὐτῷ μετὰ δύσιν ἡλίου ἄρτος καὶ ὕδωρ. Οὕτω γὰρ παρελάβομεν ἀπὸ τῶν Διατάξεων τῶν ἁγίων ἀποστόλων, τὸ κυριακὸν λόγιον, τὸ ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, τότε νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις, σήμερον οἱ θεῖοι ἀπόστολοι παρεξειλήφασιν. Καὶ τοῦτο εὑρήσεις εἰς τὰς ἀποστολικὰς Διατάξεις αὐτῶν, ἐπεσκεμμένως διελθών. Τὰ δὲ ἀπόδειπνα ψάλλομεν οἱ μὲν κελλιῶται ἐν τοῖς ἰδίοις κελλίοις αὐτῶν, οἱ δὲ κοινοβιαταὶ ἐν τῷ ναῷ κοινῶς. Μετὰ δὲ τὸ Δόξα ἐν ὑψίστοις Θεῷ, ψάλλεται ὁ θρηνητικὸς κανὼν τῆς Θεοτόκου τοῦ ἁγίου τοῦ Στουδίτου, ὡς ὁρᾶται ἐν τῷ βιβλίῳ τῶν κατηχήσεων. Ὁμοίως καὶ τὸ μεσονυκτικὸν ψάλλεται ἰδικῶς ἐν τοῖς κελλίοις.

Τῷ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ ὥρᾳ δ' τῆς νυκτὸς σημαίνει τὸ μέγα, καὶ ψάλλουσιν οἱ ἀδελφοὶ τὸ μεσονυκτικὸν ἐν τοῖς κελλίοις αὐτῶν, ποιοῦντες καὶ τὸν διατεταγμένον αὐτοῖς κανόνα. Εἶτα κρούει ὁ κανδηλάπτης τὰς βαρέας ἐπὶ τὸ σιδηροῦν, καὶ συναγόμεθα ἐν τῇ ἐκκλησίᾳ, καὶ ἀρχόμεθα τοῦ Τρισαγίου, Κύριε ἐλέησον ιβ', Δεῦτε προσκυνήσωμεν, καὶ τοὺς ψαλμούς· Ἐπακούσαι, Κύριος, ὁ δὲ ἱερεὺς θυμιᾷ συνήθως ἅπαντας, καὶ ὁ ἑξάψαλμος συνήθως, Θεὸς Κύριος, Ὁ εὐσχήμων Ἰωσήφ, Δόξα, Ὅτε κατῆλθες, Καὶ νῦν, Ταῖς μυροφόροις γυναιξίν. Καὶ τίθεται ἀνάγνωσις εἰς τὸν Δαμασκηνόν· ὁ δὲ ἐκκλησιάρχης διανέμει τὰ κηρία τοῖς ἀδελφοῖς, ἀλλάσσουσι δὲ οἱ ἱερεῖς πάντες καὶ διά-

κονοι, ἀρχομένου τοῦ προεστῶτος ἀπὸ [л. 289) τοῦ βήματος εἰς ἦχον πλ. α'· Ἡ ζωὴ ἐν τάφῳ κατετέθης Χριστέ, θυμιᾷ δὲ ὅλον τὸν ναὸν καὶ τοὺς ἀδελφούς, καὶ ψάλλεται ὁ Ἄμωμος μετὰ τῶν ἐγκωμίων εἰς στάσις γ', ἐν ἑκάστῃ δὲ στάσει γίνεται συναπτὴ μικρά. Εἶτα τὰ ἀναστάσιμα εὐλογητάρια. Μετὰ ταῦτα συναπτὴ μικρά, κάθισμα τῆς ἡμέρας, καὶ τίθεται ἀνάγνωσις εἰς τὴν ἑρμηνείαν τοῦ εὐαγγελίου· Τῇ ἐπαύριον, ἥτις ἐστίν, ὁ ν', καὶ ἀρχόμεθα τοῦ κανόνος ἦχος πλ. β'· Κύματι θαλάσσης, τοὺς εἱρμοὺς ἐκ β' καὶ τὰ τροπάρια εἰς ιβ', ὕστερον πάλιν καταβασία τοὺς εἱρμούς. Ἀπὸ γ' ᾠδῆς, κάθισμα· Τὸν τάφον σου Σωτήρ, καὶ ἀνάγνωσις, ἀφ' ἕκτης κοντάκιον· Τὴν ἄβυσσον ὁ κλείσας, ἐξαποστειλάριον τὸ Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν, ἐκ τρίτου. Εἰς τοὺς αἴνους, Πᾶσα πνοὴ ἦχος β', ἰδιόμελα ἦχος β'· Σήμερον συνέχει τάφος, Δόξα ἦχος πλ. β'· Τὴν σήμερον μυστικῶς, Καὶ νῦν, Ὑπερευλογημένη, δοξολογία μεγάλη. Ἀλλάσσει ὁ πρῶτος τῶν ἱερέων ἅπασαν τὴν ἱερατικὴν στολήν, οἱ δὲ λοιποὶ φελώνια καὶ ἐπιτραχήλιον, καὶ οἱ διάκονοι, κρατοῦντες ἑξαπτέρυγα, ψαλλομένου τοῦ Τρισαγίου τῆς δοξολογίας, αἴρει ὁ ἡγούμενος τὸ Εὐαγγέλιον, ἐπὶ κεφαλῆς αὐτοῦ ἔχων Ἀμνὸν τῆς μεγάλης πέμπτης. Οἱ δὲ λοιποὶ κρατοῦσιν, ὡς οὐρανίαν, τὸ ἱερὸν πέπλον τοῦ ἐπιταφίου θρήνου, καὶ γίνεται εἴσοδος λιτῆς, περικυκλοῦντες τὸν ναόν. Καὶ γίνεται αἴτησις α' ὑπὲρ πάντων εὐσεβῶν χριστιανῶν, β' ὑπὲρ τῶν κοιμηθέντων πατέρων καὶ ἀδελφῶν τῆς μονῆς καὶ γ' ὑπὲρ ἀναπαύσεως πάντων τῶν προαπελθόντων εὐσεβῶς τῶν ἁπανταχοῦ τῆς οἰκουμένης. Καὶ εἰσερχόμενοι εἰς τὸν ναόν, ἱσταμένου τοῦ κρατοῦντος τὸν Ἀμνὸν μετὰ τοῦ Εὐαγγελίου, ἐκφωνεῖ ἐν τῷ μέσῳ τοῦ ναοῦ· Σοφία, ὀρθοί, καὶ ψάλλεται τὸ Ὁ εὐσχήμων Ἰωσήφ. Καὶ ἀποτίθεται ὁ ἐπιτάφιος ἐπάνω τῆς ἁγίας τραπέζης, καὶ εὐθὺς τὸ τροπάριον τῆς προφητείας ἦχος β'· Ὁ συνέχων τὰ πάντα, ἡ προφητεία, ὁ ἀπόστολος καὶ τὸ εὐαγγέλιον· Τὴν ἐπαύριον, εἶτα ἡ ἐκτενὴ καὶ ἀπόλυσις. Ἡ πρώτη ὥρα καὶ τελεία ἀπόλυσις. Αἱ δὲ λοιπαὶ ὧραι λιταὶ ἐν τῷ νάρθηκι μετὰ τῆς ἐννάτης ὁμοῦ καὶ τῶν τυπικῶν μακαρισμῶν, Πάτερ ἡμῶν, τὸ κοντάκιον καὶ ἀπόλυσις.

Π ε ρ ὶ τ ο ῦ ὄρθρου. Περὶ δὲ ὥραν ἐννάτην τῆς ἡμέρας σημαίνει τὸν ἑσπερινόν. Ἀλλάξαντος τοῦ ἱερέως στολὴν λευκήν, καὶ εἰπόντος τὸ Εὐλογημένη ἡ βασιλεία, ἀρχόμεθα· Δεῦτε προσκυνήσωμεν, τὸν προοιμιακόν, συναπτή, Κύριε ἐκέκραξα ἦχος α', ἱστῶμεν στίχους η' καὶ ψάλλομεν ἀναστάσιμα δ' καὶ τοῦ Τριῳδίου ἰδιόμελα ἦχος πλ. δ'· Σήμερον ὁ Ἅδης στένων βοᾷ, καὶ τὰ ἕτερα δύο εἰς δ', Δόξα, Τὴν

σήμερον μυστικῶς [л. 290). Καὶ νῦν θεοτοκίον· Τὴν παγκόσμιον δόξαν. Σημείωσον δέ, ὅτι εἰς τὸ Κύριε ἐκέκραξα ἀπὸ τοῦ στίχου· Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτῶν οἱ ἁμαρτωλοί, ὁ ἐκκλησιάρχης ποιεῖ σχῆμα, ἐν τῷ μεγάλῳ σίγνῳ ἱστάμενος, βαλὼν μετάνοιαν εἰς τοὺς χορούς, καὶ εἰσερχόμενοι πάντες οἱ ἱερεῖς, ἀλλάσσουσι φελώνια λευκὰ εἰς τὸ ποιῆσαι μεγάλην εἴσοδον, καὶ ψάλλουσι τὸ Φῶς ἱλαρὸν μετὰ μέλους ἀργῶς. Προκείμενον μέντοι οὐ λέγεται, ἀλλ' εὐθὺς Σοφία, βοᾷ ὁ διάκονος, ὁ δὲ ἀναγνώστης προσφωνεῖ· Γενέσεως τὸ ἀνάγνωσμα, καὶ ἀναγινώσκει τὰ ιε' ἀναγνώσματα. Καὶ εἰς μὲν τὸ μέσον αὐτῶν, ἀναγινωσκομένης τῆς α' ᾠδῆς, ψάλλεται τὸ ἀκροτελευταῖον τῶν στίχων, ἀντιφωνουμένου μετὰ μέλους, ἤγουν τὸ Ἄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται, τοῦτο ψάλλεται εἰς κάθε τέλος τοῦ στίχου τῆς ᾠδῆς, ἤτοι Βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν, καὶ ψάλλει ὁ χορός· Ἄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται, καὶ εἰς τοὺς λοιποὺς στίχους ὁμοίως. Ὡσαύτως καὶ ἐν τῇ ὀγδόῃ· Ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας, καὶ καθεξῆς ἕως τέλους τῆς ᾠδῆς. Μετὰ δὲ τὴν συμπλήρωσιν τῶν ἀναγνωσμάτων, συναπτὴ μικρὰ παρὰ τοῦ ἱερέως, καὶ ψάλλεται τὸ Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, εἶτα ὁ ἀπόστολος. Πρὸς Ῥωμαίους· Ἀδελφοί, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν. Μετὰ δὲ τὸ εἰπεῖν τὸν ἱερέα· Εἰρήνη σοι, καὶ τὸν διάκονον· Σοφία, ἄρχεται ὁ ἀναγνώστης τὸν στίχον ἦχος βαρύς· Ἀνάστα, ὁ Θεός, κρίνων τὴν γῆν· οὐ λέγει γὰρ Ἀλληλούια, ψαλμὸς τῷ Δαβίδ, καθὼς ἡ συνήθεια, ἀλλ' εὐθὺς ἄρχεται τοῦ στίχου· Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, καὶ ὁ ψάλτης· Ἀνάστα, ὁ Θεός, κρίνων τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσι, καὶ οἱ λοιποὶ στίχοι τοῦ ψαλμοῦ. Μετὰ τὸ Ἀνάστα, ὁ Θεός, εὐαγγέλιον κατὰ Ματθαῖον· Ὀψὲ σαββάτων. Καὶ ἀντὶ τοῦ Χερουβικοῦ ὕμνου· Σιγησάτω πᾶσα σὰρξ βροτεία. Κοινωνικόν· Ἐξηγέρθη, ὡς ὁ ὑπνῶν Κύριος, καὶ ἀνέστη σώζων ἡμᾶς. Τοῦτο δὲ λέγεται πλειστάκις, ἕως οὗ οἱ ἀδελφοὶ ἅπαντες τῶν ἀχράντων μυστηρίων κοινωνήσωσιν. Μετὰ δὲ τὴν ὀπισθάμβωνον εὐχήν, δίδοται τὸ κατακλαστὸν τοῦ ἀντιδώρου παρὰ τοῦ ἱερέως, ψαλλόντων ἡμῶν· Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον, καὶ τὸν λγ' ψαλμόν· Εὐλογήσω τὸν Κύριον, εἶθ' οὕτως, ηὐτρεπισμένου ὄντος τοῦ ἀναλογίου, καὶ τῶν ἄρτων συνήθως καὶ τοῦ οἴνου, παρίσταται τούτοις ὁ ἱερεύς, καὶ θυμιῶν ταῦτα, λέγει τὴν συνήθη εὐχὴν τῆς εὐλογήσεως· Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ εὐλογήσας [л. 291) τοὺς πέντε ἄρτους ἐν τῇ ἐρήμῳ κτλ. Καὶ μετὰ τὸ Ἀμήν, κα-

θεζόμεθα ἐν τοῖς τόποις ἡμῶν ἡσύχως καὶ εὐτάκτως, καὶ εἰσέρχεται ὁ κελλαρίτης καὶ ἐπιδίδωσιν ἑκάστῳ τῶν ἀδελφῶν ἀνὰ κλάσματος ἄρτου, καὶ κρασοβολίου οἴνου, καὶ ἀνὰ ἓξ ἰσχάδων (ἤτοι σύκων ξηρῶν), καὶ ἐσθίομεν, ἐν τοῖς τόποις ἡμῶν καθήμενοι. Ἡμῶν δὲ ἐσθιόντων καὶ διακλυομένων, γίνεται ἀνάγνωσις εἰς τὰς Πράξεις τῶν ἀποστόλων, ἀπὸ τῆς ἀρχῆς τοῦ βιβλίου.

Δεῖ δὲ εἰδέναι, ὅτι ὥρᾳ β' τῆς νυκτὸς ὀφείλει ἀπολύσαι τὴν λειτουργιῶν εὐλόγησιν καὶ τῶν ἀδελφῶν τὴν ἑστίασιν, τῇ δὲ τετάρτῃ ὥρᾳ γενέσθαι τὴν παννυχίδα, ἤτοι τοῦ κανόνος τοῦ μεγάλου σαββάτου ψαλμῳδίαν, μετὰ δὲ τὸ συμψάλαι ἡμᾶς, ἅπτει ὁ κανδηλάπτης τὰς κανδήλας, εἶθ' οὕτως ἐξέρχεται καὶ κρούει τὸ σήμαντρον, καὶ ἵστησι τὴν ἀνάγνωσιν ὁ ἀναγινώσκων, καὶ εὐλογήσαντος τοῦ ἱερέως, ψάλλεται τὸ Τρισάγιον, Παναγία τριάς, Πάτερ ἡμῶν, Κύριε ἐλέησον ιβ', Δεῦτε προσκυνήσωμεν γ', Ἐλέησόν με, ὁ Θεός, εἶτα ἀρχόμεθα τοῦ κανόνος τοῦ μεγάλου σαββάτου, ἦχος πλ. β'· Κύματι θαλάσσης, τοὺς εἱρμοὺς ἐκ β', τὰ τροπάρια εἰς ιβ', καὶ ἔσχατον τὸν εἱρμὸν καταβασία. Ἀπὸ γ' ᾠδῆς κάθισμα· Τὸν τάφον σου Σωτήρ, καὶ ἀνάγνωσις εἰς τὸν λόγον τοῦ ἁγίου Ἐπιφανίου· Τί τοῦτο σήμερον σιγὴ πολλή, εἰς δόσεις δύο. Ἀφ' ἕκτης τὸ κοντάκιον καὶ τὸν οἶκον, εἶτα τὸ Συναξάριον τοῦ Μηναίου τῆς ἡμέρας, εἶτ' αὖθις τὰς λοιπὰς ᾠδάς. Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ κανόνος τροπάριον, μετὰ τὸ Τρισάγιον καὶ τὸ Πάτερ ἡμῶν, Ὅτε κατῆλθες, ἐκτενὴ παρὰ τοῦ ἱερέως καὶ ἀπόλυσις, εἶτα ἀνάγνωσις εἰς τὸ ὑπόλοιπον τοῦ ἁγίου Ἐπιφανίου, ἐν ᾗ καὶ διανέμει ὁ κανδηλάπτης τὰ κηρία τοῖς ἀδελφοῖς.

Ἀκόλουθον. Εἶθ' οὕτως ἐξέρχεται ἐν τῷ νάρθηκι ὁ κανδηλάπτης ἑτοιμάζων, οἱ δὲ ὑπηρέται τοῦ ναοῦ ἅπτουσι τὰς κανδήλας καὶ κηρία τοῦ ναοῦ, ποιοῦσι δὲ καὶ πυρεῖα (μαγκάλια) δύο μεγάλα, καὶ τιθέασι τὸ μὲν ἓν ἐν τῷ μέσῳ τοῦ ναοῦ, τὸ δὲ ἕτερον ἔμπροσθεν τῶν ἁγίων θυρῶν τοῦ βήματος, ἔσωθεν δὲ τοῦ βήματος, ἀπαιωροῦσι (κρεμῶσι) θυμιατά, καὶ βαλόντες ἐν αὐτοῖς θυμίαμα τὸ ἀρκοῦν, κλείουσι τὰς θύρας τοῦ ναοῦ [Л 293). Ὁ δὲ ἱερεὺς καὶ ἡγούμενος καὶ λοιποὶ ἱερεῖς καὶ διάκονοι ἀλλάσσουσι στολὰς λευκὰς ὅλην τὴν ἱερατικὴν στολήν, καὶ ἐξέρχονται διὰ τοῦ βορείου μέρους, προπορευομένων αὐτῶν λαμπάδων. Καὶ ἄρχεται ὁ ἡγούμενος ψάλλειν· Τὴν ἀνάστασίν σου, Χριστὲ Σωτήρ, καὶ ἱστάμενος ὁ ἡγούμενος ἐν τῇ βασιλικῇ πύλῃ, ἅπτουσιν ἐκ τῆς λαμπάδος αὐτοῦ πάντες οἱ ἀδελφοί, ψαλλομένου τοῦ τροπαρίου, ἄχρις ἂν ἐξέλθωσιν ἐν τῷ νάρθηκι, καὶ κλειομέ-

νων τῶν θυρῶν, θυμιᾶται ὅλος ὁ ναός. Ὁ δὲ πρῶτος τῶν ἱερέων ἐν τῷ νάρθηκι θυμιᾷ σταυροειδῶς τὸ ἐν τῷ εὐτρεπισμένῳ τετραποδίῳ ἱερὸν Εὐαγγέλιον, καὶ τὴν εἰκόνα τῆς Ἀναστάσεως. Καὶ ἄρχεται ὁ διάκονος· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου εὐαγγελίου κ. τ. λ., καὶ ἀναγινώσκεται τὸ εὐαγγέλιον κατὰ Ματθαῖον· Ὀψὲ σαββάτων, ἄχρι τοῦ Καὶ διεφημίσθη ὁ λόγος οὗτος παρὰ Ἰουδαίοις ἄχρι τῆς σήμερον (τὸ δὲ α′ ἑωθινὸν ἀναγινώσκεται τῇ κυριακῇ τοῦ Θωμᾶ). Εἶτα χαράττει σταυρὸν διὰ τοῦ θυμιατοῦ καὶ ἐκφωνεῖ· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι κ. τ. λ., καὶ ἡμῶν ἀποκρινομένων τὸ Ἀμήν, ἄρχεται ὁ ἡγούμενος τὸ τροπάριον μεγαλοφώνως εἰς ἦχον πλ. α′· Χριστὸς ἀνέστη ἐκ νεκρῶν, ἅμα δὲ σὺν τῷ ᾄσματι σημαίνουσιν ὅλα τὰ πνευματικὰ ὄργανα, τό τε μέγα καὶ σιδηροῦν, καὶ οἱ κώδωνες, ψάλλεται δὲ τὸ Χριστὸς ἀνέστη τρὶς παρὰ τοῦ ἡγουμένου, συνεπᾳδόντων καὶ τῶν λοιπῶν ἱερέων καὶ διακόνων, καὶ τρὶς παρὰ τῶν ἀδελφῶν ἄνευ στίχου, εἶτα στίχος· Ἀναστήτω ὁ Θεός, Ὡς ἐκλείπει καπνὸς ἀπὸ προσώπου πυρός, Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος ἀγαλλιασώμεθα, Δόξα καὶ νῦν, εἶτα ὁ ἡγούμενος γεγονωτέρᾳ φωνῇ· Χριστὸς ἀνέστη, θυμιῶν δὲ εἰς τὸ τέλος, ἀποτελειοῦσιν οἱ ἀδελφοί· Καὶ τοῖς ἐν τοῖς μνήμασιν, εἶτα συναπτὴ μεγάλη καὶ ἐκφώνησις· Ὅτι πρέπει σοι, καὶ εὐθέως ἄρχεται ὁ ἡγούμενος τὸν εἱρμὸν τοῦ κανόνος ἦχος α′· Ἀναστάσεως ἡμέρα, τὸν εἱρμὸν δὶς καὶ τὰ τροπάρια ιβ′, εἶτα πάλιν τὸν εἱρμὸν δὶς παρὰ τῶν δύο χορῶν καταβασία. Ψάλλεται δὲ οὗτος ὁ κανὼν ἄνευ στίχων, ἀλλ' οὐδὲ Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου λέγομεν, ἀλλ' οὐδὲ κανοναρχεῖται, ὡς ἄλλοτε, ἀλλὰ καθὼς ψάλλονται οἱ εἱρμοί, οὕτω καὶ τὰ τροπάρια, κρατούντων φυλλάδας ἐν χερσὶ τῶν ψαλλόντων ἄνευ κανοναρχήματος. Καὶ ἐν μὲν τῇ α′ ᾠδῇ ψάλλοντες κυκλοφοροῦσι τὸν ναόν, ἔξωθεν λιτανεύοντες, εἶτα εἰσελθόντες ἐν τῷ ναῷ, θυμιᾷ πρῶτον ὁ ἡγούμενος τὸν ναὸν καὶ τοὺς ἀδελφούς, προπορευομένου τοῦ διακόνου μετὰ λαμπάδος, ἐν ἑκάστῃ δὲ ᾠδῇ θυμιῶσιν οἱ λοιποὶ [л. **294**) τῶν ἱερέων. Ἐν ἑκάστῃ δὲ ᾠδῇ γίνεται αἴτησις παρὰ τοῦ ἱερέως, καὶ μετὰ τὴν ᾠδήν, ἐκφώνησις· Ὅτι σὸν τὸ κράτος, καὶ μετὰ τὴν γ′· Ὅτι ἀγαθός, μετὰ τὴν δ′· Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, μετὰ τὴν ε′· Ὅτι ηὐλόγηται καὶ δεδόξασται, μετὰ τὴν ς′· Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης, καὶ γίνεται ἀνάγνωσις εἰς τὸν Θεολόγον Γρηγόριον· Ἐπὶ τῆς φυλακῆς μου στήσομεν καὶ ἕτερος λόγος τοῦ αὐτοῦ· Ἀνστάσεως ἡμέρα. Μετὰ δὲ τὴν ἀνάγνωσιν, Ἀνάστασιν Χρι-

στοῦ θεασάμενοι ἐκ τρίτου, καὶ Ἀναστὰς ὁ Ἰησοῦς τρίς, εἶτα τὰς λοιπὰς ᾠδάς. Μετὰ τὴν ἑβδόμην ᾠδήν, ἐκφώνησις· Ὅτι ἡγίασται, μετὰ τὴν η'· Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις, καὶ σημαίνουσιν αὖθις πάντα τὰ πνευματικὰ ὄργανα συμφώνως ὁμοῦ, καὶ ψάλλεται ἡ θ' ᾠδὴ μετὰ τῶν μεγαλυναρίων, ἐξαποστειλάριον· Σαρκὶ ὑπνώσας, ὡς θνητός, ἐκ τρίτου, εἰς τοὺς αἴνους, Πᾶσα πνοὴ ἦχος α', ἀναστάσιμα δ', εἶτα στίχος· Ἀναστήτω ὁ Θεός, καὶ ψάλλονται τὰ στιχηρὰ τοῦ Πάσχα, Δόξα καὶ νῦν, Ἀναστάσεως ἡμέρα, τὸ Χριστὸς ἀνέστη γ', καὶ γίνεται ὁ ἀσπασμὸς οὕτως· λαβὼν ὁ ἡγούμενος τὸ Εὐαγγέλιον παρὰ τοῦ ἐφημερίου, ἵσταται ὁ ἱερεὺς ἐκ δεξιῶν τοῦ ἡγουμένου, καὶ οἱ λοιποὶ τῶν ἱερέων, ἀσπαζόμενοι ἀλλήλοις, ἵστανται ἐκ τοῦ δεξιοῦ μέρους ἕκαστος, εἶτα οἱ ἀδελφοὶ ἀσπάζονται τὸ Εὐαγγέλιον καὶ τὸν ἡγούμενον, καὶ ἵστανται κατὰ τάξιν ἀπὸ τοῦ δεξιοῦ μέρους τούτου, ἀσπαζόμενοι ἀλλήλους. Μετὰ δὲ τὸν ἀσπασμόν, λαβὼν ὁ ἱερεὺς τὸ Εὐαγγέλιον ἀπὸ τῶν χειρῶν τοῦ ἡγουμένου, ἀποτίθησιν αὐτὸ ἐν τῷ εὐτρεπισθέντι τετραποδίῳ, καὶ ἵσταται ἄχρι τοῦ σαββάτου τῆς Διακαινησίμου, ἀσπαζόμενον καθεκάστην παρὰ τῶν ἀδελφῶν, μετὰ δὲ τὴν θ' τοῦ σαββάτου αἴρεται ἐκεῖθεν. Ἱσταμένων δὲ τῶν ἀδελφῶν πάντων, ἀναγινώσκει ὁ ἱερεὺς τὴν κατήχησιν τοῦ Χρυσοστόμου, ἀκροωμένων προσεχῶς· Εἴτις εὐσεβὴς καὶ φιλόθεος, εἶτα τροπάριον τοῦ ἁγίου· Ἡ τοῦ στόματός σου καθάπερ πυρσός, μετὰ δὲ τοῦτο ἐκτενὴ καὶ ἀπόλυσις.

Αἱ δὲ ὧραι ψάλλονται οὕτως· Χριστὸς ἀνέστη γ', Ἀνάστασιν Χριστοῦ θεασάμενοι γ', Προλαβοῦσαι τὸν ὄρθρον ἅπαξ, Εἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, Ἐν τάφῳ σωματικῶς, Δόξα, Ὡς ζωηφόρος, ὡς παραδείσου ὡραιότερος, Καὶ νῦν, Τὸ τοῦ Ὑψίστου ἡγιασμένον θεῖον σκήνωμα, Κύριε ἐλέησον μ', καὶ λέγεται στίχος παρὰ τοῦ ἱερέως, Χριστὸς ἀνέστη γ'· τρισσεύεται δὲ ἡ τοιαύτη ἀκολουθία ἐν ταῖς ὥραις, ἀποδείπνοις καὶ μεσονυκτικῷ.

Ἡ δὲ λειτουργία γίνεται ταχύτερον· σημαίνουσι δὲ πάντα τὰ πνευματικὰ ὄργανα, καὶ ψάλλονται τὰ παρόντα ἀντίφωνα, ἀντίφωνον α'· Ἀλλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Δότε δόξαν ἐν αἰνέσει αὐτοῦ, Ταῖς πρεσβείαις τῆς Θεοτόκου [л. 295), Εἴπατε τῷ Θεῷ, ὡς φοβερὰ τὰ ἔργα σου, Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλλάτωσάν σοι, Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Δόξα καὶ νῦν, Ταῖς πρεσβείαις τῆς Θεοτόκου. Ἀντίφωνον β'· Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ... κ. τ. λ. Εἰσοδικόν· Ἐν ἐκκλησίαις εὐλο-

γεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ, Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, Προλαβοῦσαι τὸν ὄρθρον, Δόξα καὶ νῦν, ἦχος πλ. δ'· Εἰ καὶ ἐν τάφῳ κατῆλθες, Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε. Δεῖ δὲ γινώσκειν, ὅτι τὰ αὐτὰ ψάλλονται παρ' ὅλην τὴν ἑβδομάδα τῆς Διακαινησίμου. Ὁ ἀπόστολος· Πράξεων τῶν ἀποστόλων· Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, εὐαγγέλιον κατὰ Ἰωάννην· Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ καθ' ἑξῆς ἡ θεία λειτουργία τοῦ Χρυσοστόμου, κοινωνικόν· Σῶμα Χριστοῦ μεταλάβετε. Εἰς τὴν τράπεζαν γίνεται παράκλησις μεγάλη τοῖς ἀδελφοῖς, ἀπ' αὐτῆς τῆς λαμπροφόρου ἡμέρας ἀρχόμεθα ἀναγινώσκειν ἐν τῇ τραπέζῃ τὴν ἑρμηνείαν τοῦ Χρυσοστόμου, μέχρι τῆς κυριακῆς τῶν Ἁγίων Πάντων.

Ἐν τῇ τραπέζῃ ὁ τραπεζίτης λαμβάνει προσφορὰν ὁλόκληρον καὶ τίθησιν ἐν τῷ παναγιαρίῳ, καὶ ἀντὶ τῆς Παναγίας ὑψοῦται αὕτη, καὶ λέγει μεγαλοφώνως· Χριστὸς ἀνέστη, καὶ ἀνταποκρίνονται οἱ ἀδελφοί· Ἀληθῶς ἀνέστη ὁ Κύριος, ἐκ τρίτου, εἶτα ὁ τραπεζίτης λέγει· Προσκυνοῦμεν αὐτοῦ τὴν τριήμερον ἔγερσιν, καὶ οἱ ἀδελφοὶ ἀσπάζονται τὴν ὑψουμένην Παναγίαν, ψάλλοντες τὸ Ὁ ἄγγελος ἐβόα, τοῦτο δὲ γίνεται μέχρι τοῦ σαββάτου τῆς Διακαινησίμου.

Τῇ αὐτῇ λαμπρᾷ κυριακῇ ἑσπέρας ἀλλάσσει ὁ ἱερεὺς πᾶσαν τὴν ἱερατικὴν στολὴν αὐτοῦ, καὶ στὰς κατενώπιον τῆς ἁγίας τραπέζης μετὰ τοῦ θυμιατοῦ, σφραγίζων σταυροειδῶς, ἐκφωνεῖ· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, καὶ ἄρχεται τὸ Χριστὸς ἀνέστη γ', καὶ ψάλλεται μετὰ τῶν στίχων αὐτοῦ ιγ', συναπτὴ μεγάλη, τὸ Κύριε [л. 299) ἐκέκραξα εἰς ἦχον β', ψάλλοντες ἀναστάσιμα τῆς Ὀκτωήχου ς', Δόξα, Τὸν σωτήριον ὕμνον ᾄδοντες, Καὶ νῦν, Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου, εἴσοδος μεγάλη παρὰ πάντων τῶν ἱερέων μετὰ τοῦ Εὐαγγελίου, ψαλλομένου τοῦ Φῶς ἱλαρόν, προκείμενον ἦχος βαρύς· Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν, στίχος· Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου, Καὶ εἶπα νῦν ἠρξάμην, Ἐμνήσθην τῶν ἔργων Κυρίου, καὶ εὐθύς· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι, λέγεται δὲ τὸ εὐαγγέλιον παρ' ὅλων τῶν ἱερέων καὶ διακόνων, κατὰ στιγμὴν τελείαν ἀντιφώνως, καὶ κρουομένου κώδωνος νὲ ἑκάστῳ στίχῳ, ἐν δὲ τῷ τέλει τοῦ εὐαγγελίου κρούουσιν ὅλα τὰ σήμαντρα καὶ οἱ κώδωνες. Εἶτα τὸ Καταξίωσον καὶ αἱ αἰτήσεις, μετὰ δὲ τὴν ἐκφώνησιν, τὸ στιχηρὸν τοῦ στίχου καὶ τὰ τοῦ Πάσχα στιχηρὰ μετὰ τῶν στίχων αὐτῶν, Δόξα καὶ νῦν, Ἀναστάσεως ἡμέρα, Χριστὸς ἀνέστη γ' ἄνευ τοῦ τέλους τοῦ Ἀναστάσεως ἡμέρα, Σοφία καὶ ἀπόλυσις γίνεται καὶ ἀσπασμός.

Τῇ β' τῆς Διακαινησίμου σημαίνουσιν ὅλα τὰ πνευματικὰ ὄργανα, καὶ ψάλλεται τὸ μεσονυκτικόν, τρισσῶς λεγομένων τῶν τροπαρίων, καθὼς αἱ ὧραι καὶ τὰ ἀπόδειπνα, ὡς προεδηλώσαμεν, λέγομεν δὲ εἰς τὸ τέλος τὸ Εὐξώμεθα κ. τ. λ., εἶτα εἰσελθὼν ὁ ἱερεὺς ἐν τῷ ἁγίῳ βήματι, ἐνδύεται φελώνιον μετὰ ἐπιτραχηλίου, καὶ λαβὼν θυμιατὸν ἵσταται κατ' ἐνώπιον τῆς ἁγίας τραπέζης, καὶ ἐκφωνεῖ· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι, εἶτα ἄρχεται τὸ Χριστὸς ἀνέστη τρίς, καὶ παρ' ἡμῶν τρίς, καὶ μετὰ τῶν στίχων, ὡς χθές. Εἰς δὲ τὴν ἔναρξιν τοῦ κανόνος, θυμιᾷ ὁ ἱερεὺς ὅλον τὸν ναὸν καὶ τοὺς ἀδελφούς, ψάλλεται δὲ ὁ κανὼν τοῦ Πάσχα ἄνευ στίχων. Εἰς δὲ τὸ Δόξα καὶ νῦν, ψάλλονται τὰ θεοτοκία τοῦ κυρίου Θεοφανίου· Θανατώσεως τὸν ὅρον, ἐπὶ τὴν ἀκήρατον ζωήν, καταβασία, τὸν εἱρμὸν δίς, Χριστὸς ἀνέστη γ', καὶ αἴτησις. Ἀπὸ γ' ᾠδῆς μετὰ τὴν ὑπακοήν, τίθεται ἀνάγνωσις τοῦ Χρυσοστόμου ἑρμηνεία εἰς τὸ κατὰ Ἰωάννην, καὶ εἰς τὸ Κυριακοδρόμιον τοῦ Ἀγαπίου εἰς τὰ ια' ἑωθινὰ εὐαγγέλια. Εἰς τὴν ς' ᾠδήν, Ἀνάστασιν Χριστοῦ θεασάμενοι τρίς, Ἀναστὰς ὁ Ἰησοῦς γ', αἱ λοιπαὶ ᾠδαί, ἐξαποστειλάριον· Σαρκὶ ὑπνώσας γ'. Εἰς τοὺς αἴνους ἀναστάσιμα δ', καὶ τὰ τοῦ Πάσχα στιχηρά, Δόξα καὶ νῦν, Ἀναστάσεως ἡμέρα, Χριστὸς ἀνέστη γ', ἐκτενὴ καὶ ἀπόλυσις. Ποιοῦμεν δὲ καὶ λιτὴν ἔξω τοῦ μοναστηρίου, εἰς τὴν λειτουργίαν τὰ ἀντίφωνα, ὁ ἀπόστολος Πράξεων, καὶ εὐαγγέλιον τῆς ἡμέρας κατόρδινον, κοινωνικόν· Σῶμα Χριστοῦ μεταλάβετε.

Въ отданіе Пасхи. Ἑσπέρας σημαίνουσιν ὅλα τὰ πνευματικὰ ὄργανα, ὁ δὲ ἱερεύς, εἰσελθὼν ἐν τῷ ἁγίῳ βήματι, ἀλλάσσει ἐπιτραχήλιον καὶ φελώνιον, καὶ κρατῶν λαμπάδα καὶ θυμιατόν, εὐλογεῖ καὶ ἄρχεται τὸ Χριστὸς ἀνέστη γ', καὶ μετὰ τῶν στίχων, ὡς ἐν τῇ Διακαινησίμῳ ἑβδομάδι, εἶτα συναπτὴ μεγάλη, τὸ Κύριε ἐκέκραξα . . . входъ съ кадиломъ Εἰς τὴν λειτουργίαν σημαίνουσιν ὅλα τὰ σήμαντρα διὰ τὸ ἀποδίδοσθαι τὸ Χριστὸς ἀνέστη, τυπικὰ οὐ ψάλλομεν, ἀλλὰ μετὰ τὸ Χριστὸς ἀνέστη, μετὰ τῶν στίχων αὐτοῦ εἰς ιγ', τὰ ἀντίφωνα τοῦ Πάσχα . . . Εἰς τὴν τράπεζαν παράκλησις τοῖς ἀδελφοῖς μεγάλη· ἐσθίομεν γὰρ ἰχθύας καὶ ἔλαιον καὶ οἶνον. Τὸ δὲ Χριστὸς ἀνέστη ἀποδίδοται μετὰ τὴν θ' ὥραν ἑσπέρας τῇ αὐτῇ ἡμέρᾳ, εἰς τὸ τέλος τῆς ἐννάτης ὥρας ψάλλεται τὸ Χριστὸς ἀνέστη ιβ', καὶ ἔσχατον γεγονωτέρα φωνῇ ιγ', καὶ ἀσπάζονται οἱ ἀδελφοὶ τὴν εἰκόνα τῆς Ἀναστάσεως ἐν τῷ νάρθηκι καὶ ἀποδίδοται [л. **313**).

Вечерня на Пятидесятницу совершалась, послѣ литургіи

значительно спустя, по восточному счету, въ 7 часовъ (около 2 ч.), и братія послѣ литургіи вкушала лишь по куску хлѣба и по чашѣ вина [л. **316**). На «Господи воззвахъ» настоятель совершаетъ кажденіе со предшествіемъ діакона съ лампадою. «Свѣте тихій» поется отъ священниковъ.

[л. **319**). Διάταξις περὶ τῆς νηστείας τῆς πεντηκοστῆς, ἤτοι τῶν ἁγίων ἀποστόλων.

[л. **320**). Διάταξις τῶν ἁγίων πατέρων καὶ διατύπωσις. о точномъ соблюденіи Устава.

[л. **323**). Περὶ τῆς στιχολογίας τῶν ᾠδῶν, πῶς ψάλλονται καὶ τοῦ Τῷ Κυρίῳ ᾄσωμεν.

[л. **324**). Περὶ τῶν Δεσποτικῶν ἑορτῶν, ὅτε τύχωσιν ἐν κυριακῇ.

— Περὶ πότε γίνεται λιτὴ ἐν τῷ τέλει τοῦ ἑσπερινοῦ καὶ τοῦ ὄρθρου.

[л. **325**). Служба святаго Спиридона.

CXLVIII. Τυπικὸν ἱερὸν ἔκ τε τοῦ Ἱεροσολυμικοῦ καὶ Στουδιτῶν καὶ ἁγίου ὄρους Ἄθω, συλλεχθὲν καὶ πλουτισθὲν κατὰ τὴν νῦν τάξιν τῶν εὐαγῶν μονῶν. Соборный Типиконъ Аѳоно-Григоріатскаго монастыря, рукопись въ большой листъ, 6 листовъ и 270 страницъ, писана крупнымъ изящнымъ почеркомъ 1851 г., какъ о томъ гласитъ слѣдующая приписка:

Αἰτήσει καὶ προμηθείᾳ τοῦ πανοσιωτάτου ἁγίου καθηγουμένου τῆς ἱερᾶς κοινοβιακῆς μονῆς τοῦ ἁγίου Γρηγορίου κυρίου κυρίου Δανιὴλ Ζαγωραίου καὶ καθιερωθὲν τῇ αὐτῇ ἱερᾷ μονῇ, ἵνα μένῃ διαιωνίζον ἀναπόσπαστον, ἐνεργούμενον ἀείποτε παρὰ τοῦ κατὰ καιρὸν ἐκκλησιάρχου εἰς εὐταξίαν καὶ ῥύθμισιν τῆς καθεκάστην ἐν ἐκκλησίᾳ ψαλλομένης ἡμερινῆς καὶ νυκτερινῆς ἀκολουθίας καὶ εἰς ἀΐδιον αὐτοῦ μνημόσυνον, διὰ πόνου δὲ σπουδῆς καὶ ὅσης ἐπιμελείας τοῦ ἐν μοναχοῖς ἐλαχίστου Ἰακώβου ἁγιορείτου.

Νικόλαε, Γρηγόριε, δυὰς ἱερωτάτη,
Ὁ μὲν Μυρέων πρόεδρε, ὁ δ' Ἄθωνος τὸ κλέος,
Ποίμνην ὑμνῶν φρουρήσατε καὶ ῥαψῳδὸν ἱκέτην
Ταῖς πρὸς τὸν Κύριον λιταῖς ὑμῶν ταῖς εὐπειθέσιν.

,αωνα', ἐν ἔτει σωτηρίῳ 1851 ἐν τῷ ἁγιωνύμῳ ὄρει τοῦ Ἄθω. На другой страницѣ:

Στίχοι πρὸς τὴν βίβλον.

Ἥλιος δήπου αὐγάζει πέρατα γαίης,
Νὺξ δ' ἀμαυρωθεὶς ὄλλυσι μαρμαρυγάς,
Βίβλος δὲ τύπου διὰ παντὸς καταυγάζων
Τέρπει εὐσεβέων ὄμματα καὶ κραδίην.

Ἕτεροι.

Πέρας εἴληφεν ἡ χρυσὴ βίβλος αὔτη
Τυπικοῦ, ῥυθμίζουσα τὴν εὐταξίαν
Ἐκκλησιῶν, ὄνησιν πᾶσι διδοῦσα
Πιστοῖς, Θεῷ δόξαν δὲ εἰς τοὺς αἰῶνας.

(л. 2 введенія). Προοίμιον τῆς παρούσης τοῦ Τυπικοῦ βίβλου.

Ἔθος ἐστὶ τοῖς λογογράφοις καὶ ἀντιγράφοις τῶν ἱερῶν βίβλων καθιεροῦν ἢ φίλοις τισίν, ἢ ἁγίοις ἐφόροις καὶ προστάταις τῶν κτησομένων αὐτάς, ὅθεν καὶ ἡ παροῦσα, καθιέρωμα οὖσα τῆς εὐαγοῦς ἱερᾶς μονῆς τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Γρηγορίου, σεμνυνομένης ἐπ' ὀνόματι τοῦ ἐν ἱεράρχαις μεγίστου καὶ θαυματουργοῦ Νικολάου, προέδρου Μύρων τῆς Λυκίας, χρεὼν ἵνα μετὰ πάσης εὐλαβείας καὶ βαθυτάτης ἐκστάσεως καὶ ἐδαφιαίας προσκυνήσεως ἀνατεθῇ τοῖς δυσὶ τούτοις θείοις πατράσι, τῷ μὲν ὡς δομήτορι πέλοντι τῆς ἱερᾶς ταύτης μονῆς, τῷ δὲ ὡς ἐφόρῳ, προστάτῃ τε καὶ πολιούχῳ τῆς αὐτῆς ὑπάρχοντι. Ὑμεῖς, ὦ ἱερωτάτη, θειοτάτη καὶ σεπτοτάτη δυάς, τῇ ὑμῶν σελασφόρῳ λαμπρότητι ὡραΐσατε καὶ καταχαλλύνατε εἰς πηδαλιουχίαν καὶ ὁδηγίαν καὶ ῥυθμὸν τῆς ἐκκλησιαστικῆς ὑμνῳδίας καὶ τάξεως τῶν καθεκάστην ἐν τῷ σεπτῷ ναῷ ᾀδομένων πνευματικῶν ὕμνων εἰς δόξαν καὶ αἶνον τοῦ ἐν Τριάδι ὑμνουμένου Θεοῦ τῶν ὅλων, ὑμῶν τῶν ἡμετέρων προστατῶν καὶ λοιπῶν ἀπάντων ἁγίων, ἐξαιρέτως δὲ τῆς μόνης ἀειπαρθένου Δεσποίνης ἡμῶν Θεοτόκου παναχράντου Μαρίας, αἷς δὲ θεοπειθέσιν ὑμῶν εὐχαῖς καὶ ἀκοιμήτοις δεήσεσι, καταξιώσατε καὶ ἡμᾶς καὶ πάντας τοὺς εὐλαβῶς δοξολογοῦντας ὑμᾶς κατὰ τὴν τῆς βίβλου δήλωσιν, τὴν ὑπὸ τῶν θεσπεσίων πατέρων συνταχθεῖσαν, τυχεῖν τῆς ἀϊδίου τρυφῆς τῶν ἀπ' αἰῶνος Θεῷ εὐαρεστησάντων. Ὅπως ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει προσκυνῶμεν τὴν ὑπερένδοξον βασιλείαν τοῦ ἀνάρχου Πατρὸς καὶ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τοῦ Παναγίου καὶ ζωοποιοῦ καὶ τελεταρχικοῦ Πνεύματος εἰς αἰῶνα τὸν ἅπαντα. Ἀμήν.

Обор. 2 л. Προσφορὰ τῳ προνοήσαντι.

Τὸ παρὸν Τυπικὸν καθιερώθη καὶ ἀφωσιώθη τῇ ἱερᾷ καὶ σεβασμίᾳ μονῇ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου, ἵνα διαμένῃ καὶ σώζηται εἰς εὐταξίαν καὶ ῥυθμὸν τῆς ὅλης ἐκκλησιαστικῆς ἀκολουθίας κατὰ τὴν ἀρχαίαν παράδοσιν τῶν θεσπεσίων πατέρων, διὰ σπουδῆς καὶ προμηθείας τοῦ παναγιωτάτου ἁγίου καθηγουμένου ταύτης τῆς κοινοβιακῆς εὐαγοῦς μονῆς κυρίου κυρίου Δανιὴλ Ζαγωρέου εἰς ἀΐδιον αὐτοῦ μνήμην καὶ πάσης τῆς ἐν Χριστῷ αὐτοῦ ἀδελφότητος.

Δίστιχον πρὸς τοὺς ἐντυγχάνοντας.

Πηγὴν νάουσαν Τυπικοῦ δροσολόγου,
Ἐν τούτῳ εὕρῃς, εἰ γνησίως μετέλθῃς.
Ῥητῶν σποράδην τοῖς πολλοῖς θυηπόλοι
Θεόδωρος [1]) Μάρκος [2]) τε σὺν ἄλλοις [3]) πλείστοις
Μουσουργέταις πλέξαντες, ῥητρεύουσί πως [4]).
Τὰ δυσχερῆ τε [5]) τῆς Τυπικοῦ πυξίδος,
Πολλοῖς οἱ θεῖοι πρὸς διάγνωσιν τούτων
Λύουσιν οἱ πάνσοφοι ἐπιστημόνως.
Τὸν λιταῖς διάσωσον [6]), παντάναξ λόγε,
Τοὺς τύποις τούτων καλῶς [7]) ἑφεπομένους.

[л. 3). Δήλωσις ἐν συνόψει τῶν ἀρχαίων ποιητῶν τοῦ ἱεροσ(ολ)υμικοῦ καὶ ἁγίου Σάββα Τυπικοῦ καὶ τῶν μετ' αὐτοὺς Στουδιτῶν καὶ ἁγιορειτῶν προσθετητῶν ἁγίων πατέρων.

Οἱ μὲν παλαιοὶ πατέρες Εὐθύμιος ὁ μέγας, Σάββας ὁ ἡγιασμένος, Θεοδόσιος ὁ κοινοβιάρχης, Γεράσιμος ὁ ἐν Ἰορδάνῃ, Χαρίτων ὁ ὁμολογητής, Κυριακὸς ὁ ἀναχωρητὴς καὶ λοιποὶ παρέδωκαν εἰς τὰς ἑαυτῶν ἀλληλοπαρόχως μονὰς τύπους καὶ κανόνας ὕμνων πνευματικῶν, ὥσπερ τινα κλῆρον ἀπὸ τῶν πρώην πατέρων, οὓς οἱ μετὰ ταῦτα διαδεξάμενοι ἐφύλαττον οὐχὶ τὰ πολλὰ εἰς ὕμνους καὶ ᾄσματα καταγινόμενοι πρακτικῶν ἔργων ὄντα, ἀλλ' ὡς θεωρητικοὶ εἰς ὑψηλὰς ἀναβάσεις θεωριῶν διδόμενοι, καὶ ὡς στερεὰν τροφήν, κατὰ τὸν θεῖον ἀπόστολον, ἐσθίοντες, γεγυμνασμένα ἔχοντες τὰ αἰσθητήρια. Μετέπειτα δὲ ὁ ἐν πατριάρχαις Ἱεροσολύμων μέγας διάπυρος ζηλωτὴς Σωφρόνιος, ζήλῳ θείῳ κινηθείς, τὰς παραδόσεις ταύτας ἐγγράφως τοῖς μετέπειτα γρά-

---

[1]) ркп. Св.-Павлскаго м. нѣтъ. [2]) ῥητρεύει [3]) μουσουργέταις вмѣсто πλείστοις [4]) строки [5]) πῶς вмѣсто τε. [6]) σώζοις λόγε [7]) καλῶς нѣтъ.

ψας παρέδωκεν, ἀλλ' ἐν ἐκείνοις τοῖς χρόνοις οἱ ἀλιτήριοι Πέρσαι τὴν Παλαιστίνην λεηλατίσαντες, καὶ ἱερὰς μονὰς πυρπολήσαντες, καὶ τὸ πόνημα τοῦ ἱεροῦ Σωφρονίου ἐτεφρώθη, σποράδην ἐναπομεινάντων ὑπομνημάτων τύπου. Ὕστερον δὲ ὁ σοφὸς Ἰωάννης ὁ Δαμασκηνός, ὡς φιλεργὸς μέλισσα τὰς γλυκυτέρας μέλιτος ἱερὰς πατρικὰς παραδόσεις συλλεξάμενος, καὶ ἴδια μέλη μετὰ καὶ τοῦ ἱεροῦ Κοσμᾶ συνθέσας, ἀφῆκεν ἐν τῇ εὐαγῇ μονῇ τοῦ ἁγίου Σάββα, παρ' οὗ καὶ Τυπικὸν τοῦ ἁγίου Σάββα προσηγορικῶς καὶ οὐ κυρίως ἐκλήθη. Ὅτι μετὰ ταῦτα καὶ οἱ Στουδῖται πατέρες Θεόδωρος καὶ Ἰωσὴφ ὁ τούτου αὐτάδελφος καὶ πλέον ὁ ἱερὸς Ἰωσὴφ Σικελιώτης, Ἀνδρέας ὁ ἱεροσολυμίτης ἀρχαῖος, Θεοφάνης καὶ ἕτεροι ἐπηύξησαν καὶ ἐπλούτισαν τὸ Τυπικόν, ὡς καὶ ὁ θεῖος Ἀθανάσιος ὁ ἐν Ἄθῳ καὶ οἱ μετ' αὐτῶν ἐν ταῖς ἑαυτῶν μοναῖς προσθέσαντες ἐτακτοποίησαν, ὡς ἐν τοῖς βίοις αὐτῶν φαίνεται, καὶ ἄχρι τοῦ νῦν σχεδὸν ἐπαυξούμενον φαίνεται, ὅθεν πρὸς σαφεστέραν τῶν ἱερῶν τῆς ἐκκλησίας μελουργῶν σημειοῦμεν ἐνταῦθα ὀνομαστὶ τοὺς μεγίστους τῶν ποιητῶν, ὧν παλαιότεροι τῶν ἄλλων ὁ Ἀνατόλιος καὶ Ῥωμανός, Σωφρόνιος καὶ Ἀνδρέας πλουτοῦτι τὰ πρεσβεῖα τῶν ἄλλων. Ὅθεν ἀρχόμεθα.

(Обор.) Καταγραφὴ τῶν μελῳδῶν ποιητῶν τῶν ἐκκλησιαστικῶν ἰδιομέλων, κανόνων καὶ λοιπῶν ᾀσμάτων.

Σημείωσαι, ὅτι ὁ ἱερομάρτυς Πέτρος γράφει τὰ ἰδιόμελα τῶν ἁγίων τεσσαράκοντα μαρτύρων, Φέροντες τὰ παρόντα καὶ ὁ κανὼν αὐτῶν νὰ εἶναι ποιήματα τοῦ Μεγάλου Βασιλείου καὶ εἶναι πιθανόν, ὅτι, ὡς συμπατριώτης ὢν τῶν ἁγίων, ἐφιλοπόνησεν αὐτά, ἢ ἴσως ἐκ τῶν λόγων τοῦ ἐγκωμίου αὐτῶν λαβόντες τὰς λέξεις οἱ ποιηταί, ἐσύνθεσαν αὐτά, καθὼς καὶ τὸ Χριστὸς γεννᾶται ἐκ τοῦ λογίου Γρηγορίου τοῦ Θεολόγου λαβὼν τὰς λέξεις ὁ θεῖος Κοσμᾶς, ἔπλεξεν αὐτὸν τὸν εἱρμόν. Πρῶτον λοιπὸν τῶν ἄλλον τάττομεν τὸν ἅγιον Ἀνατόλιον, πατριάρχην Κωνσταντινουπόλεως, ἐπὶ τῆς βασιλείας Λέοντος, τὸν χρηματίσαντίσαντα ποιητὴν [1]) τῶν ἀναστασίμων ἰδιομέλων ἀνατολικῶν, εἰ δὲ καὶ προηγεῖται τὰ τρία τοῦ Δαμασκηνοῦ, μὴ ξενιζώμεθα, ὅτι τὸ Τυπικὸν ὕστερον ὁ Δαμασκηνός, ὡς εἴπομεν, τακτοποιήσας, συνέταξεν αὐτοῦ ποιήματα ἀεὶ καὶ ἰδιόμελα τῶν Χριστουγέννων, Ὑπαπαντῆς καὶ ἄλλων ἑορτῶν, ὡς φαίνονται τῇ κλήσει. Ῥωμανὸς ὁ διάκονος, σύγχρονος τοῦ

---

[1]) Св. Павлов. м. ркп. τῶν ἰδιομέλων τοῦ ἑσπερινοῦ τῶν Χριστουγένων καὶ ἄλλων ἑορτῶν.

*

Ἀνατολίου ἐπὶ τῆς βασιλείας Ἀναστασίου τοῦ Δικόρου, ἐσύνθεσε τὰ κοντάκια καὶ οἴκους τῶν ἑορτῶν καὶ τὰ προσόμοια τῶν οἴκων Χριστουγέννων καὶ Φώτων· Αἱ ἀγγελικαὶ καὶ λοιπά. 490 ἔτ. Σωφρόνιος, πατριάρχης Ἱεροσολύμων, σύγχρονος Ἰωάννου τοῦ ἐλεήμονος ἐπὶ τῆς βασιλείας Ἡρακλείου ἐποίησε τὰ ἰδιόμελα ιβ′ τῶν μεγάλων ὡρῶν Χριστουγέννων, Φώτων καὶ μεγάλης παρασκευῆς καὶ ἄλλα ἰδιόμελα ἑορτῶν, τὴν ἐγκωμιαστικὴν εὐχὴν τοῦ μεγάλου ἁγιασμοῦ· Τριὰς ὑπερούσιε. Οὗτος διέταξεν, ἵνα ψάλλεται τὸ Φῶς ἱλαρὸν ἐν τοῖς ἑσπερινοῖς διὰ τὸ ἅγιον φῶς, παρ' οὗ καὶ τὴν ἐπωνυμίαν ἔλαβεν, ὅτε οἱ Πέρσαι, καύσαντες τὸν ναὸν τῆς ἁγίας Ἀναστάσεως, διὰ συνδρομῆς αὐτοῦ καὶ Ἰωάννου τοῦ Ἐλεήμονος ἀνεκαινίσθη καὶ ἐφάνη ἡ ἐπιφοίτησις τοῦ ἁγίου Φωτός, ὡς καὶ ἐπὶ τῶν ἐγκαινίων τοῦ Σολομωντίου ναοῦ, ἔγραψε καὶ τὸν βίον τῆς ὁσίας Μαρίας καὶ τὴν ἀκολουθίαν της 630 ἔτ. Ἀνδρέας Κρήτης ἐκ πόλεως Δαμασκοῦ, χειροτονηθεὶς παρὰ τοῦ ἄνωθεν Σωφρονίου ἐν Ἱερουσαλήμ, ἐποίησε τὸν μέγαν κανόνα καὶ τὰ τριῴδια τῶν ἀποδείπνων τῆς μεγάλης ἑβδομάδος, τοὺς κανόνας πλ. δ′ εἰς τὸ Γενέσιον τῆς Θεοτόκου, τῆς μεσοπεντηκοστῆς, τῆς κυριακῆς τῶν Μυροφόρων, καὶ ὅσοι κανόνες ἔχουσι πολλὰ τροπάρια τούτου ποιήματα εἰσίν. Συμεὼν ὁ θαυμαστορείτης, παλαιότερος τῶν ἄνω δύο, ἐπὶ τῆς βασιλείας Ἰουστίνου 511 ἔτ., ἐποίησε τὰ ἰδιόμελα καὶ τὸν κανόνα τοῦ σεισμοῦ, διὰ τὸν τότε συμβάντα σεισμὸν εἰς Ἀντιόχειαν, ὅτε καὶ Θεούπολις ἐκλήθη αὕτη. 510. Γερμανὸς ὁ πατριάρχης ἐπὶ τῆς βασιλείας Λέοντος Ἰσαύρου, ποιτὴς τῶν ἰδιομέλων τῶν ἁγίων Ἀναργύρων· Ἀγάλλεται ὁ χορός, καὶ ἄλλων ἰδιομέλων. [Л. 4). Μεθόδιος πατριάρχης ἐποίησε τὰ ἰδιόμελα τῆς ἰνδίκτου· Θαυμαστὸς εἶ ὁ Θεός, καὶ τὰ λοιπὰ καὶ ἕτερα ἁγίων καὶ ἑορτῶν, 840 ἔτ. Ἰωάννης ὁ Δαμασκηνός, περίφημος τῶν ἄλλων, ποιητὴς τῶν ἀναστασίμων, ἰδιομέλων καὶ κανόνων τοῦ Πάσχα, Χριστουγέννων, Φώτων, Κοιμήσεως τῆς Θεοτόκου καὶ νεκρώσιμα ἰδιόμελα καὶ τὰ δογματικὰ τῶν μικρῶν ἑσπερινῶν σαββάτου ἑσπέρας, διὰ τὰς αἱρέσεις τῶν Νεστοριανῶν καὶ Μονοθελητῶν· αὐτὰ γὰρ λέγονται δογματικὰ καὶ οὐχὶ τὰ τῶν μεγάλων ἑσπερινῶν πρῶτα θεοτοκία τῶν σαββάτων ἑσπέρας, ὥς τινες ἀμαθῶς καλοῦσι. Κοσμᾶς ὁ τούτου ἀδελφοποιητής, Μαϊουμᾶ Ἀραβίας ἐπίσκοπος, ποιητὴς πολλῶν κανόνων δεσποτικῶν καὶ θεομητορικῶν ἑορτῶν καὶ τῶν τετραῳδίων τῶν ὅλων σαββάτων τῆς μεγάλης τεσσαρακοστῆς καὶ ὅλης μεγάλης ἑβδομάδος καὶ τῆς κυριακῆς τῶν Βαΐων καὶ ἄλλων. Ἰωσὴφ ὁ ἀπὸ Σικελίας ποιητής, πολλῶν κανόνων καὶ τῶν τῆς

Παρακλητικῆς καθημερινῶν κανόνων τῆς Ὀκτωήχου, τῆς Ἀναλήψεως δύο, προεόρτιον τῆς Ὑπαπαντῆς εἰς τὸ Ἀνοίξω τὸ στόμα μου, τῆς Μεταμορφώσεως, καὶ ὅσοι ἔχουσιν ἀκροστιχίδα τοῦ ὀνόματος αὐτοῦ εἰς τὴν ἑκάστην ᾠδήν, ἐν ἔτει 790. Θεοφάνης ὁ γραπτός, ποιητὴς πολλῶν ἁγίων κανόνων καὶ τοῦ αὐταδέλφου αὐτοῦ ἁγίου Θεοδώρου τοῦ γραπτοῦ καὶ τῶν νεκρωσίμων ἀποστίχων τῶν αἴνων τῆς Ὀκτωήχου. Τούτου ποίημά εἰσι καὶ τὰ τέσσαρα τῶν αἴνων τοῦ Πάσχα προσόμοια ἰδιόμελα· Πάσχα ἱερὸν ἡμῖν σήμερον ἀναδέδεικται, καὶ τὸ ἰδιόμελον δοξαστικόν· Ἀναστάσεως ἡμέρα καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει· πρότερον γὰρ τὸ Ὑπερευλογημένη ἐψάλλετο, ὡς ἐν ταῖς λοιπαῖς κυριακαῖς. Στέφανος ὁ ἁγιοπολίτης, παλαιότερος ἐπὶ Ἡρακλείου, μουσικώτατος πολλῶν ἰδιομέλων τεχνικῶν ποιητὴς καὶ ποιητὴς καὶ τοῦ κανόνος τῆς Περιτομῆς καὶ τοῦ Μεγάλου Βασιλείου καὶ ἄλλων. Λέων (ὁ σοφὸς) ὁ δεσπότης, πρὸ τοῦ βασιλεῦσαι (οἱ γὰρ υἱοὶ καὶ ἀδελφοὶ τῶν βασιλέων δεσπόται ἐκαλοῦντο) ἐν Θεσσαλονίκῃ ὑπερόριος ὤν, παρὰ τοῦ πατρὸς αὐτοῦ Βασιλείου, διαβληθεὶς ὑπὸ Σανταβαρινοῦ, ἐποίησε τὰ ἕνδεκα ἑωθινὰ ἰδιόμελα, εἶτα βασιλεύσας, μετεκόμισε τὸ λείψανον τοῦ ἁγίου Λαζάρου καὶ ἐσύνθεσε εἰς αὐτὸν ἰδιόμελα τοῦ ἑσπερινοῦ καὶ αἴνων καὶ τὸ ἰδιόμελον τοῦ στίχου τῶν αἴνων τῇ παρασκευῇ τῶν Βαΐων· Περιφρονήσασα ψυχή μου, 890 ἔτει. Μάρκος, ἡγούμενος τῆς μονῆς τοῦ ἁγίου Μωκίου, διὰ προσταγῆς Λέοντος, τοῦ σοφοῦ βασιλέως, ἐτελείωσε τὰς τέσσαρας ᾠδὰς τοῦ μεγάλου σαββάτου τοῦ κανόνος ἄνευ τῶν εἱρμῶν, πρόσθεσας ἀκροστιχίδα· Καὶ σήμερον δέ· οἱ δὲ εἱρμοὶ οὐχὶ τῆς Κασίας ποίημα, ἀλλὰ Σωφρονίου πατριάρχου, τούτου γὰρ ποίημα ἦν καὶ ὁ κανὼν Μαρίας τῆς Αἰγυπτίας πρὸς τὸ Κύματι θαλάσσης (обор.), ἀνεπλήρωσε δὲ καὶ τὸ τετραᾴδιον τοῦ ἁγίου Λαζάρου εἰς κανόνα τέλειον, ὕστερον δὲ ἔγινεν ἐπίσκοπος Ἰδροῦντος προορατικοῦ χαρίσματος ἠξιωμένος. Ἰωάννης Εὐχαΐτων, ποιητὴς τῆς ἀκολουθίας τῶν τριῶν ἱεραρχῶν καὶ Θεοδώρου τοῦ Τύρωνος καὶ ἄλλων, ἐν ἔτει 1080. Θεόδωρος ὁ Στουδίτης καὶ Ἰωσὴφ ἀδελφὸς αὐτοῦ, ἐπίσκοπος Θεσσαλονίκης, ποιηταὶ Τριῳδίων, προσομοίων καὶ ἰδιομέλων τοῦ Τριῳδίου καὶ τοῦ κανόνος τῆς λιτανείας τῆς κυριακῆς τῆς Ὀρθοδοξίας καὶ ἄλλων, ἔτει 830. Ἡ Κασία μοναχὴ ἐποίησε τὸ ἰδιόμελον τῆς μεγάλης τετράδης· Κύριε, ἡ ἐν πολλαῖς ἁμαρτίαις, ἰδιόμελα τοῦ ἁγίου Εὐστρατίου, τὸ Αὐγούστου μοναρχήσαντος ἐπὶ τῆς γῆς, καὶ ἕτερα ἰδιόμελα, ἥτις καὶ Κασσιανὴ λέγεται. Βασίλειος Πηγεώτης, ποιητὴς τοῦ β′ κανόνος τῶν Εἰσοδίων. Κυριακὸς (γέρων), ποιητὴς τῶν

ἰδιομέλων τῆς ἰνδίκτου καὶ ἄλλων. Βυζάντιος, ποιητὴς τῶν ἰδιομέλων τῶν Θεοφανείων καὶ ἑτέρων. Γεώργιος Σικελλιώτης, ποιητὴς τοῦ πρώτου κανόνος Εἰσοδίων καὶ ἄλλων. Ἐφραὶμ Καρίας, ποιητὴς τῶν ἰδιομέλων τῶν Ἀσωμάτων καὶ ἑτέρων. Βαβύλας γέρων, ποιητὴς τοῦ Ἐν Τριάδι μίαν δύναμιν καὶ λοιπῶν. Μητροφάνης, Σμύρνης ἀρχιερεύς, ἐπὶ τῆς βασιλείας Κωνσταντίνου Πορφυρογεννήτου, υἱοῦ Λέοντος τοῦ σοφοῦ, τοῦ ποιήσαντος τὰ ἑωθινὰ ἐξαποστειλάρια, ἔτος 910, ἐποίησε τοὺς ὀκτὼ Τριαδικοὺς κανόνας τῶν μεσονυκτικῶν τῆς κυριακῆς. Ἀνδρέας ὁ Πυρὸς (τυφλός), ποιητὴς τῶν ἰδιομέλων λιτῆς τῆς Ὑπαπαντῆς. Γεώργιος Νικομηδείας, ποιητὴς τῶν ἰδιομέλων λιτῆς τοῦ Γεννεσίου τῆς Θεοτόκου καὶ τῶν Εἰσοδίων. Λέων ὁ μαΐστωρ, ποιητὴς τοῦ Δόξα· Ἐπέλαμψεν ἡμέρα χαρμόσυνος, τοῦ Γεννεσίου τῆς Θεοτόκου, καὶ ἄλλων. Χριστόφορος πρωτασικρίτης, ἐποίησε τὸ Ὑπὸ πολλῆς εὐσπλαγχνίας δυσωπούμενοι. Νικόλαος, ποιητὴς προσομοίων τῆς κυριακῆς τῆς Ὀρθοδοξίας καὶ ἄλλων. Παῦλος Ξηροποταμίτης, ποιητὴς τοῦ ἰαμβικοῦ κανόνος τοῦ Σταυροῦ καὶ ἄλλων. Ἰουστῖνος ποιητής· Ὁ ἐν Πατρί τε καὶ Πνεύματι. Φιλόθεος, ὁ ἁγιώτατος πατριάρχης, σοφώτατος ποιητὴς τοῦ κανόνος τοῦ ἁγίου Δημητρίου εἰς τὸ μῦρον αὐτοῦ τῆς ἁγίας δ' συνόδου ἀκολουθίαν διὰ τοὺς Ἀρμενίους, Γρηγορίου τοῦ Παλαμᾶ ἀκολουθίαν συνέγραψε βίους θαυμαστούς, Γρηγορίου Παλαμᾶ, Σάββα βατοπεδινοῦ ἐγκώμια πλεῖστα ἑορτῶν καὶ ἄλλα, ἔτει 1340. Ἰωάννης ὁ Εὐγενικός, ποιητὴς Ὀκτωήχου κανόνος καὶ οἴκων κδ' Ἰωάννου τοῦ Θεολόγου καὶ ἄλλων λόγων καὶ συγγραμμάτων. Οὗτοι ἦσαν πρὸ τῆς ἁλώσεως Κωνσταντινουπόλεως, ὕστερον δὲ ἀνεφάνησαν καὶ ἄλλοι διάφοροι ποιηταὶ γνωστοὶ καὶ ἄγνωστοι. Ὁ δὲ Κύριλλος Ἀλεξανδρείας ἐποίησε τὸ Ὁ μονογενὴς Υἱὸς καὶ λόγος τοῦ Θεοῦ.

[стр. 1). Τυπικὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας, παραδεδόμενον ἐκ τῶν θεσπεσίων πατέρων καὶ φυλαττόμενον ἐν πάσαις ταῖς εὐαγέσι μοναῖς τοῦ ἁγίου ὄρους Ἄθω καὶ Παλαιστίνης.

— Εἴδησις τοῦ μικροῦ ἑσπερινοῦ τῷ σαββάτῳ ἑσπέρας, πῶς ψάλλεται.

Πρὸ τοῦ δῦναι τὸν ἥλιον, ἤγουν περὶ ὥραν ι' τῆς ἡμέρας, ἀπέρχεται ὁ ἐκκλησιαστικὸς καὶ ποιεῖ μετάνοιαν τῷ ἡγουμένῳ καὶ σημαίνει τὸ χειροσήμαντρον, καὶ συναχθέντων τῶν ἀδελφῶν ἐν τῇ ἐκκλησίᾳ, ποιεῖ ὁ ἱερεὺς εὐλογητὸν ἐν τῷ νάρθηκι, καὶ ψάλλομεν τὴν ἐννάτην ὥραν, ἔπειτα, εἰσελθόντες εἰς τὸν ναόν, εὐλογεῖ ὁ ἱερεὺς καὶ ψάλλομεν τὸν προοιμιακὸν ψαλμόν, εἶτα τὸ Κύριε ἐκέκραξα εἰς τὸν ἦχον

τῆς ἑορτῆς καὶ ψάλλομεν προσόμοια δ', Δόξα τοῦ ἁγίου, Καὶ νῦν τὸ δογματικὸν θεοτοκίον, εἶτα τὸ Φῶς ἱλαρόν, προκείμενον· Ὁ Κύριος ἐβασίλευσεν, μετὰ δὲ τὸ Καταξίωσον, ψάλλομεν τὸ ἀναστάσιμον στιχηρὸν τοῦ στίχου καὶ τρία προσόμοια τοῦ ἁγίου καὶ τῆς Θεοτόκου, Δόξα τοῦ ἁγίου, Καὶ νῦν θεοτοκίον, ἀπολυτίκιον τὸ ἀναστάσιμον, Δόξα τοῦ ἁγίου, Καὶ νῦν θεοτοκίον, καὶ γίνεται ἀπόλυσις καὶ εἰσερχόμεθα εἰς τὴν τράπεζαν.

— Διάταξις τῆς ἀγρυπνίας.

Περὶ δὲ ὥραν α' τῆς νυκτὸς ἀνέρχεται ὁ ἐκκλησιαστικὸς ἐν τῷ κωδωνοστασίῳ καὶ κρούει τὸν μέγα σημαντῆρα ἀργῶς, λέγων μίαν στάσιν τοῦ Ἀμώμου, εἰς κάθε μίαν στάσιν τοῦ κρούσματος, ὥστε εἰς τρεῖς στάσεις κρούων, τελειώνει τὸν Ἄμωμον, εἶτα τὸ σιδηροῦν, ἔπειτα τοὺς κώδωνας ὅλους τρισσῶς καί, συναχθέντες ἐν τῷ ναῷ, ποιεῖ ὁ ἱερεὺς Εὐλογητόν, καὶ λέγεται τὸ ἀπόδειπνον, καὶ εἰ μέν ἐστι κυριακή, ψάλλεται ὁ Τριαδικὸς κανὼν μετὰ τὸ Δόξα ἐν ὑψίστοις Θεῷ, εἰ δὲ ἄλλη ἡμέρα, ψάλλεται ὁ κανὼν τῆς Θεοτόκου, μετὰ δὲ τὸ τέλος τοῦ ἀποδείπνου, βαλὼν ὁ ἱερεὺς σχῆμα ἐν τῷ μέσῳ τοῦ ναοῦ, ἱσταμένου τοῦ ἡγουμένου, ἔρχονται οἱ ἀδελφοὶ δύο δύο κατὰ τάξιν καὶ ποιοῦσι σχῆμα τῷ ἡγουμένῳ, ὁ δὲ ἡγούμενος εὐλογεῖ αὐτούς, εἶτα εἰσέρχεται ὁ ἱερεὺς ἐν τῷ βήματι καὶ |стр. 2) λαβὼν τὸν θυμιατόν, ἵσταται ἔμπροσθεν τῆς ἁγίας τραπέζης, καὶ θυμιάσας τὴν ἁγίαν τράπεζαν σταυροειδῶς καὶ ὅλον τὸ θυσιαστήριον, ἐξέρχεται διὰ τῶν ἁγίων θυρῶν, ὁ δὲ ἐκκλησιαστικός, κρατῶν λαμπάδα μετὰ μανουαλίου, ἐκφωνεῖ τὸ Κελεύσατε, γεγονωτέρᾳ φωνῇ, ὁ δὲ ἱερεὺς θυμιᾷ τὴν εἰκόνα τοῦ ἁγίου τῆς μονῆς, εἶτα τὸν καθηγούμενον καὶ εἰς τοὺς δύο χοροὺς κατὰ τάξιν, τῆς λαμπάδος προπορευομένης αὐτοῦ. Ἐξελθὼν δὲ καὶ εἰς τὸν νάρθηκα, θυμιᾷ κἀκεῖσε τοὺς ἀδελφοὺς κατὰ τάξιν, εἶτα εἰσελθὼν διὰ τῆς βασιλικῆς πύλης, χαράττει μετὰ τοῦ θυμιατοῦ σταυρὸν καὶ ἐκφωνεῖ μεγαλοφώνως· Κύριε εὐλόγησον. Καὶ θυμιᾷ αὖθις τὸν προεστῶτα, εἶτα τὸν τῆς μονῆς ἅγιον, καὶ εἰσελθὼν εἰς τὸ ἅγιον βῆμα, ἵσταται ἔμπροσθεν τῆς ἁγίας τραπέζης, καὶ ποιήσας σταυροὺς τρεῖς μετὰ τοῦ θυμιατοῦ, τελευταῖον ἐκφωνεῖ· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ· Ὁ δὲ ἡγούμενος ἄρχεται· Δεῦτε προσκυνήσωμεν γ', εἶτα τὸν προοιμιακόν, ὁ δὲ ἱερὺς ἀναγινώσκει τὰς εὐχὰς τοῦ λυχνικοῦ ἔμπροσθεν τῆς εἰκόνος τοῦ Δεσπότου Χριστοῦ, ἱστάμενος ἀσκεπής, εἶτα γίνεται συναπτὴ μεγάλη ὑπ' αὐτοῦ καὶ ἐκφωνεῖ· Ὅτι πρέπει σοι, εἶτα ψάλλεται τὸ α' ἀντίφωνον, τὸ Μακάριος ἀνήρ, εἰς ἦχον πλ. δ'. Ὁ δὲ διάκονος

ἐξέρχεται διὰ τῆς βορείας θύρας τοῦ βήματος μετὰ μανδύου καὶ βάλλει μετάνοιαν τῷ προεστῶτι καὶ εἰσέρχεται διὰ τῆς νοτίου θύρας ἐν τῷ βήματι καὶ ἀλλάσσει τὴν στολὴν αὐτοῦ. Τελειωθέντος δὲ τοῦ γ' ψαλμοῦ, ἐξέρχεται καὶ ποιεῖ μικρὰν αἴτησιν, ὁ δὲ κανονάρχης ἐκφωνεῖ τὸν ἦχον καὶ ψάλλομεν τὸ Κύριε ἐκέκραξα. Ὅτε δὲ ψάλλεται τὸ Ὡς θυμίαμα ἐνώπιόν σου, θυμιᾷ ὁ διάκονος ἔσωθεν τοῦ βήματος πρῶτον, εἶτα ἐξέρχεται διὰ τοῦ βορείου κλίτους καὶ θυμιᾷ τὸ προσκυνητάριον τὴν εἰκόνα τοῦ ἁγίου τῆς μονῆς, εἶθ' οὕτω τὸν ἡγούμενον καὶ ἀνέρχεται ἀπὸ τοῦ πλησίον τοῦ ἡγουμένου ἱσταμένου καὶ θυμιᾷ ἅπαντας τοῦ πρώτου χοροῦ, εἶτα ἀπέρχεται, θυμιῶν τὸν β' χορόν, καὶ θυμιάσας κατέναντι τοῦ ἀναλογίου σταυροειδῶς, ὡς καὶ ἐν τῷ α' χορῷ, θυμιᾷ τὰ γεροντικὰ ἀραδικῶς, εἶτα ἐξέρχεται ἐν τῷ νάρθηκι καὶ θυμιᾷ κατὰ τάξιν ἅπαντας. Ἱστῶμεν δὲ στίχους δέκα ἀπὸ τοῦ Ἐξάγαγε, καὶ ψάλλομεν ἀναστάσιμα γ', ἀποστολικὰ δ' καὶ τοῦ Μηναίου γ', εἰ δ' ἔστιν ἅγιος ἑορταζόμενος δ', Δόξα τοῦ ἁγίου, εἰ ἔχει, Καὶ νῦν θεοτοκίον τοῦ ἤχου. Εἰς δὲ τὸν στίχον· Ὅτι ἐκραταιώθη [стр. 3), ὁ κανονάρχης ἐκφωνεῖ τὸν ἦχον τοῦ Δόξα, καὶ ὁ ἱερεὺς ἀλλάσσει τὴν ἱερατικὴν στολήν, καὶ ἐξελθόντες μετὰ τοῦ διακόνου, εἰσοδεύουσι μετὰ τοῦ θυμιατοῦ, τῶν λαμπάδων προπορευομένων αὐτῶν. Ὁ δὲ διάκονος, χαράττων σταυρὸν μετὰ τοῦ θυμιατοῦ, λέγει· Σοφία, ὀρθοί, καὶ ὁ ἡγούμενος τὸ Φῶς ἱλαρόν. Ὁ δὲ κανονάρχης, ἐλθὼν ἐν τῷ μέσῳ τοῦ ναοῦ, ἐκφωνεῖ τὸ προκείμενον τῆς ἡμέρας, καὶ ψάλλουσιν αὐτὸ οἱ χοροί, αὐτὸς δὲ λέγει τοὺς στίχους, εἶτα ποιήσας σχῆμα, ἀπέρχεται εἰς τὸν τόπον αὐτοῦ, ὁ δὲ διάκονος λέγει· Εἴπωμεν πάντες, καὶ ποιεῖ τὴν συνήθη ἐκτενήν, ὁ προεστὼς τὸ Καταξίωσον καὶ ὁ διάκονος πάλιν· Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν, ἐκφώνησις· Εἴη τὸ κράτος, εἶθ' οὕτω ψάλλομεν ἰδιόμελον τῆς λιτῆς τοῦ ἁγίου τῆς μονῆς, λιτανεύοντες ἐν τῷ νάρθηκι, τοῦ ἱερέως προπορευομένου μετὰ λαμπάδων, ψάλλονται δὲ τὰ ἰδιόμελα τοῦ ἑορταζομένου ἁγίου, μετὰ δὲ τὸ Δόξα καὶ νῦν ἐκφωνεῖ ὁ διάκονος· Σῶσον, ὁ Θεός, τὸν λαόν του... τὸ Κύριε ἐλέησον μ', εἶτα· Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφιλεστάτων βασιλέων, κράτους, νίκης, διαμονῆς... Καὶ μνημονεύει, ὧν ἔχει συνήθειαν, εἶτα λέγει· Ἔτι δεόμεθα ὑπὲρ ἀφέσεων ἁμαρτιῶν τοῦ πατρὸς ἡμῶν (δεῖνος) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος καὶ ὑπὲρ πάσης ψυχῆς χριστιανῶν... [стр. 4) τὸ Κύριε ἐλέησον μ', εἶτα μνημονεύει τὸ ὄνομα ζώντων καὶ τεθνεώτων καὶ μετὰ ταῦτα· Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν μονὴν ταύτην... τὸ Κύριε ἐλέη-

σον μ', εἶτα ἐκφωνεῖ ὁ ἱερεύς· Ἐπάκουσον ἡμῶν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν... Εἰρήνη πᾶσι, Τὰς κεφαλὰς ἡμῶν, καὶ τὴν εὐχήν· Δέσποτα Κύριε...[стр. 5). Εἶτα ἀρχόμεθα ψάλλειν τὸ στιχηρὸν τοῦ στίχου ἀναστάσιμον καὶ εἰσερχόμεθα ἐν τῷ ναῷ, ψάλλοντες καὶ τὰ λοιπὰ μετὰ τῶν στίχων αὐτῶν, Δόξα, ἰδιόμελον τοῦ ἁγίου (εἰ ἔχει), Καὶ νῦν, θεοτοκίον ἀναστάσιμον εἰς τὸν αὐτὸν ἦχον, εἶτα, Νῦν ἀπολύεις, Τρισάγιον κ. τ. λ., ἀπολυτίκιον τοῦ ἁγίου δὶς, εἰ ἔστιν ἅγιος ἑορταζόμενος, καὶ τὸ Θεοτόκε Παρθένε ἅπαξ, εἰ δὲ ἅγιος οὐκ ἔστι, ψάλλεται ἀπολυτίκιον τοῦ ἁγίου τῆς μονῆς· Κανόνα πίστεως (монастырь въ честь св. Николая) δίς, καὶ τὸ Θεοτόκε παρθένε ἅπαξ, καὶ γίνεται ἡ εὐλόγησις τῶν ἄρτων, εἶτα τὸν ψαλμόν· Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ ἕως τοῦ Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν, ὁ δὲ ἱερεὺς, εἰσελθὼν εἰς τὸ ἅγιον βῆμα, στρέφεται πρὸς δυσμὰς καὶ λέγει· Εὐλογία Κυρίου ἐφ' ὑμᾶς, καὶ λοιπά, καὶ τίθεται ἀνάγνωσις εἰς τὸν Πραξαπόστολον, ὁ δὲ κελλαρίτης, διακλάσας τοὺς ἄρτους, ἐπιδίδωσι τοῖς ἀδελφοῖς, ὡσαύτως καὶ ἀπὸ ἑνὸς ποτηρίου οἴνου, νῦν δὲ τοῦτο οὐ γίνεται. Ὁ δὲ εὐλογηθεὶς ἄρτος ἔχει διάφορα χαρίσματα, ἤγουν πυρετοὺς καταπαύει, πινόμενος μετὰ ὕδατος, καὶ φρίκην διώκει καὶ πᾶσαν νόσον ἰᾶται, πρὸς δὲ τούτοις καὶ σῆτας (αἰώληκας) ἀπὸ τῶν γεννημάτων ἀπελαύνει.

Μετὰ δὲ τὴν ἀνάγνωσιν, ὁ ἑξάψαλμος, ὁ δὲ ἱερεὺς, ὅτε λέγεται ὁ ψαλμός· Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, ἐξέρχεται ἀσκεπὴς ἔμπροσθεν τῆς εἰκόνος τοῦ Δεσπότου Χριστοῦ καὶ λέγει τὰς εὐχὰς τοῦ ὄρθρου, εἶτα ποιεῖ συναπτὴν καὶ ἐκφώνησιν. Ὁ δὲ κανονάρχης ἀπέρχεται εἰς τὸ μέσον τῶν χορῶν καὶ λέγει τὸν ἦχον καὶ τοὺς στίχους, καὶ ψάλλομεν τὸ ἀναστάσιμον τροπάριον δίς, Δόξα, τοῦ ἁγίου (εἰ ἔχει), Καὶ νῦν, θεοτοκίον τοῦ αὐτοῦ ἤχου, εἶτα τὸ κάθισμα τοῦ Ψαλτηρίου, αἴτησις μικρὰ καὶ καθίσματα ἀναστάσιμα, καὶ γίνεται ἀνάγνωσις εἰς τὴν ἑρμηνείαν τοῦ Εὐαγγελίου, εἶτα τὸ ἕτερον κάθισμα, τὰ ἀναστάσιμα καθίσματα καὶ ἀνάγνωσις, εἶτα τὸν Ἄμωμον, καὶ τὰ ἀναστάσιμα εὐλογητάρια· Τῶν ἀγγέλων ὁ δῆμος, εἶτα τὴν ὑπακοήν, οἱ ἀναβαθμοὶ τοῦ ἤχου, ἐν οἷς ἀπέρχεται ὁ κανονάρχης καὶ κρούει τὸ σιδηροῦν, προκείμενον τοῦ ἤχου, Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, Πᾶσα πνοή, καὶ τὸ ἑωθινὸν εὐαγγέλιον, εἶθ' οὕτω τὸ Ἀνάστασιν Χριστοῦ θεασάμενοι, καὶ ψάλλεται [стр. 6) ὁ πεντηκοστὸς ψαλμὸς καὶ ἀσπάζονται οἱ ἀδελφοὶ τὸ ἅγιον Εὐαγγέλιον πρῶτον ὁ ἡγούμενος μόνος, ποιῶν μετάνοιαν μικρὰν ἔμπροσθεν τούτου, βασταζομένου παρὰ ἱερέως, εἰς τὸ ὀμφάλιον ἱσταμένου, ἔπειτα οἱ ἀδελφοὶ κατὰ τάξιν δύο δύο, ποιοῦντες μετάνοιαν μικρὰν πρὸ τοῦ ἀσπα-

σμοῦ καὶ ἑτέραν μετὰ τὸν ἀσπασμὸν καὶ εἰς τοὺς χορούς σχῆμα κεφαλοκλισίας, εἶτα Σῶσον, ὁ Θεός, τὸν λαόν σου, τὸ Κύριε ἐλέησον ιβ', Ἐλέει καὶ οἰκτιρμοῖς, καὶ ἀρχόμεθα τῶν κανόνων, ὁ ἀναστάσιμος εἰς δ', ὁ σταυροαναστάσιμος εἰς γ', καὶ τῆς Θεοτόκου εἰς γ', καὶ τοῦ Μηναίου εἰς δ', εἰ δὲ ἑορτάζεται ὁ ἅγιος εἰς ς', ὁ σταυροαναστάσιμος καὶ τῆς Θεοτόκου εἰς β', εἰ δὲ ἔχει τὸ Μηναῖον κανόνας δύο, καταλιμπάνεται ὁ σταυροαναστάσιμος κανών. Ἀπὸ δὲ τὴν ἔναρξιν τοῦ κανόνος θυμιᾷ ὁ διάκονος τὸν ναὸν καὶ τοὺς ἀδελφοὺς πάντας, καταβασία ἡ ἐνόρδινος, ἀπὸ γ' δὶς κοντάκιον τὸ ἀναστάσιμον, ἐὰν ἔχῃ ὁ ἅγιος, εἰ δ' οὐ, κάθισμα τοῦ ἁγίου καὶ ἀνάγνωσις εἰς τὸ μαρτύριον ἢ βίον τοῦ κατὰ τὴν ἡμέραν ἁγίου, ἀφ' ἕκτης κοντάκιον καὶ τὸν οἶκον, καὶ ἀνάγνωσις εἰς τὸν Συναξαριστήν, εἶτα αἱ δύο ᾠδαί, Αἰνοῦμεν, εὐλογοῦμεν, τὴν Θεοτόκον, καὶ ψάλλεται ἡ Τιμιωτέρα, ποιοῦντες ἐν ἑκάστῳ στίχῳ μετάνοιαν, μετὰ δὲ τὴν θ' ᾠδὴν συναπτὴ μικρά, εἶτα τὸ Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν ἐκ τρίτου. Ὁ δὲ ἱερεὺς λέγει τοὺς στίχους α'· Ὑψοῦτε, τὸν Κύριον Θεὸν ἡμῶν, β'· Ὅτι ἅγιος ἐστί, καὶ ὁ ψάλτης· Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν, ἐξαποστειλάριον τὸ ἀναστάσιμον καὶ τοῦ ἁγίου (εἰ ἔχει) καὶ τῆς Θεοτόκου. Εἰς τοὺς αἴνους, Πᾶσα πνοή, ἱστῶντες στίχους ς' καὶ ψάλλομεν ἀναστάσιμα δ' καὶ ἀνατολικὰ δ', λέγοντες στίχους· Ἀνάστηθι Κύριε ὁ Θεός μου καὶ Ἐξομολογήσομαί σοι, Κύριε, Δόξα, τὸ ἑωθινόν. Καὶ νῦν, Ὑπερευλογημένη, δοξολογία μεγάλη, τροπάριον ἀναστάσιμον· Σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν, ἢ τὸ Ἀναστὰς ἐκ τοῦ μνήματος, εἰς τοὺς πλαγίους, εἶτα ἐκτενὴ καὶ τὸ Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν, ἐκφώνησις· Ὅτι Θεὸς ἐλέους, Εἰρήνη πᾶσι, Τὰς κεφαλὰς ἡμῶν, Σὸν γάρ ἐστι τὸ ἐλεεῖν, εἶτα Σοφία, Ὁ ὢν εὐλογητός, Στερεῶσαι, ὁ Θεός, καὶ γίνεται ἀπόλυσις. Μετὰ δὲ τὴν ἀπόλυσιν ποιοῦμεν λιτὴν ἐν τῷ νάρθηκι, ψάλλοντες τὸ ἰδιόμελον τοῦ ἁγίου τῆς μονῆς, εἶτα ἡ α' ὥρα, μεθ' ἣν ἡ κατήχησις τοῦ Στουδίτου, μετὰ δὲ τὴν ἀνάγνωσιν τὸ ἀπολυτίκιον αὐτοῦ· Ὀρθοδοξίας ὁδηγέ, καὶ οὕτω γίνεται τελεία ἀπόλυσις.

Δεῖ δὲ τὸν ἐκκλησιάρχην ἔχειν ἀκρίβειαν εἰς τὴν ψαλμῳδίαν [стр. 7) καὶ εἰς τὰς ἀναγνώσεις ὅπως, ἡλίου ἀνατέλλοντος, γίνεται ἡ ἀπόλυσις. Μετὰ δὲ τὴν ἀγρυπνίαν οὐ κοιμώμεθα διὰ τὴν μετάληψιν τῶν ἀχράντων μυστηρίων, γίνεται δὲ ἡ λειτουργία τῆς ἀγρυπνίας ταχύτερον διὰ τὸν κόπον τῆς ἀγρυπνίας, τὸ δὲ λυχνικόν, ἤτοι ὁ ἑσπερινὸς τῇ αὐτῇ ἑσπέρᾳ ἀργότερον. Ἰστέον δὲ καὶ τοῦτο, ὅτι παρελάβο-

ἐν Παλαιστίνῃ, ὥστε τοὺς ὄρθρους τῆς ὅλης ἑβδομάδος ἀπολύειν ἔτι σκοτίας οὔσης, τὴν δὲ ἀγρυπνίαν ἡλίου ἀνατέλλοντος.

Περὶ τῶν ἀγρυπνιῶν τοῦ ὅλου ἐνιαυτοῦ. Χρὴ γινώσκειν, ὅτι κατὰ πᾶσαν κυριακὴν γίνεται ἀγρυπνία, εἰσὶ δὲ ἑβδομάδες τοῦ ὅλου χρόνου πενῆντα δύο, ὥστε γίνονται ἀγρυπνίαι 52 νβ' τὸν χρόνον. Γίνονται δὲ καὶ ἐν ταῖς Δεσποτικαῖς καὶ Θεομητορικαῖς ἑορταῖς εἰς τὴν τάξιν αὐτῶν, ὁμοίως καὶ ἐν ταῖς μνήμαις τῶν μεγάλων ἁγίων, ἤγουν εἰς τὸ Γεννέσιον τῆς Θεοτόκου, τῆς Ὑψώσεως τοῦ Τιμίου Σταυροῦ, εἰς τὴν μετάστασιν τοῦ εὐαγγελιστοῦ Ἰωάννου, τοῦ μεγάλου Δημητρίου, καὶ τῇ η' Νοεμβρίου τῶν Ἀρχαγγέλων, τῇ ιγ' τοῦ Χρυσοστόμου, τῇ κα' τῆς Εἰσόδου τῆς Θεοτόκου, τῇ λ' τοῦ ἀποστόλου Ἀνδρέου, τῇ ς' Δεκεμβρίου τοῦ μεγάλου Νικολάου, τῇ ιβ' τοῦ ἁγίου Σπυρίδωνος, τῶν Χριστουγέννων, τῇ α' Ἰαννουαρίου τοῦ Μεγάλου Βασιλείου, τῶν Θεοφανείων, τῇ ιζ' τοῦ μεγάλου Ἀντωνίου, κ' τοῦ μεγάλου Εὐθυμίου, κζ' τοῦ Θεολόγου Γρηγορίου, τῇ λ' τῶν Τριῶν Ἱεραρχῶν, τῆς Ὑπαπαντῆς, τοῦ ἁγίου Χαραλάμπου, τοῦ Εὐαγγελισμοῦ, τοῦ ἁγίου Γεωργίου, τῇ η' Μαΐου τοῦ Θεολόγου Ἰωάννου, τῇ κα' Κωνσταντίνου καὶ Ἑλένης, Ἰουνίου κδ' τὸ γεννέσιον τοῦ Προδρόμου, τῇ κθ' τῶν κορυφαίων ἀποστόλων Πέτρου καὶ Παύλου, τῇ κζ' Ἰουνίου τοῦ ἁγίου Παντελεήμονος, τῇ ς' Αὐγούστου τῆς Μεταμορφώσεως, τῇ ιε' τῆς Κοιμήσεως τῆς Θεοτόκου, τῇ κθ' τῆς ἀποτομῆς τοῦ Προδρόμου, τῆς Ἀναλήψεως καὶ τῆς ἁγίας ὁσιομάρτυρος Ἀναστασίας τῆς Ῥωμαίας, εἰ δὲ καὶ ἅγιος ἕτερος κατὰ τὴν μονὴν ἅγιος, γίνεται ἀπαραιτήτως ἐν τῇ μνήμῃ αὐτοῦ ἀγρυπνία.

— Εἴδησις τοῦ καθημερινοῦ ἑσπερινοῦ.

[**стр. 8**). Εἴδησις περὶ τοῦ καθημερινοῦ ἀποδείπνου.

— Περὶ τῶν ἑσπερινῶν ἀπὸ τῆς δευτέρας τοῦ Θωμᾶ ἄχρι τῶν ἁγίων πάντων, πῶς ψάλλεται.

— Περὶ τῆς λειτουργίας τοῦ Μεγάλου Βασιλείου πότε γίνεται.

[**стр. 9**). Περὶ τῶν ἑωθινῶν εὐαγγελίων, πῶς ἀναγινώσκονται ἀπὸ τῆς κυριακῆς τοῦ Θωμᾶ μέχρι τῶν Ἁγίων Πάντων.

— Περὶ τοῦ πῶς δεῖ θυμιᾶν τὸν ἱερέα.

[**стр. 10**). Περὶ τοῦ ἑσπερινοῦ τῶν δύο νηστειῶν, τεσσαρακονθημέρου καὶ τῶν ἁγίων ἀποστόλων.

[**стр. 11**). Περὶ τοῦ μεσονυκτικοῦ.

[**стр. 12**). Περὶ τοῦ ὄρθρου τῶν δύο τούτων τεσσαρακοστῶν.

[**стр. 13**). Περὶ τῶν ὡρῶν τῶν δύο τεσσαρακοστῶν.

[**стр. 14**). Περὶ τοῦ σαββάτου.

[**стр. 15**). Ἀκολουθία τῆς ἐκκλησιαστικῆς ψαλμῳδίας τε καὶ συνάξεως τοῦ ὅλου ἐνιαυτοῦ τῶν δώδεκα μηνῶν.

Въ Синаксарѣ, сравнительно краткомъ (Слич. съ Руссик. соборнымъ Тип.), нерѣдко встрѣчаются любопытныя замѣчанія. Напр. подъ 1 числомъ Октября: Τῇ αὐτῇ ἡμέρᾳ ἑορτάζεται καὶ ὁ ἅγιος ὁσιομάρτυς Ἰάκωβος, ὁ ἐν τῇ σκήτει τοῦ Προδρόμου. Ἡ ἀκολουθία καὶ τὸ μαρτύριον αὐτοῦ εὑρίσκεται εἰς τὸ νέον Μαρτυρολόγιον, ἔχει καὶ κατὰ πλάτος βίον θαυμάσιον [**стр. 49**). Подъ 3 числомъ о службѣ св. Георгія: Ἡ ἀκολουθία τοῦ ἁγίου Γεωργίου εὑρίσκεται εἰς φυλλάδα ἑορταστική, ἔχει καὶ ἐγκώμιον εἰς τὴν ἀνακομιδὴν τοῦ ἁγίου αὐτοῦ λειψάνου, ἔχει καὶ ὁ νέος Παράδεισος [**стр. 59**). Въ службѣ Рождественскаго поста: Σημείωσαι, ὅτι τὸ παλαιὸν Τυπικὸν γράφει· Μετὰ τὸν ἑσπερινὸν νὰ γίνεται ἡ τράπεζα καὶ οὐχὶ μετὰ ἐννάτην ἢ τὰ τυπικά, ἑσπέρας δηλαδὴ ἐσθίειν. Тамъ же: Τὸ Τυπικὸν γράφει μετὰ τὸν ἑσπερινὸν τῇ παρασκευῇ ἑσπέρας νὰ γίνεται ἡ παννυχὶς ἐν τῷ νάρθηκι, καὶ οὐχὶ ἐν τῷ κοιμητηρίῳ, ἰδιαιτέρως δὲ ἐκεῖσε ὑπὸ τοῦ ἱερέως μόνου [**стр. 62**). О службѣ 21 Ноября: Σημείωσαι, ὅτι τὸ παλαιὸν Τυπικὸν γράφει· εἰς τὴν θ′ ᾠδὴν δίδονται κηρία τοῖς ἀδελφοῖς, νῦν δὲ οὐ γίνεται, ἅπτομεν δὲ τὸν χόρον ὅλον [**стр. 68**). О службѣ св. Екатерины 25 Ноября: Σημείωσον, ὅτι τὸ Τυπικὸν εἰς τὰς 24 γράφει· τὴν μνήμην τῆς ἁγίας Αἰκατερίνης, εἰς δὲ τὰς 25 τῶν ἁγίων Κλήμεντος καὶ Πέτρου, μετὰ τῶν ὁποίων ποιεῖ καὶ τὴν ἀπόδοσιν, νῦν δὲ ἑορτάζεται ἡμέρας κ′ καὶ γίνεται μόνη ἡ ἀπόδοσις τῇ κη′. Ἡ δὲ ἀκολουθία τοῦ ἁγίου Στεφάνου ψάλλεται τῇ κζ′, καὶ ποίησον, ὡς βούλει [**стр. 69**). Водоосвященіе на Богоявленіе совершается два раза: вечеромъ [**стр. 102**) однимъ священникомъ не торжественно ἐν τῇ φιάλῃ и утромъ весьма торжественно на арсанѣ. Этотъ послѣдній обрядъ описывается такъ: Ἀνατέλλοντος τοῦ ἡλίου, κρούει ὁ ἐκκλησιάρχης τὸν μέγαν κώδωνα, καὶ συνάζονται οἱ ἀδελφοὶ ἐν τῷ ναῷ. Ὁ δὲ ἡγούμενος ἀλλάσσει ἅπασαν τὴν ἱερατικὴν στολὴν καὶ οἱ λοιποὶ ἱερεῖς ἀλλάσσουσιν ἐπιτραχήλιον καὶ φελώνιον, ὁμοίως καὶ οἱ διάκονοι, καὶ λαμβάνουσι τὰ ἱερὰ κειμήλια, ὁ δὲ ἡγούμενος τὸν τίμιον σταυρὸν καὶ τὸ Εὐαγγέλιον, οἱ δὲ διάκονοι ἑξαπτέρυγα. Καὶ ποιήσαντος τοῦ πρώτου Εὐλογητόν, ἀρχόμεθα· Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, **Θεὸς** Κύριος, Ἐν Ἰορδάνῃ βαπτιζομένου σου, Κύριε, γ′,

μικρὰ αἴτησις, εἶτα ἀρχόμεθα· Φωνὴ Κυρίου, ἐκ τρίτου ἀργῶς, καὶ ἐξερχόμεθα μετὰ φλαμούλων φαναρίων καὶ φώτων, λιτανεύοντες εἰς τὸν ἀρσανᾶν πρὸς τὴν θάλασσαν, ἔνθα ἀποθέττοντες τὰ ἱερὰ κειμήλια εἰς τὸν ἑτοιμασθέντα τόπον, λέγει ὁ διάκονος· Σοφία, ὁ δὲ κανονάρχης· Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα, καὶ ἀναγινώσκει τὰς γ' προφητείας, εἶτα προκείμενον τοῦ ἀποστόλου, τὸν ἀπόστολον καὶ τὸ εὐαγγέλιον, τὴν εὐχὴν μυστικῶς, εἶτα μεγαλοφώνως· Τριὰς ὑπερούσιε, μεθ' ἣν· Μέγας εἶ, Κύριε κ. τ. λ. τοῦ μεγάλου ἁγιασμοῦ, ὡς προγέγραπται. Βαπτίζοντος δὲ τοῦ ἡγουμένου τὸν σταυρὸν ἐν τῷ ὕδατι, ῥίπτεται σταυρὸς ξύλινος παρὰ τοῦ ἱερέως ἐν τῇ θαλάσσῃ εἰς ἁγιασμὸν τῶν θαλασσίων ὑδάτων. Καὶ ἀσπάζονται πάντες οἱ ἀδελφοὶ τὰ ἱερὰ κειμήλια καὶ τὸν τίμιον σταυρόν, ψαλλομένου ἰδιομέλου· Ἀνυμνήσωμεν οἱ πιστοί, εἶτα ἀρχόμεθα τοὺς εἱρμοὺς τοῦ κανόνος· Βυθοῦ ἀνεκάλυψε, Στείβει θαλάσσης, καὶ ὑποστρέφοντες, γίνονται αἰτήσεις τρεῖς, μία καθ' ὁδόν, ἡ ἑτέρα ἐν τῇ πύλῃ τῆς μονῆς καὶ τρίτη ἔνδον τοῦ ναοῦ. Εἰσελθόντες δὲ ἐν τῷ ναῷ, ψάλλομεν τροπάριον τῆς η' ᾠδῆς· Τριάδος ἡ φανέρωσις, εἶτα ὁ διάκονος· Ἐλέησον ἡμᾶς, ὁ Θεός, Ὑπὲρ τοῦ διαφυλαχθῆναι, Κύριε ἐλέησον μ', Ὁ ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου βαπτισθείς, καὶ γίνεται ἀπόλυσις. Εἶτα σημαίνει τὸ χειροσήμαντρον καὶ λέγονται αἱ ὧραι ἐν τῷ νάρθηκι [**стр. 104**).

Въ службѣ Срѣтенія: Τυπικὰ γράφουν· ἐὰν τύχῃ μέσον τῆς ἑβδομάδος τῶν νηστειῶν, καθὼς καὶ τὸ Κατευθυντήτω, γράφουσιν, ἵνα ψάλλεται, ὅτι παραιτέρω τῆς δευτέρας πρώτης ἡμέρας τῆς τεσσαρακοστῆς ἀδύνατον εἶναι νὰ τύχῃ, τὸ δὲ Κατευθυνθήτω ἐν τῇ τῶν προηγουμένων ἀτελεῖ λειτουργίᾳ τέτακται καὶ οὐχὶ ἐν τῇ τοῦ Χρυσοστόμου λειτουργίᾳ [**стр. 123**). На Срѣтеніе, если оно приходилось въ понедѣльникъ первой недѣли, то совершается полная служба. Отдѣльно служатся малая вечерня съ великимъ прокимномъ, съ стихирами: 3 Тріоди и 3 праздника и великая вечерня. Οὐδὲν τοῦ Τριῳδίου ψάλλομεν, ἀλλὰ πάντα τῆς ἑορτῆς· προεψάλθησαν γὰρ ἐν τῷ μικρῷ ἑσπερινῷ [**стр. 122**).

О праздникѣ Благовѣщенія. Ἰστέον, ὅτι εὑρίσκεται ἐν τῷ Τυπικῷ τῆς Πέτρας καὶ λαύρας τοῦ Ὄρους, ὡς, ἐὰν ἐπιστῇ ἐν τῇ παραμονῇ ἡ ἀκολουθία τοῦ μεγάλου κανόνος, μετατίθεται ὁ μέγας κανὼν τῇ πέμπτῃ τῆς τετάρτης ἑβδομάδος καὶ ψάλλεται τῇ δ' ἑσπέρας, ἐν τῇ προηγιασμένῃ τὰ προσόμοια αὐτοῦ, καὶ ἡ ἀκολουθία τῇ νυκτί, ἐπιφωσκούσης πέμπτης, καὶ οὕτω φυλάττεται τὸ ἀπαράλειπτον τῶν δύο

ἀγρυπνιῶν καὶ ἀσύγχυτον τῆς ἑορτῆς τοῦ Εὐαγγελισμοῦ. Ὁ δὲ ἑσπερινὸς τῆς παραμονῆς μετὰ τῆς προηγιασμένης γίνεται ταχύτερον διὰ τὴν ἀγρυπνίαν, καὶ ψάλλονται τὰ τοῦ Τριῳδίου εἰς ϛ′ καὶ προσόμοια τοῦ μικροῦ ἑσπερινοῦ τοῦ Εὐαγγελισμοῦ, Δόξα καὶ νῦν τῆς ἑορτῆς, ἡ δὲ ἀκολουθία τοῦ Εὐαγγελισμοῦ ψάλλεται, οἵᾳ ἡμέρᾳ τύχῃ, μετὰ τοῦ μεγάλου ἑσπερινοῦ, ὄρθρου καὶ λειτουργίας μόνη ἀσυγχύτως. Τὰ δὲ τριῴδια ψάλλονται ἐν τῷ μικρῷ ἀποδείπνῳ ἰδικῶς χύμα ἅπαντα [**стр. 134**). О службѣ Благовѣщенія, если приходится въ великую пятницу, замѣчено: Τὸ δὲ Τυπικὸν τῆς μονῆς Φιλοθέου μετὰ τὸ ϛ′ εὐαγγέλιον τῶν παθῶν, διορίζει νὰ ψάλλεται ὁ πολυέλεος, εἶτα κάθισμα τῆς ἑορτῆς α′ ἀντίφωνον καὶ τὸ εὐαγγέλιον τῆς ἑορτῆς, Δόξα καὶ πεντηκοστόν, Σῶσον, ὁ Θεός, τὸν λαόν σου, εἶτα ἄρχεται ὁ κανὼν τῆς ἑορτῆς καὶ ποίησον, ὡς βούλει [**стр. 143**). Въ Григоріатскомъ Типиконѣ служба начинается малымъ повечеріемъ, διότι τῇ ἐπαύριον ἔλαιον οὐκ ἐσθίομεν, εἰ μὴ οἶνον μόνον. Послѣ «Слава въ вышнихъ Богу», совершается литія съ благословеніемъ хлѣбовъ, шестопсалміе, Богъ Господь, тропарь праздника и Егда славніи», малая ектенья, поліелей съ евангеліемъ, Спаси Боже люди твоя, 12 Господи помилуй и начинаются евангелія. Канонъ праздника и тріоди, великое славословіе поется и сейчасъ 11 евангеліе, ектенья «Исполнимъ» и т. д. Присоединяется первый часъ съ евангеліемъ и апостоломъ. Остальные часы въ свое время, а послѣ нихъ литургія. Μετὰ δὲ τὴν ἀπόλυσιν τῆς λειτουργίας εὐθέως συνάπτεται καὶ ὁ ἑσπερινός [**стр. 144**). Если Благовѣщеніе на Пасху, то звонятъ въ 1 ч. ночи. Καὶ τὴν μὲν ἀνάγνωσιν τῶν Πράξεων καταλιμπάνομεν διὰ τὴν ἑορτὴν τοῦ Εὐαγγελισμοῦ. Начинается малое повечеріе. Послѣ «Слава въ вышнихъ» литія праздника со благословеніемъ хлѣбовъ и бываетъ чтеніе праздника, пѣніе канона, затѣмъ раздаются свѣчи и выходятъ въ притворъ, читается евангеліе: Ὀψὲ σαββάτων, дѣлается начало, Христосъ воскресе и стихи: «Исповѣдайтеся Господеви», «Составите праздникъ» и др. Οὗτοι στίχοι λέγοντες μόνον, ὅτε τύχῃ ὁ Εὐαγγελισμὸς τὸ Πάσχα [**стр. 146, 147**).

Извѣстная статья, начинающаяся: Ἰστέον, ὅτι οὐκ ἀπὸ ἰδίου σκοποῦ περὶ τοῦ, ὡς δεῖ ψάλλεσθαι τὸν Εὐαγγελισμὸν и т. д. встрѣчающаяся и въ Типиконахъ XII—XIII вѣковъ, надписывается

такъ: *Μάρκου ἱερομονάχου διατύπωσις* [стр. 149), а особыхъ Марковыхъ главъ здѣсь нѣтъ.

24 Мая празднуется Симеонъ чудотворецъ. Ἐν παλαιοῖς χειρογράφοις Μηναίοις ἔχει ἑορτάσιμον ἀκολουθίαν [стр. 162).

[стр. 186). Δήλωσις περὶ τῶν μικρῶν αἰτήσεων τοῦ Ψαλτηρίου, πότε γίνονται.

[стр. 187). Τυπικὸν τοῦ Τριῳδίου ὅλου καὶ Πεντηκοσταρίου.

Въ пятницу первой недѣли, послѣ преждеосвященной литургіи, εἰσερχόμεθα εἰς τὴν τράπεζαν, ἐσθίοντες ξηροφαγίαν, πίνοντες καὶ ζωμὸν μετὰ μέλιτος, ὡς καὶ ἐν τῇ τετράδι. По этому поводу замѣчено внизу: Ἀπίθανον εἶναι τὸ γεγραμμένον ἐν τοῖς τετυπωμένοις Τριῳδίοις, ὅτι ἐν τῇ μονῇ τοῦ ἁγίου Σάββα καὶ Εὐθυμίου ἔλαιον τῇ παρασκευῇ μετὰ τὴν προηγιασμένην, ὅτι οἱ τότε πατέρες ἀνεχώρουν εἰς τὴν ἔρημον ἄχρι τῶν Βαΐων, καὶ τὸ Τυπικὸν τοῦ ἁγίου ἐξέλιπε, καὲν ὑπὸ τῶν βαρβάρων, τὸ δὲ νῦν Τυπικὸν Σωφρονίου πατριάρχου καὶ Ἰωάννου τοῦ Δαμασκηνοῦ ἦν ποίημα, ὡς τὸ χειρόγραφον Τυπικὸν βεβαιοῖ σαφέστατα [стр. 203).

О повечеріи: Νῦν δὲ μικρὸν ἀπόδειπνον συνηθίζουν καὶ ψάλλουσι τὸ Χριστοῦ βίβλον ἔμψυχον καὶ τοὺς κδ' οἴκους τῆς Θεοτόκου ὁμοῦ χυματικῶς, ὡς εἰς τὸ Θεοτοκάριον Ἀγαπίου φαίνεται [стр. 203).

Объ ектеньяхъ за готовящихся къ просвѣщенію замѣчено: Τὸ παλαιὸν ἐλέγοντο καὶ τὸ σάββατον κυριακὴν ἡ εὐχὴ τῶν κατηχουμένων, διὰ τοὺς μέλλοντας βαπτισθῆναι τῷ μεγάλῳ σαββάτῳ, νῦν δὲ μόνον ἐν ταῖς προηγιασμέναις λέγονται [стр. 209).

Σημείωσαι, ὅτι δύο τάξεις εἰσὶ τοῦ μεγάλου κανόνος ἐν τοῖς κοινοβίοις, ἢ ψάλλεται τὸ μέγα ἀπόδειπνον χυματικὸν ἑσπέρας εἰς τὴν ὥραν του, καὶ ὥραν ς' σημαίνει, καὶ ἀναγινώσκεται, πρῶτον τὸ μεσονυκτικὸν συνήθως, εἶτα ἄρχεται ὁ ὄρθρος, ὡς καθεκάστην, ἢ πάλιν σημαίνει ὥρᾳ πρώτῃ τῆς νυκτὸς καὶ λέγεται πρῶτον τὸ μέγα ἀπόδειπνον χυμαδικὸν καὶ μένει τὸ μεσονυκτικόν, εἶτα ἀρχόμεθα τοῦ ὄρθρου, ὡς ἄνωθεν [стр. 210).

Σημείωσαι, ὅτι λάθος γράφουσι τὰ τετυπωμένα Τριῴδια, τῇ τετράδῃ ἑσπέρας νὰ πίνωσιν οἶνον εἰς τὴν τράπεζαν, καὶ τῇ πέμπτῃ νὰ κοινωνοῦσιν, ὅτι ἡ κατάλυσις τοῦ οἴνου τῇ πέμπτῃ μετὰ τὴν μετάληψιν γίνεται καὶ οὐχὶ τῇ τετάρτῃ [стр. 211).

Въ идіоритмахъ повечеріе и полунощница поются въ келіяхъ.

Σημείωσαι, ὅτι ὁ ἀπόστολος· Πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν (т. е. въ 5 недѣлю), εἰς μάρτυρας γυναῖκας λέγεται, ἡ δὲ περικοπὴ τοῦ εὐαγγελίου περὶ τῆς ἐν μοιχείᾳ κατειλημμένης οὐχ εὑρίσκεται ἐν τοῖς παλαιοῖς χειρογράφοις εὐαγγελίοις, οὔτε ὁ Βουλγαρίας τὴν ἀναφέρει εἰς τὴν ἑρμηνείαν, διὰ τοῦτο τὸ παλαιὸν Τυπικὸν διορίζει τὸ Ἐρώτα τις τῶν φαρισαίων, ὡς ἁρμόδιον τῆς ὁσίας Μαρίας [стр. 213).

Σημείωσαι, ὅτι τὸ χειρόγραφον Τυπικὸν Δόξα, Ταῖς τῶν ἀποστόλων πρεσβείαις γράφει, τὸ δὲ Σήμερον ὁ Χριστὸς εἰσέρχεται, νεώτερον, εἶναι δὲ λάθος ἀντὶ τοῦ εἰπεῖν· Εἰσέρχεται εἰς τὴν ἁγίαν πόλιν, λέγει· εἰς Βηθανίαν· ὁ γὰρ Κύριος ἀπὸ Βηθανίας εἰς Ἱερουσαλὴμ εἰσέρχεται σήμερον, ἐπὶ πώλου καθήμενος [стр. 215).

Σημείωσαι δέ, ὅτι οἱ μὲν δύο εὐαγγελισταὶ ἀναγινώσκονται τῇ ἑβδομάδι τῶν βαΐων, καὶ οἱ ἕτεροι δύο Λουκᾶς καὶ Ἰωάννης ἀναγινώσκονται τῇ β', γ' καὶ μεγάλῃ τετάρτῃ καὶ τελειοῦνται [стр. 212).

[стр. 224). Τῇ αὐτῇ ἡμέρᾳ περὶ ὥραν τρίτην σημαίνει τὸ μικρόν, καὶ συναγόμεθα ἐν τῇ ἐκκλησίᾳ, καὶ ψάλλομεν τὴν α' ὥραν τρίψαλμον, τροπάριον· Σταυρωθέντος σου Χριστέ, Δόξα καὶ νῦν, Τί σὲ καλέσωμεν, εἶτα τροπάρια τρία ἐκ τῶν ιβ', ἦχος πλ. δ'· Σήμερον τοῦ ναοῦ τὸ καταπέτασμα, δίς, ἄνευ στίχου· Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθης, λέγοντες στίχους· Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ Ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, Δόξα ὁ αὐτός· Τοῖς συλλαβοῦσί σε παρανόμοις, Καὶ νῦν τὸ αὐτό, προκείμενον τῆς προφητείας καὶ ἡ προφητεία Ζαχαρίου· Τάδε λέγει Κύριος, λήψομαι τὴν ῥάβδον μου, ὁ ἀπόστολος πρὸς Γαλάτας· Ἀδελφοί, ἐμοὶ μὴ γένοιτο καυχᾶσθαι, εὐαγγέλιον κατὰ Ματθαῖον· Πρωΐας γενομένης· Μετὰ δὲ ταῦτα ἡ κατήχησις τοῦ Στουδίτου [1]), εἶτα, Τὰ διαβήματά μου, Τρισάγιον, κοντάκιον, Τὸν δι' ἡμᾶς σταυρωθέντα, Κύριε ἐλέησον μ', Ὁ ἐν παντὶ καιρῷ, Χριστὲ τὸ φῶς.

Εἶτα συνάπτομεν καὶ τὴν τρίτην· Τρισάγιον, Παναγία τριάς, Πάτερ ἡμῶν, Δεῦτε προσκυνήσωμεν, τοὺς ψαλμούς, τροπάριον· Κύριε, κατέκρινάν σε οἱ Ἰουδαῖοι θανάτῳ, Δόξα καὶ νῦν, Θεοτόκε σὺ εἶ ἡ ἄμπελος, εἶτα ἰδιόμελον ἦχος πλ. δ'· Διὰ τὸν φόβον τῶν Ἰουδαίων δίς, Πρὸ τοῦ τιμίου σου Σταυροῦ, μετὰ τῶν προγραφέντων στίχων,

---

[1]) Исправлено: Καὶ τίθεται ἀνάγνωσις.

Δόξα πλ. α'· Ἑλκόμενος ἐπὶ σταυροῦ, Καὶ νῦν τὸ αὐτό, Προφητείας Ἡσαΐου· Κύριος, δίδωσί μοι γλῶσσαν, ὁ ἀπόστολος πρὸς Ῥωμαίους· Ἀδελφοί, ἔτι Χριστός, Κύριος ὁ Θεὸς εὐλογητός, καὶ εὐθέως ἀνάγνωσις τῶν ἁγίων Παθῶν, εἶτα Τρισάγιον, τὸ κοντάκιον, Κύριε ἐλέησον μ' κ. τ. λ., καὶ ἀρχόμεθα τῆς ϛ' ὥρας· Δεῦτε προσκυνήσωμεν, τοὺς γ' ψαλμούς, τροπάριον· Σωτηρίαν εἰργάσω, Δόξα καὶ νῦν, Ὅτι οὐκ ἔχομεν παῤῥησίαν, καὶ ψάλλομεν τὰ τροπάρια, τούτων δὲ ψαλλομένων, θυμιᾷ ὁ ἐκκλησιάρχης ἐν ἑκάστῃ ὥρᾳ, ἰδιόμελον ἦχος πλ. δ'· Τάδε λέγει Κύριος τοῖς Ἰουδαίοις, δίς, ἦχος πλ. α'· Δεῦτε χριστοφόροι λαοί, μετὰ τῶν στίχων, Δόξα, πλ. δ'· Οἱ νομοθέται τοῦ Ἰσραήλ, Καὶ νῦν τὸ αὐτό, Προφητείας Ἡσαΐου· Τάδε λέγει Κύριος, ἰδοὺ συνήσει ὁ παῖς μου, ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι, εὐαγγέλιον κατὰ Λουκᾶν· Συνήχθη τὸ πρεσβυτέριον, Ταχὺ προκαταλαβέτωσαν, καὶ τίθεται ἀνάγνωσις εἰς τὰ ἅγια Πάθη, εἶτα Τρισάγιον, τὸ κοντάκιον κ. τ. λ., καὶ ἀρχόμεθα τῆς ἐννάτης, Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, Κύριε ἐλέησον ιβ', Δεῦτε προσκυνήσωμεν, καὶ τοὺς ψαλμοὺς [стр. 225), τροπάριον· Βλέπων ὁ λῃστής, Δόξα καὶ νῦν· Ὁ δι' ἡμᾶς γεννηθείς, καὶ τὰ γ' ἐκ τῶν ιβ', ἦχος βαρύς· Θάμβος ἦν καταδεῖν, δίς, καὶ ἕτερον ἦχος β'· Ὅτε τῷ σταυρῷ προσήλωσαν, μετὰ τῶν προγραφέντων στίχων, εἶτα ὁ κανονάρχης, ἱστάμενος εἰς τὸ μέσον, λέγει τὸν ἦχον πλ. β', καὶ ψάλλουσιν οἱ ψάλται τὸ Δόξα καὶ νῦν μόνον, εἶτα ἀναγινώσκει μεγαλοφώνως τὸ Σήμερον κρεμᾶται ἐπὶ ξύλου, ὁ ἐν ὕδασι τὴν γῆν κρεμάσας, ἐκ τρίτου, τὰ λοιπὰ τοῦ τροπαρίου, τὸ δὲ τέλος· Προσκυνοῦμέν σου τὰ πάθη Χριστὲ ἐκ τρίτου, δεῖξον ἡμῖν καὶ τὴν ἔνδοξόν σου ἀνάστασιν, ἅπαξ. Καὶ ψάλλουσιν αὐτὸ οἱ δύο χοροὶ ὁμοῦ, εἶτα τὴν προφητείαν, ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, ἔχοντες παῤῥησίαν, εὐαγγέλιον κατὰ Ἰωάννην· Ἄγουσι τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον, καὶ εὐθὺς γίνεται ἀνάγνωσις μεγάλη τῶν παθῶν τοῦ Κυρίου, λόγος σταυρώσιμος, μεθ' ὃν· Μὴ δὴ παραδώῃς ἡμᾶς εἰς τέλος, Τρισάγιον, τὸ κοντάκιον, Κύριε ἐλέησον μ', Ἐν ὀνόματι Κυρίου εὐλόγησον, καὶ τὴν εὐχήν· Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ μακροθυμήσας, οἱ μακαρισμοὶ χύμα, Πιστεύω εἰς ἕνα Θεόν, Ἄνες, ἄφες, Πάτερ ἡμῶν, τὸ κοντάκιον καὶ ἀπόλυσις τῶν ὡρῶν.

Περὶ δὲ ὥραν δεκάτην σημαίνει ὁ μέγας κόπανος καὶ τὸ σιδηροῦν, καὶ συναχθέντες ἀρχόμεθα τοῦ ἑσπερινοῦ. Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ϛ' καὶ ψάλλομεν τὰ ἰδιόμελα τῆς ἡμέρας ἦχος

α'· Πᾶσα ἡ κτίσις, δίς, καὶ τοὺς γ' β', καὶ τὸν πλ. β'· Σήμερον ὁ Δεσπότης καὶ Κύριος, Δόξα ὁ αὐτός, Ὢ πῶς ἡ παράνομος συναγωγή, Καὶ νῦν, Φοβερὸν καὶ παράδοξον μυστήριον, εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, ἀλλάσσουσι δὲ οἱ ἱερεῖς πάντες, καὶ ψάλλουσι τὸ Φῶς ἱλαρόν, προκείμενον ἦχος δ'· Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, τὰ ἀναγνώσματα, καὶ ὁ ἀπόστολος πρὸς Κορινθίους α'· Ἀδελφοί, ὁ λόγος ὁ τοῦ σταυροῦ, εὐαγγέλιον κατὰ Ματθαῖον· Συμβούλιον ἔλαβον, εἶτα Εἴπωμεν πάντες, Καταξίωσον, Πληρώσωμεν, καὶ μετὰ τὴν ἐκφώνησιν οἱ ἱερεῖς αἴρουσι τὸν ἐπιτάφιον, ψάλλοντες· Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν, καὶ ἐξέρχονται τοῦ βήματος, καὶ γίνεται ὁ ἀσπασμός, προτιθεμένου ἐν τῷ μέσῳ τοῦ ναοῦ, Δόξα καὶ νῦν, Σὲ τὸν ἀναβαλλόμενον, Νῦν ἀπολύεις, καὶ ψάλλεται θρηνητικὸς κανών, ὁ ἐν τῇ Κατηχήσει Θεοδώρου τοῦ Στουδίτου, Τρισάγιον, τροπάριον· Ὁ εὐσχήμων Ἰωσήφ, Ταῖς μυροφόροις γυναιξί, καὶ γίνεται ἀπόλυσις. Οὐκ ἐσθίομεν δὲ οὐδὲν οὐδείς.

[**стр. 226**). Παρελάβομεν γὰρ παρὰ τῶν ἁγίων Ἀποστόλων, ὡς ἐν ταῖς Διατάξεσιν αὐτῶν φαίνεται, μὴ ἐσθίειν τοὺς πιστοὺς τὰς δύο ἡμέρας, παρασκευὴν καὶ σάββατον, ἄχρις ἀλεκτροφωνίας τῆς κυριακῆς, νῦν δὲ τῷ ἁγίῳ σαββάτῳ, μετὰ τὴν λειτουργίαν συγκαταβατικῶς ἐσθίομεν, πλὴν τὴν παρασκευὴν ἂς φυλάξωμεν. Τὸ γὰρ κυριακὸν λόγιον, ὃ εἶπε πρὸς τοὺς φαρισαίους, ὅτι, ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ Νυμφίος, τότε νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις, ἐνταῦθα οἱ μακαριώτατοι ἀπόστολοι ἐξειλήφασιν. Σημείωσαι δέ, ὅτι τὸ ἀπόδειπνον καὶ τὸ μεσονυκτικὸν ταύτης τῆς ἑσπέρας καὶ νυκτὸς τὸ παλαιὸν Τυπικὸν γράφει διὰ τοὺς ἰδιοῤῥύθμους, νὰ τὰ ἀναγινώσκουσιν ἐν τοῖς κελλίοις αὐτῶν, ὅτι τὸ μεσονυκτικὸν οὐδέποτε μένει, ἐκτὸς ἀγρυπνίας γινομένης, ὅτι καὶ ἐν τῇ ἑβδομάδι τῆς Διακαινησίμου λέγεται. Εἰς δὲ τὰ κοινόβια δὲν εἶναι πρέπον νὰ μένῃ τὸ ἀπόδειπνον, ἀλλὰ νὰ ἀναγινώσκεται κοινῶς καὶ νὰ ψάλλεται ἐν αὐτῷ ὁ θρηνητικὸς κανὼν τῆς Θεοτόκου, Θεοδώρου τοῦ Στουδίτου, ὁ ἐν τῇ Κατηχήσει.

Τῷ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ, περὶ ὥραν β' τῆς νυκτὸς σημαίνει ὁ κώδων καὶ ἀναγινώσκομεν, κρούει τὸ μέγα καὶ τὸ σιδηροῦν, καὶ συναγόμεθα ἐν τῇ ἐκκλησίᾳ, καὶ γινομένης εὐλογήσεως παρὰ τοῦ ἱερέως, ἀρχόμεθα· Δεῦτε προσκυνήσωμεν γ', Ἐπακούσαι σου Κύριος, καὶ θυμιᾷ ὁ ἱερεὺς ἅπαντα, εἶτα ὁ ἑξάψαλμος, Θεὸς Κύριος, τροπάρια· Ὁ εὐσχήμων Ἰωσήφ, Δόξα, Ὅτε κατῆλθες, Καὶ νῦν, Ταῖς μυροφόροις γυναιξί, διανέμονται δὲ κηρία τοῖς ἀδελφοῖς καὶ ἀρχόμεθα

τοῦ 'Αμώμου μετὰ τῶν ἐγκωμίων· Ἡ ζωὴ ἐν τάφῳ κατετέθης, Χριστέ. 'Αλλάσουσι δὲ οἱ ἱερεῖς, καὶ ἐξερχόμενοι ψάλλουσι κατὰ τάξιν ἐν τοῖς χοροῖς, γίνονται δὲ αἰτήσεις κατὰ στάσιν, καὶ θυμιᾷ ἀνὰ εἷς τῶν ἱερέων ἅπαντας. Εἰς δὲ τὴν γ' στάσιν τὰ ἀναστάσιμα εὐλογητάρια καὶ αἴτησις καὶ κάθισμα τῆς ἡμέρας δίς, καὶ ἀνάγνωσις εἰς τὸν Δαμασκηνόν, εἶτα ὁ ν' καὶ ὁ κανών, ἦχος πλ. β'· Κύματι θαλάσσης, τοὺς εἱρμοὺς ἐκ β', τὰ τροπάρια ιβ', καταβασία, πάλιν τοὺς εἱρμούς. 'Απὸ γ' ᾠδῆς κάθισμα· Τὸν τάφον σου Σωτήρ, δίς, καὶ ἀνάγνωσις, ἀφ' ἕκτης τὸ κοντάκιον· Τὴν ἄβυσσον ὁ κλείσας, τὸν οἶκον καὶ τὸ Συναξάριον τῆς ἡμέρας, Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν, ἐκ τρίτου. Εἰς τοὺς αἴνους, Πᾶσα πνοή, ψάλλονται ὅλοι οἱ στίχοι, καὶ ψάλλομεν ἰδιόμελα ἦχος β'· Σήμερον συνέχει τάφος, ἦχος πλ. β'· Ἠτήσατο Ἰωσήφ, Δόξα πλ. β'· Τὴν σήμερον μυστικῶς, Καὶ νῦν, Ὑπερευλογημένη (**στρ. 227**). 'Αλλάσσουσι δὲ οἱ ἱερεῖς, καὶ εἰσοδεύουσι, λιτανεύοντες μετὰ τοῦ 'Αμνοῦ τῆς μεγάλης πέμπτης καὶ τοῦ Εὐαγγελίου, καὶ εἰκόνος τοῦ ἐπιταφίου, ὑποστρεφούσης δὲ τῆς λιτῆς, γίνεται αἴτησις ἐν τῇ πύλῃ τοῦ ναοῦ, καὶ εἰσελθόντων ἐν τῷ μέσῳ τοῦ ναοῦ, ἐκφωνεῖ ὁ πρῶτος· Σοφία, ὀρθοί, καὶ ψάλλομεν τὸ τροπάριον· Ὁ εὐσχήμων Ἰωσήφ, καὶ εὐθὺς τὸ τροπάριον τῆς προφητείας· Ὁ συνέχων τὰ πέρατα, προκείμενον τῆς προφητείας, ἡ προφητεία, καὶ τὸ προκείμενον τοῦ ἀποστόλου, ὁ ἀπόστολος πρὸς Κορινθίους α'· 'Αδελφοί, μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ, Στίχος· 'Αναστήτω ὁ Θεός, εὐαγγέλιον κατὰ Ματθαῖον· Τῇ ἐπαύριον, ἥτις ἐστί, εἶτα ἐκτενή, τὸ Πληρώσωμεν τὴν ἑωθινήν, τὰ λοιπὰ καὶ ἀπόλυσις. Καὶ ἡ πρώτη ὥρα λιτῶς ἐν τῷ νάρθηκι, τροπάριον καὶ κοντάκιον τὰ προγραφέντα. Περὶ δὲ ὥραν ς' σημαίνει τὸ μικρόν, καὶ ψάλλομεν τὰς γ' ὥρας ὁμοῦ λιτῶς ἐν τῷ νάρθηκι, καὶ τὰ τυπικὰ χύμα ὁμοῦ, καὶ γίνεται ἀπόλυσις, καὶ ἰδιάζομεν ἄχρις ὥρας θ'.

Περὶ δὲ ὥραν δεκάτην τῆς ἡμέρας σημαίνει τὸ μέγα καὶ τὸ σιδήροῦν, καὶ συναχθέντων πάντων ἐν τῷ ναῷ, ἀλλάσσει ὁ ἱερεὺς καὶ ὁ διάκονος στολὰς λευκάς, καὶ εἰπόντος· Εὐλογημένη ἡ βασιλεία κ.τ.λ., ἀρχόμεθα τοῦ Δεῦτε προσκυνήσωμεν, τὸν προοιμιακόν, συναπτὴ καὶ τὸ Κύριε ἐκέκραξα, ὅτε δὲ ψάλλεται ὁ στίχος, Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτῶν οἱ ἁμαρτωλοί, ποιοῖ σχῆμα ὁ ἐκκλησιάρχης ἐν τῷ μέσῳ τοῦ ὀμφαλίου, καὶ εἰσέρχονται οἱ ἱερεῖς, ἵνα ἀλλάσσωσι πάντες καὶ ψάλλωσι τὸ Φῶς ἱλαρόν· ψάλλομεν δὲ ἀναστάσιμα δ', Τὰς ἑσπερινὰς ἡμῶν εὐχάς, ἀνατολικὰ γ', καὶ ἓν τὸ τοῦ στίχου· Τῷ πάθει σου, Χριστέ, καὶ τοῦ μεγάλου σαββάτου δ', ἦχος πλ. δ'· Σήμερον ὁ Ἅδης

στένων βοᾷ, δευτεροῦντες τὸ α', Δόξα ἦχος πλ. β'· Τὴν σήμερον μυστικῶς, Καὶ νῦν, Τὴν παγκόσμιον δόξαν, εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, καὶ ψάλλεται τὸ Φῶς ἱλαρόν, διὰ τὸ ἅγιον φῶς, καὶ εὐθὺς Σοφία, ὁ ἀναγνώστης· Γενέσεως τὸ ἀνάγνωσμα, ὁ διάκονος· Πρόσχωμεν, καὶ ἀναγινώσκει τὰ ε' ἀναγνώσματα. Ψάλλεται δὲ ἡ πρώτη ᾠδὴ ὅλη, καὶ λέγεται κατὰ στίχον τὸ Ἄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται. Τοῦτο ψάλλουσιν οἱ ψάλται, ὁ δὲ ἀναγνώστης λέγει στιχηδὸν τὴν ᾠδήν, ὁμοίως ψάλλεται καὶ ἡ ὀγδόη ᾠδὴ ὅλη. Ὁ μὲν ἀναγνώστης λέγει τοὺς στίχους, οἱ δὲ ψάλται ψάλλουσιν· Ὑμνεῖτε καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας, Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον, καὶ καθ' ἑξῆς. Μετὰ δὲ τὴν συμπλήρωσιν, συναπτὴ μικρά, καὶ Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε [стр. 228), προκείμενον τοῦ ἀποστόλου (ψαλμὸς τῷ Δαβὶδ ἀπὸ τοῦ νῦν ἄχρι τῆς κυριακῆς τοῦ Θωμᾶ οὐ γένεται)· Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλλάτωσάν σοι, Ἄσατε τῷ Κυρίῳ, Πρὸς Ῥωμαίους· Ἀδελφοί, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν. Εἶτα ἄρχεται ὁ ἀναγνώστης τὸν ψαλμόν, ἦχος βαρύς· Ἀνάστα, ὁ Θεός, κρίνων τὴν γῆν, καὶ ψάλλουσιν αὐτὸ οἱ χοροί, ὁ δὲ ἀναγνώστης λέγει τοὺς στίχους· Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, καὶ τὰ λοιπὰ τοῦ ψαλμοῦ, καὶ ψάλλεται τὸ Ἀνάστα, ὁ Θεός, κρούουσι δὲ οἱ κώδωνες. Εἶτα τὸ εὐαγγέλιον· Ὀψὲ σαββάτων, καὶ καθεξῆς ἡ θεία λειτουργία τοῦ Μεγάλου Βασιλείου, χερουβικόν· Σιγησάτω πᾶσα σάρξ, κοινωνικόν· Ἐξηγέρθη ὡς ὁ ὑπνῶν Κύριος, καὶ ἀνέστη σώζων ἡμᾶς, Εὐλογήσω τὸν Κύριον, καὶ δίδοται τὸ κατακλαστόν. Μετὰ ταῦτα, εὐτρεπισμένου ὄντος ἀναλογίου καὶ τῶν πέντε ἄρτων καὶ τοῦ οἴνου, παρίσταται τούτοις ὁ ἱερεὺς καὶ ψάλλεται· Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, καὶ γίνεται ἡ συνήθης εὐλόγησις τῶν ἄρτων, καθεσθέντων ἡμῶν ἐν τῷ νάρθηκι κατὰ τάξιν, καὶ διανέμει ἅπασιν ὁ κελλαρίτης ἀνὰ κλάσματος τοῦ εὐλογηθέντος ἄρτου, καὶ καθ' ἑνὸς ποτηρίου οἴνου, εἶτα ἐπιδίδοται καὶ ἐκ τοῦ κοινοῦ ἄρτου νεαροῦ καὶ σύκων καὶ ἐσθίουσιν οἱ βουλόμενοι ἔξω τοῦ ναοῦ. Καὶ ὀλίγον ἡσυχάσαντες, κρούει τὸ σιδηροῦν, καὶ συναχθέντες ὥρᾳ β' τῆς νυκτός, ἄρχεται ὁ ἐκκλησιάρχης τῆς ἀναγνώσεως τοῦ Πραξαποστόλου ἀπ' ἀρχῆς ἄχρις ὥρας τετάρτης τῆς νυκτός.

Ἡ π α ν ν υ χ ί ς. Ὁ δὲ κανδηλάπτης ἅπτει τὰς κανδήλας τοῦ ναοῦ, καὶ βαλὼν μετάνοιαν, ἐξέρχεται καὶ κρούει τὸ σήμαντρον τῆς χειρός. Καὶ σχολάζει ἡ ἀνάγνωσις, καὶ ποιήσας εὐλογητὸν ὁ ἱερεύς, ἀρχόμεθα τοῦ Τρισαγίου, Παναγία τριάς, Πάτερ ἡμῶν, Κύριε ἐλέησον

ιβ', Δεῦτε προσκυνήσωμεν γ', τὸν πεντηστὸν ψαλμόν, εἶτα ἀρχόμεθα τοῦ κανόνος τοῦ μεγάλου σαββάτου· Κύματι θαλάσσης, τοὺς εἱρμοὺς ἐκ δευτέρου, τὰ δὲ τροπάρια ιβ', καταβασία πάλιν τοὺς εἱρμούς, ἀπὸ γ' ᾠδῆς αἴτησις καὶ κάθισμα· Τὸν τάφον συυ Σωτήρ, καὶ ἀνάγνωσις εἰς τὸν λόγον τοῦ ἁγίου Ἐπιφανίου· Τί τοῦτο σήμερον σιγὴ πολλή, καὶ ἀνάγνωσις εἰς τὸ Συναξάριον τῆς ἡμέρας, εἶτα ψάλλομεν τὰς λοιπὰς γ' ᾠδάς. Ματὰ τὴν θ' Τρισάγιον, Πάτερ ἡμῶν, τροπάριον· Ὅτε κατῆλθες, ἐκτενὴ παρὰ τοῦ ἱερέως καὶ ἀπόλυσις. Εἶτα γίνεται ἀνάγνωσις εἰς τὸν ἐπίλοιπον λόγον τοῦ ἁγίου Ἐπιφανίου, ἐν ᾗ διανέμει τὰ κηρία ὁ ἐκκλησιάρχης τοῖς ἀδελφοῖς [стр. 229). Εἶθ' οὕτως, ἅψαντες τὰς λαμπάδας, ἐξερχόμεθα ἐν τῷ νάρθηκι, ὁ δὲ κανδηλάπτης ἅπτει πάσας τὰς κανδήλας καὶ τὰ κηρία τοῦ ναοῦ. Ποιοῦσι δὲ οἱ ἐκκλησιαστικοὶ πυρεῖα (μαγκάλια) δύο μεγάλα, τιθέασι τὸ μὲν ἓν ἐν τῷ μέσῳ τοῦ ναοῦ, τὸ δὲ ἕτερον ἔμπροσθεν τῶν θυρῶν τοῦ βήματος. Ἔσωθεν δὲ τοῦ βήματος ἀπαιωροῦσι (κρεμῶσι) θυμιατά, καὶ βάλλοντες ἐν τούτοις θυμίαμα τὸ ἀρκοῦν, κλείουσι τὰς θύρας τοῦ ναοῦ. Καὶ ποιήσαντες μετάνοιαν τῷ ἡγουμένῳ, κρούουσιν ὅλα τὰ σήμαντρα, σιδηροῦν καὶ κώδωνας ὁμοῦ. Οἱ δὲ ἱερεῖς ἀλλάσσουσι φελώνιον καὶ ἐπιτραχήλιον, ὁ δὲ ἡγούμενος [1]) ἐνδύεται ἅπασαν τὴν ἱερατικὴν στολὴν καὶ ἐξέρχονται διὰ τοῦ βορείου μέρους, προπορευομένων αὐτῶν λαμπάδων, καὶ ἐλθόντες ἐν τῷ νάρθηκι, θυμιᾷ ὅλους τοὺς ἀδελφοὺς κατὰ τάξιν. Οἱ δὲ ἀδελφοὶ ἅπτουσι τὰ κηρία αὐτῶν, καὶ ἵστανται μετὰ προσοχῆς, προσευχόμενοι καθ' ἑαυτούς, καὶ εὐχαριστοῦντες τῷ ὑπὲρ ἡμῶν παθόντι καὶ ἀναστάντι Χριστῷ τῷ Θεῷ. Ὁ δὲ ἡγούμενος [2]), σταθεὶς ἔμπροσθεν τῶν πυλῶν τοῦ ναοῦ, κεκλεισμένων οὐσῶν, θυμιῶν σταυροειδῶς, λέγει μεγαλοφώνως [3])· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, καὶ ἡμῶν ἀποκρινομένων τὸ Ἀμήν, ἄρχεται μεγαλοφώνως τροπάριον ἦχος πλ. α'· Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος. Ψάλλεται δὲ τρίτον παρὰ τοῦ ἱερέως καὶ τρίτον ὑπὸ τῶν ἀδελφῶν. Εἶτα τοὺς στίχους ὁ ἱερεύς, καὶ ἡμεῖς τὸ Χριστὸς ἀνέστη, Ἀναστήτω ὁ Θεός, Ὡς ἐκλείπει καπνός, Οὕτως ἀπολοῦνται, Αὕτη ἡ ἡμέρα, Δόξα τὸ αὐτό, Καὶ νῦν τὸ αὐτό. Εἶτα ὁ ἱερεὺς γεγονωτέρᾳ

---

[1]) ἢ ὁ ἐφημέριος. [2]) ἢ ὁ ἱερεύς. [3]) Νῦν λέγεται εὐαγγέλιον, Ὀψὲ σαββάτων, ἄνευ τοῦ α' ἑωθινοῦ.

φωνῇ· Χριστὸς ἀνέστη, καὶ ἀνοιγομένων τῶν πυλῶν, εἰσοδεύει, προπορευομένων τῶν μανουαλίων, συνεφεπομένων καὶ τῶν ἀδελφῶν, ψαλλόντων· Καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος. Εἰσελθόντος δὲ τοῦ ἱερέως, ἢ τοῦ ἡγουμένου ἐν τῷ βήματι, ποιεῖ συναπτὴν μεγάλην, καὶ μετὰ τὴν ἐκφώνησιν ἄρχεται ὁ προεστὼς τὸν εἱρμὸν τοῦ κανόνος, ὁ δὲ ἱερεὺς θυμιᾷ ὅλον τὸν ναόν, ψαλλομένης τῆς α' ᾠδῆς, ἦχος α'· Ἀναστάσεως ἡμέρα, τοὺς εἱρμοὺς ἐκ β', τὰ τροπάρια ιβ', εἶτα πάλιν τὸν εἱρμὸν καταβασία ἐκ δευτέρου οἱ δύο χοροί, Χριστὸς ἀνέστη γ', καὶ αἴτησις παρὰ τοῦ ἱερέως, γίνεται δὲ ἐν ἑκάστῃ ᾠδῇ αἴτησις. Μετὰ τὴν γ' ᾠδὴν ἡ ὑπακοή· Προλαβοῦσαι τὸν ὄρθρον, καὶ ἀνάγνωσις εἰς **[стр. 230)** τὸν Νικ. **Θεοτόκην** τοῦ εὐαγγελίου. Μετὰ τὴν ς' ᾠδὴν κοντάκιον ἦχος πλ. δ'· **Εἰ καὶ** ἐν τάφῳ κατῆλθες ἀθάνατε, τὸν οἶκον καὶ ἀνάγνωσις λόγον ἀναστάσιμον (τὸ Συναξάριον τῆς ἡμέρας ἐλέχθη ἐν τῇ παννυχίδι). Μετὰ τὴν ἀνάγνωσιν· Ἀνάστασιν Χριστοῦ θεασάμενοι, ἐκ τρίτου, Ἀναστὰς ὁ Ἰησοῦς, ἐκ τρίτου, κρούουσι δὲ τὰ πνευματικὰ ὄργανα, ἐξαποστειλάριόν· Σαρκὶ ὑπνώσας, ὡς θνητός, ἐκ τρίτου. Εἰς τοὺς αἴνους, Πᾶσα πνοή, ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν ἀναστάσιμα δ'· Ὑμνοῦμέν σου Χριστέ, εἶτα στίχος· Ἀναστήτω ὁ Θεὸς καὶ διασκορπισθήτωσαν, καὶ ψάλλομεν τοῦ Πάσχα στιχηρὰ δ'· Πάσχα ἱερὸν ἡμῖν σήμερον ἀναδέδεικται, καὶ τὰ λοιπὰ γ', Δόξα καὶ νῦν ἦχος πλ. α'· Ἀναστάσεως ἡμέρα. Εἰς δὲ τὸ Χριστός, γίνεται ὁ ἀσπασμὸς οὕτως· λαβὼν ὁ ἡγούμενος τὸ Εὐαγγέλιον, ἵσταται εἰς τὸ στασίδιον αὐτοῦ, καὶ ἐλθόντες οἱ λοιποὶ ἱερεῖς, κρατοῦντες ὁ μὲν τὴν εἰκόνα τῆς Ἀναστάσεως, οἱ δὲ σταυρούς, ἀσπάζονται τὸ ἅγιον Εὐαγγέλιον εἶτα τὸν ἡγούμενον καὶ ἀλλήλους, καὶ ἵστανται ἐκ δεξιῶν τοῦ ἡγουμένου. Ἄρχονται καὶ οἱ ἀδελφοὶ κατὰ τάξιν, καὶ ἀσπάζονται τὸ Εὐαγγέλιον, καὶ τὸν προεστῶτα καὶ τοὺς ἱερεῖς καὶ διακόνους, καὶ ἵστανται ἐκ δεξιῶν ἀραδικῶς, ἀσπαζόμενοι ἀλλήλους, μετὰ δὲ τὸν ἀσπασμόν, εἰσελθόντες οἱ ἱερεῖς ἐν τῷ βήματι, ἀποτίθεται τὸ Εὐαγγέλιον ἐν τῇ ἁγίᾳ τραπέζῃ. Πάντων δὲ ἱσταμένων τῶν μοναχῶν, ἀναγινώσκεται ὁ κατηχητικὸς λόγος τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου παρὰ τοῦ προεστῶτος, ἀκροωμένων πάντων προσεχῶς, εἶτα τροπάριον, Ἡ τοῦ στόματός σου καθάπερ πυρσός, εἶτα ἐκτενή, ἤτοι Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς, τὸ Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν, Φωτίζου, φωτίζου, Στερεώσαι οὐ λέγεται, καὶ ἀπόλυσις.

Ἀπὸ δὲ ταύτης τῆς ἡμέρας, μέχρι τοῦ σαββάτου τῆς Διακαινησίμου αἱ ὧραι καὶ τὰ ἀπόδειπνα οὕτω ψάλλονται. Χριστὸς ἀνέ-

στη γ', Ἀνάστασιν Χριστοῦ θεασάμενοι, τρίς, τὴν ὑπακοήν· Προλαβοῦσαι, ἅπαξ, κοντάκιον· Εἰ καὶ ἐν τάφῳ κατῆλθες, Ἐν τάφῳ σωματικῶς, Δόξα, Ὡς ζωηφόρος, ὡς παραδείσου ὡραιότερος, Καὶ νῦν, Τὸ τοῦ Ὑψίστου ἡγιασμένον, Κύριε ἐλέησον μ', Δόξα καὶ νῦν, Τὴν τιμιωτέραν, καὶ λέγεται στίχος παρὰ τοῦ ἱερέως, εἶτα Χριστὸς ἀνέστη, τρίς, καὶ τρισσεύεται ἡ τοιαύτη ἀκολουθία ἐν ταῖς ὥραις, καὶ ἀποδείπνοις. Ἡ δὲ λειτουργία γίνεται ταχύτερον, σημαίνουσι δὲ ὅλα τὰ πνευματικὰ ὄργανα, καὶ ἄρχεται ἡ λειτουργία, ψάλλονται δὲ τὰ ἀντίφωνα ταῦτα, ἦχος β', ἀντίφωνον πρῶτον [стр. 231)· Ἀλλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Εἴπατε τῷ Θεῷ, ὡς φοβερὰ τὰ ἔργα σου, Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλλάτωσάν σοι, Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Δόξα καὶ νῦν τὸ αὐτό. Ἀντίφωνον β'· Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, Ἐξομολογήσθωσάν σοι λαοί ὁ Θεός, Σῶσον ἡμᾶς, Δόξα τὸ αὐτό, Καὶ νῦν· Ὁ μονογενὴς Υἱὸς καὶ λόγος τοῦ Θεοῦ, Ἀντίφωνον γ'· Ἀναστήτω ὁ Θεὸς καὶ διασκορπισθήτωσαν, Χριστὸς ἀνέστη, Ὡς ἐκλείπει καπνὸς ἐκλειπέτωσαν· Χριστὸς ἀνέστη, Οὕτως ἀπολοῦνται, Χριστὸς ἀνέστη, Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, Χριστὸς ἀνέστη. Εἰσοδικόν· Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ, Χριστὸς ἀνέστη, Προλαβοῦσαι τὸν ὄρθρον, Εἰ καὶ ἐν τάφῳ, Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, προκείμενον τοῦ ἀποστόλου (ψαλμὸς τῷ Δαβὶδ οὐ λέγεται ἄχρι τῆς νέας κυριακῆς)· Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, Πράξεων τῶν ἀποστόλων· Τὸν μὲν πρῶτον λόγον, εὐαγγέλιον κατὰ Ἰωάννην· Ἐν ἀρχῇ ἦν ὁ λόγος, λέγεται δὲ κατὰ στίχον τὸ εὐαγγέλιον τοῦτο, παρ' ὅλων τῶν ἱερέων καὶ διακόνων, ἀντιφωνικῶς, κρουομένου τοῦ συμβόλου (ὅπερ δηλοῖ τὸ ἀποστολικὸν κήρυγμα τῆς ἀναστάσεως ἐν ὅλῳ τῷ κόσμῳ). Οὕτω γὰρ παρελάβομεν ἀπὸ τὸν ναὸν τῆς Ἀναστάσεως ἐν Ἱερουσαλήμ, καὶ καθεξῆς ἡ θεία λειτουργία τοῦ Χρυσοστόμου, κοινωνικόν· Σῶμα Χριστοῦ μεταλάβετε, πηγῆς ἀθανάτου γεύσασθε. Εἰς τὴν τράπεζαν γίνεται παράκλησις τῆς ἀδελφοῖς μεγάλη.

Πῶς δεῖ ὑψοῦν τὸν ἄρτον. Εἰδέναι χρὴ τὸν τραπεζίτην λαμβάνειν προσφορὰν ὁλόκληρον καὶ τιθέναι ἐν τῷ παναγιαρίῳ, καὶ αὐτὴ τῆς Παναγίας, ὑψοῦν ταύτην καὶ λέγειν μεγαλοφώνως ἀντὶ τοῦ Μέγα τὸ ὄνομα, Χριστὸς ἀνέστη. Καὶ ἀνταποκρίνουσιν οἱ ἀδελφοί· Ἀληθῶς

ἀνέστη ὁ Κύριος· λέγεται δὲ τοῦτο ἐκ τρίτου, εἶτα ὁ τραπεζίτης· Προσκυνοῦμεν αὐτοῦ τὴν τριήμερον ἔγερσιν, καὶ ψάλλεται τὸ Ὁ ἄγγελος ἐβόα, καὶ ἀσπάζονται οἱ ἀδελφοὶ τὴν ὑψουμένην προσφοράν. Τοῦτο δὲ γίνεται μέχρι τοῦ σαββάτου τῆς Διακαινησίμου.

Τῇ αὐτῇ κυριακῇ ἑσπέρας εἰς τὸ λυχνικὸν ἀλλάσσει ὁ ἱερεὺς ὅλην [стр. 232) τὴν ἱερατικὴν στολὴν αὐτοῦ, καὶ ὁ διάκονος ἐπιμανίκια, καὶ ἐκφωνεῖ ὁ διάκονος, κρατῶν λαμπάδα· Εὐλόγησον, δέσποτα· Καὶ ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, καὶ ἄρχεται· Χριστὸς ἀνέστη γ', καὶ ἔξωθεν γ'. Εἶτα τοὺς στίχους, καὶ ὁ ἱερεὺς αὖθις τὸ ιγ', εἶτα συναπτὴ παρὰ τοῦ διακόνου, τὸ Κύριε ἐκέκραξα εἰς ἦχον β', θυμιᾷ δὲ ὁ ἡγούμενος [1]) ἠλλαγμένος, φορῶν καὶ τὸ ἐπανωκαλύμαυχον, μετὰ λαμπάδος, ὁ δὲ διάκονος προπορεύεται αὐτοῦ, κρατῶν σταυρὸν μετὰ λαμπάδος. Ψάλλομεν δὲ ἀναστάσιμα ς', Δόξα τὸ ἀνατολικόν, Καὶ νῦν· Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου, εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, Φῶς ἱλαρόν, μετὰ μέλους, προκείμενον ἦχος βαρύς· Τίς Θεὸς μέγας, μετὰ τῶν στίχων αὐτοῦ, εἶτα Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι, εὐαγγέλιον κατὰ Ἰωάννην· Οὔσης ὀψίας, εἶτα ἐκτενή, Καταξίωσον, καὶ αἱ αἰτήσεις. Εἰς τὸν στίχον· Ἡ ἀνάστασίς σου, Χριστὲ Σωτήρ, εἶτα τὰ στιχηρὰ τοῦ Πάσχα· Πασχα ἱερὸν ἡμῖν σήμερον, μετὰ τῶν στίχων αὐτῶν, Δόξα καὶ νῦν, Ἀναστάσεως ἡμέρα, Χριστὸς ἀνέστη, τρὶς ἄνευ τέλους τοῦ δοξαστικοῦ, Σοφία, Ὁ ὢν εὐλογητός, Στερεῶσαι, Φωτίζου, φωτίζου, καὶ ἀσπαζόμεθα τὰς ἁγίας εἰκόνας. Τὸ δὲ Εὐαγγέλιον τίθεται εἰς τὸ προσκυνητάριον καὶ μένει ἀσπαζόμενον ἕως τὸ σάββατον τῆς διακαινησίμου, καὶ κλειομένων τῶν θυρῶν, αἴρεται καὶ τὸ Εὐαγγέλιον.

Τῇ β' τῆς Διακαινησίμου. Τῇ β' εἰς τὸν ὄρθρον, μετὰ τὸ μεσονυκτικόν, ὡς διετάχθη, ἅπτομεν τῶν κηρῶν καὶ τῶν μανουαλίων, λέγει ὁ ἱερεύς· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι, λη' (ψαλμ.) (τοῦτο γὰρ ἀντὶ τοῦ ἑξαψάλμου τόπον ἔχει, καὶ λέγεται ἄχρι τοῦ σαββάτου εἰς τὸν ὄρθρον), καὶ ἄρχεται τὸ Χριστὸς ἀνέστη γ' καὶ τὰ λοιπὰ μετὰ τῶν στίχων αὐτοῦ, εἶτα συναπτὴ μεγάλη, καὶ ἀρχόμεθα τοῦ κανόνος τοῦ Πάσχα. Ὁ δὲ ἱερεὺς θυμιᾷ τὸ θυσιαστήριον καὶ ὅλον τὸν ναὸν καὶ ἅπαντας, ψάλλομεν δὲ τὸν εἱρμὸν δίς, τὰ τροπάρια εἰς ιβ', εἰς δὲ τὸ Δόξα καὶ νῦν ψάλλεται τὰ δύο θεοτοκία τοῦ ἁγίου Θεοφάνους· Θανατώσεως τὸν ὅρον, καὶ Ἀναστάντα κατιδοῦσα, ταῦτα ψάλλονται ἄχρι τοῦ σαββάτου πλὴν τῆς παρασκευῆς, ἐν

---

[1]) ἢ ὁ ἱερεύς.

ἢ ψάλλονται τῆς ζωοδόχου πηγῆς. Αἱ αἰτήσεις κατὰ πᾶσαν ᾠδήν, εἰς τὴν ζ' ᾠδὴν τὸ Ἀνάστασιν Χριστοῦ θεασάμενοι, τρίς, Ἀναστὰς ὁ Ἰησοῦς γ', γίνεται δὲ ἀνάγνωσις. Μετὰ τὴν τρίτην ᾠδὴν εἰς τὰ ἑωθινὰ τοῦ Κυριακοδρομίου Ἀγαπίου ἀνὰ ἓν ἄχρι τοῦ σαββάτου. Ἐξαποστειλάριον· Σαρκὶ ὑπνώσας, εἰς τοὺς αἴνους, Πᾶσα πνοή, ἀναστάσιμα δ' καὶ τὰ στιχηρὰ τοῦ Πάσχα, Δόξα καὶ νῦν, Ἀναστάσεως ἡμέρα, Χριστὸς ἀνέστη γ', καὶ ἀπόλυσις [**стр. 233**). Ποιοῦμεν δὲ καὶ λιτανείαν ἔξω τῆς μονῆς, τῇ δευτέρᾳ, τῇ τετάρτῃ καὶ τῇ παρασκευῇ κατὰ ἀρχαίαν παράδοσιν.

Εἰς τὴν λειτουργίαν τὰ ἀντίφωνα, ἡ πρᾶξις καὶ τὸ εὐαγγέλιον, τὰ ἐνόρδινα, κοινωνικόν· Σῶμα Χριστοῦ.

[**стр. 241**). Τῇ τετάρτῃ τῆς ἀποδόσεως τῆς ἑορτῆς τοῦ ἁγίου Πάσχα. Τῇ τρίτῃ ἑσπέρας τῆς αὐτῆς ἑβδομάδος, εἰς τὴν ἐννάτην σημαίνουσιν ὅλα τὰ πνευματικὰ ὄργανα, ὡς καὶ ἐν τῇ ἑβδομάδι τῆς Διακαινησίμου, καὶ ψάλλεται τὸ Χριστὸς ἀνέστη μετὰ τῶν στίχων αὐτοῦ ιγ', ἐνδύεται δὲ ὁ ἱερεὺς στολὴν λευκὴν [**стр. 242**), κάθισμα Ψαλτηρίου οὐ λέγεται, ἀλλὰ μετὰ τὰ εἰρηνικὰ Κύριε ἐκέκραξα εἰς ἦχον πλ. α', καὶ ψάλλομεν ἀναστάσιμα ς'· Διὰ τοῦ τιμίου σου σταυροῦ, Χριστέ, Δόξα, τὸ δ' ἀνατολικόν, Καὶ νῦν, Ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ, εἴσοδος, προκείμενον τῆς ἡμέρας, ἐκτενή, Καταξίωσον, αἱ αἰτήσεις. Εἰς τὸν στίχον· Σὲ τὸν σαρκωθέντα Σωτῆρα Χριστόν, καὶ τὰ στιχηρὰ τοῦ Πάσχα, Δόξα καὶ νῦν, Ἀναστάσεως ἡμέρα, τὸ Χριστὸς ἀνέστη μεγαλοφώνως ἐκ τρίτου, Νῦν ἀπολύεις, τροπάριον· Τὸν συνάναρχον λόγον, Καὶ νῦν, Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος, τὰ αὐτὰ καὶ εἰς τὸ Θεὸς Κύριος, τὸ Μηναῖον ψάλλεται εἰς τὸ ἀπόδειπνον. Ἐν τῷ μεσονυκτικῷ ἀντὶ τοῦ Ἰδοὺ ὁ Νυμφίος, Τὸν συνάναρχον λόγον, ἀντὶ δὲ τῶν νεκρωσίμων ὕστερον· Εἰ καὶ ἐν τάφῳ κατῆλθες. Σημαίνουσι δὲ ὅλα τὰ πνευματικὰ ὄργανα, ὁ δὲ ἱερεύς, βαλὼν εὐλογητὸν [1]), ἄρχεται τὸ Χριστὸς ἀνέστη ἐκ τρίτου, καὶ ἔξωθεν ὁμοίως γ', εἶτα τοὺς στίχους, Δόξα καὶ νῦν, Χριστὸς ἀνέστη καὶ θυμιᾷ, καὶ εὐθὺς τὸν ἑξάψαλμον· Ἐπακοῦσαί σου, οὐ λέγεται, τὸ Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ Τριάδι λέγεται πρῶτον ἀντὶ τοῦ Εὐλογητὸς ὁ Θεός, Θεὸς Κύριος, ἡ στιχολογία τῶν δύο καθισμάτων καὶ αἴτησις, καθίσματα ἀναστάσιμα τὰ τῆς κυριακῆς, ἀνάγνωσις εἰς τὸν Θεοφύλακτον Βουλγαρίας, Ἀνάστασιν Χριστοῦ θεα-

[1]) Εἰς τὴν ἀρχὴν τοῦ ὄρθρου· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ Τριάδι, εἶτα τὸ Χριστὸς ἀνέστη μετὰ τῶν στίχων αὐτοῦ, ὡς καὶ ἐν τῇ Διακαινησίμῳ ζητει.

σάμενοι, καὶ ὁ κανὼν τοῦ Πάσχα μετὰ τῶν εἱρμῶν εἰς ὀκτώ, καὶ τὰ δύο θεοτοκία αὐτοῦ. Θανατώσεως τὸν ὅρον, εἰς δέκα, καὶ ὁ προεόρτιος κανὼν τῆς Ἀναλήψεως εἰς τέσσαρα, καταβασία· Ἀναστάσεως ἡμέρα, θυμιᾷ δὲ ὁ ἱερεὺς μετὰ φελωνίου εἰς τὴν ἀρχὴν τοῦ κανόνος. Ἀπὸ γ′ ᾠδῆς τὴν ὑπακοὴν τοῦ Πάσχα· Προλαβοῦσαι τὸν ὄρθρον, καὶ κάθισμα προεόρτιον τῆς Ἀναλήψεως. Ἀφ' ἕκτης κοντάκιον· Εἰ καὶ ἐν τάφῳ κατῆλθες, καὶ τὸν οἶκον, εἰς τὴν ἐννάτην Τιμιωτέρα οὐ ψάλλεται, ἀλλὰ τὰ μεγαλυνάρια τοῦ Πάσχα, ἐξαποστειλάριον· Σαρκὶ ὑπνώσας, ὡς θνητός, ἐκ τρίτου, εἰς τοὺς αἴνους· Πᾶσα πνοὴ ἦχος πλ. α′, ψάλλομεν ἀναστάσιμα τῆς κυριακῆς δ′· Κύριε, ἐσφραγισμένου τοῦ τάφου ὑπὸ τῶν παρανόμων, εἶτα τὰ στιχηρὰ τοῦ Πάσχα μετὰ τῶν στίχων αὐτῶν, **Δόξα καὶ νῦν, Ἀναστάσεως ἡμέρα, Χριστὸς** ἀνέστη τρὶς μεγαλοφώνως, δοξολογία μεγάλη, τροπάριον· Τὸν συνάναρχον λόγον, καὶ ἀπόλυσις.

Εἰς τὴν λειτουργίαν σημαίνουσιν ὅλα τὰ πνευματικὰ ὄργανα, τὸ Χριστὸς ἀνέστη [**стр. 243**) μετὰ τῶν στίχων αὐτοῦ, τὰ ἀντίφωνα τοῦ Πάσχα, εἰσοδικόν· Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Τὸν συνάναρχον λόγον, Δόξα καὶ νῦν, Εἰ καὶ ἐν τάφῳ. Ἀντὶ τοῦ Τρισαγίου, Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, ἡ πράξις τῆς ἡμέρας καὶ τὸ εὐαγγέλιον. Εἰς τὸ Ἐξαιρέτως· Ὁ ἄγγελος ἐβόα, Φωτίζου, φωτίζου, κοινωνικόν· Σῶμα Χριστοῦ μεταλάβετε. Εἰς τὴν τράπεζαν γίνεται παράκλησις τοῖς ἀδελφοῖς· ἐσθίομεν γὰρ ἰχθύας, καὶ ἀποδίδοται ἡ ἑορτὴ τῆς ζωηφόρου Ἀναστάσεως.

Τῇ αὐτῇ ἡμέρᾳ ἑσπέρας μετὰ τὴν ἐννάτην ψάλλεται τὸ Χριστὸς ἀνέστη μετὰ τῶν στίχων αὐτοῦ, καὶ ἀσπαζόμεθα τὴν εἰκόνα τῆς Ἀναστάσεως ἐν τῷ νάρθηκι, προτιθεμένης ἐν τετραποδίῳ, εἶτα αἴρεται.

Τὸ παλαιὸν Τυπικὸν τυπικὰ (на Вознесеніе) καὶ ᾠδὴ γ′ καὶ ς′ μακαρισμοὺς γράφει, διὸ καὶ δὲν ἔγραφε τὰ ἀντίφωνα, εἰσὶ δὲ ἐν τῷ Πεντηκοσταρίῳ πασίδηλα [**стр. 243**).

Вечерня на Пятидесятницу служилась вечеромъ ὥρᾳ ἑβδόμῃ τῆς ἡμέρας διὰ τὴν γονυκλισίαν .. На входѣ ἀλλάσσουσι δὲ καὶ οἱ λοιποὶ πάντες ἱερεῖς, καὶ διάκονοι τῆς μονῆς, καὶ γίνεται εἴσοδος μεγάλη [**стр. 247**).

Σημείωσαι, ὅτι ἐκτὸς τῶν τυπωθέντων κατηχήσεων εἰσὶ καὶ ἕτεραι ἀπὸ τῆς κυριακῆς τοῦ **Θωμᾶ ἄχρι** Σεπτεμβρίου α′, εὑρίσκονται ἐν

τῇ τοῦ Διονυσίου μονῇ, εἰσὶ καὶ ἄλλαι καθεκάστην ἡμέραν, ἀνέκδοτοι εἰς ἑλληνικὴν φράσιν [стр. 250).

[стр. 252). Περὶ τοῦ πότε στιχολογεῖται ἡ Τιμιωτέρα καὶ πότε οὔ.

— Περὶ τοῦ πότε στιχολογεῖται Τῷ Κυρίῳ ᾄσωμεν.

[стр. 254). Δήλωσις περὶ τῆς λιτῆς, τῆς γινομένης ἐν τῷ τέλει τοῦ ὄρθρου καὶ τοῦ ἑσπερινοῦ καθεκάστην.

— Ἑρμηνεία τῆς ἄνωθεν λιτῆς.

[стр. 255). Τὰ ἐν τῷ Τυπικῷ ἅπαντα καὶ περὶ τοῦ μὴ διατρίβειν τὸν ἡγούμενον τοῦ κοινοβίου ἔξω τῆς μονῆς καὶ ἀμελεῖν τῶν πιστευθεισῶν αὐτῷ ψυχῶν ἄνευ μεγάλης ἀνάγκης, ἀλλὰ φυλάττειν τὴν ἀκρίβειαν τῶν παρὰ τῶν θεσπεσίων ἁγίων πατέρων τυπωθέντων.

[стр. 258). Διάταξις τῶν ἐκκλησιαστικῶν εἰς τὸ πῶς δεῖ ποιεῖν τὴν φωτοχυσίαν τῶν κηρίων καὶ λαμπάδων τοῦ ναοῦ ἐν ταῖς Δεσποτικαῖς καὶ Θεομητορικαῖς ἑορταῖς καὶ κυριακαῖς ὅλαις τοῦ ἐνιαυτοῦ καὶ πανήγυριν τοῦ τῆς μονῆς προστάτου θαυματουργοῦ Νικολάου καὶ λοιπῶν ἁγίων ἑορταζομένων, ἀλλὰ δὴ καὶ καθημερινῶς ἐν ἑκάστῳ ἑσπερινῷ ὄρθρῳ, καὶ λειτουργίᾳ, ἵνα μὴ παροράται ἡ παράδοσις.

[стр. 263). Περὶ τῆς ἐν τῇ τραπέζῃ γινομένης παρακλήσεως.

[стр. 264). Τοῦ ὁσίου πατρὸς ἡμῶν Μελετίου τοῦ ὁμολογητοῦ, ὅροι νηστείας τοῦ ὅλου ἐνιαυτοῦ.

— Περὶ τοῦ πῶς δεῖ νηστεύειν ἐν ταῖς ἡμέραις τῶν νηστειῶν, καὶ πῶς καταλύειν ἐν ταῖς ἑορτασίμοις.

[стр. 265). Δήλωσις ἡμερῶν τῶν νηστειῶν καὶ ποιότητος φαγητῶν.

[стр. 266). Περὶ διαίτης ὁλικῆς τοῦ ὅλου ἐνιαυτοῦ.

[стр. 267). Ὅρος ἀληθοῦς ἐγκρατείας.

— Περὶ καταλύσεως ἑορτῶν καὶ περὶ γονυκλισιῶν, ἤτοι μετανοιῶν, πότε γίνονται καὶ πότε οὔ.

[л. 269). Ἐκ τῶν ἀποστολικῶν Διατάξεων περὶ ἑορτῶν καὶ νηστειῶν.

[стр. 270). Περὶ νηστειῶν Διαταγαὶ τῶν ἀποστόλων.

Ὅτε οὐ γίνεται εἴσοδος, πῶς ἅπτουσι.

Καὶ πρῶτον, ὅτε μὴ γίνεται εἴσοδος ἐν τῷ ἑσπερινῷ, ἅπτουσιν εἰς τὸ Κύριε ἐκέκραξα τὰ δύο Δεσποτικὰ καὶ τὰ δύο ἕτερα τῶν δύο κιόνων, τὰ τέσσαρα μανουάλια, ἤτοι τὰ τέσσαρα κηρία μὲ λεπτὰ φῶτα καὶ τὸ προσκυνητάριον, τὸ δὲ προσκυνητάριον ἅπτει ἀπὸ τὴν ἀρχὴν

ἕως τέλους ἑσπερινοῦ καὶ ὄρθρου ἄσβεστον. Ὅτε δὲ ψάλλεται τὸ θεοτοκάριον καὶ οἱ οἶκοι τῆς Θεοτόκου, ἅπτει κηρὸς ἔμπροσθεν τῆς εἰκόνος τῆς Θεοτόκου. Ὁμοίως καὶ ὅτε ψάλλεται ἡ παράκλησις· εἰ δὲ ψάλλεται παράκλησις τοῦ ἁγίου τῆς μονῆς, ἔμπροσθεν τῆς εἰκόνος αὐτοῦ ἅπτει κηρίον, ὁμοίως καὶ εἰς τὸ ὄρθρον εἰς τὸ Θεὸς Κύριος αὐτὰ τὰ τέσσαρα μανουάλια ἅπτουσιν. Ὅτε δὲ ἀρχίσει τὸ Ψαλτήριον, σβέννυνται, καὶ πάλιν εἰς τὴν ἀρχὴν τοῦ κανόνος καθεκάστην ἅπτουσιν, ἕως τὰ καθίσματα τῆς τρίτης ᾠδῆς, καὶ σβέννυνται. Καὶ πάλιν ὅταν ψάλληται ἡ Τιμιωτέρα, ἅπτουσιν ἕως τὸ δοξαστικὸν τῶν ἀποστίχων τῶν αἴνων, καὶ σβέννυνται. Εἰς δὲ τὰς ὥρας, ὅταν λέγωνται τὰ τυπικὰ ἔσω τοῦ ναοῦ, ἅπτουσιν ἕως τὸ τέλος τοῦ εὐαγγελίου, καὶ σβύννονται. Αὕτη ἡ τάξις εἶναι, ὅτε οὐ γίνεται εἴσοδος. Ὅτε γίνεται εἴσοδος. Ὅτε δὲ γίνεται εἴσοδος ἑορταζομένου ἁγίου, εἰς μὲν τὸν ἑσπερινὸν, εἰς τὸ Κύριε ἐκέκραξα, ἅπτουσι τὰ τέσσαρα μανουάλια, καὶ οἱ τέσσαρες σταυροὶ ἀπὸ ἓν κηρίον μὲ λεπτὸν φῶς, καὶ τὰ ἕτερα δύο τῶν κάτω εἰκόνων τῶν κιονίων εἰς τὰ γεροντικά, καὶ τὰ δύο ἔξω τοῦ νάρθηκος, ἕως τὸ τέλος τῶν ἀποστίχων, καὶ σβέννυνται. Εἰς δὲ τὸν ὄρθρον, εἰς μὲν τὸ Θεὸς Κύριος, μόνον τὰ τέσσαρα κηρία τῶν μανουαλίων ἅπτουσι, καὶ ἐὰν ψάλληται πολυέλεος, ἅπτει τὰ τέσσαρα κηρία τῶν κάτω δρακόντων τοῦ πολυελέου, καὶ μετὰ τὸ Δόξα καὶ νῦν σβέννυνται. Ὅτε δὲ ψάλλεται τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου **[стр. 259)**· Ἐκ νεότητός μου, ἅπτονται πρῶτον οἱ τέσσαρες σταυροί, εἶτα τὰ ὀκτὼ μανουάλια τὰ δ' τοῦ τέμπλου, τὰ δύο τῶν κιονίων τῶν κάτω, καὶ τὰ δύο τοῦ νάρθηκος, καὶ ἅπτουσιν ἕως τὸ τέλος τῆς τρίτης ᾠδῆς καὶ σβύννονται. Τὰ αὐτὰ πάλιν ἅπτουσι καὶ εἰς τὴν ὀγδόην ᾠδήν, καὶ μένουσιν ἕως τὸ τέλος τῆς δοξολογίας, καὶ σβύννονται.

Εἰς δὲ τὴν λειτουργίαν, ἀπ' ἀρχῆς τοῦ Εὐλογημένη ἡ βασιλεία τὰ τέσσαρα μόνον, καὶ τὸ προσκυνητάριον ἅπτουσιν, ὅτε δὲ ψάλλεται τὸ Τρισάγιον, ἅπτουσιν οἱ δ' σταυροί, καὶ τὰ κάτω καὶ τοῦ νάρθηκος μανουάλια ἕως τὸ κοινωνικόν, εἰς δὲ τὸ κοινωνικὸν μένουσι μόνον τὰ δύο μεγάλα μανουάλια καὶ τὸ προσκυνητάριον ἁπτούμενα, τὰ δὲ λοιπὰ σβύννονται, ἅπτει δὲ καὶ μικρὸν μανουάλιον ἔμπροσθεν τῶν βημοθύρων, καὶ μετὰ τὸ Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, σβύνονται ἐκτὸς τοῦ προσκυνηταρίου.

Ὅτε δὲ ἀπερχόμεθα εἰς τὴν τράπεζαν τὰς κυριακὰς καὶ λοιπὰς ἑορτάς, μὴ γινομένης ἀγρυπνίας, τὸ ἓν μόνον μανουάλιον ἅπτει, καὶ οὐ

ψάλλομεν, ἀλλὰ λέγοντες τὸ Ὑψώσω σε, ὁ Θεός μου, εἰσερχόμεθα εἰς τὴν τράπεζαν, καὶ ἱστάμεθα ἕως τὸ τέλος τοῦ ψαλμοῦ, καὶ ἕως τὸ εἰπεῖν τὸ Πάτερ ἡμῶν ἀπὸ τοῦ ἄμβωνος ὁ κανονάρχης, καὶ εὐλογήσαντος τοῦ λειτουργοῦ ἱερέως, καθήμεθα. Τὸ δὲ κηρίον σβύννεται, καὶ ὅτε τελειώσῃ ἡ ἀνάγνωσις καὶ φάγωσιν οἱ πατέρες, ἐγείρονται οἱ ἐκκλησιαστικοί, καὶ ὁ μὲν ἅπτει τὸ μανουάλιον καὶ τίθησιν αὐτὸ ἐν τῷ μέσῳ τῆς τραπέζης, ὁ δὲ ἑτοιμάζει τὸν θυμιατόν, καὶ γίνεται ἡ τάξις τοῦ ὑψώματος, καὶ ἐξερχόμενοι τῆς τραπέζης, πρῶτον ὁ ἡγούμενος, εἶτα ὁ ἐφημέριος, εὐλογοῦσι τοὺς ἀδελφοὺς ἐξερχομένους.

Πῶς ὅταν γίνεται ἀγρυπνία. Ὅταν δὲ γίνεται ἀγρυπνία ἁγίου, ἢ κυριακῆς, μὴ οὔσης Δεσποτικῆς, ἢ Θεομητορικῆς ἑορτῆς, εἰς μὲν τὸν μικρὸν ἑσπερινὸν τὰ τέσσαρα μόνον κηρία καὶ τὸ προσκυνητάριον ἅπτουσιν, εἰς δὲ τὸν μέγαν ἑσπερινόν, εἰς τὸ τέλος τοῦ τρίτου ψαλμοῦ τοῦ Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με. Ἐὰν εἶναι κυριακή, εἰς τὴν τρίτην δόξαν ἅπτουσιν οἱ δʹ σταυροί, καὶ τὰ ὀκτὼ ἔσωθεν καὶ ἔξωθεν μανουάλια, εἰς δὲ τὸ προσκυνητάριον ἅπτει κηρὸς μὲ μεγάλην φωτίαν εἰς τὴν εἰκόνα τοῦ ἑορταζομένου ἁγίου, ἢ τῆς εἰκόνος τῆς Ἀναστάσεως, ἐὰν εἶναι κυριακή, καὶ ὅτε ἀναγινώσκονται τὰ ἀναγνώσματα τῶν προφητειῶν, σβύννονται. Εἰς δὲ τὸ Καταξίωσον, ἅπτει τὰ τρία κηρία τοῦ ἔξω πολυελέου τοῦ νάρθηκος καὶ ἐξέρχεται ἡ λιτή. Ὅταν δὲ λέγηται ἡ ἐσχάτη εὐχὴ τῆς λιτῆς, ἅπτει ὁ ἐκκλησιαστικὸς τοὺς σταυροὺς καὶ τὰ ἔσωθεν ἓξ μανουάλια, καὶ μένουσιν ἁπτόμενα ἕως τὴν εὐλόγησιν τῆς ἀρτοκλασίας. Καὶ μετὰ τὸ Πλούσιοι [стр. 260) ἐπτώχευσαν καὶ ἐπείνασαν, σβύννονται, εἶτα εἰς τὸ Θεὸς Κύριος, ἅπτει τὰ τέσσαρα μόνον. Εἰς τὸν πολυέλεον ἅπτονται τὰ τέσσαρα κηρία, εἶτα εἰς τοὺς ἀναβαθμοὺς ἅπτουσιν οἱ σταυροὶ καὶ τὰ ἔσω καὶ ἔξω κηρία τῶν μανουαλίων, ἄχρι τῆς τρίτης ᾠδῆς, καὶ σβύννονται, καὶ πάλιν εἰς τὴν ηʹ ᾠδὴν ἅπτονται ὅλα μέχρι τοῦ τέλους τῆς δοξολογίας. Εἰς τὴν λειτουργίαν πρῶτον τὰ δʹ τῶν μανουαλίων, καὶ εἰς τὸ Τρισάγιον οἱ σταυροὶ καὶ τὰ λοιπὰ κάτωθεν. Εἰσερχόμενοι δὲ εἰς τὴν τράπεζαν, ψάλλομεν τὸ ἀπολυτίκιον τοῦ ἁγίου, καὶ μὲ δύο μανουάλια, ὅτε γίνεται ἀγρυπνία, τὸ δὲ Ὑψώσω σε λέγεται ὁμοῦ μὲ τὸ Εὐλογήσω τὸν Κύριον.

Πῶς ἅπτονται ἐν ταῖς Δεσποτικαῖς καὶ Θεομητορικαῖς ἑορταῖς. Σημείωσαι, ὅτι αἱ Δεσποτικαὶ καὶ Θεομητορικαὶ διαιροῦνται εἰς τρεῖς τάξεις. Καὶ πρώτη τάξις εἶναι ἡ μεγάλη κυριακὴ τοῦ Πάσχα, ἡ τῶν Χριστουγέννων καὶ ἡ τῶν Θεοφανείων. Αὗται αἱ τρεῖς ἰσοδυναμοῦσι,

πρωτεύουσαι τῶν λοιπῶν. Δευτέρα δὲ τάξις εἰσὶν αἱ λοιπαὶ Δεσποτικαί· Ὑψώσεως τοῦ Σταυροῦ, Ὑπαπαντῆς, Εὐαγγελισμοῦ, Βαΐων, Θωμᾶ, Πεντηκοστῆς καὶ Μεταμορφώσεως. Τρίτη τάξις εἶναι ἡ Γέννησις τῆς Θεοτόκου, ἡ Εἴσοδος, ἡ Κοίμησις, τὸ Γεννέσιον τοῦ Προδρόμου, καὶ τῶν κορυφαίων ἀποστόλων Πέτρου καὶ Παύλου. Καὶ εἰς μὲν τὰς πρώτας τρεῖς, ἅπτονται ὅλα τὰ κηρία τῆς μεγάλης φωταγωγίας, χοροῦ λέγω, τὰ ἐπάνω κηρία τῶν μανουαλίων καὶ τὰ κάτω, ἀπὸ δύο εἰς τὸ καθέν, οἱ σταυροὶ καὶ τὰ δύο κηρία, καὶ ὁ πολυέλεος ὅλα του τὰ κηρία. Τὸ μὲν Πάσχα εἰς τὴν α' ἀνάστασιν, εἰς τὴν ἐννάτην ᾠδήν, εἰς τὴν λειτουργίαν καὶ εἰς τὴν δευτέραν ἀνάστασιν τοῦ ἑσπερινοῦ, τῶν δὲ Χριστουγέννων καὶ Θεοφανείων ἐν τῇ παραμονῇ, εἰς τὸν μέγαν ἑσπερινὸν εἰς τὸ Κύριε ἐκέκραξα ἅπτουσι τὰ ἐπάνω κηρία τῶν μεγάλων λαμπάδων τῶν μανουαλίων, καὶ ὁ χορὸς ὅλος ἄχρι τῶν ἀναγνωσμάτων, καὶ σβύνονται, εἶτα εἰς τὸ τροπάριον τῆς λειτουργίας οἱ σταυροὶ καὶ τὰ κάτωθεν ἀπὸ δύο ἅπτουσιν, ὡς τὸ κοινωνικόν· εἰς δὲ τὴν ἀγρυπνίαν ἐν τῇ λιτῇ, ἅπτεται ὁ πολυέλεος τοῦ νάρθηκος ὅλα τὰ κηρία, εἰς δὲ τὰ ἀπόστιχα οἱ σταυροὶ καὶ τὰ δύο κηρία καὶ τὰ μανουάλια τὰ ἐπάνω καὶ κάτω κηρία, εἶτα, ὅτε ψάλλεται ὁ πολυέλεος, ἅπτονται ὅλα του τὰ κηρία, ἕως νὰ ἀναγνωσθῇ τὸ εὐαγγέλιον τοῦ ὄρθρου. Εἰς δὲ τὴν ἐννάτην ᾠδὴν ἅπτονται ὅλα τὰ τοῦ χοροῦ καὶ τὰ ἄνω καὶ κάτω τῶν μανουαλίων, καὶ σταυροὶ διπλά, ἕως τὸ τέλος τῆς δοξολογίας. Ὁμοίως καὶ εἰς τὴν λειτουργίαν μετὰ τὴν πρώτην εἴσοδον ἅπτονται ὅλα, καὶ χορὸς καὶ μανουάλια καὶ σταυροί, ἄνευ τοῦ μεγάλου πολυελέου, ἅπτονται δὲ τὰ μικρὰ πολυέλεα τέσσαρα τὰ εἰς τοὺς δύο χορούς, καὶ τὸ πρὸς τὰ βημόθυρα, καὶ τὸ πρὸς τὴν δύσιν κατὰ τὴν ὡραίαν πύλην, καθὼς ἐν τῇ μονῇ Ξενοφῶντος καὶ Ῥωσσικοῦ συνηθίζουσιν. Ἑσπέρας δὲ τῇ αὐτῇ ἡμέρᾳ τῶν Χριστουγέννων καὶ Φώτων καὶ Πεντηκοστῆς, ἅπτεται ὁ χορὸς εἰς τὸ Κύριε ἐκέκραξα, διὰ τὸ γένεσθαι εἴσοδος μεγάλη, καὶ ψάλλεται τὸ Φῶς ἱλαρόν, καὶ τὰ μεγάλα προκείμενα. Ὁμοίως καὶ τῇ κυριακῇ τῆς ἀποτυρώσεως ἑσπέρας, ἅπτεται ὁ χορὸς διὰ τὸ μέγα προκείμενον καὶ διὰ τὸ Ἔλαμψεν ἡ χάρις σου, Κύριε, καὶ ἔναρξιν τῆς ἁγίας τεσσαρακοστῆς, κρούουσι δὲ καὶ οἱ κώδωνες. Προσέτι τῇ δευτέρᾳ τοῦ Πάσχα, τῇ μετὰ τῶν Χριστουγέννων κς', τῆς συνάξεως τῆς Θεοτόκου, καὶ τῇ δευτέρᾳ τοῦ ἁγίου Πνεύματος, ἅπτεται ὁ χορὸς ἐν τῇ ἐννάτῃ ᾠδῇ τοῦ ὄρθρου, ἕως τὸ τέλος τῆς δοξολογίας, ὁμοίως καὶ εἰς τὴν λειτουργίαν, ὅτε ψάλλεται ὁ Τρισάγιος ὕμνος, ἕως τὸ κοινωνικόν. Ταῦτα τῶν Δεσποτικῶν ἑορτῶν.

Πῶς ἅπτονται ταῖς λοιπαῖς Θεομητορικαῖς ἑορταῖς. Ἐν δὲ ταῖς Θεομητορικαῖς ἑορταῖς καὶ λοιπαῖς Δεσποτικαῖς ἐξίσου, ἤγουν εἰς τὸ Γεννέσιον τῆς Θεοτόκου, Ὕψωσιν τοῦ Σταυροῦ, Εἴσοδον τῆς Θεοτόκου, Ὑπαπαντήν, Εὐαγγελισμόν, Βαΐων, Ἀναλήψεως, Πεντηκοστήν, Προδρόμου Γεννέσιον, ἁγίων ἀποστόλων τῶν κορυφαίων, Μεταμορφώσεως καὶ Κοιμήσεως τῆς Θεοτόκου, εἰς τὸ Κύριε ἐκέκραξα, ἅπτουσιν οἱ σταυροὶ ἀπὸ δύο κηρία ὁ κάθε εἷς, ὁμοίως καὶ τὰ δύο κηρία τοῦ κάθε ἑνὸς μανουαλίου, καὶ τὰ ὀκτὼ τοῦ χοροῦ, ἕως τὰ ἀναγνώσματα τῶν προφητειῶν. Εἰς δὲ τὴν λιτήν, ἅπτουσιν ὅλα τὰ κηρία τοῦ ἐν τῷ νάρθηκι πολυελέου, ὁμοίως καὶ ὅτε ψάλλεται ὁ πολυέλεος, ἅπτονται ὅλα του τὰ κηρία. Καὶ πάλιν εἰς τοὺς αἴνους ἅπτουσιν ὅλα, καθὼς εἰς τὸ Κύριε ἐκέκραξα. Μάλιστα ὁποῦ τὰ Τυπικὰ διορίζουν εἰς ὅλας αὐτὰς τὰς ἐξῃρημένας ἑορτάς, νὰ διανεμωνται καὶ κηρία εἰς ὅλους τοὺς ἀδελφούς, ὡς τὸ λαμπρὸν τῆς χάριτος τῶν τοιούτων ἑορτῶν ἐμφαίνοντας, καὶ λαμπαδηφοροῦντας νὰ ἀσπάζωνται τὰς ἁγίας εἰκόνας, καὶ νὰ χρίωνται ἀπὸ τὸ ἅγιον ἔλαιον τῆς κανδήλας, ὁποῦ ἅπτεται εἰς τὸ προσκυνητάριον, βαλλομένου ἐν τῇ κανδήλῃ πρότερον τοῦ εὐλογηθέντος ἐν τῇ ἀρτοκλασίᾳ ἐλαίου. Τὰ ὁποῖα αὐτὰ καλὰ ἐξ ἀμελείας καὶ φειδωλίας ἔλειψαν καὶ ἀφέθησαν.

Ὁμοίως καὶ ἐν τῇ λειτουργίᾳ τῶν ἄνω εἰρημένων ἑορτῶν ἅπτονται τὰ αὐτά [стр. 262), ἤτοι ἐν τῷ ἑσπερινῷ καὶ ἐν τῷ ὄρθρῳ, ψαλλομένης τῆς δοξολογίας, περισσότερον μᾶλλον ἐχούσης ἔννοιαν τοῦ ἑσπερινοῦ· ἡ μὲν γὰρ φωτοχυσία τοῦ ἑσπερινοῦ τῶν μεγάλων ἑορτῶν δηλοῖ τὴν ἑσπέραν τοῦ βίου καὶ χρόνων ἐπ' ἐσχάτων χάριν τῆς ἐνσάρκου πρώτης παρουσίας τοῦ Κυρίου, ἡ δὲ τοῦ ὄρθρου τὴν ἐπιφανῆ ἡμέραν τῆς ἐνδόξου δευτέρας ἐλεύσεως τοῦ Σωτῆρος. Πολλῷ δὲ τῶν δύο περισσότερον ἡ τῆς λειτουργίας, ἥτις περιέχει ὅλα τὰ μυστήρια, καὶ ὅλα τὰ τῶν ἑορτῶν τεκμήρια, τελεσιουργοῦσα τὰ πάντα, ὅτι μόνη ἡ ἀγρυπνία ἄνευ λειτουργίας, ὡς σῶμα χωρὶς κεφαλὴν λογίζεται.

Μὴ φειδώμεθα οὖν, πατέρες, τὰ πρὸς τὸν Θεὸν φερόμενα δῶρα, ἐπὶ λόγῳ σωματικῶν ἐκπληρώσεως χρειῶν ἀναγκαίων, ἵνα μὴ τοῦ Κάϊν θυσίαν προσφέρωμεν τῷ διδόντι ἡμῖν ὑπὲρ ἐκ περισσοῦ, ὧν χρείαν ἔχομεν, ἀλλ' ὡς ὁ δίκαιος Ἄβελ τὰ πρωτόλεια καὶ ἐκλεκτότερα τῷ δόντι προσφέρωμεν, ἵνα μὴ πρὸς ἡμᾶς ἡ ἀποστροφὴ ἐπιστρέψῃ κατῃσχυμένη, ὅτι εἰς σωματικὰς χρείας ἀφειδῶς δαπανῶμεν ἀκρίτως πολλά, πρὸς δὲ τὰ εἰς τὸν Θεὸν προσφερόμενα· κηρία, ἄρτους, ἔλαιον καὶ οἶνον, φειδομένως, καὶ οὐ τὰ ἐκλεκτότερα καὶ καθαρότερα, προσ-

φέρομεν, ὅθεν, ἵνα μὴ οὕτω γένῃ εἰς ἡμᾶς, μὴ φειδώμεθα τὰ ἐν τῷ ναῷ τοῦ Κυρίου ἐξοδευόμενα, ἵνα μὴ ὡς Ἠλὶ καὶ οἱ υἱοὶ αὐτοῦ κατακριθῶμεν, ἀλλ' ὡς Σαμουὴλ καὶ Ζαχαρίας εὐλογηθῶμεν.

Ἐσχάτως σημειοῦμεν καὶ περὶ τῆς πανηγύρεως τοῦ ἁγίου τῆς μονῆς, ὡς ἀναγκαίας οὔσης. Πῶς δεῖ καὶ ἐν τῇ ἑορτῇ καὶ πανηγύρει τοῦ θαυματουργοῦ καὶ προστάτου ἡμῶν Νικολάου ποιεῖν τὴν φωτοχυσίαν ἐν τῇ ἀγρυπνίᾳ τῆς αὐτοῦ πανηγύρεως.

Γνωστὸν καὶ πασίδηλον εἶναι, ὅτι καθὼς πανηγυρίζομεν τὰς μεγάλας ἑορτὰς τῶν Χριστουγέννων καὶ Πάσχα, οὕτω καὶ τὴν ἑορτὴν τοῦ ἁγίου τῆς μονῆς, ὅθεν, καθὼς ἐδηλώσαμεν εἰς αὐτὰς τὰς ἑορτάς, οὕτω γενέσθω ἡ φωταγωγία καὶ ἐν τῇ μνήμῃ τοῦ ἁγίου Νικολάου, ἤγουν εἰς τὸ Κύριε ἐκέκραξα ἅπτονται ὅλα τὰ κηρία τῶν μανουαλίων καὶ χοροῦ, ὁμοίως καὶ ἐν τῇ λιτῇ, καὶ ὅτε ψάλλεται ὁ πολυέλεος, ἅπτονται ὅλα τὰ κηρία τοῦ πολυελέου. Μένει δὲ ἁπτόμενος ὁ πολυέλεος ἄχρι τρίτης ᾠδῆς [1]) [**стр. 263**), εἶτα πάλιν εἰς τὴν ἐννάτην ᾠδὴν ἅπτονται, καθὼς εἰς τὸν ἑσπερινόν, ἄχρι τοῦ τέλους τῆς δοξολογίας καὶ σβύνονται.

Καὶ πάλιν εἰς τὴν λειτουργίαν, μετὰ τὴν πρώτην εἴσοδον ἅπτονται ὅλα, καθὼς εἰς τὸν ἑσπερινόν. Αὕτη ἡ τάξις τῆς φωταγωγίας ἦτον καὶ σώζεται ἐν τῇ τοῦ Βατοπεδίου μονῇ, Ξενοφῶντος καὶ Ῥωσσικοῦ, Χελανδαρίου, Ζωγράφου καὶ ἑτέρων. Μάλλιστα ἅπτουσι καὶ εἰς τὰς Δεσποτικὰς ἑορτὰς τοῦ τέμπλου εἰκοσιτέσσαρα κηρία ἐκ παλαιᾶς παραδόσεως. Τὸ δὲ ἐν μόνῳ τῷ ἑσπερινῷ ἅπτειν ὅλα τὰ κηρία, εἰς δὲ τὴν δοξολογίαν, καὶ λειτουργίαν τὰ συνήθη λεπτόφωτα, καὶ μένειν τὸν ναὸν σκοτινὸν ἐν ταῖς λαμπραῖς ταύταις ἡμέραις, ὡς πενιχρόν, τοῦτο ἀνευλαβῶν ἰδιοῤῥύθμων μεταγενεστέρων φειδωλίας ἐστὶν ἐφεύρεμα. Προσέτι ἐν αὐτῇ τῇ ἡμέρᾳ τῆς πανηγύρεως, ἑσπέρας γίνεται εἴσοδος μεγάλη παρ' ὅλων τῶν παρατυχόντων ἱερέων, καὶ ἅπτεται ὁ χορὸς καὶ ἐν αὐτῷ τῷ ἑσπερινῷ.

Εἰς δὲ τὸ μνημόσυνον τῶν κτιτόρων, ἅπτεται ὁ πολυέλεος. Πρὸς τούτοις, εἰς τὴν Ὕψωσιν τοῦ Σταυροῦ, τῇ τρίτῃ κυριακῇ τῶν νηστειῶν, εἰς τὴν εἴσοδον τοῦ σταυροῦ, ὅτε ψάλλεται ἡ δοξολογία, ἅπτεται ὁ μέγας πολυέλεος, διὰ τὸ ἀποτίθεσθαι ὑποκάτωθεν αὐτοῦ τὸν τίμιον

[1]) Σημείωσαι, ὅτι κατ' ἐξαίρετον εἰς τὴν ἑορτὴν τῶν Εἰσοδίων μένει ὁ πολυέλεος ἄχρι τῆς καταβασίας· Χριστὸς γεννᾶται, ἁπτόμενος, καὶ τῇ κυριακῇ τῶν Βαΐων ἄχρι τοῦ ἀσπασμοῦ τοῦ Εὐαγγελίου καὶ διαδόσεως τῶν βαΐων, καὶ εἰς τὴν ἑορτὴν τοῦ ἁγίου τῆς μονῆς, μέχρι τῆς τρίτης ᾠδῆς.

σταυρόν. Ὁμοίως καὶ τῇ μεγάλῃ παρασκευῇ εἰς τὸν ἑσπερινὸν ἅπτεται ὁ μέγας πολυέλεος, διὰ τὸ ἀποτίθεσθαι ὑποκάτωθεν αὐτοῦ τὸν ἐπιτάφιον, ὡσαύτως καὶ εἰς τὸν ὄρθρον, ὅτε ψάλλονται τὰ ἐγκώμια τοῦ Ἀμώμου, καὶ εἰς τοὺς αἴνους διὰ τὸν ἀσπασμὸν αὐτοῦ. Αὕτη ἐστὶν ἡ τάξις τῆς ἅψεως τῶν κηρίων.

Περὶ τῆς ἐν τῇ τραπέζῃ γινομένης παρακλήσεως.

Σημείωσαι καὶ τοῦτο, ὅτι, ὅτε φαίνεται εἰς τὸ Τυπικόν, τὸ εἰς τὴν τράπεζαν γίνεται παράκλησις τοῖς ἀδελφοῖς μεγάλη, ἔχει δύο σημασίας· ἡ μὲν τῶν φαγητῶν τῆς τραπέζης πλουσιοπάροχος παράθεσις καταλύσεως, ἡ δὲ μετὰ τὴν τράπεζαν ψάλλοντες, εἰσερχόμεθα μετὰ μανουαλίων εἰς τὸν ναόν, καὶ γίνεται αἴτησις· Καὶ ὑπὲρ τοῦ διαφυλαχθῆναι, Κύριε ἐλέησον τεσσαράκοντα κ. τ. λ. καὶ ἀπόλυσις. Ὁ δὲ πολυέλεος τῆς τραπέζης ἅπτεται τὸ Πάσχα, Χριστουγέννων, Φώτων καὶ εἰς τὴν πανήγυριν τοῦ ἁγίου Νικολάου, καὶ τῇ κυριακῇ ἑσπέρας τῆς ἀποτυρώσεως.

CXLIX. Τυπικὸν ἄριστον σὺν Θεῷ ἁγίῳ, περιέχον πᾶσαν τὴν διάταξιν καὶ ἑρμηνείαν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας τοῦ χρόνου ὅλου αωνδ'—1854. Τυπικὸν τοῦ παρόντος βασιλικοῦ πατριαρχικοῦ σταυροπηγιακοῦ ἱεροῦ κοινοβίου, τοῦ ἐπ' ὀνόματι τιμωμένου τοῦ ἁγίου ἐνδόξου πανευφήμου ἀποστόλου, πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου, τοῦ ἐπικεκλημένου Κωνσταμονίτου, συντεθὲν μὲν παρά τινος διδασκάλου κυρίου Διονυσίου μοναχοῦ, Πελοποννησίου Ξενοφωντεινοῦ, συλλεχθὲν δὲ παρὰ Μελετίου ἱερομονάχου Βεῤῥοιαίου, ὑποταχτικοῦ τοῦ ὁσιολογιωτάτου γέροντος κὺρ Ἰωσὴφ Μιτυληναίου, καλλιγραφὲν δὲ καὶ ἐπιμελῶς διορθωθὲν παρὰ Δοσιθέου μοναχοῦ Λεσβίου, τέκνου γνησιωτάτου τῆς αὐτῆς μονῆς, προτροπῇ τοῦ πανοσιωτάτου καὶ σεβασμιωτάτου ἁγίου καθηγουμένου ἡμῶν κὺρ Συμεὼν ἱερομονάχου, κατὰ τὸ σωτήριον ἔτος ͵αωνδ'—1854. Οἱ δὲ ἀναγινώσκοντες καὶ πάντα τὰ ἀπορούμενα εὐκόλως εὑρίσκοντες ἐν αὐτῷ, εὔχεσθε πρὸς Κύριον ὑπὲρ τῶν κοπιασάντων. Соборный Типиконъ Аѳоно-Костамонитскаго монастыря, рукопись въ листъ, писана прекрасною и четкою скорописью на 210 страницахъ. По содержанію и по тексту Типиконъ сходенъ съ соборнымъ Типикономъ Ксенофскаго монастыря (стр. 532—538), за незначительными особенностями въ текстѣ, отмѣченными въ варіантахъ.

[стр. 1). Τυπικὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας.

Τάξις γινομένη ἐν ταῖς ἀγρυπνίαις.

Περὶ τὴν ἑνδεκάτην ὥραν ἀπέρχεται ὁ ἐκκλησιάρχης [1]) καὶ βάλλει μετάνοιαν τῷ ἡγουμένῳ, καὶ ὑποστρέψας, σημαίνει τὸ χειροσήμαντρον. Τῶν δὲ ἀδελφῶν συναχθέντων ἐν τῷ νάρθηκι τοῦ ναοῦ, βάλλει μετάνοιαν ὁ ἐφημέριος ἱερεὺς τῷ ἡγουμένῳ, εἰ πάρεστιν, εἰ δ' οὐ, εἰς τὸν τόπον αὐτοῦ, καὶ εὐλογήσαντος, ἀναγινώσκει τὴν θ' ὥραν ὁ διαβαστής [2]), ὁ αὐτὸς δὲ λέγει καὶ τὴν εὐχὴν τῆς ὥρας, ὁμοίως καὶ τὸν προοιμιακὸν ψαλμόν, καὶ οὐχ ὁ ἡγούμενος, ὡς σύνηθες. Εἶτα ἐκφωνεῖ ὁ κανονάρχης ἀπὸ τοῦ στασιδίου αὐτοῦ τὸν ἦχον, οἱ δὲ ψάλται ψάλλουσι τὸ Κύριε ἐκέκραξα, καὶ τοὺς λοιποὺς στίχους μετὰ τῶν τροπαρίων τῆς τυχούσης ἑορτῆς [3]), τὸ Φῶς ἱλαρὸν ὁ διαβαστής [4]), ὁ δὲ κανονάρχης ἐκφωνεῖ πάλιν ἀπὸ τοῦ στασιδίου αὐτοῦ τὸ τῆς ἡμέρας προκείμενον, εἶτα τὸ Καταξίωσον, Κύριε, ὁ αὐτὸς διαβαστής, καὶ εὐθὺς τὰ στιχηρὰ τοῦ στίχου, τὸ Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ ἀπολυτίκιον, ἐκτενὴ μικρὰ καὶ ἀπόλυσις [стр. 2). Καὶ εὐθὺς εἰσερχόμεθα εἰς τὴν τράπεζαν, ἐὰν δηλαδὴ ἐστὶ διφαγία, εἰδ' οὐ, ἡσυχάζομεν ἐν τοῖς κελλίοις ἡμῶν.

Περὶ δὲ α' ὥραν τῆς νυκτὸς (ἐὰν καιρὸς θέρους ἐστί, ἐὰν δὲ χειμῶνος, μετὰ β', ἢ καὶ γ' τῆς νυκτὸς) ἀπέρχεται ὁ ἐκκλησιάρχης [5]) καὶ ἅπτει τὰς κανδήλας, εἶτα πορευθεὶς τῷ ἡγουμένῳ, βάλλει μετάνοιαν, καὶ ἀπελθών, κρούει πρῶτον τὸ μέγα ξύλον, εἶτα τὸ σιδηροῦν, εἶτα καὶ τοὺς ἱεροὺς κώδωνας. Τῶν ἀδελφῶν συναχθέντων ἐν τῷ νάρθηκι, βάλλει ὁ ἐφημέριος ἱερεὺς μετάνοιαν τῷ ἡγουμένῳ, καὶ εὐλογήσαντος, ἀναγινώσκει ὁ διαβαστὴς [6]) τὸ ἀπόδειπνον, μετὰ δὲ τὸ εἰπεῖν τὸ Πιστεύω, ἀπέρχεται ὁ κανονάρχης [7]) ἐν τῷ μέσῳ, καὶ κανοναρχεῖ τὸν συνήθη παρακλητικὸν τῆς Θεοτόκου κανόνα, ὃν καὶ ψάλλομεν ἀργῶς καὶ εὐλαβῶς, μετὰ δὲ τὴν τούτου τελείωσιν [8]), ἀναγινώσκομεν καὶ τοὺς οἴκους τῆς Θεοτόκου, ἀργῶς καὶ μετὰ κατανύξεως. Τούτων δὲ πληρωθέντων, ἄρχεται ὁ διαβαστὴς τῆς ἀναγνώσεως τοῦ λοιποῦ ἀποδείπνου, μετὰ δὲ τὴν τούτου τελείωσιν, ποιεῖ ὁ ἱερεὺς ἀπόλυσιν, καὶ εἰσερχόμεθα ἐν τῷ ναῷ.

Ὁ δὲ ἐφημέριος ἱερεύς, εἰσελθὼν ἐν τῷ ἁγίῳ βήματι, καὶ λαβὼν τὸ θυμιατὸν μετὰ θυμιάματος, ἀνοίγει τὰς ἁγίας θύρας. Ὁ δὲ ἐκκλη-

---

[1]) Рукоп. соборн. Типик. Ксенофскаго м. παρεκκλησιάρχης [2]) ὁ ἐκκλησιάρχης [3]) τυχόντων [4]) ὁ ἐκκλησιάρχης [5]) παραεκκλησιάρχης. [6]) ὁ ἐκκλησιάρχης [7]) ὁ ἐφημέριος ἱερεὺς [8]) ἀπέρχεται ἕτερος ἱερεὺς ἐν τῷ αὐτῷ τόπῳ καὶ ἀναγινώσκει

σιάρχης [1]), ἔχων μανουάλιον προηυτρεπισμένον μετὰ λαμπάδος ἁπτούσης, βάλλει μετάνοιαν ἔμπροσθεν τῶν ἁγίων θυρῶν, καὶ λαβὼν τὸ μανουάλιον, ἐκφωνεῖ τὸ Κελεύσατε. Ὁ δὲ ἱερεὺς ἐξέρχεται διὰ τῶν ἁγίων θυρῶν, καὶ θυμιᾷ, ὡς σύνηθες, ὅλον τὸν ναὸν καὶ τοὺς ἀδελφούς, προπορευομένου τοῦ ἐκκλησιάρχου [2]) μετὰ τοῦ μανουαλίου, ὑποστρέψας δὲ εἰσέρχεται ἐν τῷ ναῷ διὰ τῆς βασιλικῆς πύλης, καὶ ποιήσας σταυρὸν μετὰ θυμιατοῦ ἐν τῷ μέσῳ, λέγει μεγαλοφώνως [**стр.** **3**) καὶ μετὰ μέλους τὸ Κύριε εὐλόγησον, εἶτα θυμιᾷ αὖθις τὸν προεστῶτα, ἢ τὸν τόπον αὐτοῦ, καὶ τὰς ἁγίας εἰκόνας. Εἰσελθὼν δὲ διὰ τῶν ἁγίων θυρῶν εἰς τὸ ἅγιον βῆμα, καὶ στὰς ἐνώπιον τῆς ἁγίας τραπέζης, ποιεῖ μετὰ τοῦ θυμιατοῦ σταυρόν, καὶ εὐθὺς ἐκφωνεῖ τὸ Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ, καὶ τὰ ἑξῆς. Ὁ δὲ πρῶτος χορὸς ἀναγινώσκει τὸν προιμιακόν, καὶ ὁ ἱερεὺς ἐξελθών, ἵσταται ἀσκεπὴς ἐνώπιον τῶν ἁγίων θυρῶν, καὶ ἀναγινώσκει μυστικῶς τὰς συνήθεις εὐχὰς τοῦ ἑσπερινοῦ. Ἐν δὲ τῇ ἑορτῇ τῆς μονῆς, ἐν ᾗ ψάλλονται τὰ Ἀνοιξαντάρια, οὐκ ἀναγινώσκει τὰς εὐχὰς ἐν τῇ ἐνάρξει τοῦ προοιμιακοῦ, ἀλλὰ μετὰ τὸ εἰπεῖν τὸ Πάντα ἐν σοφίᾳ ἐποίησας, εἶτα ποιεῖ ὁ ἱερεὺς μεγάλην συναπτήν, καὶ μετὰ τὴν ἐκφώνησιν στιχολογοῦμεν μετὰ μέλους τοὺς τρεῖς ψαλμοὺς τοῦ πρώτου καθίσματος, καὶ εἰ τύχῃ κυριακῇ, ἀναγινώσκομεν καὶ τοὺς λοιποὺς ψαλμοὺς τοῦ καθίσματος, ὧν πληρωθέντων, ποιεῖ ὁ ἱερεὺς μικρὰν συναπτήν. Μετὰ τὴν ἐκφώνησιν δὲ ἀπέρχεται ὁ κανονάρχης, καὶ ἵσταται ἔμπροσθεν τοῦ χοροῦ, τοῦ ποιοῦντος τὴν ἔναρξιν, καὶ λέγει ἐκφώνως τὸν τυχόντα ἦχον, οἱ δὲ χοροὶ ψάλλουσι τὸ Κύριε ἐκέκραξα, σὺν τοῖς λοιποῖς στίχοις. Ὁ δὲ κανονάρχης εἰς τὸ Πρόσχες τῇ φωνῇ, βάλλει μετάνοιαν εἰς τὸν χορόν, τοῦ δὲ δευτέρου χοροῦ ψάλλοντος τὸ Κατευθυνθήτω, ἐξέρχεται ὁ ἱερεὺς τοῦ ἁγίου βήματος, καὶ θυμιᾷ τὰς ἁγίας εἰκόνας καὶ πάντας τοὺς ἀδελφούς. Οἱ δὲ χοροὶ ψάλλουσι τὰ τυχόντα τροπάρια μετὰ τῶν στίχων, καὶ ὅταν ὁ β' χορὸς εἴπῃ τὸ Ὅτι ἐκραταιώθη, ποιεῖ ὁ κανονάρχης μετάνοιαν ἐν τῷ μέσῳ μικρὰν καὶ ἐκφωνεῖ τὸν ἦχον τοῦ εἰς τὸ Δόξα ἰδιομέλου, εἴσοδος, τὸ Φῶς ἱλαρόν, ὁ δὲ κανονάρχης, ἀπελθὼν ἐν τῷ μέσῳ, ἐκφωνεῖ ἀσκεπὴς τὸ προκείμενον τῆς ἡμέρας [**стр.** **4**), ὑποψιθυρίζων καὶ τοὺς στίχους, εἶτα ἀναγινώσκει τὰς προφητείας, ἐὰν ἔχῃ ἡ ἡμέρα, εἰδ' οὐ, ποιεῖ σχῆμα εἰς τοὺς δύο χορούς, ἀπελθὼν ἔμπροσθεν τῶν ἁγίων θυρῶν, προσκυνεῖ, εἶτα βαλὼν τὸ κου-

[1]) παρεκκλησιάρχης [2]) idem.

*

κούλιόν του, καὶ κατὰ δυσμὰς στραφείς, ποιεῖ σχῆμα, καὶ ἀπέρχεται ἐν τῷ στασιδίῳ αὐτοῦ. Ὁ δὲ ἱερεὺς λέγει τὸ Εἴπωμεν πάντες, καὶ τὴν συνήθη ἐκτενήν, ὁ χορὸς τὸ Καταξίωσον, ὁ δὲ ἱερεὺς τὸ Πληρώσωμεν τὴν ἑσπερινήν, καὶ τὰ λοιπὰ τῆς συναπτῆς. Μετὰ δὲ τὴν ἐκφώνησιν, ἐξέρχεται ὁ ἱερεὺς μετὰ θυμιατοῦ διὰ τῶν ἁγίων θυρῶν καί, τοῦ κανονάρχου προπορευομένου μετὰ κηρομανουαλίου, ἐξέρχεται μετὰ τοῦ ἡγουμένου καὶ τῶν ψαλτῶν ἐν τῷ νάρθηκι τοῦ ναοῦ, ἐν ᾧ ψάλλομεν τὰ συνήθη τῆς λιτῆς τὰ τροπάρια, ὁ δὲ ἐκκλησιάρχης κλείει εὐθὺς τὴν βασιλικὴν θύραν. Μετὰ δὲ τὴν πλήρωσιν τῶν ψαλλομένων τροπαρίων, ἀπελθὼν ὁ ἱερεύς, καὶ στὰς πρὸ τῆς βασιλικῆς θύρας κατ' ἀνατολάς, λέγει ἐκφώνως τὸ Σῶσον, ὁ Θεός, τὸν λαόν σου, κ. τ. λ. Τότε ὁ ἐκκλησιάρχης ἀνοίγει πάλιν τὴν βασιλικὴν πύλην, καὶ ὁ ἱερεὺς μνημονεύει, ὧν θέλει ζώντων καὶ τεθνεώτων, μετὰ δὲ τὸ Ἐπάκουσον ἡμῶν, ὁ Θεός, καὶ τ. λ., ἀπερχόμενος ἄνωθεν τῶν μανουαλίων τῶν ἐν τῷ μέσῳ, βλέπων κατὰ δυσμάς, λέγει τὸ Εἰρήνη πᾶσι, Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνατε, καὶ ἡμῶν κλινόντων τὰς κεφαλάς, λέγει τὴν εὐχήν· Δέσποτα πολυέλεε, εἶτα εἰσερχόμεθα ἐν τῷ ναῷ, καὶ ψάλλομεν τὰ στιχηρὰ τοῦ στίχου. Ὁ δὲ ἱερεύς, χαλάσας τὸ φελώνιον [1] αὐτοῦ, ἵσταται πλησίον τοῦ ἀριστεροῦ κίονος, βλέπων πρὸς τὸ ἀναλογεῖον τῶν ἄρτων, ἅμα δὲ τὸ εἰπεῖν τὸν ψάλτην τὸ Δόξα, στρέφεται κατ' ἀνατολὰς καὶ προσκυνεῖ τρίς, εἶτα ποιήσας κατὰ δυσμὰς σχῆμα τοῖς ἀδελφοῖς, εἰσέρχεται εἰς τὸ ἅγιον βῆμα, εἶτα τὸ Νῦν ἀπολύεις, ὁ διαβαστὴς [2]) τὸ Τρισάγιον, οἱ ψάλται τὰ **[стр. 5)** συνήθη τυχόντα τροπάρια. Τούτων δὲ ψαλλομένων, ἐξέρχεται ὁ ἱερεὺς διὰ τῶν ἁγίων θυρῶν, καὶ θυμιᾷ τοὺς ἄρτους γύρωθεν, σχῆμα μὴ ποιῶν αὐτοῖς, ἄρτος γὰρ ἔτι ἐστὶν ἁπλοῦς καὶ ἀνευλόγητος, εἶτα, θυμιάσας τὸν ἡγούμενον καὶ τὸν τῆς μονῆς ἅγιον, καὶ δοὺς τὸ θυμιατὸν τῷ ἐκκλησιάρχῃ, ἀπέρχεται, ἔνθα τὸ ἀναλογεῖον τῶν ἄρτων, λαβὼν δὲ ἕνα ἀνὰ χεῖρας, λέγει ἐκφώνως τὴν εὐχήν. Ὅταν δὲ εἴπῃ τὸ Αὐτὸς εὐλόγησον καὶ τοὺς ἄρτους τούτους, ποιεῖ, σὺν ᾧ ἀνὰ χεῖρας ἔχει ἄρτῳ, σημεῖον σταυροῦ ἄνωθεν τῶν λοιπῶν ἄρτων, καὶ ὅταν εἴπῃ τὸ Ὅτι σὺ ὁ εὐλογῶν καὶ ἁγιάζων, κατατίθησι τὸν ἄρτον ἐν τῷ τόπῳ αὐτοῦ, καὶ εὐλογεῖ τῇ χειρὶ αὐτοῦ πάντας τοὺς ἄρτους, τόν τε σῖτον, τὸν οἶνον καὶ τὸν ἔλαιον, εἶτα προσκυνήσας τρίς, καὶ σχῆμα ποιήσας εἰς τοὺς χορούς, εἰσέρχεται ἐν τῷ ἁγίῳ βήματι. Ὁ δὲ διαβαστὴς ἐκφωνεῖ τρὶς τὸ

---

[1]) φενώλην [2]) ὁ ἐκκλησιάρχης.

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον, Δόξα καὶ νῦν, καὶ Εὐλογήσω τὸν Κύριον, μέχρι τοῦ Ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν. Ὁ δὲ πρῶτος χορὸς ψάλλει μετὰ μέλους τὸ Πλούσιοι ἐπτώχευσαν, τούτου πληρωθέντος, ὁ ἱερεύς, στὰς ἔσωθεν τῶν ἁγίων θυρῶν, καὶ βλέπων πρὸς δυσμάς, ἐκφωνεῖ τὸ Εὐλογία Κυρίου ἐφ' ἡμᾶς τῇ αὐτοῦ χάριτι, καὶ τὰ ἑξῆς, εἰπόντος πρῶτον· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ δὲ κανονάρχης ἀναγινώσκει τὴν ἐπιγραφὴν τῆς ἀναγνώσεως, καὶ εἰς τὸ τέλος αὐτῆς λέγει τὸ Εὐλόγησον, δέσποτα, ὁ δὲ ἱερεὺς τὸ Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, τότε ὁ κανονάρχης εἰπὼν τὸ Ἀμήν, ἀναγινώσκει τὴν ὑπὸ τοῦ ἐκκλησιάρχου ταχθεῖσαν ἀνάγνωσιν ἐν τῷ τετραπόδῳ, εὐρύθμως καὶ εὐτάκτως.

Ἰστέον δέ, ὡς, ὅταν ἀγρυπνία ἐστίν, ἐν τῇ ἐνάρξει τῆς ἀναγνώσεως, τὸ Εὐλόγησον, δέσποτα, ἐκφωνεῖ ὁ κανονάρχης, ἵνα τὸ Εὐλογητὸς ὁ Θεός, εἴπῃ ὁ ἱερεύς, ὅπερ ἀφῆκεν ἐν τῇ ἀρχῇ τοῦ ἑσπερινοῦ [стр. 6), διὰ τὴν τάξιν τῆς ἀγρυπνίας, ὅταν δὲ οὐκ ἔστιν ἀγρυπνία, ἀλλ' ὄρθρος, τὸ Εὐλόγησον, πάτερ, ἐκφωνεῖ καὶ ὁ ἱερεὺς καὶ τὸ Δι' εὐχῶν κ. τ. λ.

[стр. 6). Περὶ τοῦ πῶς ἐπιτελοῦμεν πάντοτε τὴν καθημερινὴν ἀκολουθίαν, ἑορτῆς τινὸς μὴ τυχούσης.

[стр. 13). Ἡ ἀκολουθία σαββάτου, ὅταν ἐστὶ Θεὸς Κύριος.

[стр. 16). Ἡ ἀκολουθία σαββάτου, ἔχοντος Ἀλληλούια.

[стр. 17). Ἡ ἀκολουθία τῆς κυριακῆς μόνης.

. . . . Τελέσας δὲ ὁ ῥηθεὶς κανονάρχης τὴν ἀνάγνωσιν, ἐὰν οὐκ ἔχῃ ἴδιον τέλος ἡ ἀνάγνωσις, οὕτω ποιεῖ τέλος· Τῷ δὲ Θεῷ πρέπει Δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν. Εἶτα, ἀπελθὼν ἐν μέσῳ τοῦ ναοῦ καὶ προσκυνήσας τρίς, βάλλει σχῆμα εἰς τοὺς χοροὺς καὶ ἀπέρχεται εἰς τὸν τόπον αὐτοῦ. Ὁ δὲ πρῶτος χορὸς λέγει τὸν ἑξάψαλμον ἀργῶς καὶ μετὰ φόβου Θεοῦ, καὶ ὅταν τελειώσῃ τοὺς τρεῖς ψαλμούς, ἐξέρχεται ὁ ἱερεὺς τοῦ βήματος, καὶ στὰς ἀσκεπὴς ἔμπροσθεν τῶν ἁγίων θυρῶν, ἀναγινώσκει τὰς ἱλαστηρίους εὐχὰς τοῦ ὄρθρου μυστικῶς. Ἐὰν δὲ ἀγρυπνία γίνεται ἐν κυριακῇ, οὐ λέγομεν τὸν ἑξάψαλμον εὐθὺς μετὰ τὴν ἀνάγνωσιν, ἀλλὰ ψάλλομεν τὸν τριαδικὸν κανόνα τοῦ τυχόντος ἤχου. Ἐὰν δὲ ἐν τοῖς λοιποῖς Τυπικοῖς οὐχ εὑρίσκεται τοῦτο γινόμενον, ἀλλ' ἡμεῖς ποιοῦμεν ἐν τῷ κοινοβίῳ ἡμῶν ἐκ παραδόσεως, τοῦ δὲ κανόνος πληρωθέντος, ψάλλομεν καὶ τὰ συνήθη τριαδικά. Μετὰ δὲ ταῦτα, εὐθὺς τὸν ἑξάψαλμον, καὶ πᾶσαν τὴν συνήθη τοῦ ὄρθρου ἀκολουθίαν, ἥτις

ἀπαραλλάκτως ἐκτελεῖται πάντοτε, καὶ ἀγρυπνίας μὴ τελουμένης. [стр. 20). Литургия. Ὁ δὲ ἐφημέριος ἱερεύς, περὶ γ' ὥραν τοῦ ὡρολογίου, λαβὼν τὴν παρὰ τοῦ ἡγουμένου συνήθη εὐλογίαν, ἀπέρχεται ἐν τῷ ναῷ ποιῆσαι τὴν προσκομιδήν. Ὁ δὲ ἐκκλησιάρχης, προευτρεπίσας πάντα, μετὰ μικρὸν κρούει τὸ χειροσήμαντρον, καὶ συναχθέντων ἡμῶν ἐν τῷ νάρθηκι, ἀναγινώσκομεν τὴν τριθέκτην, μετὰ τὴν τῆς ς' ὥρας εὐχὴν εἰσερχόμεθα ἐν τῷ ναῷ. Τοῦ δὲ ἱερέως τελέσαντος τὴν προσκομιδὴν καὶ ἀρξαμένου θυμιᾶν τὸ θυσιαστήριον καὶ τὰς ἁγίας εἰκόνας, λέγει ὁ διαβαστὴς τὸ Ἄξιόν ἐστιν, καὶ τὰ λοιπὰ συνήθη, καὶ ὁ ἱερεὺς τὴν ἀπόλυσιν, καὶ ἑπομένως ἡ θεία λειτουργία. Ἐν δὲ τῷ κοινοβιακῷ ἀναγινώσκει ὁ ἡγούμενος τὴν κατήχησιν τοῦ ἁγίου Θεοδώρου (εἴ ἔχῃ ἡ ἡμέρα)· ἐν γὰρ ταῖς κοιναῖς ἡμέραις ἀναγινώσκομεν τὰς κατηχήσεις, ὡς ἔθος, ἐν τῷ τέλει τοῦ ὄρθρου. Ἐν δὲ ταῖς κυριακαῖς καὶ λοιπαῖς Δεσποτικαῖς ἑορταῖς καὶ ἁγίων, ἐν τῷ κοινοβιακῷ . τῆς λειτουργίας ἀναγινώσκειν εἰώθαμεν, μετὰ τὴν ταύτης ἀνάγνωσιν, οὐ λέγομεν τὸ τοῦ ἁγίου Θεοδώρου τροπάριον, ἀλλ' εὐθὺς ψάλλει τὸ κοινωνικὸν ὁ ψάλτης. Μετὰ δὲ τὴν ὀπισθάμβωνον εὐχήν, ἐὰν ἐστὶ κόλυβον, ψάλλομεν τὸ τροπάριον τοῦ ἁγίου, Δόξα τὸ κοντάκιον αὐτοῦ, Καὶ νῦν, Τῇ πρεσβείᾳ, Κύριε, καὶ ὁ ἱερεὺς τὴν εὐχὴν τῶν κολύβων [1]), καὶ μετὰ τὴν εὐχὴν εὐθὺς οἱ ψάλται ἐκφωνοῦσι τὸ Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον γ', [стр. 21) καὶ ὁ ἱερεὺς τὴν ἀπόλυσιν, εἶτα ὁ διαβαστὴς τὸ Εὐλογήσω τὸν Κύριον, καὶ τὸ Ὑψώσω σε, ὁ Θεός μου, ἕως οὗ διανείμῃ ὁ ἱερεὺς τὸ ἀντίδωρον τοῖς ἀδελφοῖς. Εἰσελθὼν δὲ καὶ συστείλας τὰ ἅγια, καὶ τὰ ἴδια ἱμάτια ἐνδυσάμενος, ἐξέρχεται μετὰ μανδύου, καὶ προσκυνήσας ἐνώπιον τῶν ἁγίων θυρῶν, εὐλογεῖ ἡμᾶς. Τοῦ δὲ ἐκκλησιάρχου προπορευομένου μετὰ κηρομανουαλίου, ἀπερχόμεθα σὺν τῷ ἱερεῖ ἐν τῇ τραπέζῃ, τὸ τοῦ ἁγίου τῆς μονῆς ἀπολυτίκιον ψάλλοντες. Ἐὰν δέ τις ἑορτὴ τύχῃ Δεσποτική, ἢ ἁγίου μεγάλου, ψάλλομεν τὸ τῆς ἑορτῆς, τῶν δὲ ἀδελφῶν ἐσθιόντων, γίνεται ἀνάγνωσις ὑπὸ τοῦ κανονάρχου ἐπ' ἄμβωνος, ἀλλὰ καὶ καθεκάστην γίνεται ἀνάγνωσις ἐν τῇ

---

[1]) Εἶτα ὁ ἐκκλησιάρχης τὸ Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, καὶ ψάλλομεν τὴν συνήθη παράκλησιν. Ὅταν γὰρ ποιοῦμεν λειτουργίαν ἐν κατολικῷ, οὐ ψάλλομεν τὴν παράκλησιν ἐν τῷ ὡρισμένῳ καιρῷ, ἐξαιροῦμεν τὰς ἑορτὰς ἐκείνας, ἐν αἷς ποιοῦμεν ἀγρυπνίαν· τότε γὰρ διὰ τὸν κόπον τῆς ἀγρυπνίας οὐ ψάλλομεν αὐτὴν μετὰ τὴν λειτουργίαν, ἀλλὰ τὸ ἑσπέρας μετὰ τὴν ἐννάτην ὥραν· τοῦ γοῦν ἱερέως, εἰπόντος ἐν τῷ τέλει τῆς παρακλήσεως τὸ Ἐπάκουσον ἡμῶν, καὶ τὴν ἀκόλουθον ἐκφώνησιν, εὐθὺς ὁ ἐκκλησιάρχης ἐκφωνεῖ τὸ Εἴη τὸ ὄνομα Κυρίου γ' καὶ ὁ ἱερεὺς τὴν ἀπόλυσιν, οὐ γὰρ λέγονται τὰ λοιπὰ τῆς παρακλήσεως. ὡς καὶ καθημέραν, εἶτα ὁ ἐκκλησιάρχης τὸ Εὐλογήσω.

τραπέζῃ, ἱσταμένου τοῦ διαβαστοῦ (τοῦ τυπικάρη ὁρίζοντος αὐτήν). Τελέσαντος δὲ ταύτην, κατέρχεται ἐν τῷ τέλει τῆς τραπέζης, καὶ ποιεῖ μικρὰν μετάνοιαν τοῖς ἀδελφοῖς, λέγων τὸ Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, ἐν δὲ τῷ μέσῳ αὐτῆς, ποιεῖ ἑτέραν ὁμοίαν, λέγων τὸν αὐτὸν λόγον, πλησίον δὲ γενόμενος τοῦ ἡγουμένου λέγει· Δι' εὐχῶν τοῦ ἁγίου πατρὸς ἡμῶν, καὶ ποιεῖ μεγάλην μετάνοιαν ἐνώπιον αὐτοῦ, παρ' οὗ λαμβάνει εὐλογίαν ἄρτου. Τῶν δὲ ἀδελφῶν φαγόντων, καὶ τοῦ τραπεζάρη συλλέξαντος τὰ τῶν ἄρτων κλάσματα, διὰ κρούσματος του ἡγουμένου, λέγει τὴν εὐχαριστίαν, ὡς ἔθος κατὰ τὴν ἡμέραν, καὶ ταύτην τελέσαντος, κατέρχεται καὶ ποιεῖ γονυκλισίαν σὺν τῷ τραπεζάρῃ καὶ μαγείρῳ, αἰτῶν συγχώρησιν παρὰ τῶν ἀδελφῶν.

Ἀπὸ δὲ τῆς παρασκευῆς ἑσπέρας μέχρι τοῦ ἑσπερινοῦ τῆς κυριακῆς, οὐ ποιοῦμεν μεγάλας μετανοίας, οὔτε ἐν τῇ τραπέζῃ, οὔτε ἐν τῇ ἐκκλησίᾳ, ἀλλὰ σχῆμα μόνον. Ὁμοίως [стр. 22) ποιοῦμεν καὶ ἀπὸ τῆς λαμπροφόρου ἡμέρας τῆς Ἀναστάσεως μέχρι τῆς Πεντηκοστῆς.

Δεῖ δὲ εἰδέναι, ὅτι πάντοτε ἐν τῇ τραπέζῃ ἀνάγνωσιν ποιοῦμεν ἀπὸ τῆς Κλίμακος, καὶ ἀπὸ τὸν Ἐφραίμ. Ἐξαιροῦμεν τὰς κυριακὰς καὶ Δεσποτικὰς ἑορτάς, τότε γὰρ ποιοῦμεν ἐκ τῶν λόγων αὐτῶν, ἀλλὰ καὶ ἐάν τι ἀπολείπηται ἐκ τῶν βίων τῶν ἁγίων, τῶν ἐν τῷ ὄρθρῳ ἀναγινωσκομένων, ἐν τῇ τραπέζῃ ἀναγινώσκομεν. Ἐν δὲ τῇ πλάσει τῆς ζύμης [1]) τὰς ὥρας, ἢ τοὺς οἴκους τῆς Παναγίας διαβάζομεν πάντοτε.

Ἰστέον, ὅτι, ὅταν γίνεται λειτουργία ἐν τῷ καθολικῷ, οὐ ψάλλομεν τὴν παράκλησιν ἐν τῷ ὡρισμένῳ καιρῷ, ἀλλὰ τὸ ἑσπέρας μὲ τὴν ἐννάτην ὥραν.

Ἰστέον ἔτι, ὡς ἐν πάσαις ταῖς κυριακαῖς τοῦ ὅλου ἐνιαυτοῦ, ἡ πρώτη ἀνάγνωσις μετὰ τὰ τριαδικὰ τίθεται ἀπὸ τὰ Κυριακοδρόμια τοῦ ἀοιδίμου Νικηφόρου Θεοτόκη. Καὶ εἰ ἐστὶ μνήμη τινὸς ἁγίου μεγάλου, ἡ δευτέρα τίθεται ἐκ τοῦ βίου αὐτοῦ, εἰδ' οὔ, ἐκ τοῦ εὐαγγελικοῦ Κυριακοδρομίου τοῦ αὐτοῦ Θεοτόκη.

[стр. 22). Περὶ ἁγίου ἑορταζομένου εἰς η', εἰ τύχοι ἐν μέσῳ ἑβδομάδος.

[стр. 23). Περὶ ἑορταζομένου ἁγίου εἰς ς' καὶ ἔχοντος εἴσοδον.

---

[1]) πάντοτε ὁ Ἐφραὶμ ἀναγινώσκεται.

[стр. 24). Ἐὰν ἐν κυριακῇ τύχωσι προεόρτια μετὰ ἁγίου, Δεσποτικῶν καὶ Θεομητορικῶν ἑορτῶν.

[стр. 26). Ἐὰν τύχοι Δεσποτικὴ ἑορτὴ ἐν κυριακῇ.

— Εἰ τύχωσι Θεομητορικαὶ ἑορταὶ ἐν κυριακῇ.

[стр. 28). Περὶ προεορτίων καὶ μεθεόρτων τῶν Δεσποτικῶν καὶ Θεομητορικῶν ἑορτῶν, ἐὰν τύχωσιν ἐν κυριακῇ μετὰ ἁγίου, εἰς ς´ ἑορταζομένου.

[стр. 30). Περὶ τῆς ἀποδόσεως τῶν Δεσποτικῶν καὶ Θεομητορικῶν ἑορτῶν, εἰ τύχωσιν ἐν κυριακῇ.

[стр. 32). Περὶ τῆς ἀποδόσεως Δεσποτικῶν καὶ Θεομητορικῶν ἑορτῶν ἔξω τῆς κυριακῆς.

[стр. 35). Περὶ ἁγίου, ἔχοντος ἀγρυπνίαν, εἰ τύχοι ἐν κυριακῇ.

[стр. 37). Ἐὰν ἅγιος ἑορταζόμενος ᾖ τύχοι ἐν ἀποδόσει Δεσποτικῆς ἢ Θεομητορικῆς ἑορτῆς.

[стр. 38). Ἐὰν ἅγιος, ἑορταζόμενος εἰς η´, τύχοι ἔξω τῆς κυριακῆς ἐπὶ μεθεόρτοις.

[стр. 39). Περὶ τοῦ πότε οὐ λέγομεν τὴν στιχολογίαν.

— Περὶ τοῦ πότε οὐ ψάλλεται ἡ Τιμιωτέρα, ἀλλὰ μόνη ἡ ἐννάτη τοῦ κανόνος ᾠδή.

[стр. 40). Περὶ τοῦ πῶς ἀναγινώσκεται τὸ Ψαλτήριον.

[стр. 41). Περὶ τοῦ πότε σχολάζει ὁ συνήθης παρακλητικὸς κανὼν τῆς Θεοτόκου ἐν τῷ ἀποδείπνῳ.

[стр. 43). Περὶ τῶν χορῶν τάξεως,

[стр. 44). Ἀρχὴ τοῦ Μηνολογίου τῶν δώδεκα μηνῶν.

Здѣсь службы положены лишь для праздниковъ и для дней важнѣйшихъ святыхъ, а для обычныхъ дней лишь сдѣланы ссылки, гдѣ искать имъ службы, при чемъ весьма нерѣдко ссылки дѣлаются на хирографы, филлады и новыя и старыя Минеи.

Сентябрь. Τῇ δ´ τοῦ ἁγίου ἱερομάρτυρος Βαβύλα καὶ τοῦ θεόπτου Μωϋσέως τοῦ προφήτου, ἡ ἀκολουθία αὐτῶν, ὡς ἐν τῷ Μηναίῳ, ἀλλὰ ἡμεῖς ἔχομεν καὶ φυλλάδα τοῦ προφήτου Μωϋσέως εἰς τύπον, καὶ εἰ βούλεται ὁ τυπικάρης δοξάσαι αὐτόν, λεγέτω καὶ ἐκ τῆς φυλλάδος, ὡς δόξει τῇ τοῦ ἡγουμένου βουλῇ. Ἀλλὰ δὴ καὶ εἰς ὅσους ἄλλους ἁγίους ἔχομεν φυλλάδας, ὁ τυπικάρης (τῇ τοῦ ἡγουμένου βουλῇ) ποιησάτω τὸ κρεῖττον, ὡς βούλεται [стр. 46).

Τῇ ε' τοῦ ἁγίου προφήτου Ζαχαρίου, τοῦ πατρὸς τοῦ Προδρόμου, ἡ ἀκολουθία ὡς ἐν τῷ Μηναίῳ. Ποιοῦμεν δὲ εἴσοδον καὶ δοξολογίαν. Ὅρα καὶ εἰς τὸ χειρόγραφον Μηναῖον καθίσματα καὶ αἴνους. Ἔχομεν ἅγιον λείψανον, ποιοῦμεν καὶ κόλυβον [стр. 47).

Τῇ ιδ' ἡ παγκόσμιος Ὕψωσις τοῦ Τιμίου Σταυροῦ. Ἅπασα ἡ ἀκολουθία, ὡς ἐν τῷ Μηναίῳ εὑρίσκεται. Τοῦτο δὲ μόνον σημειοῦμεν, ὅτι μετὰ τὸ εὐαγγέλιον τοῦ ὄρθρου λέγομεν Δόξα, Σύ μου σκέπη, ὅπερ εὑρήσεις ὄπισθεν ἐν τῇ λιτῇ, Καὶ νῦν, πάλιν τὸ αὐτό, εἶτα στίχος· Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε, καὶ ψάλλομεν· Σταυρὲ τοῦ Χριστοῦ, ὃ εὑρίσκεται ἐν τῷ ἰδίῳ τόπῳ αὐτοῦ, οἱ κανόνες· ὁ μὲν ἐν τῷ Μηναίῳ η', ὁ δὲ ἐν τῷ χειρογράφῳ ἰαμβικὸς εἰς ς', ὅς ἐστι ποίημα τοῦ ἁγίου Παύλου τοῦ Ξηροποταμινοῦ. Δεῖ δὲ εἰδέναι, ὅτι ἔθος ἐστὶν ἡμῖν ἀναγινώσκειν ἐν τῷ πρὸ τῆς ἀγρυπνίας ἀποδείπνῳ, τὸν κανόνα καὶ οἴκους τοῦ Σταυροῦ, ὡς ἐν τῷ Ὡρολογίῳ εὑρίσκονται. Ἡ δὲ λοιπὴ ἀκολουθία πᾶσα, ὡς εἴπομεν, κατὰ τὴν τάξιν τοῦ Μηναίου.

Τῇ ιε' ἡ εὕρεσις τοῦ λειψάνου τοῦ ἁγίου ἐνδόξου ἀποστόλου, πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου καὶ τοῦ ἁγίου μεγαλομάρτυρος Νικήτα, ὅστις μετατίθεται εἰς τὰς ις', ἢ ιη' τοῦ παρόντος μηνός, καὶ ψάλλονται τὰ τοῦ ἁγίου Στεφάνου μὲ τὴν μεθέορτον ἀκολουθίαν τοῦ τιμίου Σταυροῦ. Εἰ δὲ τύχοι κυριακῇ, προηγοῦνται τὰ ἀναστάσιμα καὶ ψάλλονται ὁμοῦ καὶ αἱ τρεῖς ἀκολουθίαι. Ὅρα τὴν ἑρμηνείαν ταύτην καὶ τὴν ἀκολουθίαν εἰς τὸ χειρόγραφον. Ἰστέον ἐν ταύτῃ τῇ ἡμέρᾳ ἐστὶ καὶ ἡ μνήμη τοῦ ὁσίου Γερασίμου τοῦ ἐκ Λακρηνίτζης καὶ τοῦ ἁγίου Βησσαρίονος Λαρίσσης, ὧν αἱ ἀκολουθίαι εὑρίσκονται εἰς φυλλάδας εἰς τύπον, καὶ ψάλλονται οἵᾳ ἡμέρᾳ βούλεται ὁ τυπικάρης, σὺν τῇ βουλῇ τοῦ ἡγουμένου. Ἔχομεν καὶ ἅγιον λείψανον τὴν δεξιὰν τοῦ ἁγίου Στεφάνου, ποιοῦμεν καὶ κόλυβον [стр. 50).

Τῇ κε' τῆς ὁσίας Εὐφροσύνης, εἰς τὸ Κύριε ἐκέκραξα τῆς Παρακλητικῆς γ' καὶ τῆς ἁγίας γ', ὁ δὲ ἕτερος αὐτῆς κανὼν λέγεται ἐν τῷ ἀποδείπνῳ. Ἡ δὲ λοιπὴ ἀκολουθία ὡς ἐν τῷ Μηναίῳ [1]).

Ἰστέον, ὅτι πολλοὶ ἅγιοι ἐν τῷ Μηναίῳ ἄνευ δοξολογίας καὶ ἀργίας, ἔχουσι δύο κανόνας, οἵτινες οὐ ψάλλονται καὶ οἱ δύο ἐν τῷ ὄρθρῳ· καὶ γὰρ μόνον τῶν μεγάλων ἁγίων ποιοῦμεν εἰς η' τὸν κανόνα αὐτόν, τῶν δὲ λοιπῶν ἁγίων εἰς ς', ἢ εἰς δ' ποιοῦμεν.

---

[1]) Всюду въ Ксеноф. Типиконѣ прибавляется εὑρίσκεται.

Σημειοῦμεν δὲ ἐνταῦθα καὶ τοῦτο (εἰ καὶ ἐν τῇ ἀρχῇ τοῦ Τυπικοῦ ἔχομεν γεγραμμένον τὸ αὐτό), ὅτι δηλαδή, ἐὰν ὁ τοῦ Μηναίου ἔχῃ ἰδιόμελον εἰς τὸ Δόξα ὁ ἅγιος ἐν τῷ ἑσπερινῷ ποιοῦμεν τὰ στιχηρὰ αὐτοῦ γ', λέγοντες καὶ ἐκ τῆς Παρακλητικῆς γ', καὶ τὸν κανόνα αὐτοῦ εἰς ς' ψάλλομεν, λέγομεν καὶ τὸ ἀπολυτίκιον αὐτοῦ ἐν κυριακῇ, ἢ ἐν προεορτίοις, ἢ ἐν μεθεόρτοις. Ἐὰν δὲ οὐκ ἔχῃ τὸν κανόνα αὐτοῦ εἰς δ', ψάλλομεν καὶ ἀπολυτίκιον αὐτοῦ, οὐ λέγομεν ἐν κυριακῇ καὶ μεθεόρτοις. Ἐὰν δὲ ἔχῃ δοξολογίαν, ἢ ἡ μονὴ ἔχῃ τὸ λείψανον αὐτοῦ, τότε καὶ τὰ ἐν τῷ ἑσπερινῷ προσόμοια αὐτοῦ εἰς ς' γίνονται. Ὁμοίως καὶ ὁ κανὼν αὐτοῦ λέγεται καὶ τὸ ἀπολυτίκιον καὶ κοντάκιον αὐτοῦ εἰς τὰ Τρισάγια τῶν ὡρῶν. Ἔτι δὲ καὶ ἡ τοῦ κανόνος αὐτοῦ ᾠδὴ ς', κυριακῆς τυχούσης, καὶ ὁ ἀπόστολος καὶ τὸ εὐαγγέλιον αὐτοῦ [стр. 52, 53).

Октябрь. Εἰς τὴν πρώτην τοῦ ἁγίου ἀποστόλου Ἀνακίου καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Ῥωμανοῦ τοῦ μελῳδοῦ. Πᾶσα ἡ ἀκολουθία αὐτῶν, ὡς ἐν τῷ Μηναίῳ. Ἐν ταύτῃ τῇ ἡμέρᾳ ἑορτάζομεν καὶ τὴν ἁγίαν Σκέπην τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἅπασαν τὴν ἀκολουθίαν αὐτῆς ὅρα εἰς τὸ χειρόγραφον [стр. 53).

Ἰστέον, ὅτι μετὰ τὴν κυριακὴν τῆς ζ' συνόδου τῇ ἐρχομένῃ κυριακῇ ψάλλεται καὶ ἡ ἀκολουθία δ' ὁσίων πατέρων, Μακαρίου τοῦ Ῥωμαίου, Γερασίμου τοῦ ἐν τῇ νήσῳ Κεφαλληνίας, Συμεών, τοῦ νέου θεολόγου, καὶ Ἀλεξίου, τοῦ ἀνθρώπου τοῦ Θεοῦ, καὶ ὅρα εἰς τὸ χειρόγραφον [стр. 56).

Τῇ κ' τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Ἀρτεμίου, δοξολογοῦμεν αὐτόν, ὡς καὶ ἐν ὅλῳ τῷ ἁγίῳ τούτῳ Ὄρει, διὸ οὐ ποιοῦμεν τὴν αὐτοῦ ἀκολουθίαν, ὡς ἐν τῷ Μηναίῳ, ἀλλ' ὡς ἔχομεν αὐτὴν εἰς τὸ χειρόγραφον βιβλίον. Ἔχομεν καὶ ἅγιον λείψανον, ποιοῦμεν καὶ κόλυβον [стр. 56).

Τῇ κβ' τοῦ ἁγίου καὶ ἰσαποστόλου Ἀβερκίου Ἱεραπόλεως καὶ τῶν ἁγίων ἑπτὰ παίδων τῶν ἐν Ἐφέσῳ. Ἡ ἀκολουθία αὐτῶν, ὡς ἐν τῷ νέῳ Μηναίῳ [1]), ἐν ᾧ ἔχει καὶ δοξαστικὸν εἰς τοὺς αἴνους Ὅρα καὶ κοντάκιον τῶν ἑπτὰ παίδων εἰς τὸ χειρόγραφον [стр. 57).

Ноябрь. Τῇ κε' τῆς ἁγίας μεγαλομάρτυρος Αἰκατερίνης καὶ τοῦ μεγαλομάρτυρος Μερκουρίου. Ἐν ταύτῃ τῇ ἡμέρᾳ γράφουσι τὰ Μη-

---

[1]) Ксенофскій Типиконъ εὑρίσκεται, ἀλλ' εἰς τοὺς αἴνους οὐκ ἔχει ἰδιόμελον, εἰς τὸ Δοξα, ὅθεν λέγε τὸ εἰς τὸν στίχον ὄπισθεν· Δεῦτε πᾶσα κτίσις.

ναία ἀπόδοσιν τῆς ἑορτῆς, ἡμεῖς δὲ ἔχοντες [1]) τῆς ἁγίας Αἰκατερίνης φυλλάδαν τοῦ τύπου, ποιοῦμεν τὴν ἀπόδοσιν κατὰ τὴν εἰκοστὴν τοῦ παρόντος, ψάλλοντες τοὺς κανόνας τῶν ὁσίων ἐν τοῖς ἀποδείπνοις. Ὁ δὲ τυπικάρης σὺν τοῦ ἡγουμένου βουλῇ ποιησάτωσαν, ὡς οἴδασι, τὴν ἀκολουθίαν τῆς ἁγίας καὶ τοῦ ἁγίου Μερκουρίου. Ποιοῦμεν εἴσοδον καὶ κόλυβα τῶν ἁγίων, ἀργίαν δὲ οὐ ποιοῦμεν [**стр. 64**).

Εἰς τὰς κη' ἑορτάζονται καὶ οἱ ἅγιοι πεντεκαίδεκα ἱερομάρτυρες οἱ ἐν Τιβεριουπόλει τῇ καλουμένῃ Στρουμνίτζῃ. Ἔχομεν φυλλάδαν εἰς τύπον [**стр. 65**).

Декабрь. Τῇ θ' ἡ σύλληψις τῆς ἁγίας Ἄννης καὶ ἡ ἀνάμνησις τῶν ἐγκαινίων. По поводу послѣдняго внизу сдѣлано примѣчаніе: Ἰστέον, ὅτι οὐδὲν τῶν ἐγκαινίων λέγομεν νῦν· προεψάλθησαν γὰρ κατὰ τὴν ιγ' τοῦ Σεπτεμβρίου [**стр. 66**).

Декабрь 28. Τοῦ ἁγίου ἐνδόξου ἀποστόλου, πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου (καὶ θερμοτάτου προστάτου τοῦ ἱεροῦ τούτου κοινοβίου Κωνσταμονίτου). Πᾶσα ἡ ἀκολουθία αὐτοῦ, ὡς ἐν τῷ χειρογράφῳ εὑρίσκεται [**стр. 79**).

Если Благовѣщеніе въ недѣлю крестопоклонную приходится, то совершается литургія Златоуста [**стр. 119**).

Περὶ τῆς ἑορτῆς τοῦ Εὐαγγελισμοῦ, εἰ τύχοι τῇ ἁγίᾳ καὶ μεγάλῃ παρασκευῇ·

[**стр. 133**). Τὰς δὲ μεγάλας ὥρας, ἐπειδὴ μέλλει νὰ γίνῃ ἡ λειτουργία τοῦ Χρυσοστόμου ταχύτερον, ψάλλονται τὴν μεγάλην πέμπτην, ὁμοῦ μὲ τὰ τροπάρια, ἀναγνώσματα, ἀποστόλους καὶ εὐαγγέλια. Ἡμεῖς δὲ ψάλλομεν κατ' αὐτὴν τὴν ἰδίαν ἡμέραν τῆς μεγάλης παρασκευῆς κατὰ τὸν παλαιὸν τύπον.

Σημαίνει δὲ κατὰ τὴν β' ὥραν τῆς ἡμέρας καὶ ποιεῖ ὁ ἱερεὺς Εὐλογητόν, ὡς ἔθος, καὶ ψάλλομεν αὐτάς. Ἐν τῇ τριθέκτῃ τίθεται ἀνάγνωσις ἐκ τῶν παθῶν τοῦ Κυρίου, καὶ μετὰ τὴν ϛ' ὥραν, ὅταν ἀρχίσῃ ὁ διαβαστὴς τὴν θ' ὥραν, ὁ ἐφημέριος λαμβάνει καιρὸν διὰ τὴν λειτουργίαν τοῦ Χρυσοστόμου, ἐν ᾗ ψάλλονται τὰ τυπικά. Ἐν τοῖς μακαρισμοῖς, ἡ γ' καὶ ϛ' ᾠδὴ τῆς ἑορτῆς, εἰσοδικὸν τῆς ἑορτῆς, ἀπόστολον, εὐαγγέλιον καὶ κοινωνικὸν τῆς ἑορτῆς, καὶ καθεξῆς ἡ θεία λει-

---

[1]) λείψανον τοῦ ἁγίου Μερκουρίου, ποιοῦμεν τὴν ἀπόδοσιν τῆς ἑορτῆς κατὰ τὴν κε' τοῦ παρόντος, ψάλλοντες τοὺς κανόνας τῶν ἁγίων ἐν τοῖς ἀποδείπνοις (См. далѣе опис. этого Типикона стр. 533).

τουργία τοῦ Χρυσοστόμου. Λέγομεν δὲ εἰς τὰς μεγάλας ὥρας τροπάριον τῆς ἡμέρας καὶ [стр. 134) τῆς ἑορτῆς, ὁμοίως καὶ κοντάκια εἰς τὰ τρισάγια. Μετὰ δὲ τὴν θ′ ὥραν τὸ Μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου, χύμα, τὸ Ἄνες, ἄφες, Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστιν, κοντάκια τὰ ἀμφότερα, τὸ Κύριε ἐλέησον ιβ′, τὸ Παναγία Τριάς, Δόξα καὶ νῦν καὶ ἀπόλυσις· τὸ γὰρ Εὐλογήσω τὸν Κύριον, οὐ λέγομεν νῦν, διὰ τὸ λέγεσθαι αὐτὸ ἐν τῇ λειτουργίᾳ. Εἰς τὴν τράπεζαν οἶνον μόνον καταλύει.

Περὶ δὲ ὥραν δεκάτην τῆς ἡμέρας ποιοῦμεν ἑσπερινόν, ἐν ᾧ ἀποδίδομεν καὶ τὴν ἑορτὴν τοῦ Εὐαγγελισμοῦ. Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους δέκα, καὶ ψάλλομεν τὰ ἰδιόμελα τῆς ἡμέρας, τὸν πρῶτον, τοὺς τρεῖς δευτέρους, τοὺς δύο πλ. β′ καὶ τῆς ἑορτῆς τὸ Βουλὴν προαιώνιον, κ. τ. λ. εἰς δ′, Δόξα ἦχος πλ. β′· Φοβερὸν καὶ παράδοξον μυστήριον, Καὶ νῦν τῆς ἑορτῆς, ἦχος ὁ αὐτός· Ἀπεστάλη ἐξ οὐρανοῦ Γαβριήλ, εἴσοδος, τὰ γ′ ἀναγνώσματα τῆς ἡμέρας, τὸν ἀπόστολον, εὐαγγέλιον τῆς ἡμέρας, τὸ Εἴπωμεν πάντες, Καταξίωσον, Κύριε, τὸ Πληρώσωμεν καὶ τὰ ἀπόστιχα, ἦχος β′· Ὅτε ἐκ τοῦ ξύλου σε νεκρὸν κ. τ. λ. μετὰ τῶν στίχων αὐτῶν, Δόξα, ἦχος πλ. δ′ τῆς ἑορτῆς· Εὐφραινέσθωσαν οἱ οὐρανοί, Καὶ νῦν, Σὲ τὸν ἀναβαλλόμενον, ἐν ᾧ εὐγάνομεν καὶ τὸν ἐπιτάφιον, καὶ θέτομεν αὐτὸν ἐν τῷ μέσῳ τοῦ ναοῦ, κατὰ τὴν συνήθειαν, καὶ ἀσπάζονται οἱ ἀδελφοὶ δύο δύο, κατὰ τάξιν, εἶτα τὸ Νῦν ἀπολύεις, τροπάριον· Ὁ εὐσχήμων Ἰωσήφ, Ταῖς μυροφόροις γυναιξί καὶ Σήμερον τῆς σωτηρίας ἡμῶν καὶ γίνεται ἀπόλυσις.

Περὶ τῆς ἑορτῆς τοῦ Εὐαγγελισμοῦ, εἰ τύχοι τῷ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ.

[стр. 135). Χρὴ εἰδέναι, ὅτι εἰ τύχοι ὁ Εὐαγγελισμὸς τῷ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ, τῇ μεγάλῃ παρασκευῇ, εἰς τὸν ἑσπερινὸν ἱστῶμεν στίχους ς′ καὶ ψάλλομεν τὰ εἰς τὸν ἑσπερινὸν τῆς μεγάλης παρασκευῆς ἰδιόμελα εἰς ς′, τὸν πρῶτον, τοὺς τρεῖς δευτέρους, καὶ τοὺς δύο πλ. β′, Δόξα ἦχος πλ. β′· Φοβερὸν καὶ παράδοξον, Καὶ νῦν τῆς ἑορτῆς· Ἀπεστάλη ἐξ οὐρανοῦ, εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, τὰ ἀναγνώσματα, ἀπόστολον καὶ εὐαγγέλιον τῆς ἡμέρας, τὸ Εἴπωμεν πάντες κ. τ. λ. Εἰς τὰ ἀπόστιχα τῆς ἡμέρας ἦχος β′· Ὅτε ἐκ τοῦ ξύλου σε νεκρὸν κ. τ. λ. μετὰ τῶν στίχων αὐτῶν, Δόξα τῆς ἑορτῆς· Τὸ ἀπ᾽ αἰῶνος μυστήριον, Καὶ νῦν τῆς ἡμέρας· Σὲ τὸν ἀναβαλλόμενον, ἐν ᾧ εὐγάνομεν καὶ τὸν ἐπιτάφιον, κατὰ τὴν συνήθειαν, καὶ ἀσπάζονται οἱ

ἀδελφοὶ δύο δύο κατὰ τάξιν, εἶτα τὸ Νῦν ἀπολύεις, Τρισάγιον, ἀπολυτίκιον· Ὁ εὐσχήμων Ἰωσήφ, Ταῖς μυροφόροις γυναιξί, Σοφία καὶ ἀπόλυσις.

Περὶ δὲ ὥραν β' τῆς νυκτός, σημαίνει τὰς βαρέας καὶ τὸ σιδηροῦν καὶ ἀναγινώσκομεν τὸ ἀπόδειπνον, ἐν ᾧ ψάλλομεν καὶ τὸν θρηνητικὸν κανόνα τῆς Θεοτόκου, εὑρισκόμενον ἐν τῇ Κατηχήσει, εἶτα ἀρχόμεθα τὸν μέγαν ἑσπερινόν. Ἐν δὲ τῷ μεγάλῳ ἑσπερινῷ, μετὰ τὸν προοιμιακόν, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους η' καὶ ψάλλομεν τὰ προσόμοια τῆς ἑορτῆς· Βουλὴν προαιώνιον κ. τ. λ. εἰς ὀκτώ, Δόξα καὶ νῦν· Ἀπεστάλη ἐξ οὐρανοῦ, εἴσοδος, προκείμενον· Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν, τὰ ἀναγνώσματα τῆς ἑορτῆς. Εἰς τὴν λιτὴν τῆς ἑορτῆς, εἰς τὰ ἀπόστιχα τῆς ἑορτῆς, τροπάριον τῆς ἑορτῆς ἐκ γ' καὶ ἡ εὐλόγησις τῶν ἄρτων καὶ ἀνάγνωσις τῆς ἑορτῆς [**стр. 136**), εἶτα τὸν ἑξάψαλμον, τὸ Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, τροπάρια· Ὁ εὐσχήμων Ἰωσήφ, Ταῖς μυροφόροις γυναιξί, καὶ τῆς ἑορτῆς δίς· Σήμερον τῆς σωτηρίας, εἶτα λέγομεν τὸν Ἄμωμον, ἔνθα μοιράζονται καὶ τὰ κηρία τοῖς ἀδελφοῖς. Εἶτα ψάλλομεν καὶ τὰ ἐγκώμια τοῦ ἐπιταφίου, εἰς στάσεις τρεῖς, εἰς πᾶσαν στάσιν θυμιάζουσι καὶ γίνεται αἴτησις. Πληρωθέντων δὲ τῶν ἐγκωμίων, εὐθὺς ἀρχόμεθα τὰ ἀναστάσιμα εὐλογητάρια· Τῶν ἀγγέλων ὁ δῆμος, εἶτα κάθισμα τῆς ἡμέρας· Σινδόνι καθαρᾷ, Δόξα τῆς ἑορτῆς· Ὁ μέγας στρατηγός, Καὶ νῦν τῆς ἡμέρας τὸ ἕτερον· Ἐξέστησαν χοροί, καὶ ἀνάγνωσις τῆς ἡμέρας, εἶτα ὁ πολυέλεος καὶ τὰ καθίσματα τῆς ἑορτῆς, τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου, προκείμενον καὶ εὐαγγέλιον τῆς ἑορτῆς, τὸν ν' καὶ στιχηρὸν τῆς ἑορτῆς, οἱ κανόνες τῆς ἑορτῆς μετὰ τῶν εἱρμῶν εἰς η' καὶ τῆς ἡμέρας μετὰ τῶν εἱρμῶν εἰς η', καταβασίας, τοὺς εἱρμοὺς τῶν δύο κανόνων, ἀπὸ γ' ᾠδῆς, κοντάκιον καὶ οἶκον τῆς ἡμέρας, εἶτα κάθισμα τῆς ἑορτῆς, Δόξα τῆς ἡμέρας, Καὶ νῦν, πάλιν τῆς ἑορτῆς τὸ ἕτερον, ἀφ' ς' κοντάκιον καὶ οἶκον τῆς ἑορτῆς. Ἡ Τιμιωτέρα οὐ στιχολογεῖται, τὸ Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν, ἐξαποστειλάριον τῆς ἑορτῆς ἐκ γ', εἰς τοὺς αἴνους, Πᾶσα πνοή, ἵστῶμεν στίχους ς' καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα τῆς ἡμέρας, τοὺς τρεῖς δευτέρους, καὶ τῆς ἑορτῆς προσόμοια γ' ἦχος α', Δόξα τῆς ἡμέρας ἦχος πλ. β'· Ἠτήσατο Ἰωσὴφ τὸ σῶμα τοῦ Ἰησοῦ, Καὶ νῦν τῆς ἑορτῆς ἦχος πλ. δ'· Εὐφραινέσθωσαν οἱ οὐρανοί, δοξολογία μεγάλη· ὁ δὲ πρῶτος τῶν ἱερέων ἀλλάσσει πᾶσαν τὴν ἱερατικὴν στολὴν αὐτοῦ, καὶ οἱ λοιποὶ μόνον τὰ ἐπιτραχήλια καὶ φελώνια, αἴρουσι τὸ ἅγιον Εὐαγγέλιον καὶ τὸν ἐπι-

τάφιον, εἰς τὸ τελευταῖον Τρισάγιον καὶ εἰσοδεύουσι, ποιοῦντες [стр. 137) λιτανείαν γύρωθεν τῆς ἐκκλησίας, ἔνθα μνημονεύουσι. Α'. εἰς τὸν δεξιὸν χορόν· Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον. Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν. Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (δεῖνος). Ἔτι δεόμεθα ὑπὲρ τοῦ πατρὸς ἡμῶν .... ἱερομονάχου, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος. Ὁ ἡγούμενος· Ὅτι ἐλεήμων. Β'. Ὄπισθεν τοῦ ἁγίου βήματος· Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον. Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀοιδίμων κτητόρων τῆς μονῆς ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων. Ὁ ἐφημέριος· Ὅτι σὺ εἶ ἡ ἀνάστασις. Γ'. Εἰς τὸν ἀριστερὸν χορόν· Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου ... Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, συγχωρήσεως καὶ ἀφέσεως ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, τῶν ἐπιτρόπων καὶ συνδρομητῶν τῆς ἁγίας μονῆς ταύτης, καὶ ὑπὲρ πάντων τῶν πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν κατοικούντων καὶ εὑρισκομένων ἐν τῷ ἁγιωνύμῳ Ὄρει τούτῳ. Ὁ β' ἱερεύς· Ὅτι ἐλεήμων. Δ'. Εἰς τὸν νάρθηκα· Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ... Ἔτι δεόμεθα καὶ ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν [стр. 138) ἐν ταῖς διακονίαις ὄντων, καὶ πάντων τῶν ἐλεούντων καὶ διακονούντων καὶ διακονησάντων ἡμῖν ἐν τῇ ἁγίᾳ μονῇ ταύτῃ. Ὁ γ' ἱερεύς· Ὅτι ἐλεήμων. Εἶτα εἰσέρχονται εἰς τὸν ναόν, φθάσαντες δὲ εἰς τὸ μέσον τοῦ ναοῦ, ἐκφωνεῖ ὁ ἡγούμενος· Σοφία, ὀρθοί, χαράττων σταυροῦ τύπον μετὰ τοῦ Εὐαγγελίου, εἶτα εἰσερχόμενοι ἐν τῷ ἱερῷ, ψάλλουσιν· Ὁ εὐσχήμων Ἰωσήφ, Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, Ταῖς μυροφόροις γυναιξί. Τούτων δὲ ψαλλομένων, γυρίζουσι τρὶς τὴν ἁγίαν τράπεζαν, εἶτα θέτουσι τὸν ἅγιον ἐπιτάφιον ἐπάνωθεν τῆς ἁγίας τραπέζης. Καὶ εὐθὺς ὁ κανονάρχης λέγει τὸ τροπάριον τῆς προφητείας ὁμοῦ καὶ τὴν προφητείαν, καὶ τὸν ἀπόστολον, καὶ τοὺς στίχους, καὶ τὸ εὐαγγέλιον κατὰ Ματθαῖον· Τῇ ἐπαύριον, ἥτις ἐστὶ μετὰ τὴν παρασκευήν, Εἴπωμεν πάντες κ. τ. λ., καὶ ἀπόλυσις, λέγομεν καὶ τὴν πρώτην ὥραν, τροπάρια τῆς ἡμέρας καὶ τῆς ἑορτῆς, ὁμοίως καὶ κοντάκια εἰς τὰ Τρισάγια.

Περὶ δὲ ε' ὥραν τῆς ἡμέρας σημαίνει διὰ τὴν λειτουργίαν, καὶ ποιήσαντος τοῦ ἱερέως εὐλογητόν, ἀναγινώσκομεν τὰς ὥρας, τὴν τριθέκτην, ἐννάτην καὶ τὰ τυπικά. Ὁ δὲ ἱερεὺς ποιεῖ τὴν προσκομιδήν,

εἶτα· Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, ὁ δὲ ἡγούμενος λέγει τὸν προοιμιακόν, καὶ καθεξῆς ὁ ἑσπερινός. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ι', ἀναστάσιμα δ', τοῦ μεγάλου σαββάτου γ', καὶ τῆς ἑορτῆς, Βουλὴν προαιώνιον γ', Δόξα, Τὴν σήμερον μυστικῶς, Καὶ νῦν τῆς ἑορτῆς· Ἀπεστάλη ἐξ οὐρανοῦ. εἴσοδος, τὸ Φῶς ἱλαρόν, καὶ τὰ ἀναγνώσματα τῆς ἡμέρας ἅπαντα (**стр. 139**), ἐν δὲ τῷ τελευταίῳ λέγομεν τοὺς στίχους· Τὸν Κύριον ὑμνεῖτε, μετὰ δὲ τὴν τούτων συμπλήρωσιν, ἡ συναπτή, ἀντὶ δὲ τοῦ Τρισαγίου· Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, ἀπόστολος πρῶτον τῆς ἡμέρας, εἶτα τῆς ἑορτῆς, ἀντὶ δὲ τοῦ Ἀλληλούια, λέγομεν τοὺς στίχους· Ἀνάστα, ὁ Θεός, κρίνων τὴν γῆν, εὐαγγέλιον, πρῶτον τῆς ἡμέρας, εἶτα τῆς ἑορτῆς, ἀντὶ δὲ τοῦ χερουβικοῦ, τὸ Σιγησάτω πᾶσα σὰρξ καὶ καθεξῆς ἡ θεία λειτουργία τοῦ Μεγάλου Βασιλείου, κοινωνικὸν τῆς ἑορτῆς καὶ τῆς ἡμέρας. Εἰς τὴν τράπεζαν οἶνον μόνον καταλύομεν.

Δεῖ εἰδέναι, ὅτι οἵᾳ ἡμέρᾳ τύχῃ ὁ Εὐαγγελισμὸς τῆς μεγάλης ἑβδομάδος, καταλύομεν εἰς ἔλαιον καὶ οἶνον, ἐκτὸς τῆς μεγάλης παρασκευῆς καὶ τοῦ μεγάλου σαββάτου, τότε οἶνον μόνον καταλύομεν.

Δεῖ εἰδέναι, ὡς. ἐν ᾗ ἂν ἡμέρᾳ τύχῃ ἡ ἑορτὴ τοῦ θείου Εὐαγγελισμοῦ ἐν τῇ μεγάλῃ μ' ἢ κυριακῇ, ἢ ἐν ἄλλῃ ἡμέρᾳ, ἡ θεία λειτουργία τοῦ Χρυσοστόμου τελεῖται.

Ἰστέον δ' ἔτι, ὅτι τῇ μεγάλῃ δευτέρᾳ, τῇ μεγάλῃ τρίτῃ, τῇ μεγάλῃ τετάρτῃ καὶ τῇ μεγάλῃ παρασκευῇ, εἰ τύχοι ἡ ἑορτὴ τοῦ Εὐαγγελισμοῦ, ποιοῦμεν τελείαν λειτουργίαν τοῦ Χρυσοστόμου. Εἰ δὲ πάλιν τύχοι ἡ τοιαύτη ἑορτὴ τῇ μεγάλῃ πέμπτῃ, ἢ τῷ μεγάλῳ σαββάτῳ, τελεῖται ἡ θεία λειτουργία τοῦ Μεγάλου Βασιλείου.

Περὶ τῆς ἑορτῆς τοῦ Εὐαγγελισμοῦ, εἰ τύχοι τῇ ἁγίᾳ καὶ μεγάλῃ κυριακῇ τοῦ Πάσχα.

(**стр. 140**). Χρὴ εἰδέναι, ὅτι, ἐὰν τύχῃ ὁ Εὐαγγελισμὸς τῇ ἁγίᾳ καὶ μεγάλῃ κυριακῇ τοῦ Πάσχα, ἑσπέρας τῷ μεγάλῳ σαββάτῳ εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ι' καὶ ψάλλομεν ἀναστάσιμα γ', τοῦ μεγάλου σαββάτου γ', καὶ τῆς ἑορτῆς ἰδιόμελα τοὺς δ' τετάρτους, τὰ ἐν τῷ ἀποστίχῳ, Δόξα τῆς ἡμέρας, ἦχος πλ. β'· Τὴν σήμερον μυστικῶς, Καὶ νῦν, τῆς ἑορτῆς ὁ αὐτός· Ἀπεστάλη ἐξ οὐρανοῦ, εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, τὸ Φῶς ἱλαρόν, προκείμενον δὲ οὐ λέγεται, ἀλλ' εὐθὺς ὁ ἱερεύς· Σοφία, καὶ ἀναγινώσκομεν τὸ πρῶτον ἀνάγνωσμα τῆς ἡμέρας, εἶτα τὰ γ' ἀναγνώσματα τοῦ Εὐαγγελισμοῦ καὶ

τὰ λοιπὰ ἀναγνώσματα τοῦ Πάσχα, κατὰ τὴν τάξιν αὐτῶν, καὶ ἡ λειτουργία τοῦ Μεγάλου Βασιλείου.

Εἰς τὴν παννυχίδα, ἤτοι εἰς τὴν ἀγρυπνίαν τοῦ μεγάλου σαββάτου, ὁ κανὼν τῆς ἑορτῆς μετὰ τῶν εἱρμῶν εἰς η' καὶ ὁ κανὼν τῆς ἡμέρας εἰς η' μετὰ τῶν εἱρμῶν, καταβασία, τὸν εἱρμὸν τῆς ἑορτῆς καὶ τῆς ἡμέρας, ἀπὸ γ' ᾠδῆς τὸ τῆς ἑορτῆς κοντάκιον καὶ τὸν οἶκον, εἶτα καθίσματα τῆς ἡμέρας, Δόξα καὶ νῦν τῆς ἑορτῆς καὶ ἀνάγνωσις αὐτῆς, ἀφ' ς' κοντάκιον τῆς ἡμέρας καὶ οἶκος, λέγομεν καὶ τὸν Συναξαριστὴν τῆς ἑορτῆς. Ἐν τῇ θ' ᾠδῇ οὐ στιχολογεῖται ἡ Τιμιωτέρα, μετὰ τὴν ἐννάτην Τρισάγιον, τροπάριον· Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, Δόξα καὶ νῦν τῆς ἑορτῆς, ἡ ἐκτενὴ καὶ ἀπόλυσις τῆς ἡμέρας, ἐν ᾗ ὁ ἐκκλησιάρχης διανέμει τὰ κηρία, ὁ δὲ κανδηλάπτης σημαίνει. Τίθεται δὲ (εἰ ἔχει ἡ ὥρα) ἀνάγνωσις τῆς ἡμέρας, καὶ τελεσθείσης, ἐξερχόμεθα ποιῆσαι τὴν ἀνάστασιν, ἀπαραλλάκτως, ὡς ἐδηλώσαμεν ἐν τῇ κυριακῇ τοῦ Πάσχα, ἐν τῇ ἀρχῇ τοῦ Πεντηκοσταρίου τοῦ παρόντος Τυπικοῦ. Μετὰ τὸ εἰπεῖν δεκάκις [стр. 141) τὸ Χριστὸς ἀνέστη, εἰσερχόμεθα ἐν τῷ ναῷ, ψάλλοντες· Καὶ τοῖς ἐν τοῖς μνήμασι, μέχρι τοῦ εἰσελθεῖν τὸν ἱερέα εἰς τὸ ἱερατεῖον. Εἰσελθὼν δὲ ἐκφωνεῖ τὸ Δόξα, καὶ ὁ χορὸς τὸ τοῦ Εὐαγγελισμοῦ τροπάριον· Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον, Καὶ νῦν, πάλιν τὸ αὐτό, εἶτα ἡ συναπτή, καὶ μετὰ τὴν ἐκφώνησιν ἀρχόμεθα τοῦ κανόνος τοῦ Πάσχα μετὰ τῶν εἱρμῶν εἰς η', καὶ τῆς ἑορτῆς μετὰ τῶν εἱρμῶν εἰς η', καταβασία, τοὺς εἱρμοὺς τῶν δύο κανόνων, ἀπὸ γ' ᾠδῆς τὸ Προλαβοῦσαι τὸν ὄρθρον, καὶ κοντάκιον τοῦ Πάσχα, καὶ τὸν οἶκον, εἶτα κάθισμα τῆς ἑορτῆς καὶ ἀνάγνωσιν καὶ τὸν οἶκον καὶ τὸ Συναξάριον τοῦ Πάσχα, εἶτα προκείμενον τῆς ἑορτῆς· Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας, Πᾶσα πνοὴ καὶ εὐαγγέλιον τῆς Θεοτόκου, εἶτα τὸ Ἀνάστασιν Χριστοῦ θεασάμενοι, ἐκ τρίτου, καὶ τὸ Ἀναστὰς ὁ Ἰησοῦς, ὡς ἔθος, εἶτα ἡ ζ' ᾠδὴ κ. τ. λ. Ἐν τῇ θ' ᾠδῇ, τὰ μεγαλυνάρια τοῦ Πάσχα καὶ τῆς ἑορτῆς μετὰ τῶν τροπαρίων, ἐξαποστειλάριον τοῦ Πάσχα ἅπαξ, καὶ τῆς ἑορτῆς δίς. Εἰς τοὺς αἴνους, Πᾶσα πνοή, καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα δ', καὶ τῆς ἑορτῆς δ', εἰς τὸν αὐτὸν ἦχον, ἃ εἰσὶν ἐν τῇ λιτῇ, δευτεροῦντες τὸ α', λέγοντες καὶ τοὺς στίχους αὐτῶν, ἔπειτα, Ἀναστήτω, ὁ Θεός, καὶ εὐθὺς τὰ τοῦ Πάσχα στιχηρὰ μετὰ τῶν στίχων αὐτῶν, Δόξα, τῆς ἑορτῆς, ἦχος πλ. δ'· Εὐφραινέσθωσαν οἱ οὐρανοί, Καὶ νῦν, τὸ Ἀναστάσεως ἡμέρα, τὸ Χριστὸς ἀνέστη ἐκ νεκρῶν, ἕως οὗ γίνεται ὁ ἀσπασμός, ἡ κατήχησις τοῦ Χρυσοστόμου,

ἡ ἐκτενὴ καὶ ἀπόλυσις, αἱ δὲ ὧραι ἀναγινώσκονται, ὡς εἰσὶ τεταγμέναι ἐν τῇ κυριακῇ τοῦ Πάσχα [**стр. 142**), καὶ εἰς τὴν λειτουργίαν τὰ ἀντίφωνα τοῦ Πάσχα, μετὰ δὲ τὴν εἴσοδον καὶ τὸ τοῦ Πάσχα εἰσοδικόν, τὸ Χριστὸς ἀνέστη, εἶτα Δόξα, τροπάριον τῆς ἑορτῆς· Σήμερον τῆς σωτηρίας, Καὶ νῦν, Εἰ καὶ ἐν τάφῳ, ἀντὶ δὲ τοῦ Τρισαγίου, τὸ Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, ἀπόστολον καὶ εὐαγγέλιον, πρῶτον τοῦ Πάσχα, εἶτα τῆς ἑορτῆς. Ἡ θεία λειτουργία τοῦ Χρυσοστόμου, κοινωνικὸν τῆς ἑορτῆς καὶ τοῦ Πάσχα.

Если Благовѣщеніе приходилось въ понедѣльникъ свѣтлой недѣли, то совершались двѣ вечерни—малая и великая. На малой вечерни безъ входа пѣли «Кто Богъ велій, яко Богъ», а на великой—положены входъ, великій прокименъ, пареміи и чтеніе евангелія [**стр. 143**).

Τῇ κα' (т. е. Мая) τῶν ἁγίων ἐνδόξων θεοσέπτων μεγάλων βασιλέων Κωνσταντίνου καὶ Ἑλένης, ἡμεῖς ἔχομεν καὶ τούτους (μετὰ τὸν πρωτομάρτυρα Στέφανον) προστάτας καὶ κτήτορας τῆς μονῆς ἡμῶν, διὸ ποιοῦμεν ἀφεύκτως ἀγρυπνίαν, ἐὰν δὲ τύχῃ ἐν μιᾷ τῶν Δεσποτικῶν ἑορτῶν, ὅρα τὰς ἑρμηνείας ὄπισθεν τοῦ Θεολόγου καὶ ποίησον. Ἡ ἀκολουθία, ὡς ἐν τῷ Μηναίῳ καὶ εἰς χειρόγραφον, ἔχομεν καὶ λείψανα τοῦ μεγάλου Κωνσταντίνου, ποιοῦμεν καὶ κόλυβα [**стр. 160**).

[**стр. 177**). Ἑρμηνεία εἰς πᾶσαν τὴν ἀκολουθίαν τοῦ Τριῳδίου.

[**стр. 195**). Τῇ ἁγίᾳ καὶ μεγάλῃ παρασκευῇ. Περὶ ὥραν β' σημαίνει ὁ κανδηλάπτης, καὶ ἀναγινώσκομεν τὰς μεγάλας ὥρας, ὡς ἐν τῷ Τριῳδίῳ κάλλιστα εὑρίσκονται. Εἰς δὲ τὰ τέλη τῶν εὐαγγελίων αὐτῶν οὐ λέγομεν τὸ Δόξα τῇ μακροθυμίᾳ σου, Κύριε, ἀλλ' οὐδὲ ὁ ἱερεὺς λέγει ἐν ἐνάρξει αὐτῶν τὸ Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς. Μετὰ δὲ τὴν εὐχὴν τῆς ἐννάτης, λέγομεν τὴν κατήχησιν τοῦ ἁγίου Θεοδώρου, εἶτα εὐθὺς τὸ Μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου, καὶ τὰ συνήθη, μετὰ τὸ Πάτερ ἡμῶν τὸ κοντάκιον, τὸ Κύριε ἐλέησον μ', τὸ Εὐλογήσω τὸν Κύριον μόνον καὶ ἀπόλυσις.

Περὶ δὲ ὥραν ι' σημαίνει πάλιν, καὶ ψάλλομεν τὸν ἑσπερινόν, εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. Ὁ δὲ ἱερεὺς ἀλλάσσει πορφυρᾶν στολήν, μετὰ δὲ τὸ Πληρώσωμεν, αἴρεται ἡ Σταύρωσις, καὶ τίθεται ἡ Ἀποκαθήλωσις. Εἰς δὲ τὰ ἀπόστιχα, τοῦ ψάλτου ψάλλοντος τὸ α' τροπάριον, ἐξέρχονται οἱ ἱερεῖς διὰ τῆς βορείου πύλης, ἐνδεδυμένοι φελώνια,

καὶ κατέχοντες ἐπὶ τὰς κεφαλὰς αὐτῶν τὴν τοῦ ἐπιταφίου ἱερὰν σινδόνα (προπορευομένων μανουαλίων μετὰ ἁπτομένων κηρίων) καὶ ἐρχόμενοι, ἵστανται ἐν τῷ μέσῳ τοῦ ναοῦ καὶ εὐλαβῶς αὐτὴν καὶ εὐτάκτως τιθέασιν ἐν τῷ προκεκοσμηθέντι κραββάτῳ, εἶτα, τῶν τροπαρίων ψαλλομένων, προσκυνοῦσι τὸν ἐπιτάφιον, δύο δύο τῶν ἀδελφῶν καὶ ἀσπάζονται, εἶτα Τρισάγιον, καὶ τὸ Ὁ εὐσχήμων Ἰωσήφ, μόνον [стр. 196) ἅπαξ· αἴρομεν δὲ τὴν Ἀποκαθήλωσιν καὶ τίθεμεν τὴν ἐπιτάφιον εἰκόνα. Τὸ ἑσπέρας ψάλλομεν ἐν τῷ ἀποδείπνῳ τὸν θρηνητικὸν κανόνα τῆς Θεοτόκου, ὅνπερ ἔχει ἡ Κατήχησις τοῦ ἁγίου Θεοδώρου.

Ἐν δὲ τῷ ὄρθρῳ, μετὰ τὸν ἐξάψαλμον, τὸ Θεὸς Κύριος, καὶ τὰ τρία τροπάρια, ἃ ἔχει τὸ Τριῴδιον [1]), εἶτα λέγομεν τὸν Ἄμωμον, ἕως νὰ φορέσουν οἱ ἱερεῖς φελώνια καὶ πετραχήλια, καὶ ἐλθόντες, ἔνθα ὁ τοῦ ἐπιταφίου ἱερὸς κράββατος, καὶ γύρωθεν θυμιάσας ὁ ἱεροδιάκων [2]), ψάλλει [3]) ὁ ἡγούμενος τὸ α' τροπάριον· Ἡ ζωὴ ἐν τάφῳ, εἶτα ψάλλουσι καὶ οἱ ἱερεῖς, [4]), καὶ οἱ χοροὶ τὰ λοιπά. Ὁ δὲ διάκων [5]) θυμιᾷ τὸν ναὸν καὶ τοὺς ἀδελφούς, κατὰ στάσιν δὲ γίνεται συναπτή, καὶ πάλιν ὁ ἱεροδιάκων, ἢ ἕτερος τῶν ἱερέων, ποιεῖ τὴν αὐτὴν τάξιν καὶ θυμιᾷ ἐν ἑκάστῃ στάσει [6]), καὶ ἡ λοιπὴ ἀκολουθία, ὡς ἐν τῷ Τριῳδίῳ. Ὅταν δὲ ἄρξωνται οἱ χοροὶ τῆς μεγάλης δοξολογίας, ἐνδύονται πάντες οἱ ἱερεῖς καὶ τελεσθείσης αὐτῆς, αἴρουσι τὸν ἐπιτάφιον, ψάλλοντες τὸ Ἅγιος ὁ Θεὸς ἀργῶς πάνυ, καὶ ἐξελθόντες διὰ τῶν βασιλικῶν πυλῶν (προπορευομένων ἀδελφῶν μετὰ μανουαλίων ἁπτομένων καὶ καυστρίων μετὰ εὐώδους θυμιάματος), λιτανεύουσι κύκλῳ τοῦ ναοῦ. Ὁ δὲ ἡγούμενος [7]), ἢ ἐφημέριος ἱερεὺς προπορεύεται, κατέχων τῇ μὲν δεξιᾷ χειρὶ θυμιατόν, τῇ δὲ ἀριστερᾷ τὸ ἅγιον Εὐαγγέλιον ἐπὶ τῷ στήθει αὐτοῦ. Εἰσελθόντες δὲ ἐν τῷ ναῷ, ἐκφωνεῖ ὁ ἡγούμενος, ἢ ὁ ἐφημέριος ἱερεύς, τὸ Σοφία, ὀρθοί. Οἱ δὲ λοιποὶ ἱερεῖς, ἄραντες τὴν σινδόνα τοῦ ἐπιταφίου, εἰσέρχονται τῷ βήματι διὰ τῶν ἁγίων θυρῶν, ψάλλοντες· Ὁ εὐσχήμων Ἰωσήφ, ἕως τοῦ Κηδεύσας ἀπέθετο, ἄλλα δὲ [стр. 197) τροπάρια οὐ ψάλλομεν, ἀλλ' εὐθὺς λέγομεν τὴν προφητείαν, τὸν ἀπόστολον, τὸ εὐαγγέλιον ὁ ἱερεύς, τὴν ἐκτενὴν καὶ τὴν ἀπόλυσιν. Ἡ α' ὥρα μετὰ τῶν τριῶν τροπαρίων καὶ τοῦ

---

[1]) Ксенофонт. Тип. Ὁ δὲ ἐφημέριος ἱερεὺς ἐνδύεται στολὴν ἐρυθρὰν καὶ ἐλθών, ἔνθα ὁ τοῦ ἐπιταφίου ἱερὸς κράββατος, καὶ γύρωθεν и т. д. [2]) Нѣтъ. [3]) ψάλλει τὸ τροπάριον· Ἡ ζωὴ ἐν τάφῳ [4]) нѣтъ καὶ οἱ ἱερεῖς [5]) ὁ ἐφημέριος ἱερεὺς [6]) τάξει [7]) Нѣтъ.

κοντακίου. Περὶ δὲ ὥραν [1]) α΄ σημαίνει καὶ ἀναγινώσκομεν τὰς ὥρας, λέγοντες τροπάριον, τῇ μὲν γ΄ τὸ Ὁ εὐσχήμων, τῇ δὲ ς΄ τὸ Ὅτε κατῆλθες, καὶ τῇ θ΄ τὸ Ταῖς μυροφόροις γυναιξί. Λέγομεν δὲ καὶ τὰ τυπικὰ ἐν ταύτῃ τῇ ἡμέρᾳ, καὶ τὰ λοιπὰ ἔνδον τοῦ ναοῦ, μετὰ δὲ τὸ Παναγία Τριάς, Δόξα καὶ νῦν, Κύριε ἐλέησον γ΄ καὶ ἀπόλυσις, καὶ εὐθὺς ἡ θεία λειτουργία τοῦ Μεγάλου Βασιλείου, μετὰ τοῦ ἑσπερινοῦ καὶ τῶν λοιπῶν. Μετὰ δὲ τὴν ὀπισθάμβωνον εὐχήν, λέγομεν, ὡς ἔθος, τὸ Εὐλογήσω τὸν Κύριον καὶ τὸ Ὑψώσω σε.

Δεῖ δὲ εἰδέναι, ὅτι μετὰ τὴν ἀνάγνωσιν τοῦ ἀποστόλου τῆς λειτουργίας, ψάλλουσιν οἱ χοροὶ τὸ Ἀνάστα, ὁ Θεός, κρίνων τὴν γῆν, λέγοντος τοῦ ἀναγνώστου τοὺς στίχους· τούτων δὲ λεγομένων, σκορπίζει τῷ ἐδάφει τοῦ ναοῦ ὁ ἐκκλησιάρχης φύλλα δένδρων ἀειθαλῶν, εἶτα λέγεται τὸ εὐαγγέλιον. Ἔτι ἰστέον, ὅτι ἀντὶ τοῦ Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ψάλλομεν τὸ Μνήσθητί, εὔσπλαγχνε, καὶ ἡμῶν, καθὼς ἐμνημόνευσας τοῦ λῃστοῦ, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

Περὶ δὲ α΄ ὥραν τῆς νυκτὸς σημαίνει ὁ κανδηλάπτης τὸ ξύλον, καὶ συναχθέντων τῶν ἀδελφῶν ἐν τῷ ναῷ, γίνεται ἀνάγνωσις (ἡ συνήθης) εἰς τὰς Πράξεις τῶν ἀποστόλων. Μετὰ δὲ τὴν τούτων τελείωσιν, ποιεῖ ὁ ἐφημέριος ἱερεὺς Εὐλογητόν, καὶ ὁ διαβαστὴς τὸ Τρισάγιον, τὸ Κύριε ἐλέησον ιβ΄, Δεῦτε **[стр. 198)** προσκυνήσωμεν, τὸν ν΄ καὶ οἱ ψάλται τὸν κανόνα· Κύματι θαλάσσης, ἀργῶς λίαν καὶ μετὰ μέλους, ἀπὸ γ΄ ᾠδῆς τίθεται ἀνάγνωσις, καὶ πάλιν ἀφ᾽ ς΄ ἀνάγνωσις. Τοῦ δὲ κανόνος τελειωθέντος, Τρισάγιον καὶ τὸ Ὅτε κατῆλθες, μόνον καὶ ἀπόλυσις. Δεῖ δὲ καιροφυλακτεῖν τὸν ἐκκλησιάρχην, ὥστε εἶναι τότε ἕκτην σχεδὸν ὥραν τῆς νυκτός· διανέμει οὖν τὰ κηρία, οἱ δὲ ἱερεῖς πάντες τῆς μονῆς (σὺν τῷ καθηγουμένῳ) εἰσέρχονται τῷ ἱερῷ βήματι, καὶ ὁ μὲν ἐφημέριος ἱερεὺς ἐνδύεται πᾶσαν τὴν ἱερατικὴν στολήν, δεῖ δὲ εἶναι αὐτὴν λευκήν, οἱ δὲ λοιποὶ ἱερεῖς φελώνην μόνον καὶ ἐπιτραχήλιον. Λαβόντες [1]) δὲ τὴν εἰκόνα τῆς Ἀναστάσεως καὶ τὸ ἅγιον Εὐαγγέλιον [2]), ἐξέρχονται [3]) διὰ τῶν ἁγίων θυρῶν, ψάλλοντες τὸ Τὴν ἀνάστασίν σου, Χριστὲ Σωτήρ, ἄγγελοι ὑμνοῦσιν ἐν οὐρανοῖς κ. τ. λ., πάντων δὲ κρατούντων κηρία ἡμμένα, καὶ προπορευομένων κηρομανουαλίων ἁπτομένων, ἐξερχόμεθα πάντες ὁμοῦ εἰς τὸν ἔξω

---

[1]) Такъ въ подлинникѣ [2]) Ксеноф. Тип. Λαβὼν δὲ ὁ ἐφημέριος [3]) О евангеліи не упоминается [4]) μετὰ τῶν ἄλλων ἱερέων.

*

νάρθηκα τοῦ ναοῦ. Ὁ δὲ ἐκκλησιάρχης, ἐναπομείνας ἔνδον τοῦ ναοῦ, μετὰ καὶ ἑτέρου ἀδελφοῦ, ἅπτει πάντα τὰ κηρία τῶν τε μανουαλίων, τῶν σταυρῶν τοῦ χοροῦ, καὶ τῶν πολυελέων (κλείσας πρῶτον τὰς ἔξω θύρας), εἶτα ποιήσας πυρεῖα δύο, καὶ βαλὼν ἐν αὐτοῖς πολὺ θυμίαμα, τίθησι τὸ μὲν ἐν τῷ μέσῳ τοῦ ναοῦ, τὸ δὲ ἔμπροσθεν τῶν ἁγίων θυρῶν, ἀλλὰ καὶ ἔνδον τοῦ βήματος ἀπαιωρεῖ θυμιατὸν μετὰ θυμιάματος. Ὄντος δὲ τετραπόδου προευτρεπισμένου ἔξω ἐν τῷ ῥηθέντι νάρθηκι, τίθησιν ἐπάνω αὐτοῦ τὴν ἁγίαν εἰκόνα καὶ τὸ Εὐαγγέλιον, εἶτα ὁ ἱεροδιάκων, θυμιάσας αὐτὰ καὶ τοὺς ἀδελφούς, λέγει· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς κ. τ. λ., καὶ ὁ ἡγούμενος ἀναγινώσκει ἀργῶς λίαν καὶ μετὰ μέλους τὸ εὐαγγέλιον τῆς λειτουργίας τοῦ μεγάλου σαββάτου, οὗ ἡ ἀρχή· Ὀψὲ σαββάτων, τέλος· Μέχρι τῆς σήμερον, εἶτα λαβὼν πάλιν ὁ ἡγούμενος [1]) τὸ θυμιατόν, καὶ θυμιάσας κύκλῳ τοῦ τετραπόδου τὴν εἰκόνα, καὶ τοὺς ἀδελφοὺς ἀπὸ τοῦ τόπου αὐτοῦ, λέγει μεγαλοφώνως τὸ **[стр. 199)** Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ, καὶ ἀδιαιρέτῳ Τριάδι καὶ τὰ ἑξῆς, καὶ ἡμῶν εἰπόντων τὸ Ἀμήν, ψάλλει μετὰ μέλους καὶ ἀργῶς τὸ Χριστὸς ἀνέστη. Ὁ δὲ ἐκκλησιάρχης πέμπει πρὸ τῆς ἐνάρξεως ἀδελφούς, ἐν ᾧ τόπῳ εἰσὶ τὰ σήμαντρα τοῦ σιδήρου καὶ ξύλου, καὶ ἅμα τῷ ἐκφωνῆσαι τὸν ἡγούμενον τὸ Χριστὸς ἀνέστη, κρούουν πάντα ὁμοῦ ἐπίσης. Τοῦτο δὲ ποιοῦσιν εἰς στάσεις τρεῖς, ἄχρις οὗ οἱ ἱερεῖς ψάλλωσι τὸ Χριστὸς ἀνέστη, ὅπερ ψάλλεται ἄνευ στίχων ϛ′, εἶτα μετὰ τῶν στίχων δ′, Δόξα, ἅπαξ, Καὶ νῦν, ἅπαξ, καὶ τελευταῖον ψάλλει αὐτό, καὶ αὖθις ὁ ἡγούμενος, καὶ οὕτω πληροῦται ὁ τρισκαιδέκατος ἀριθμός, ὃν δεῖ ἀκριβῶς φυλάττειν ἔν τε τῷ ἑσπερινῷ καὶ ὄρθρῳ, πάσης τῆς Διακαινησίμου ἑβδομάδος, καὶ προσέτι καὶ ἐν τῇ ἐνάρξει τῆς θείας λειτουργίας. Μετὰ δὲ τὴν πλήρωσιν τοῦ Χριστὸς ἀνέστη, λέγει ὁ διάκων τὰ εἰρηνικὰ καὶ μετὰ τὴν ἐκφώνησιν, ἀνοιγομένων τῶν πυλῶν, εἰσερχόμεθα, ψάλλοντες τὸν κανόνα τῆς ἀναστάσεως· Ἀναστάσεως ἡμέρα, λαμπρυνθῶμεν λαοί, καὶ ἀκολούθως πᾶσα ἡ ἀκολουθία, ὡς ἐν τῷ Πεντηκοσταρίῳ τετύπωται, ἥτις ἀπαραλλάκτως ψάλλεται ἐν ὅλῃ τῇ ἑβδομάδι **[стр. 200)**. Οὐ μέντοι ἐνδύεται ὁ ἱερεὺς πᾶσαν τὴν ἱερατικὴν στολὴν ἐν ταῖς λοιπαῖς ἡμέραις τῆς ἑβδομάδος, ἔν τε τῷ ἑσπερινῷ, ὄρθρῳ, ὡς καὶ ἐν τῇ α′ ἡμέρᾳ, ἀλλὰ φελώνην καὶ ἐπιτραχήλιον, ἀλλ' οὐδὲ τὸ Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ ἐκφωνεῖ ἐν τῷ ὄρθρῳ, ἀλλὰ τὸ

---

[1]) Нѣтъ.

Εὐλογητός, ὁ Θεός. Τὰς δὲ ὥρας ἀναγινώσκομεν, ὡς αὐτὸ τὸ Πεντηκοστάριον γράφει, ὁμοίως καὶ τὸ ἀπόδειπνον.

Τῆς δὲ τραπέζης ἡ τελετὴ γίνεται οὕτω· λέγει ὁ διαβαστὴς τὸ Χριστὸς ἀνέστη γ' ὅλον, Κύριε ἐλέησον γ', Εὐλόγησον, καὶ ὁ ἱερεὺς εὐλογεῖ τὴν τράπεζαν, τοῦ δὲ διαβαστοῦ λέγοντος τὴν ἀρχὴν τῆς ἀναγνώσεως, τὴν ὑπόθεσιν, καὶ τὸ Εὐλόγησον, Πάτερ, ὁ ἱερεὺς λέγει τὸ Χριστὸς ἀνέστη καὶ ὁ διαβαστὴς τὸ Ἀληθῶς ἀνέστη. Τῆς δὲ ἀναγνώσεως τελειωθείσης, κατέρχεται ὁ ἀναγινώσκων, καὶ ποιεῖ τὰ συνήθη σχήματα, λέγων ἐν ἑκάστῳ τὸ Χριστὸς ἀνέστη, καὶ λαμβάνει παρὰ τοῦ ἡγουμένου τὴν συνήθη εὐλογίαν τοῦ ἄρτου. Τοῦτ' αὐτὸ ποιεῖ καὶ ὁ τραπεζάρης ἐν τῇ συνήθει εὐλογήσει τῶν κλασμάτων, ἡ δὲ μετὰ τὴν τράπεζαν εὐχαριστία γίνεται οὕτως· ἀνισταμένων τῶν ἀδελφῶν, λέγει ὁ διαβαστὴς τὸ Χριστὸς ἀνέστη γ', Δόξα καὶ νῦν, Κύριε ἐλέησον γ' Εὐλόγησον. Ὁ δὲ διακονητής, λαβὼν ὁλόκληρον προσφόριον, τίθησιν ἐν τῷ παναγαρίῳ, καὶ λαβὼν τὴν ἐξ ἔθους συγχώρησιν ὁ τραπεζάρης, λαμβάνει τὸν ἄρτον ἐν ταῖς χερσὶν αὐτοῦ, καὶ ὑψῶν μικρόν, ἐκφωνεῖ· Χριστὸς ἀνέστη, τοῦ δὲ διαβαστοῦ ἀποκρινομένου τὸ Ἀληθῶς ἀνέστη, εἶτα χαράττει σταυρὸν μετὰ τοῦ ἄρτου, λέγων· Δόξα τῇ αὐτοῦ τριημέρῳ ἐγέρσει, καὶ ὁ διαβαστὴς αὖθις· Προσκυνοῦμεν αὐτοῦ τὴν τριήμερον ἔγερσιν, καὶ εὐθὺς λέγει ὁ αὐτὸς τὸ Προλαβοῦσαι [стр. 201) τὸν ὄρθρον, εἶτα ψάλλουσιν οἱ ἀδελφοὶ τὸ Ὁ ἄγγελος ἐβόα, ὁ δὲ τραπεζάρης προσφέρει τὸν ἄρτον τοῖς ἀδελφοῖς καὶ ἀσπάζονται αὐτόν. Ὁ δὲ ἐφημέριος, τελειωθέντος τοῦ εἱρμοῦ, ἐκφωνεῖ· Εἰς τὴν δόξαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ἐκ νεκρῶν ἀναστάντος, καὶ ὁ διαβαστής· Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν. Εἶτα λέγει αὐτὸς τὸ Χριστὸς ἀνέστη γ', Δόξα καὶ νῦν, τὸ Εἰ καὶ ἐν τάφῳ, Κύριε ἐλέησον γ', Εὐλόγησον. Ὁ δὲ ἡγούμενος, ἢ ὁ ἱερεύς, οὐ ποιεῖ τὴν ἀπόλυσιν, ὡς ἔθος, ἀλλ' οὕτω· Ὁ ἀναστὰς ἐκ νεκρῶν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, καὶ τὰ λοιπὰ τῆς ἀπολύσεως, ὡς καὶ ἐν τῷ ἑσπερινῷ καὶ ὄρθρῳ. Οὕτω ποιοῦμεν ἐν ὅλῃ τῇ ἑβδομάδι ἑσπέρᾳ καὶ πρωΐ. Τὸ δὲ σάββατον κόπτομεν τὸν ἄρτον, καὶ δίδομεν τοῖς ἀδελφοῖς μετὰ τὸ ἀντίδωρον [1]).

Ἀπὸ δὲ τοῦ σαββάτου μέχρι τῆς Ἀναλήψεως, λέγομεν τὰ πρὸ τῆς τραπέζης καὶ μετὰ τὴν τράπεζαν, ὡς καὶ ἐν πάσαις τοῦ ὅλου

---

[1]) Ксенофск. Тип. Εἶτα κόπτομεν ἕτερον ἄρτον, καὶ ποιοῦντες μερίδα, ὑψοῦμεν αὐτήν, ὡς καὶ ἐν ταῖς λοιπαῖς ἡμέραις τοῦ χρόνου.

χρόνου ταῖς ἡμέραις, πλὴν ἐν τῇ ὑψώσει τοῦ ἄρτου, λέγει ὁ διακονητὴς τὸ Χριστὸς ἀνέστη, καὶ ὁ διαβαστὴς τὸ Ἀληθῶς ἀνέστη γ΄ καὶ ὁ διακονητὴς τὸ Παναγία Θεοτόκε βοήθει ἡμῖν.

Ἰστέον, ὅτι τῇ παρασκευῇ τῆς Διακαινησίμου ποιοῦμεν κόλυβον διὰ τὸ τῆς Θεοτόκου θαῦμα, εἰς δὲ τὰς ὥρας, μεσονυκτικὸν καὶ ἀπόδειπνον, λέγομεν εἰς τὸ Δόξα, τὸ κοντάκιον τῆς Θεοτόκου. Ἰστέον ἔτι, ὅτι ἐν τῇ ἀπολύσει τοῦ ὄρθρου, τῆς λειτουργίας, καὶ τοῦ ἑσπερινοῦ, ἐκφωνεῖ ὁ ιερεὺς οὕτω· Τοῖς μισοῦσιν ἡμᾶς συγχωρήσωμεν πάντα τῇ ἀναστάσει, καὶ οὕτω βοήσωμεν· Χριστὸς ἀνέστη, καὶ οἱ ἀδελφοί· Ἀληθῶς ἀνέστη, Χριστὸς ἀνέστη, Ἀληθῶς ἀνέστη. Χριστὸς ἀνέστη, Ἀληθῶς ἀνέστη, καὶ πάλιν ὁ ἱερεύς· Δόξα τῇ αὐτοῦ τριημέρῳ ἐγέρσει, καὶ ὁ ἐκκλησιάρχης **[стр. 202)**· Προσκυνοῦμεν αὐτοῦ τὴν τριήμερον ἔγερσιν (τοῦτο δὲ γίνεται μόνον ἐν τῇ α΄ ἑβδομάδι), εἶτα ὁ ἱερεὺς τὸ Δι' εὐχῶν, καὶ τὰ ἑξῆς.

Оканчивается ркп. такъ: Ἔλαβε πέρας τὸ παρὸν Τυπικὸν κατὰ τὸ ͵αωνε΄ ἐν μηνὶ Νοεμβρίῳ, τῷ δὲ Θεῷ ἡμῶν εἴη δόξα, κράτος καὶ μεγαλοπρέπεια εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

№ CL. Изъ рукъ извѣстнаго въ свое время типикаря и знатока церковно-богослужебной практики на Аѳонѣ старца Іакова ватопедца мы въ свое время получили на короткое время объемистую тетрадь, содержащую въ себѣ собранные имъ въ 1869 г. особенности и случаи богослужебной практики, какъ своей Ватопедской обители, такъ и вообще Аѳонской горы и ея многочисленныхъ монастырей. Рукопись составляетъ достояніе Типикарицы Ватопедской обители. По личности составителя, по языку и нѣкоторымъ подробностямъ богослужебной практики рукопись эта представляетъ значительный интересъ.

[л. 180). Εἰ τύχοι ὁ Εὐαγγελισμὸς τῇ κυριακῇ τῶν Βαΐων. Τῷ σαββάτῳ ἑσπέρας ἐν τῷ μικρῷ ἑσπερινῷ Εὐλογητὸν εἰς τὰ 7, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς΄, καὶ ψάλλομεν γ΄ ἰδιόμελα τῶν Βαΐων· Χαῖρε καὶ εὐφραίνου πόλις Σιών, καὶ τὰ ἕτερα δύο, καὶ γ΄ τῆς ἑορτῆς τοῦ ἑσπερινοῦ· Κατοικτειρήσας τὸ ποίημα ὁ ...... Δόξα καὶ νῦν τῆς ἑορτῆς, εἰς τὸν στίχον τῆς ἑορτῆς· Ἄρχων τῶν ἄνω δυνάμεων, ἀπολυτίκιον τῆς ἑορτῆς καὶ τῶν Βαΐων, καὶ ἀπόλυσις, καὶ ἀπερχόμεθα εἰς τὴν τράπεζαν.

Ἐν δὲ τῇ ἀγρυπνίᾳ Εὐλογητὸν εἰς τὰς 10 καὶ χάρτον, μετὰ δὲ

τὰ ἀνοιξαντάρια ἀναγινώσκεται χύμα τὸ α' κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ι', καὶ ψάλλομεν στιχηρὰ προσόμοια τῆς ἑορτῆς γ', ποιοῦντες αὐτὰ ς', καὶ ἰδιόμελα τῶν Βαΐων δ', Δόξα τῶν Βαΐων [стр. 181), Καὶ νῦν τῆς ἑορτῆς [1]). Εἰς τὸν στίχον στιχηρὰ ἰδιόμελα τῆς ἑορτῆς, Δόξα τῶν Βαΐων, Καὶ νῦν τῆς ἑορτῆς, ἀπολυτίκιον τῆς ἑορτῆς, τῶν Βαΐων, καὶ Θεοτόκε Παρθένε, ἡ εὐλόγησις τῶν ἄρτων κ. τ. λ. καὶ ἀνάγνωσις τῆς ἑορτῆς. Εἰς τὸ Θεὸς Κύριος, ἀπολυτίκιον τῆς ἑορτῆς δίς, καὶ τῶν Βαΐων ἅπαξ, εἰς τὴν α' στιχολογίαν καθίσματα τῆς ἑορτῆς καὶ ἀνάγνωσις τῶν Βαΐων, λόγος τοῦ ἁγίου Κυρίλλου Ἀλεξανδρείας. Εἰς τὴν β' στιχολογίαν καθίσματα τῶν Βαΐων, καὶ ἀνάγνωσις τῆς ἑορτῆς ἀπὸ τὸν Μηνιάτην, ὁ μικρὸς λόγος, ὁ πολυέλεος, αἱ ἐκλογαί, α' τῶν Βαΐων, εἶτα τῆς ἑορτῆς, Λόγον ἀγαθόν, ἀργῶς, οἱ ἀναβαθμοί, τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου, προκείμενον, εὐαγγέλιον κ. τ. λ. τῶν Βαΐων. Ἀνάστασιν Χριστοῦ οὐ λέγεται, ἀλλὰ μετὰ τὸ εὐαγγέλιον ἡ εὐχὴ τῶν Βαΐων, ψάλλεται ὁ ν', Δόξα, Σήμερον εἰσέρχεται, Καὶ νῦν, τὸ αὐτό, εἶτα τὸ στιχηρὸν τῶν Βαΐων, οἱ κανόνες, ὁ τῆς ἑορτῆς μετὰ τοῦ εἱρμοῦ εἰς ς', καταβασίαι διπλαί, καὶ τῶν δύο ἑορτῶν, ἀπὸ γ' ᾠδῆς κοντάκιον καὶ οἶκος τῶν Βαΐων καὶ κάθισμα, Δόξα καὶ νῦν τῆς ἑορτῆς, ἀφ' ἕκτης κοντάκιον καὶ οἶκος τῆς ἑορτῆς, μετὰ τὴν θ' ᾠδήν, τὸ Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν, ἐκ γ', ἐξαποστειλάριον τῆς ἑορτῆς ἐκ γ'. Εἰς τοὺς αἴνους ἱστῶμεν στίχους η', δ' τῆς ἑορτῆς καὶ δ' τῶν Βαΐων, Δόξα τῶν Βαΐων, Καὶ νῦν τῆς ἑορτῆς. Μετὰ τὴν δοξολογίαν ἀπολυτίκιον τῶν Βαΐων καὶ τῆς ἑορτῆς. Εἰς τὴν λειτουργίαν ἡ γ' ᾠδὴ τῆς ἑορτῆς, καὶ ἡ ς', τῶν Βαΐων εἰς η', ἀποστολοευαγγέλια καὶ κοινωνικὰ τῆς ἑορτῆς καὶ τῶν Βαΐων.

[стр. 182). Τῇ αὐτῇ κυριακῇ ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ς', γ' τῶν Βαΐων· Χαῖρε καὶ εὐφραίνου πόλις Σιών, καὶ τὰ ἕτερα 2 καὶ γ' τῆς ἑορτῆς· Βουλὴν προαιώνιον, Δοξα καὶ νῦν τῆς ἑορτῆς· Ἀπεστάλη ἐξ οὐρανοῦ, εἴσοδος, προκείμενον· Ὁ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ, ἀπόστιχα τῆς ἡμέρας, Δόξα καὶ νῦν τῆς ἑορτῆς· Τὸ ἀπ' αἰῶνος μυστήριον ἀνακαλύπτεται, ἀπολυτίκιον τῆς ἑορτῆς, ἡ ἀπόλυσις, καὶ εὐθὺς τὸ μνημόσυνον τῶν κτητόρων. Μετὰ δὲ τὴν δια-

---

[1]) Εἴσοδος, προκείμενον τῆς ἡμέρας, τὰ ἀναγνώσματα τῆς ἑορτῆς ε', καὶ γ' τῶν Βαΐων. Εἰς τὴν λιτὴν στιχηρὰ ἰδιόμελα τῆς ἑορτῆς καὶ τῶν Βαΐων, Δόξα τῶν Βαΐων, Καὶ νῦν τῆς ἑορτῆς.

νομὴν τῶν κολύβων κρούει ὁ κανδηλάπτης τὸ σίδηρον κάτω, ὁ διαβαστὴς τὸ μικρὸν ἀπόδειπνον, καὶ ψάλλομεν τὸ τριῴδιον τοῦ ἁγίου Ἀνδρέου Κρήτης ἔξω.

Ἐν τῷ ὄρθρῳ τῆς μεγάλης β' ποιοῦμεν Εὐλογητὸν εἰς τὰς 7, βραδέα εἶναι, ἀλλὰ διὰ τὸν προλαβόντα κόπον τοῦτο ποιοῦμεν, τὸ Ἀλληλούια ψάλλεται δύο φοραῖς ἀργῶς, καὶ δύο σύντομα, τὸ Ἰδοὺ ὁ Νυμφίος, δύο ἀργῶς, καὶ μία σύντομα, λέγομεν καὶ τὸ εὐαγγέλιον, ἀνάγνωσιν οὐ ποιοῦμεν. Εἰς τὴν ἀπόλυσιν ποιοῦμεν καὶ τὸ σύνηθες κομβοσχοίνιον.

Εἰ τύχοι ὁ Εὐαγγελισμὸς τῇ ἁγίᾳ καὶ μεγάλῃ β', τῇ κυριακῇ τῶν Βαΐων ἑσπέρας ἐν τῷ μικρῷ ἑσπερινῷ Εὐλογητὸν εἰς τὰς 6. Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς', γ' τῆς ἡμέρας καὶ γ' τῆς ἑορτῆς τοῦ μικροῦ ἑσπερινοῦ, Δόξα καὶ νῦν τῆς ἑορτῆς, ἀπολυτίκιον τῆς ἑορτῆς ἅπαξ, ἀπόλυσις καὶ ἀπερχόμεθα εἰς τὴν τράπεζαν ἐσυκώσαμεν ὕψωμα [л. 183). Εἰς δὲ τὴν ἀγρυπνίαν Εὐλογητὸν εἰς τὰς 10:2, ἅπασα ἡ ἀκολουθία τῆς ἑορτῆς ἔν τε τῷ ἑσπερινῷ, ὄρθρῳ καὶ λειτουργίᾳ.

браженія, ἐνταῦθα οὐ λέγεται, ὅτι οὐδὲ ἐδηλώθησαν, ὁποῖα εἰσὶ [л. 83 об.). Ἰστέον, ὅτι τῇ ις' τοῦ παρόντος μηνὸς ἐστὶν ἡ ἐξ Ἐδέσσης ἀνακομιδὴ τῆς ἀχειροποιήτου μορφῆς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἤτοι τοῦ ἁγίου Μανδηλίου, καὶ εἰ ἐστὶν ἀκολουθία, συμψάλλεται μετὰ τῆς ἑορτῆς τροπάριον· Τὴν ἄχραντον εἰκόνα σου, ἀναγινώσκεται δὲ καὶ ὁ ἐπ' αὐτῇ λόγος [л. 85 об.). О недѣлѣ мытаря и фарисея: Τὸ ἐσθίειν τυρὸν ἐν ταύτῃ τῇ ἑβδομάδι ἀποτρέπεται ὁ ἁγιώτατος πατριάρχης Κωνσταντινουπόλεως κὺρ Νικόλαος καὶ λέγει, ἵνα ἐσθίωσιν ἰχθύας καὶ ἔλαιον [л. 87). Παράδοσις ἐστὶ τῶν ἁγίων, ὅπως μνημονεύωνται οἱ ἐκδημοῦντες ἀφ' ἡμῶν ἅπαντες τῆς τελευταίας ἡμέρας καθημέραν μετὰ θείαν λειτουργίαν ἕως τῆς τεσσαρακοστῆς, διὰ τοῦτο γέγραπται καὶ οὕτως ἐνταῦθα [л. 91), т. е. Замѣчаніе о непоминовеніи умершихъ братій постомъ. Относительно поклоновъ и цѣлованія иконъ на 6 часѣ замѣчено: Τοῦτο οὐ γίνεται [л. 93). О тропаряхъ того же часа: Οἱ πλείονες λέγουσιν ἐνταῦθα τροπάριον· Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, Δόξα, Ταχεῖαν καὶ σταθεράν, Καὶ νῦν, Ἡ ἐλπὶς καὶ προστασία. Ἄλλοι· Βασιλεῦ οὐράνιε, Δόξα καὶ νῦν, Ἐν τῷ ναῷ ἑστῶτες. Ἰστέον, замѣчено о тропаряхъ 9 часа, ὅτι οὐδὲ ἐν τούτοις τοῖς τροπαρίοις τῶν ὡρῶν εὕρηται ἰσότητα, λέγουσι γὰρ ἕκαστος, οἷα βούλεται, καὶ διὰ τοῦτο γέγονε σύγχυσις ἐν ταῖς μεταγραφαῖς, ἑκάστου τὸ οἰκεῖον τιθέντος [л. 94). О выходѣ на утрени въ великую субботу: Εἰς τὸ Τρισάγιον εἰσοδεύει ὁ ἱερεύς [1]). Ἐν ἄλλῳ οὕτως ἔχει· εἰσοδικὸν τροπάριον· Ὁ συνέχων τὰ πέρατα, εἶτα τὸ προκείμενον τῆς προφητείας [л. 110). О пѣніи припѣвовъ на литургіи: Μετὰ τὸ ἀναγνωσθῆναι ϛ'· Ἄσωμεν τῷ Κυρίῳ ἐνδόξως, καὶ ὁ λαὸς τὸ αὐτό, ὁ δὲ τοὺς στίχους, εἰς ἕνα ἕκαστον στίχον ὁ λαός· Ἄσωμεν τῷ Κυρίῳ, καὶ μετὰ τὸ πληρωθῆναι αὐτοὺς ὁ ἀναγνώστης· Δόξα καὶ νῦν, ὁ λαός· Ἄσωμεν τῷ Κυρίῳ, ὁ ἀναγνώστης· Ἐνδόξως γὰρ δεδόξασται, εἶτα τὰ ἐπίλοιπα ἀναγνώσματα, καὶ ὁ ἀναγνώστης· Ὑμνεῖτε καὶ ὑπερυψοῦτε, ὁ λαὸς τὸ αὐτό, ὁ δὲ τοὺς στίχους [л. 110). О молитвахъ на вечерни Пятидесятницы: Ἰστέον, ὅτι εὑρίσκονται εὐχαὶ ἓξ ἢ ἑπτὰ καὶ λέγονται ἀνὰ δύο, ἢ ἑτε-

---

[1]) Въ текстѣ изложенъ выходъ такъ: Καὶ ἀλλάσσει τὴν στολὴν καὶ εἰσοδεύει μετὰ τοῦ Εὐαγγελίου. Μετὰ δὲ τὸ Τρισάγιον λέγει· Σοφία, ὀρθοί, εἰσοδικὸν τροπάριον· Ὁ εὐσχήμων Ἰωσήφ, ὁ ἱερεύς· Πρόσχωμεν, Εἰρήνη πᾶσι, Σοφία, ὀρθοί, ἦχος β'· Ὁ συνέχων τὰ πέρατα.

ρον αἱ τρεῖς [л. 123). О Благовѣщеніи въ великую субботу: Εἰ θέλεις, ποίησον ἀγρυπνίαν καὶ εἰπὲ ἐν τῷ μικρῷ ἑσπερινῷ τὰ τῆς ἑορτῆς, ὡσαύτως καὶ ἐν τῇ λιτῇ, στιχολόγησον δὲ καὶ τὸ Μακάριος ἀνὴρ ἐν τῷ μεγάλῳ σαββάτῳ [л. 186 об.). Относительно стихиръ кресту: Πρόσχες, ὅτι τὰ ἀκριβῆ τῶν Τυπικῶν πλεῖον τῶν ιδ' στίχων οὐχ ἱστῶσιν, διὸ καὶ προσέχειν δεῖ τὰ τροπάρια, ἢ καὶ τριττοῦν ταύτην, ἢ τεταρτοῦν, καὶ εἶτα κατὰ ᾠδὴν ἔσχατον πάλιν τὸν εἱρμὸν καὶ τοῦ ἁγίου εἰς τὸν αὐτὸν ἦχον καὶ εἱρμόν [л. 22). О службѣ св. Златоуста съ Воздвиженіемъ есть и другое замѣчаніе: Πρόσχες διὰ τὴν ἑορτὴν συμψάλλεσθαι τὸν Χρυσόστομον, λέγομεν τὸ Μακάριος ἀνήρ, ἐπεί, εἰ μὴ ἑορτάζομεν τοῦ Χρυσοστόμου, οὐκ ἐστὶ χρεία ψάλλεσθαι τοῦτο, εἰ μήπως [л. 21 об.) Противъ службы 28 числа Сентября преподобнаго Харитона замѣчено: Μακάριος ἀνήρ, εἰ βούλει и ниже: Τὸ Μακάριος ἀνήρ, οὐκ οἶδα πῶς διὰ τοῦτο ὧδε· ἐτύπωσεν οὐδὲ γὰρ οἴδαμεν ἐν οὐδεμιᾷ τῶν μονῶν τοῦτο γινόμενον· τὴν γὰρ συνήθη στιχολογίαν, ποιοῦντες ἀνεόρταστον τάχα τὸν ἅγιον, καταλιμπάνομεν, ἢ ἑορτάζοντες τοῦτον, ἐῶμεν τὴν συνήθη στιχολογίαν, τοῦ παραεκλησιάρχου μονομερῶς καὶ ἰδίως στιχολογοῦντος τὸ κάθισμα, εἰ δὲ θέλει ὁ προεστὼς ἐν τῇ θ' καὶ τῷ ἑσπερινῷ, τὸ Μακάριος ἀνήρ [л. 27). Мы привели здѣсь лишь болѣе или менѣе интересныя для исторіи Типикона замѣчанія, но на поляхъ разсѣяно множество и другихъ замѣчаній и дополненій къ Уставу и иногда изложены даже цѣлыя службы, напр., если праздникъ Благовѣщенія случится въ воскресеніе [л. 66 об.), если отданіе этого праздника придется въ воскресеніе [л. 177 об.) и др. Всѣ эти приписки характерны и имѣютъ историческое значеніе.

[л. 32). Τῶν ἁγίων [1]) καὶ θαυματουργῶν ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ καὶ τὰ ἐγκαίνια τοῦ ναοῦ τῆς βασιλικῆς ταύτης μονῆς τοῦ Βατοπεδινοῦ.

Ἑσπέρας μετὰ τὸν προοιμιακὸν ψαλμὸν τὸ Μακάριος ἀνήρ, τὸ πρῶτον ἀντίφωνον, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους η' καὶ ψάλλομεν στιχηρὰ τῶν ἐγκαινίων ἰδιόμελα ἦχος πλ. β' τρία, καὶ τῆς Θεοτόκου δύο, πρὸς Ἡ ἀπεγνωσμένη, καὶ τὸν ἅγιον γ', πρὸς Ὅλην ἀποθέ-

---

[1]) На полѣ замѣчено: Ἡ ἀκολουθία τῶν ἁγίων ἀναργύρων ζήτει Ἰουλίου εἰς τὴν α' ἢ οὐδὲν ἑορτάζεται τῶν ἐγκαινίων τὴν μνήμην, и другое: Εἰ τύχοι ἐν κυριακῇ, ζήτει εἰς τὴν ἑρμηνείαν κεφάλαιον 96.

μενοι, Δόξα ἦχος ὁ αὐτός· Ἀτελεύτητος ὑπάρχει, Καὶ νῦν ὁ αὐτός, Τὴν μνήμην τῶν ἐγκαινίων, εἴσοδος, προκείμενον καὶ τὰ ἀναγνώσματα τῶν ἁγίων· Δίκαιοι εἰς τὸν αἰῶνα, εἰς τὸν στίχον στιχηρὰ ἰδιόμελα τῶν ἐγκαινίων τοὺς α'· Πάλαι μὲν ἐγκαινίζων, καὶ τὰ ἕτερα, στιχηρὰ δὲ λέγομεν τῶν ἐγκαινίων· Τῷ οἴκῳ σου πρέπει, Σοὶ πρέπει ὕμνος, ὁ Θεός, Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς, καὶ τῶν ἁγίων· Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ [1]).... Χάριν τῶν ἰαμάτων, Δόξα, ἦχος β' τῶν ἁγίων, Καὶ νῦν ὁ αὐτὸς... τὸ ἀπολυτίκιον τροπάριον ἦχος δ'· Ὡς τοῦ ἄνω στερεώματος, καὶ τῶν ἁγίων· Ἅγιοι ἀνάργυροι, Καὶ νῦν θεοτοκίον. Εἰς τὸν ὄρθρον μετὰ τὴν συνήθη στιχολογίαν ὁ πολυέλεος, καὶ ψαλμὸς πς'· Οἱ θεμέλιοι αὐτῶν, καὶ τῶν ἁγίων, ρλβ'· Ἰδοὺ δή τι καλόν, οἱ ἀναβαθμοί, τὸ πρῶτον ἀντίφωνον τοῦ δ' ἤχου, προκείμενον ἦχος δ'· Μνησθήσομαι, στίχος· Ἐξηρεύξατο, τὸ Πᾶσα πνοή, εὐαγγέλιον κατὰ Λουκᾶν· Ἀναστᾶσα Μαριάμ, ὁ ν', κανόνες τῶν ἐγκαινίων τῆς Θεοτόκου, τῶν ἁγίων, ἀπὸ γ' ᾠδῆς κοντάκιον τῶν ἁγίων, ἀφ' ς' τῶν ἐγκαινίων, ἐξαποστειλάριον· Ἅγιος Κύριος, καὶ τῶν ἁγίων καὶ τῆς Θεοτόκου, εἰς τοὺς αἴνους, Πᾶσα πνοή, ἦχος δ', στιχηρὰ τῆς Θεοτόκου καὶ τῶν ἁγίων εἰς ς', Δόξα τῶν ἁγίων· Πηγὴν ἰαμάτων, Καὶ νῦν τὸ αὐτό· Ἐγκαινίζεται σήμερον, δοξολογία μεγάλη καὶ ἀπόλυσις. Εἰς τὴν λειτουργίαν, μετὰ τὸ ψάλλειν τὰς ὥρας καὶ τὰ τυπικά, γ ί ν ε τ α ι ἁ γ ι α σ μ ὸ ς δ ι ὰ τ ὴ ν μ ν ή μ η ν τ ῶ ν ἁ γ ί ω ν κ α ὶ τ ὴ ν ἀ ρ χ ὴ ν τ ο ῦ μ η ν ό ς, ὡ ς ἔ θ ο ς. Εἶτα ἄρχεται ἡ λειτουργία καὶ ψάλλομεν ἀντίφωνον α'· Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι, ἀντίφωνον β', Ὁ Κύριος ἐβασίλευσεν, ἀντίφωνον τρίτον· Δεῦτε ἀγαλλιασώμεθα, καὶ εὐθὺς λέγομεν τροπάριον· Ὡς τοῦ ἄνω στερεώματος, καὶ τῶν ἁγίων· Δόξα σοι, Χριστὲ ὁ Θεός, ἀποστόλων καύχημα. Καὶ ἐξερχομένου [2]) τοῦ ἱερέως μετὰ τοῦ διακόνου καὶ τοῦ Εὐαγγελίου καὶ τῆς ἁγίας εἰκόνος τῆς Ὑπεραγίας Θεοτόκου, συνεξερχόμενοι ἅπαντες, ποιοῦμεν λιτὴν [3]). Μετὰ δὲ τὴν συμπλήρωσιν τῆς λιτῆς, λέγει καθ' ἑαυτὸν ὁ ἱερεὺς τὴν εὐχὴν τῆς εἰσόδου. Κεκλεισμένων τῶν βασιλικῶν πυλῶν· Ἄρατε πύλας οἱ ἄρχοντες. Αὐτοὶ ἀποκρίνονται ἔσωθεν· Τίς ἐστιν οὗτος ὁ βασιλεύς, καὶ ἔξωθεν·

[1]) Здѣсь слова невозможны для прочтенія. [2]) На полѣ замѣчанія: Ἐξερχομένων δὲ ἡμῶν τοῦ ναοῦ ἐν τῇ λιτῇ, γίνονται πυρία διάφορα ἔνδον τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου μετὰ θυμιαμάτων πολλῶν, ὡς πλησθῆναι τὸν ναὸν ἅπαντα εὐώδους καπνοῦ. [3]) Καὶ κυκλοῦντες τὸν ναὸν ἐκ τρίτου, γίνεται ἐκτενὴ μεγάλη παρὰ τοῦ ἱερέως, ἢ τοῦ διακόνου, ἐν τῷ τὴν λιτὴν τρισσοῦσθαι, ἐν τῷ δεξιῷ τοῦ ναοῦ μέρει ὄπισθεν τοῦ βήματος, ἐν τῷ ἀριστερῷ κλίτει καὶ ἔξωθεν τῶν βασιλικῶν πυλῶν.

Κύριος τῶν δυνάμεων, λέγοντες αὐτὰ ἐκ γ' μετὰ μέλους καί, ἀνοιγομένων τῶν πυλῶν, εἰσέρχεται ὁ ἱερεὺς εἰς τὸ ἅγιον θυσιαστήριον, ψαλλόντων ἡμῶν τὸ κοντάκιον τῶν ἐγκαινίων καὶ ἁγίων, καὶ τῆς Θεοτόκου· Τῇ ὑπερμάχῳ, ἢ Παρακλητικὸν ὅμοιον τούτου ἀποτολμῶντες ἐκ ψυχῆς, ἐκφώνησις τοῦ Τρισαγίου καὶ τὸ Τρισάγιον, προκείμενον ἦχος δ'· Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου, στίχος· Τοῦ ἀκοῦσαί με φωνῆς αἰνέσεως, καὶ τῶν ἁγίων· Τοῖς ἁγίοις τοῖς ἐν γῇ, ὁ ἀπόστολος τῶν ἐγκαινίων τῆς Θεοτόκου, πρὸς Ἑβραίους· Ἀδελφοί, εἶχεν ἡ πρώτη σκηνὴ .... Ἀλληλουάριον ἦχος δ'· Σοὶ πρέπει ὕμνος, στίχος· Παρέστη ἡ βασίλισσα, καὶ τῶν ἁγίων· Ἰδοὺ δὴ τί καλόν, εὐαγγέλιον κατὰ Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ ἐξελθὼν ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας τῆς Φιλίππου, ζήτει Ἰουλίου κθ', καὶ τῶν ἁγίων, κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον, Ποτήριον σωτηρίου καὶ Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ.

[л. **33** об.). Подъ 7 Ноября положена память Лазаря Галисiйскаго (См. подробнѣе выше стр. 81). О ней на поляхъ замѣчено: Ἡ ἀγρυπνία τοῦ ἁγίου Λαζάρου γίνεται ἐν τῇ μονῇ αὐτοῦ καὶ μόνον.

[л. **34**). Служба Θеодору Студиту положена простая вмѣстѣ съ святыми Миною, Викторомъ и Викентiемъ. Εἰς τὴν τράπεζαν ἀναγινώσκεται ἡ διάταξις τοῦ Στουδίτου [л. **34** об.).

О службѣ Саввы Преподобнаго замѣчено, что εἰ θέλει ὁ προεστώς, ποιοῦμεν ἀγρυπνίαν [л. **40**).

4 Iюля. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀνδρέου Κρητὸς καὶ Μιχαήλ, ἀρχιεπισκόπου Ἀθηνῶν τοῦ Χωνιάτου. Ἡ ἀκολουθία τῶν ἀμφοτέρων [л. **79**).

Къ стр. 243 дополненiе къ рукописи Аθоно-Ватопедской библ. 1468 г. № 323 (934).

[л. **229** об.). Ἀρχὴ τῶν κοντακίων τοῦ ὅλου χρόνου.

[л. **247**). Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τῶν κοντακίων τῆς ἁγίας καὶ μεγάλης τεσσαρακοστῆς.

[л. **251** об.). О точномъ соблюденiи Типикона. По изложенiю эта статья нѣсколько отлична отъ Типикона № 59.

[л. **254—256**). Нѣсколько замѣтокъ о послѣднихъ дняхъ византiйской имперiи. Изъ интересныхъ можно указать на слѣдующiя: Ἐν ἔτει ,ϛϡκγ' ἰνδικτιῶνος η', Μαρτίου κα', ἡμέρᾳ παρασκευῇ μεγάλῃ, ἦλθεν ὁ βασιλεὺς κὺρ Μανουὴλ ἐν τῷ λιμένι τῶν

Κεχρεῶν τῆς Κορίνθου, καὶ τῇ η′ τοῦ Ἀπριλίου ἤρξατο ἀνακαθαίρειν καὶ οἰκοδομεῖν τὸ ἑξάμηλον, ὅπερ ἔνι τὸ μῆκος αὐτοῦ οὐργίας γ′, ἀνέστησε δὲ πύργους ἐπ' αὐτῷ ρνγ′· εὑρέθησαν δὲ καὶ γράμματα ἐν μαρμάρῳ λαξευτὰ κατὰ τὸ μέρος τὸ ἐν τῇ Ἑλλάδι, λέγοντα οὕτως· Φῶς ἐκ φωτός, Θεὸς ἀληθινὸς ἐκ Θεοῦ ἀληθινοῦ, φυλάξει τὸν αὐτοκράτορα Ἰουστινιανὸν καὶ πιστὸν αὐτοῦ δοῦλον Βικτερῖνον καὶ πάντας τοὺς ἐν τῇ Ἑλλάδι οἰκοῦντας, ἐν Θεῷ ζῶντας и другое: ἔτους ,ϛϡλη′, μηνὶ μαρτίῳ κθ′, τῇ δ′ τοῦ μεγάλου κανόνος γέγονεν ἡ ἅλωσις τῆς Θεσσαλονίκης, πρὶν δὲ τῆς ἁλώσεως τῆς Θεσσαλονίκης χρόνους ϛ′, τῷ ,ϛϡλβ′ ἔτει, ἐπροσκύνησε Ἅγιον Ὄρος μεγάλον τὸν σουλτὰν Ἀμουρὰτι εἰς τὴν Ἀδριανούπολιν μὲ γνώμην τοῦ ἀοιδήμου κυροῦ Ἀνδρονίκου τοῦ Παλαιολόγου.

[л. **257**). Ἀκολουθία τῆς Ὑπεραγίας Θεοτόκου ἡ ἀκάθιστος, ἑνωμένη μετὰ τῆς ἀκολουθίας τοῦ Εὐαγγελισμοῦ.

[л. **264**). Ἀκολουθία εἰς μνῆστρα. А. А. Дмитріевскій. Описан. литург., ркп. восточныхъ книгохранилищъ. т. II, Εὐχολόγια. Кіев. 1901 г. стр. 420—422.

[л. **285**). Ἀκολουθία εἰς κόλυβον τῶν τεθνεώτων.

[л. **286**). Πασχάλιον τοῦ ὅλου ἐνιαυτοῦ. Съ 6966 г. по 6998 годъ.

[л. **290** об.). Лунникъ.

Въ Типиконѣ имѣются замѣчанія на поляхъ. Нѣкоторыя изъ нихъ представляютъ научный интересъ. Относительно службы трехъ святителей замѣчено: Εἰ τύχοι ἡ ἑορτὴ τῶν ἁγίων γ′ ἱεραρχῶν ἢ τῇ κυριακῇ τοῦ φαρισαίου, ἢ τοῦ ἀσώτου, ἢ τῆς ἀπόκρεω, ψάλλεται, ὡς συνετέθη κεφάλαιον γ′ [л. **77** об.). 11 Мая служба: Τὰ γενέθλια τῆς πόλεως. О ней замѣчено: Τῆς Θεοτόκου ἡ πόλις τῇ Θεοτόκῳ προσφόρως τὴν ἑαυτῆς ἀνατίθεται σύστασιν· ἐν αὐτῇ γὰρ ἐστήρικται καὶ βασιλεὺς δι' αὐτῆς ἀνασώζεται καὶ κραταιοῦται, βοῶσα πρὸς αὐτήν· Χαῖρε ἡ ἐλπὶς πάντων περάτων τῆς γῆς [л. **93**). Относительно освященія плодовъ 6 Августа: Ἡμεῖς δὲ μετετίθεμεν τὴν τοιαύτην παράδοσιν ἕως τῆς Κοιμήσεως τῆς Ὑπεραγίας Θεοτόκου, τότε γὰρ εὐλογοῦνται παρὰ τοῦ ἱερέως αἱ σταφυλαὶ καὶ ἐσθίομεν ταύτας [л. **103** об.) и подъ 15 Августа: Δεῖ εἰδέναι, ὅτι παράδοσιν ἔχομεν, ἵνα κατὰ τὴν ἡμέραν τῆς Κοιμήσεως τῆς Ὑπεραγίας Θεοτόκου ἐσθίωμεν σταφυλάς, τὴν εὐλογίαν πρῶτον παρὰ τοῦ ἱερέως δεχόμενοι [л. **106**). О праздникѣ Срѣтенія: Ἰστέον, ὅτι

ἀδύνατόν ἐστι τὴν ἑορτὴν τῆς Ὑπαπαντῆς ἐν ἄλλῃ ἡμέρᾳ τυχεῖν τῆς ἁγίας τεσσαρακοστῆς, ἢ τῇ δευτέρᾳ τῆς καθαρᾶς καὶ μόνον, διὸ καὶ χρὴ ἐν τῇ ἑσπέρᾳ τῆς κυριακῆς τῆς τυροφάγου ψάλλεσθαι μέγαν ἑσπερινόν, τῇ δὲ ἐπαύριον, ἤγουν τῇ β', ψάλλεσθαι ἀκολουθία, ὡς τὸ παρὸν Τυπικὸν διατέτακται, ἐν δὲ τῇ τραπέζῃ ἐσθίομεν βράσμα μετὰ ἐλαίου καὶ πίνομεν καὶ οἶνον [л. **181** об.).

Къ стр. 375 (дополненіе къ Типикону ркп. патр. Іерусал. библ. № 635 (305).

[л. **254** об.). Ἐκ τῶν ἐπιστολῶν Νικήτα μοναχοῦ τοῦ Στηθάτου πρὸς Φιλόθεον καὶ ἡγούμενον· διὰ ποῖα ἐγκλήματα ὁ ἱερεὺς ἀφορίζεται μόνον καὶ διὰ ποῖα καθαίρεται.

[л. **255** об.). Περὶ τῆς ἑορτῆς τῶν ἁγίων μεγάλων τριῶν ἱεραρχῶν Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου.

[л. **256**). Τὰ ἀναστάσιμα τροπάρια καὶ ὑπακοαὶ μετὰ τῶν θεοτοκίων τῶν ὀκτὼ ἤχων.

[л. **258**). Τροπάρια, ψαλλόμενα παρ' ὅλην τὴν ἑβδομάδα.

[л. **259**). Τροπάρια, θεοτοκία καὶ σταυροθεοτοκία τῆς ὅλης ἑβδομάδος, ψαλλόμενα ἐν τῷ τέλει τοῦ ἑσπερινοῦ.

[л. **260**). Περὶ τῆς ἑρμηνείας τῶν εὐαγγελίων, πῶς λέγονται οἱ δ' εὐγγελισταί.

— Μεγαλυνάρια, ψαλλόμενα ἐν τῇ θ' ᾠδῇ τῶν Δεσποτικῶν ἑορτῶν.

Τῇ κα' Νοεμβρίου εἰς τὴν Εἴσοδον τῆς Ὑπεραγίας Θεοτόκου, ἦχος δ'.

Ἄγγελοι, τὴν εἴσοδον τῆς Πανάγνου ὁρῶντες, ἐξεπλήττοντο, πῶς ἡ Παρθένος εἰσῆλθεν εἰς τὰ ἅγια τῶν ἁγίων.

Ἄγγελοι, ἀρχάγγελοι, δυνάμεις ἀθροίσθητε καὶ ἴδετε πῶς ἡ Παρθένος εἰσέδυ εἰς τὰ ἅγια τῶν ἁγίων.

Ἀπόστολοι καὶ μάρτυρες καὶ προφῆται, συνάχθητε καὶ βλέψατε πῶς ἡ Παρθένος εἰσέδυ εἰς τὰ ἅγια τῶν ἁγίων.

Μεγάλυνον, ψυχή μου, τὴν εὐλογηθεῖσαν χερσὶ τῶν ἱερέων.

Σήμερον ἡ Παρθένος ἄγεται, ὡς δῶρον, εἰς ἅγια τῶν ἁγίων.

Σήμερον ἡ Παρθένος ἦλθε παραδόξως εἰς ἅγια τῶν ἁγίων.

Λαμπαδηφόροι κόραι σὺν τῇ Μητρὶ Κυρίου ἦλθον εὐφροσύνως εἰς ἅγια τῶν ἁγίων,

Εἰσάγεται, ὡς δῶρον, ἡ ἡγιασμένη, προσφέρεται ἀξίως εἰς ἅγια τῶν ἁγίων.

Μεγαλυνάρια, ψαλλόμενα εἰς τὴν Γέννησιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Μεγάλυνον, ψυχή μου, τὸν ὑπὸ τῶν μάγων, Θεὸν προσκυνηθέντα.

Μεγάλυνον, ψυχή μου, τὸν ἐν τῷ σπηλαίῳ τεχθέντα βασιλέα.

Ἄγγελοι ἀνύμνουν τὸ Δόξα ἐν ὑψίστοις Θεῷ τῷ γεννηθέντι.

Μάγοι ἐκ Περσίδος ἦλθον προσκυνῆσαι Θεὸν τὸν βασιλέα.

Μάγοι ὁδηγοῦνται ὑπὸ λαμπροῦ ἀστέρος ἐν Βηθλεὲμ τῇ πόλει.

Μάγοι καὶ ποιμένες ὕμνον σοι προσέφερον τῶν πάντων βασιλεῖ.

Μεγάλυνον, ψυχή μου, τὸν ἐκ τῆς Παρθένου Θεὸν σαρκὶ τεχθέντα.

Σήμερον ὁ Δεσπότης τίκτεται, ὡς βρέφος, ἐν φάτνῃ τῶν ἀλόγων.

Σήμερον ὁ Δεσπότης τίκτεται, ὡς βρέφος, ἐν Βηθλεὲμ τῇ πόλει.

Σήμερον ὁ Δεσπότης γεννᾶται ἐκ Παρθένου, ὡς βρέφος, ἐν τῇ φάτνῃ.

Σήμερον ὁ Δεσπότης ἄγεται, ὡς βρέφος, ἐν Βηθλεὲμ τῇ πόλει.

Τῇ α' Ἰανουαρίου μεγαλυνάρια, ψαλλόμενα εἰς τὴν Περιτομὴν καὶ εἰς τὸν Μέγαν Βασίλειον.

Μεγάλυνον, ψυχή μου, τὴν τιμιωτέραν καὶ ἐνδοξωτέραν τῶν ἄνω στρατευμάτων.

Μεγάλυνον, ψυχή μου, τὸν ἐν τῇ ὀγδόῃ σαρκὶ περιτμηθέντα.

Μεγάλυνον, ψυχή μου, τὸν ἐν τῇ ὀγδόῃ τὸν νόμον ἐκπληροῦντα.

Μεγάλυνον, ψυχή μου, τὸν ἐν τῇ ὀγδόῃ τὸν περιτμηθέντα Θεὸν ἡμῶν Σωτῆρα.

Μεγάλυνον, ψυχή μου, τὸν κατὰ τὸν νόμον Θεὸν σαρκὶ τμηθέντα.

Μεγάλυνον, ψυχή μου, τὸν ἐν φιλοσόφοις Βασίλειον τὸν Μέγαν.

Μεγάλυνον, ψυχή μου, τὸν ἐν θεολόγοις Βασίλειον τὸν Μέγαν.

Σήμερον ὁ Δεσπότης τέμνεται τὴν σάρκα, ὡς πληρωτὴς τοῦ νόμου.

Σήμερον ὁ Δεσπότης ἄγεται, ὡς βρέφος, ἵνα πληρώσῃ νόμον.

Μεγάλυνον, ψυχή μου, τὸν τῆς ἐκκλησίας ὑπέρμαχον προστάτην Βασίλειον.

Μεγάλυνον, ψυχή μου, τὴν λυτρωσαμένην ἡμᾶς ἐκ τῆς κατάρας, β'.

Μεγάλυνον, ψυχή μου, τῆς τρισυποστάτου θεότητος τὸ κράτος.

Τῇ ς' Ἰανουαρίου μεγαλυνάρια, ψαλλόμενα εἰς τὰ ἅγια Θεοφάνεια τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Μεγάλυνον, ψυχή μου, τὴν τιμιωτέραν καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων.

Μεγάλυνον, ψυχή μου, τὸν ἐν Ἰορδάνῃ Θεὸν σαρκὶ φανέντα.

Μεγάλυνον, ψυχή μου, τὸν ὑπὸ τοῦ δούλου τὸ βάπτισμα λαβόντα.

Μεγάλυνον, ψυχή μου, τὸν ὑπὸ Προδρόμου τὸ βάπτισμα αἰτοῦντα.

Μεγάλυνον, ψυχή μου, τὸν ὑπουρανόθεν Υἱὸν μαρτυρηθέντα.

Μεγάλυνον, ψυχή μου, τὸν ἐξ οὐρανόθεν Υἱὸν μαρτυρηθέντα.

Σήμερον ὁ Δεσπότης κάραν ὑποκλίνει εἰς χεῖρας τοῦ Προδρόμου.

Σήμερον ὁ Δεσπότης βάπτισμα λαμβάνει ὑπὸ χειρὸς τοῦ Προδρόμου.

Σήμερον ὁ Δεσπότης ἦλθεν ἁγιᾶσαι τὴν φύσιν τῶν ὑδάτων.

Σήμερον ὁ Δεσπότης ἦλθε βαπτισθῆναι ἐν ῥείθροις Ἰορδάνου.

Σήμερον Ἰωάννης ἅπτεται τῆς κάρας τοῦ Κτίστου.

Σήμερον ὁ Δεσπότης ἦλθεν ἀναπλᾶσαι τὴν φύσιν τῶν ὑδάτων.

Τῇ β' Φεβρουαρίου μεγαλυνάρια, ψαλλόμενα εἰς τὴν Ὑπαπαντήν.

Ἀκατάληπτόν ἐστι τὸ τελούμενον ἐν σοὶ καὶ ἀγγέλοις καὶ βροτοῖς, Μητροπάρθενε ἁγνή.

Ἀγκαλίζεται χερσὶν ὁ πρεσβύτης Συμεὼν τὸν τοῦ νόμου ποιητὴν καὶ Δεσπότην τοῦ παντός.

Ἄννα πάλαι, ἡ σεμνὴ ἡ θυγάτηρ Θανουὴλ, προφητεύει καὶ βοᾷ· Οὗτός ἐστιν ὁ Χριστός.

Βουληθεὶς ὁ πλαστουργός, ἵνα σώσῃ τὸν Ἀδάμ, μήτραν ᾤκησεν ἁγνῆς, τῆς Παρθένου Μαριάμ.

Γόνυ κάμψαντες, πιστοί, ἐν τῷ ναῷ τῷ νομικῷ καὶ κατίδωμεν ἐκεῖ τῆς Παρθένου τὸν Υἱόν.

Δεῦτε ἴδετε, λαοί, τὸν Δεσπότην τοῦ παντός, ὃν ἐγέννησεν ἁγνή, ἡ Παρθένος Μαριάμ.

Ἐπιβλέπεις πρὸς τὴν γῆν καὶ ποιεῖς τρέμειν αὐτήν, καὶ πῶς γέρων τρομερῶς νῦν κατέχει σε χερσίν.

Ζήσας ἔτη Συμεών, ἕως εἶδε τὸν Χριστὸν καὶ ἐβόα πρὸς αὐτόν· Νῦν ἀπόλυσον κἀμέ.

Ἤκουσεν ὁ Συμεὼν τῆς προφήτιδος ῥητόν· Ὅτι ἔστι ποιητὴς οὐρανοῦ τε καὶ τῆς γῆς.

Θεοδόχε Συμεών, δεῦρο στῆθι μεθ' ἡμῶν καὶ ὑπόδεξαι Χριστὸν τὸν Σωτῆρα καὶ Θεόν.

Ἵνα σώσῃ τὸν Ἀδὰμ Ἰησοῦς ὁ πλαστουργός, μήτραν ᾤκησεν ἁγνῆς, τῆς Παρθένου Μαριάμ.

Κατελθὼν ἐξ οὐρανοῦ ὁ Δεσπότης καὶ Θεός, καὶ ἐδέξατο αὐτὸν Συμεὼν ὁ γηραιός.

Λέγε γράμματος ἄκων· λῦσον, Δέσποτα, τὸν σὸν λάτριν νομικῆς σκιᾶς, οἶδα γάρ σε καθαρόν.

Μέλλει δέ σου τῆς ἁγνῆς καὶ ῥομφαία τῇ ψυχῇ διελεύσεται, φησί, τῇ Παρθένῳ καὶ Μητρί.

Νῦν ἀπολύεις ζῶντα, ὁ πρέσβυς Συμεών, ὅτι εἶδόν σε, Χριστέ, τὸ σωτήριόν μου φῶς.

Ξένον θέαμα φρικτόν, ἐβάσταξε Χριστὸν ὁ πρέσβυς Συμεὼν καὶ ἀπόλυσιν εὑρών, ὡμολόγησε τρανῶς, καὶ ἐκήρυξε σεπτῶς τὴν Τριάδα τὴν σεπτὴν Συμεὼν ὁ θαυμαστός.

Πῶς οὐ τρέμω, θεωρῶν τὸν ἀόρατον Θεὸν ἐν ἀγκάλαις τῆς Μητρός, ὥσπερ νήπιον βροτόν.

Ῥίζα πάλαι τοῦ Δαβὶδ ἡ Παρθένος Μαριάμ, ἣν κατήγγειλαν αὐτὴν οἱ προφῆται καὶ Χριστόν.

Σεραφὶμ καὶ χερουβὶμ ἀνυμνοῦσι τὸν Χριστόν, ὃν ἐγέννησεν ἁγνή, ἡ Παρθένος Μαριάμ.

Τρέχει πάλαι Συμεὼν ὑποδέξασθαι Χριστῷ ἐνηγκάλιζεν αὐτόν, τὴν ἀπόλυσιν αἰτῶν.

Ὕμνον δῶμεν τῷ Θεῷ, τῷ τεχθέντι ἐξ ἁγνῆς, τοῦ πρεσβύτου Συμεὼν Θεοδόχου κατειδόντος.

Φρίξον, ἄφθιτε ναέ, τὸν ἀχώρητον παντὶ νηπιάζοντα σαρκὶ εἰσδεχόμενον ἐν σοί.

Χθὲς ἐτέχθη ὁ Χριστὸς καὶ αἰώνων Ποιητής, προσηνέχθη σήμερον ἐν χερσὶ πρεσβυτικαῖς.

Ψάλλοντες καὶ λέγοντες· Ἅγιος εἶ ὁ Πατήρ, ὁ δὲ πρέσβυς Συμεὼν τὴν ἀπόλυσιν αἰτῶν.

Ὦ πρεσβῦτα Συμεών, ὑποδέχου τὸν Χριστόν, ὃν ἐγέννησεν ἁγνή, ἡ Παρθένος Μαριάμ.

Τῇ ιε΄ Αὐγούστου μεγαλυνάρια, ψαλλόμενα εἰς τὴν Κοίμησιν τῆς Ὑπεραγίας Θεοτόκου.

Ἄγγελοι, ἀρχάγγελοι καὶ δυνάμεις, ἀθροίσθητε καὶ ἴδετε, πῶς ἡ Παρθένος ἀπαίρει ἀπὸ τῆς γῆς εἰς τὰ ἄνω.

Ἄγγελοι, τὴν κοίμησιν τῆς Παναγίας ὁρῶντες, ἐξεπλήττοντο, πῶς, ἡ Παρθένος ἀπαίρει ἀπὸ τῆς γῆς εἰς τὰ ἄνω.

Ἀπόστολοι καὶ μάρτυρες καὶ προφῆται, ἀθροίσθητε καὶ βλέψατε, πῶς ἡ Παρθένος ἀπαίρει ἀπὸ τῆς γῆς εἰς τὰ ἄνω.

Αἱ γενεαὶ πᾶσαι σὲ μακαρίζομεν τὴν μόνην Θεοτόκον.

Αἱ γενεαὶ πᾶσαί σε μακαριοῦμεν τὴν φωτεινὴν νεφέλην.

Ἦλθον ἐκ περάτων κηδεῦσαι τὸ σῶμα, Παρθένε Θεοτόκε.

[л. 262). Τῷ μεγάλῳ σαββάτῳ μεγαλυνάρια, ψαλλόμενα εἰς τὴν στιχολογίαν τοῦ Ἀμώμου.

Στάσις α΄. Μεγαλύνομεν τὰ παθήματα, Λόγε, καὶ δοξάζομέν σου τὴν ἐν τάφῳ ὕπνωσιν, ἥνπερ δι᾿ ἡμᾶς ἠνέσχου, Δέσποτα.

Στάσις β΄. Ἄξιόν ἐστι καταπλήττεσθαι χοροὶ ἀγγέλων τὴν τῆς εὐσπλαγχνίας ὑπερβολήν, ἣν ὑπέσχου δι᾿ ἡμᾶς, ὁ Θεός.

Στάσις γ΄. Σὲ τὸν ὑψωθέντα ἐν τῷ σταυρῷ καὶ τοὺς ἐν τῷ Ἅδῃ ζωογονοῦντα ὕμνοις ἀσιγήτοις μεγαλύνομεν.

[л. 262 об.). Μεγαλυνάρια, ψαλλόμενα εἰς τὴν Κοίμησιν τῆς Ὑπεραγίας Θεοτόκου, εἰς τὴν στιχολογίαν τοῦ Ἀμώμου.

Στάσις α΄· ἦχος πλ. α΄· Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν.

Στάσις β΄. Σὲ τὴν μακαρίαν ἐν γυναιξὶ καὶ εὐλογημένην ὑπὸ Θεοῦ τῶν ἀνθρώπων τὸ γένος ἐν ὕμνοις μεγαλύνομεν.

Στάσις γ΄. Ἄξιόν ἐστιν, ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν τιμιωτέραν τῶν Χερουβὶμ καὶ ἐνδοξωτέραν τῶν Σεραφίμ.

— Μεγαλυνάρια, ψαλλόμενα εἰς τὴν Ἀποτομὴν τοῦ Προδρόμου εἰς τὴν στιχολογίαν τοῦ Ἀμώμου, ἦχος πλ. α΄.

Στάσις α΄. Μακαρίζομέν σε, Πρόδρομε τοῦ Σωτῆρος, καὶ προσπίπτομέν σοι, βαπτιστὰ τοῦ Κυρίου, δέξαι τὴν ἱκέσιον ᾠδὴν τῶν δούλων σου καὶ τὴν σκέπην σου ἀντίδος ἡμῖν.

Στάσις β΄. Ἄξιόν ἐστιν, ὡς ἀληθῶς, μακαρίζειν σε, Θεοῦ προ-

φῆτα, μείζων γὰρ σὲ πάντων τῶν γηγενῶν τοῦ Χριστοῦ τὸ στόμα ἀπεφήνατο.

Στάσις γ'. Σὲ τὸν τῶν ἀγγέλων σύσκηνον καὶ τῶν γηγενῶν προστάτην θερμῶς πάντες κατὰ χρέος μακαρίζομεν.

— Τροπάρια, ψαλλόμενα μετὰ τὸν Ἄμωμον τῷ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ.

Ἦχος πλ. α'· Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με. Ἐνειλίσας τὸ ἄχραντόν σου σῶμα σινδόνι καὶ σμύρνῃ, Σωτήρ μου, ὁ εὐσχήμων Ἰωσήφ, Χριστέ, σὺν Νικοδήμῳ μνήματι καινῷ οὐδεὶς θάπτεται, τὸν τὴν κτίσιν ποιήσαντα κατέθεντο.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με. Ὅνπερ πάλαι ηὐλόγησας, Σωτήρ μου, σαββατίζων τῶν ἔργων ἐν τῷ τάφῳ καθηγίασας, Λόγε, πᾶσαν δὲ πνοὴν καὶ ζωὴν δωρούμενος, δι' ἐμὲ σαρκωθεὶς ἄπνους κατάκεισαι.

Εὐλογητὸς εἶ, Κύριε .. Ἐξαστράπτων ἐν τῷ τάφῳ ἄγγελος, ὃν κατείδασιν αἱ μυροφόροι θαμβούμεναι, ἔλεγε· Τί κλαίετε; Ὃν ζητεῖτε ἐξανέστη, ἴδετε τὸν τάφον, ὃν ἔκειτο, καὶ χαρὰν μαθηταῖς εὐαγγελίσασθε.

Εὐλογητὸς εἶ, Κύριε ... Τριήμερος ἀναστὰς ὁ Κύριος τοῖς μαθηταῖς συνυπαντήσατο, Μαρίᾳ δέ· μή μου ἅπτου, οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα, ἀλλὰ σπεῦσον τοῖς Χριστοῦ εὐαγγελίσασθαι μαθηταῖς μου καὶ Πέτρῳ τὴν ἀνάστασιν.

Εὐλογητὸς εἶ, Κύριε .... Τίς ὁ τρόπος ὁ ξένος τῆς συνόδου τῶν κάτω καὶ τῶν ἄνω ταγμάτων, οὐρανόθεν ἀγγέλων μὲν τὰ πλήθη, ἐκ γῆς δὲ μυροφόρων τὰ στίφη, νῦν τὸν χορηγὸν τῆς ζωῆς δοξάζοντες καταπαύσει τῶν ἔργων τῇ κηδεύσει αὐτοῦ.

Δόξα, Προσκυνήσωμεν Πατέρα ... Καὶ νῦν, Ζωοδότην τεκοῦσα.

[Л. **263**). Τροπάρια, ψαλλόμενα μετὰ τὸν Ἄμωμον ιε' Αὐγούστου εἰς τὴν Κοίμησιν τῆς Θεοτόκου.

Ἦχος πλ. α'. Εὐλογητὸς εἶ, Κύριε. Ἀρχαγγέλων ὁ κτίστης καὶ ἀγγέλων ὁ δῆμος καὶ χορὸς ἀποστόλων ἐκ περάτων εἰς Σιὼν ἠθροίσθησαν, λειτουργῆσαι τῇ κηδείᾳ τῆς ἀειπαρθένου τε καὶ Θεομήτορος τῆς ἁπάσης ἐπέκεινα κτίσεως.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με ... Ἀποστόλων ὁ δῆμος, συνηθροίσθη κηδεῦσαι τὸ θεοδόχον σῶμα τῆς ἀχράντου Παρθένου σὺν χοροῖς ἀσωμάτων, ὃ πρὸς ἑαυτὸν ὑψώσας, Υἱὲ Θεοῦ, καὶ τῆς δόξης τῆς ἑαυτοῦ ἠξίωσας.

Εὐλογητὸς εἶ, Κύριε ... Νοερῶς μὲν ἐν θεαστικωτάτῳ τῶν ἀγ-

γέλων ὁ δῆμος ἐπεκράτει, λογικῶς δὲ ἀποστόλων ἐξοδίοις ἐφ' ὕμνοις, οἳ καὶ τὸν Δεσπότην ὁρῶντες, ἐξεπλήσσοντο, γυναικὸς τὴν ψυχὴν ἐγχειριζόμενον.

Εὐλογητὸς εἶ, Κύριε ... Ἡ κιβωτὸς τοῦ Θεοῦ ἡ ἔμψυχος, τῷ χρυσῷ ἡ κατηγλαϊσμένη τῷ ἁγίῳ Πνεύματι, μετάβαινε τῷ Υἱῷ ἀεὶ συνεσομένη πρὸς τὰ ὑπερκόσμια νῦν σκηνώματα ἀποστόλων ὁ δῆμος ἐπεφώνησεν.

Εὐλογητὸς εἶ, Κύριε ... Αἱ τῶν ἄνω ταγμάτων στρατηγίαι ἐξίσταντο, τὸν κτίστην τῶν ἁπάντων καθορῶσαι ἐν σώματι ἀφθάρτῳ θνησκούσῃ γυναικὶ παρεστῶτα καὶ τὴν ἑαυτῆς ψυχὴν χαριζόμενον καὶ χερσὶν οἰκείαις προσαναφέροντα.

Τίς ὁ τρόπος ὁ ξένος τῆς συνόδου τῶν κάτω καὶ τῶν ἄνω ταγμάτων, οὐρανόθεν ἀγγέλων μὲν τὰ [πλήθη τὴν τὸν χορηγὸν τῆς ζωῆς κυήσασαν ἀπὸ γῆς μεταίρουσαι συνεκπέμπουσιν.

Εὐλογητὸς εἶ, Κύριε ... Ὦ Παρθένε, πῶς θνήσκεις, ὑπὲρ λόγον τεκοῦσα τὴν ζωὴν τῶν ἁπάντων, πῶς δὲ τάφος χωρήσει σου τὸ σῶμα, χωρήσασαν τὸν συνέχοντα πάντα, Μῆτερ, λοιπὸν πρὸς τὰ ὑπερκόσμια καὶ Υἱῷ συνοῦσα ἡμῖν προΐστασο.

Κάθισμα, ἦχος πλ. α', προσόμοιον· Ἀνάπαυσον Σωτὴρ ἡμῶν.

Συνέλθετε οἱ ἄγγελοι καὶ μαθηταὶ συναθροίσθητε, παρθένοι προπορεύεσθε, καὶ μητέρες αὐτῇ ἕπεσθε, ὁ λαὸς δὲ τοῦ Θεοῦ συνεκκλησίασον τῇ μεταστάσει τῆς σεπτῆς Θεομήτορος καὶ κράξωμεν· Παναγία, μὴ παύσῃς ὑπὲρ ἡμῶν πρεσβεύουσα.

[л. **262** об.). Τροπάρια, ψαλλόμενα εἰς τὴν Ἀποτομὴν τοῦ Προδρόμου, ἦχος πλ. α'.

Εὐλογητὸς εἶ, Κύριε... Τῶν ἀγγέλων ὁ δῆμος κατεπλάγη, ὁρῶν σου τὴν ὑπέρτατον κάραν, ὦ προφῆτα, τεμνομένην, ἐπὶ πίνακι δὲ φερομένην, ὄντως φοβερὸν θαῦμα καὶ παράδοξον τὸ ἐν σοὶ τελεσθὲν μακαριώτατε.

Εὐλογητὸς εἶ, Κύριε .... Τί τὸ ξένον τῆς σφαγίας σου θέαμα, πανυπέρτιμε Θεοῦ προφῆτα, πῶς τολμᾶται φόνος ἐναγέστατος ἁπάντων φόνων; πάντως γὰρ εἶ σὺ γηγενῶν ἀνωτέρω κατὰ τοῦτο τυγχάνει καὶ τὸ τόλμημα.

Εὐλογητὸς εἶ, Κύριε ... Πῶς οὐ φρίττεις, ὦ παρανομώτατε καὶ πανάδικε ἔγκονε ψεύδους, παραδοῦναι δι' ὅρκον ὀρχήσεως σφαλερῶς τὴν

τοῦ Προδρόμου κάραν; πλὴν ἀλλ' οὐ σιγᾷ γλῶττα ἡ πανεύφημος, ἀλλὰ μᾶλλον ἐλέγχει σε, παράνομε.

Ὢ ἀθλίου γενεθλίου, πότου τε καὶ ὀρχήσεως πλήρης αἱμάτων· τέμνεται γὰρ ὁ χριστομαρτύρητος τιμίαν κάραν, ἣν ὡς κραταιὰν ἄγκυραν κατέχοντες, τῶν δαιμόνων τὰς φάλαγγας τροπούμεθα.

Πάλιν μαίνεται, ταράττεται ἀφρονέστατα πάλιν Ἡρώδης, εὐπρεπείας χάριν δοὺς ἀντίμισθον τὴν τιμίαν τοῦ Προδρόμου κάραν ἑλέσθαι· καὶ γὰρ αἴρει, ὡς ἀνδράποδος, καὶ φέρει δολίως, ὅπου βούλεται.

Ὢ προφῆτα, βαπτιστὰ πανένδοξε, διπλὲ Πρόδρομε τοῦ θείου Λόγου, σπεῦδε τάχος προδραμεῖν εἰς Ἅδου τε εὐαγγέλια κἀκεῖ κομίσαι τῆς δεσποτικῆς παρουσίας, ἤδη δὲ καὶ βαπτιστὰ τῷ οἰκείῳ αἵματι.

Χριστοκήρυξ καὶ χριστομαρτύρητε, διπλὲ Πρόδρομε, σεπτὲ προφῆτα τοὺς πιστῶς σου τὴν σωτηριόβρυτον καὶ πανίερον τελοῦντας μνήμην ῥῦσαι τῆς φρικτῆς καὶ δεινῆς κολάσεως καὶ τῆς ἄνω λαμπρότητος ἀξίωσον.

Εὐλογητὸς εἶ, Κύριε... Ἐξίσταμαι τοῦ τόκου σου, Παρθένε, τὸ μέγα καὶ παράδοξον θαῦμα, πῶς καὶ Μήτηρ καὶ Παρθένος δείκνυσαι ἐν ταὐτῷ, πεῖραν ἀνδρὸς μὴ γνοῦσα, ὅθεν τοὺς τῇ σῇ σκέπῃ καταφεύγοντας ὀφλημάτων παρόχευε τὴν λύτρωσιν.

Κάθισμα ἦχος πλ. α'· Ἀνάπαυσον Σωτὴρ ἡμῶν.

Συνέλθετε φιλόχριστοι πάντες, φιλέορτοι ἥκατε, προτίθεται γὰρ τράπεζα ἡ ψυχοτρόφος καὶ σωτήριος, ἡ τοῦ Προδρόμου κεφαλή, ἣν πάντες ᾄσμασι πνευματικοῖς οἱ γηγενεῖς νῦν καταστέψωμεν, καὶ κράξωμεν τῷ Δεσπότῃ, αὐτῆς πρεσβείαις σῶσον ἡμᾶς.

(**л.** **263** об.). Χερουβικὰ ψαλλόμενα.

[**л.** **264**). Σκευασία τῆς καταμιγῆς.

Κάπνισμα μαῦρον (ὀγγίαι δ'), λάδανον (ἐξαγ. δ'), λίβανον καποῦρα (ἐξαγ. ε'), μαστίχον (ἐξαγ. ε'), τριψίδην (ἐξαγ. γ'), σκυνάνθην (ἐξαγ. δ'), ξυλαλᾶν (ἐξαγ. ς'), κλιματοκάρβουνον (ἐξαγ. ε'), πριονίσματα κυπαρισσένα (ἐξαγ. γ'), ἔμπαριν (ἐξαγ. ς'), ζαπέτην μόσχον (κουκία ς'), ζαφαρὰν (ς'), ἀσαροᾶν (ἐξαγ. β'), σμύρναν (ἐξαγ. β'), στοράκιν (ἐξαγ. δ'), στάχος (ἐξαγ. ς'), μοσκάρφια (ἐξαγ. γ'), κυθῆρε (ἐξαγ. ε'), ῥοδόσταγμαν (βικὴν ς'), κρασὶν ἄσπρον ψιλὸν (βικὴν α'). Κομπάνισον τὴν κυθῆρε ψηλὰ καὶ βάλε εἰς ἕνα μου χρόντην καὶ βάλε ῥοδόσταγμα, κατακαίας ποίησε ἡμέρας δ', ἕως ὅτου νὰ φουσκώσῃ καὶ κουπάνησε τὰ εἴδη, ὅσα γράφει ἄνωθεν, ψιλά, πάρεξ τοῦ μόσχου, τοῦ ἄμπαρ καὶ τοῦ ζαπετίου, καὶ βάλε αὐτὰ εἰς ἓν τζούκαλον καθαρόν, καὶ

ἔψησε αὐτὰ μετὰ τοῦ κρασίου τοῦ ἄσπρου καὶ ἄβρασον καλὴν μίαν δύο ἕως γ' βράσιν καλήν, καὶ τότε ἔπαρον αὐτὸ ἀπὸ τὸ λαμπρὸν καὶ ἂς ποιήσῃ τὸ τζούκαλλον χάμα ἡμέρας γ' καὶ ἄσεν σκεπασμένον καλὰ μὲ πανίν. Καὶ μετὰ τρεῖς ἡμέρας βάλλε τὸν ἄσπρον. τὸν μόσχον καὶ τὴν ζανάτην εἰς ἕνα χανὰν καὶ τότε ἀπομάλαξ' αὐτὰ μὲ τὸ ῥοδόσταγμα τῆς κυθήρας καὶ τότε σμίξε τα ὅλον ὁμοῦ μετὰ τοῦ ῥοδοστάγμου καὶ ποίησον αὐτὰ πίτας μικρὰς καὶ θές τα εἰς τὸ σκεῦον, ἕως ὅτου ξηρανθῶσιν.

— Τὰ ἑπτὰ μυστήρια τῆς ἁγίας ἐκκλησίας.

— Καὶ τὰ ζ' θανάσιμα ἁμαρτήματα.

[л. **264**). Αἱ ἐναντίαι ἡμέραι τοῦ ὅλου ἐνιαυτοῦ, ὡς ἐφανέρωσεν ὁ Θεὸς Σεδρὰχ τῷ ἀρχιερεῖ αὐτοῦ, ἵνα ταύτας δῆλας ποιήσῃ τοῖς υἱοῖς αὐτοῦ.

Σεπτέμβριος γ' καὶ κδ', Ὀκτώβριος ς' καὶ κα', Νοέμβριος ς' καὶ ια', Δεκέμβριος γ' καὶ κδ', Ἰανουάριος β' καὶ κδ', Φεβρουάριος ιδ' καὶ κς', Μάρτιος δ' καὶ κ', Ἀπρίλιος γ' καὶ κ', Μάϊος ς' καὶ κ', Ἰούνιος γ' καὶ ιδ', Ἰούλιος ς' καὶ κδ', Αὔγουστος ς' καὶ κδ'. Ἐν ταύταις ταῖς ἡμέραις ὁ πεσῶν εἰς ἀῤῥώστιαν οὐκ ἀνίσταται, ὁ γάμον ποιήσας οὐ χαίρεται, τὸ γεννώμενον παιδίον οὐ ζῇ, ὁ εἰς πόλεμον ἀπερχόμενος οὐ στρέφεται, ὁ πραγματείαν ποιῶν οὐ κατευοδοῦται, οἱ δοῦλοι ἐκτραποδίζονται, ὁ εἰς κριτήριον ἀπερχόμενος στρέφεται κατησχυμμένος, ἐν ταύταις οὐ συμφέρει τινὶ συνουσιᾶσθαι, ἢ φλεβοτομῆσαι, ἢ ἀμπελῶνας φυτεῦσαι, ἢ ἄλλό τι ποιῆσαι.

— Ἡ ἑρμηνεία τῶν κυριακῶν τοῦ ὅλου ἐνιαυτοῦ, ἀρχομένων ἀπὸ τῇ κυριακῇ τῇ α' τῶν Ἁγίων Πάντων.

[л. **265**). Περὶ τῆς νηστείας τῶν ἁγίων ἀποστόλων, τῆς τοῦ Κυρίου Γεννήσεως καὶ τῆς Κοιμήσεως τῆς Θεοτόκου.

[л. **265** об.). Εὐχὴ εἰς ψυχὴν κρινομένην.

Δέσποτα Κύριε ὁ Θεός, ὁ παντοκράτωρ, ὁ πάντα ἄνθρωπον θέλων σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ὁ μὴ βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ. . .

[л. **266**). Ἐκτενὴ εἰς κοιμηθέντας.

[л. **266** об.). Πεντηκοστάρια, ψαλλόμενα εἰς τὰς Δεσποτικὰς ἑορτὰς на цѣлый годъ.

[л. **268**). Ἀκολουθία ᾀσματικοῦ ἑσπερινοῦ. А. А. Дмитріев-

скій, Богослуженіе страстной и пасхальной седмицъ въ Іерусалимѣ IX—X в. Каз. 1894, стр. 289.

[л. 269). Ὅπως γίνεται ἡ τοῦ μεγάλου μύρου κατασκεύασις ἐν τῇ Μεγάλῃ Ἐκκλησίᾳ τῆς Κωνσταντινουπόλεως ἐντὸς τῆς μεγάλης μ΄.

Συνάγονται τὰ εἴδη καὶ ἀπὸ τὴν δευτέραν τῶν Βαΐων κοπανίζονται, ποῖα μέλουσιν ἐμβληθῆναι εἰς τὸν λέβητα, τῷ δὲ σαββάτῳ τοῦ Λαζάρου καὶ τῇ κυριακῇ τῶν Βαΐων ἀποκομίζονται εἰς τὸν ἀποτεταγμένον τόπον, ἐν ᾧ ἐμψηθῆναι μέλλει τὸ μῦρον, καὶ τὸ μὲν ἔλαιον εἰσάγεται εἰς τὸ κακάβιον καὶ σταθμίζεται, ὁπόσον ἐστίν. Ἀπὸ δὲ τοῦ οἴνου εἰσάγεται εἰς ἕτερον κακάβιον, ὅσον δεκάμετρα, ἐμβαλὼν καὶ ἀπὸ τῶν βοτάνων ταῦτα, μυρσίνης φύλλον καὶ δάφνης, δενδρολίβανον, σάψιχον, βασιλικὸν ξηρόν, κόστον, βάλσαμον καὶ βράζει μετ' αὐτῶν. Καὶ ὅτε γένηται ἱκανὴ ἡ βράσις αὐτοῦ, ἐμβάλλεται ὁ οἶνος καὶ σακελίζεται, καὶ εἰσάγεται εἰς τὸ μέγα κακάβιον, ὅπ' ἕνι καὶ τὸ ἔλαιον. Τῇ δὲ μεγάλῃ δευτέρᾳ τὸ πρωΐ, ἑτοιμάζεται παρὰ τῶν ὑπηρετῶν κάτωθεν τοῦ κακαβίου φρύγανα πρὸς ἄναψιν εὔκολον τοῦ πυρὸς καί, πληρωθέντος τοῦ ὄρθρου, εἰσέρχεται ἐκεῖ ὁ πατριάρχης μετὰ τῶν κληρικῶν καὶ τοῦ λαοῦ καὶ γίνεται Εὐλογητὸς παρ' αὐτοῦ, τὸ Τρισάγιον, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, τὸ ἀπολυτίκιον τῆς ἡμέρας καὶ τὸ κοντάκιον, ἐκτενὴ καὶ ἀπολύει. Τούτων δὲ ψαλλομένων, ὁ πατριάρχης θυμιᾷ σταυροειδῶς το κακάβιον, εἶτα λαμβάνει τὴν τοῦ διακόνου αὐτοῦ λαμπάδα ἁπτομένην καὶ ἅπτει ὑποκάτωθεν τοῦ κακαβίου φρύγανα, καὶ αὐτὸς μὲν καὶ ὁ λαὸς ἅπας ἐξέρχονται, οἱ δὲ εἰς τοῦτο· Σοὶ τῷ Θεῷ τῶν ὅλων καὶ βασιλεῖ τὸν αὐχένα τῆς καρδίας εὐχαριστοῦντες, ἐκλίναμεν... Goar. p. 502 об. Σφραγίζει τρίτον τῷ ἁγίῳ μύρῳ τὸ εἰς τὰ ἀγγεῖα τὰ ὑποδειχθέντα τὸ πλέον, καὶ οὕτω τελειοῦνται καὶ ἁγιάζονται πάντοτε πλὴν τοῦ ἀγγείου τοῦ χάρδου.

Τὰ δὲ τοῦ μύρου εἴδη εἰσὶ ταῦτα.

[л. 270 об.). Ἑρμηνεία, πῶς ἀνάγνωσις ἀναγνῶναι εὐαγγέλιον τοῦ Λουκᾶ.

ОТДѢЛЪ ТРЕТІЙ.

(Дополнительный).

Типиконъ Великой Церкви.

CLVI. № 40. Рукопись патріаршей Іерусалимской библіотеки (бывшей Крестнаго монастыря) въ листъ, 246 листовъ, писана на пергаменѣ четкимъ правильнымъ почеркомъ X—XI в. и представляетъ списокъ съ оригинала, писаннаго въ послѣдніе годы царствованія Константина Багрянороднаго, сына Льва VI мудраго (между 945 и 950 годами). Синаксарныя сказанія, иногда довольно обширныя, мы всюду опускаемъ и печатаемъ здѣсь лишь замѣчанія уставнаго характера. Начальные листы рукописи отъ времени вытерлись и съ трудомъ читаются. Заглавный листъ отсутствуетъ и рукопись начинается такъ: [л. 1): **Μηνὶ Σεπτεμβρίῳ α′ τοῦ ἁγίου Συμεὼν τοῦ στυλίτου καὶ** σύναξις τῆς ἁγίας Θεοτόκου τῶν Μιασινῶν, καὶ μνήμη τῶν ἁγίων μ′ γυναικῶν, μαρτύρων ἀσκητριῶν, καὶ τῶν μαρτύρων Ἀειθαλᾶ καὶ Ἀμμῶν...[1]). 3) τὴν Μεγάλην ἐκτενήν, καὶ εἰρηνεύει ὁ πατριάρχης, καὶ ἄρχονται οἱ ψάλται λέγειν τὸ Θεοτόκε Παρθένε, καὶ κατέρχεται ὁ πατριάρχης μετὰ τῆς λιτῆς εἰς τὰ Χαλκοπρατεῖα. Εἰς δὲ τὴν Μεγάλην ἐκκλησίαν λέγονται ἀντίφωνα τρία καὶ ἀναγνώσματα τρία Δικαίων ψυχαί, Δίκαιος ἐὰν φθάσῃ, Δίκαιοι εἰς τὸν αἰῶνα. (об.) Καὶ μετὰ τοῦτο λέγουσιν οἱ ψάλται ἐν τῷ ἄμβωνι τὸ τροπάριον τοῦτο ἦχος α′· Ὑπομονῆς στύλος γέγονας, στίχος α′· Ὑπομένων ὑπέμεινα, στίχος β′· Εὐαγγελισάμενος δικαίων, στίχος γ′· Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν καὶ τὴν περισσήν. Καὶ μετὰ ταῦτα ὁ

---

[1]) Первый листъ копіи нами случайно утраченъ и, по случаю военныхъ дѣйствій, пока не представляется возможности пополнить этотъ деффектъ.

διάκονος· Σοφία, καὶ εὐθέως ἀπάρχεται προανάγνωσις παροιμιῶν, καὶ τῆς ὥρας παρελθούσης, ἤδη πρὸς αὐτὰς τὰς δυσμὰς προαναγινώσκεται ὁ βίος τοῦ ἁγίου Συμεών, ἕως ἐπιστῇ ὁ τῆς παννυχίδος καιρός, καὶ εἶθ' οὕτω γίνεται ἡ παννυχὶς κατὰ τάξιν. Ὁ δὲ ὄρθρος τελεῖται ἐν τῷ ἄμβωνι, καὶ ψάλλουσι τὰ τρία ἀσκήτρια καὶ λέγουσι τὸ Εὐλογεῖτε, καὶ εἰς τὸν ν' λέγουσι τροπάριον, ὃ καὶ εἰς τὴν εἴσοδον τῆς λειτουργίας λέγεται· Ὁ πάσης δημιουργός. Ἐν δὲ τοῖς Χαλκοπρατείοις, ἐπειδὴ εἴπομεν, ὅτι κατέρχεται ἡ λιτὴ μετὰ τοῦ πατριάρχου κατὰ τὴν ἑσπέραν, γίνεται ἡ τάξις οὕτως· εἰσοδεύει, κατὰ τὸ σύνηθες, ὁ πατριάρχης καὶ ψάλλουσιν οἱ ψάλται προκείμενον, ᾠδὴ τῆς Θεοτόκου· Μεγαλύνει ἡ ψυχή μου, καὶ μετὰ τρία ἀντίφωνα τὰ μικρά, λέγονται ἀναγνώσματα τρία, τὸ α' Γενέσεως· Ἐξῆλθεν Ἰακώβ, τὸ β', Ἰεζεκιήλ· Οὕτω λέγει Κύριος· ἔσται ἀπὸ τῆς ἡμέρας τῆς ὀγδόης, τὸ γ' Παροιμιῶν· Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ· καὶ εἶθ' οὕτω ψάλλουσιν οἱ ψάλται τὸ τροπάριον τοῦτο, ἦχος βαρύς· Χαῖρε κεχαριτωμένη, [л. 2) καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ τροπαρίου, κατέρχεται ὁ πατριάρχης ἐν τῷ σεβασμίῳ οἴκῳ τῆς ἁγίας Θεοτόκου ἐν τοῖς Οὐρβικίου, διὰ τὸ εἶναι τὰ ἐγκαίνια τῆς ἐκεῖσε ἐκκλησίας, καὶ θυμιᾷ καὶ ἅπτει κηρούς. Καὶ τὸ πρωῒ μετὰ τὸν ὄρθρον ἐν τῇ ἁγιωτάτῃ Μεγάλῃ ἐκκλησίᾳ κατέρχεται ὁ πατριάρχης καὶ εἰσέρχεται διὰ τῆς πλαγίας εἰς τὸ ἅγιον θυσιαστήριον καὶ ποιεῖ εὐχὴν τοῦ Τρισαγίου, καὶ ἄρχονται οἱ ψάλται ἐν τῷ ἄμβωνι ἀντὶ λιτῆς τὸ Τρισάγιον, καὶ δοξάζουσιν οἱ ψάλται ἐν τῷ φόρῳ, καὶ εὐθέως γίνεται εὐχή, ἀντίφωνον τὸ α', ψαλμὸς α'· Ἀντιλαβοῦ μου, Κύριε, τὸ δεύτερον ψαλμὸς β'· Ἀλληλούια, τὸ δειλινὸν διπλοῦν, τὸ γ' ψαλμὸς ξδ', τροπάριον ἦχος γ'· Καταφυγὴ καὶ δύναμις. Καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ τρίτου ἀντιφώνου, λέγει ὁ πατριάρχης τὰς συνήθεις εὐχὰς καὶ εὐθέως λέγεται τὸ προκείμενον ψαλμὸς ρμς', ἦχος γ'· Μέγας ὁ Κύριος ἡμῶν, στίχος· Αἰνεῖτε τὸν Κύριον, ὁ ἀπόστολος πρὸς Κολοσσαεῖς· Ἀδελφοί, ἐνδύσασθε, ὡς ἐκλεκτοὶ... τέλος· Ἐν ταῖς καρδίαις ὑμῶν τῷ Κυρίῳ. Ἀλληλούια ἦχος πλ. δ', ψαλμὸς ξδ'· Σοὶ πρέπει ὕμνος, στίχος· Εὐλογήσεις τὸν στέφανον, εὐαγγέλιον κατὰ Λουκᾶν· Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς εἰς Ναζαρέτ, τέλος· Τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος αὐτοῦ. Καὶ μετὰ τὴν τοῦ εὐαγγελίου συμπλήρωσιν, λέγει ὁ διάκονος τὴν μεγάλην ἐκτενήν, καὶ ὑποστρέφει ἡ λιτή, καὶ ψάλλουσιν οἱ ψάλται τροπάριον· Ὁ πάσης δημιουργός. Τοῦτο προγέγραπται. Καὶ ἀπέρχεται ἡ λιτὴ ἐν τοῖς Χαλκοπρατείοις καὶ δοξάζουσι κἀκεῖσε οἱ ψάλται ὁμοίως·

ἀντίφωνα δὲ οὐ γίνονται, ἀλλ' εὐθὺς τὸ Τρισάγιον καὶ τὸ προκείμενον, ψαλμὸς μδ', ἦχος β'· Μνησθήσομαι τοῦ ὀνοματός σου, στίχος· Ἄκουσον θύγατερ, ὁ ἀπόστολος πρὸς Γαλάτας· Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματος ἐστὶν ἀγάπη, τέλος· Καὶ οὕτως ἀναπληρώσετε τὸν νόμον τοῦ Χριστοῦ. (οδ.) Ἀλληλούια, ψαλμὸς οα'· Καταβήσεται ὡς ὑετός, εὐαγγέλιον κατὰ Λουκᾶν· Ἐν ταῖς ἡμέραις ἐκείναις ἀναστᾶσα Μαριάμ, κοινωνικόν· Ποτήριον σωτηρίου. Εἰς δὲ τὴν Μεγάλην ἐκκλησίαν γίνονται ἀντίφωνα γ' καὶ εἰς τὸ γ' ἀντίφωνον λέγονται τὰ δύο τροπάρια τὰ προγεγραμμένα, τὸ Ὑπομονῆς στύλος, καὶ τὸ Ὁ πάσης δημιουργός, προκείμενον ἦχος βαρύς· Εὐφρανθήσεται δίκαιος, στίχος· Εἰσάκουσον, ὁ Θεὸς τῆς φωνῆς μου. Ὁ ἀπόστολος πρὸς Τιμόθεον, ἐπιστολῆς α'· Τέκνον Τιμόθεε, οἱ καλῶς διακονήσαντες... τέλος· Ἁγιάζεται διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως. Ἀλληλούια ἦχος δ'· Δίκαιος, ὡς φοίνιξ ἀνθήσει. Εὐαγγέλιον κατὰ Λουκᾶν· Τῷ καιρῷ ἐκείνῳ ἦλθεν ὁ Ἰησοῦς εἰς τὴν Ναζαρέτ, τέλος· Ἐκ τοῦ στόματος αὐτοῦ.

Δεῖ δὲ εἰδέναι, ὅτι μετὰ τὴν ἀπόλυσιν τῆς λειτουργίας ὁ πατριάρχης ἐν τῷ μεγάλῳ σεκρέτῳ ποιεῖ τὴν διάδοσιν τῶν εὐλογιῶν τοῖς τοῦ σεκρέτου.

Μηνὶ τῷ αὐτῷ β'. Ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀειθαλᾶ, Ἰουλία, Φιλίππου καὶ Θεοδότου, καὶ ἄθλησις τοῦ ἁγίου μάρτυρος Μάμαντος... Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ αὐτοῦ μ α ρ τ υ ρ ί ῳ, τῷ ὄ ν τ ι ἐ ν τ ῷ Σ ή γ μ α τ ι, ἡ δὲ κατὰ τύπον ἀκολουθία ἐστὶν αὕτη· Εἰς τὸν ν' λέγεται τροπάριον ἦχος γ'· Ἀθλοφόρε ἅγιε, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, προκείμενον ἦχος βαρύς· Εὐφρανθήσεται δίκαιος, στίχος· Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου. Ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, ἡ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς. Ἀλληλούια· Δίκαιος, ὡς φοίνιξ. Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ἐγώ εἰμι ἡ ἄμπελος. Κοινωνικόν· Ἀγαλλιᾶσθε. [Л. **3**). Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἐν ἁγίοις πατέρων καὶ ἀρχιεπισκόπων γενομένων ταύτης τῆς θεοφυλάκτου καὶ βασιλίδος πόλεως, Ἰ ω ά ν ν ο υ τ ο ῦ Ν η σ τ ε υ τ ο ῦ καὶ Παύλου τοῦ νέου. Τελεῖται ἡ σύναξις αὐτῶν ἐν τῇ ἁγιωτάτῃ Μεγάλῃ ἐκκλησίᾳ... (біограф. свѣдѣнія). Τελεῖται δὲ ἡ κατ' αὐτῶν σύναξις οὕτως· εἰς τὸν ν' λέγεται τροπάριον ἦχος πλ. δ'· Ἐν τῇ τῶν τρόπων ἁπλότητι, προκείμενον ἦχος βαρύς· Τίμιος ἐναντίον Κυρίου, στίχος· Τί ἀνταποδώσω τῷ Κυρίῳ. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, μνημονεύετε τῶν ἡγουμένων ἡμῶν. Ἀλληλούια ἦχος βαρύς· Οἱ ἱερεῖς σου, Κύριε, εὐαγγέλιον κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύ-

Errata et corrigenda.

Стр.	строк.		напечатано:	слѣдуетъ читать:
2	22	сверху	στοιχιδὸν	στοιχηδόν
2	8	снизу	προσκυνεῖται	προσκυνεῖτε
2	5	»	γεγωνότερον	γεγονώτερον
2	4	»	τελεῖον	τελευταῖον
4	17	сверху	μετανοίος	μετανοίας
4	23	»	εὐσπλαγχνίας	εὐσπλάγχνῳ
4	24	»	οἶκον	αἶνον
5	12	снизу	πολυέλαιον	πολυέλεον.
6	7	»	πρόηγιασμένων	προηγιασμένην
7	2	сверху	ἀναγινώσκωμεν	ἀναγινώσκομεν
7	5	»	προηγιασμένων	προηγιασμένην
7	10	»	»	»
7	20	»	Πρόσγες τὴν	Πρόσχες πρὸς τὴν
8	13	»	ἥχου	ἦχου
8	7	подстроч. прим.	ἀληθείας	ἀλήθειαν
8	8	» »	κακὰ τοῖς	αὐτοῖς κατὰ
9	10	сверху	ἴδιον	ἰδιόμελον
9	21	»	αργοὺς	ἀργῶς
9	2	снизу	τὸ Πρωΐ	Τὸ πρωΐ
10	7	сверху	οἰκτείρησον	οἰκτειρῆσαι
12	8	»	τριτοέκταις	τριθέκταις
13	1	»	γεγωνότερον	γεγονώτερον
13	6	»	πρωεστὼς	προεστὼς
13	17	»	Ἡ Γέννησις	ἡ Γένεσις
13	24	»	οἰκτείρησον	οἰκτειρῆσαι
13	8	подстроч. прим.	κατάκλαστον	κατακλαστὸν
14	2	сверху	προηγιασμένων	προηγιασμένην
14	6	»	ἱερεὸς	ἱερεὺς
15	5	снизу	σε	σου
16	15	сверху	οἰκτείρησον	οἰκτειρῆσαι
16	12	снизу	πρωεστῶτι	προεστῶτι
17	2	сверху	ἕτερος	ἕτεροι
17	10	»	προηγουμένων	προηγιασμένων
17	13	»	κατακλάστου	κατακλαστοῦ
19	1	»	ἴδιον	ἰδιόμελον
19	3	»	»	»
19	11	»	τὸ Προσταχθὲν	Τὸ προσταχθὲν
20	6	снизу	οὐκ ἔνδον	οὐκ ἐνδημῇ
21	12	»	γεγωνότερον	γεγονώτερον
22	2	сверху	Προφήτα	Προφῆτα
23	3	»	ἴδιον	ἰδιόμελον
23	17	»	ἡμᾶς	ὑμᾶς
24	10	»	Πληρωθήσης	Πληρωθείσης
25	11	»	ἴδιον	ἰδιόμελον
26	12	»	πολυέλαιον	πολυέλεον
27	3	»	κονδάκιον	κοντάκιον
27	11	»	ἐκτενήν	ἐκτενὴ

Стр.	строк.		напечатано:	слѣдуетъ читать:
27	7	снизу	ἁγία τοῦ ἀφράστου	ἁγία ἡ τοῦ ἀφράστου
27	6	»	αἱ	καὶ
28	5	сверху	χροκοιμηθέντων	προκοιμηθέντων
29	10	»	Μωησῆν	Μωϋσῆν
29	11	»	»	»
34	2	снизу	ἀσκητὴς	ἀσκητικῶν
35	6	сверху	πολυέλαιος	πολυέλεος
38	13	снизу	Καλυβήτου	Καλυβίτου
43	7	сверху	ψάλλονται	ψάλλοντες
43	15	»	Ἔτι ἐκτενὴς	Ἔτι τῆς ἐκτενῆς
43	22	»	ψάλλονται	ψάλλοντες
44	9	снизу	προηγγουμένων	προηγγισμένων
44	5	»	τριτοέκτην	τριθέκτην
45	1	сверху	ἴδιον	ἰδιόμελον
53	15	снизу	ὁσιομάρτηρος	ὁσιομάρτυρος
53	12	»	Πρότυπον	Προτυπῶν
54	12	сверху	πολυέλαιον	πολυέλεον
55	1	снизу	βυθοῖς	βάθει
56	4	сверху	λέγονται	λέγοντος
56	12	снизу	τίθονται	τίθωνται
56	10	»	πολυελαίου	πολυελέου
57	10	сверху	Ἀγαλλιάσασθαι	Ἀγαλλιᾶσθε
57	10	снизу	Τὰ βήματά μου	Τὰ διαβήματά μου
58	2	сверху	οἰκτειρῆσαι	οἰκτειρήσαι
60	1	снизу	προηγγουμένων	προηγιασμένων
62	1	сверху	ἀσκέπων	ἀσκεπῶν
63	3	»	δώσει	δύσει
63	17	»	ἀρχὴν	ἀρχιερεὺς
63	20	»	προκατάλαβε	προκαταλαβέτωσαν
64	6	»	συμάνοντος	σημάνοντος
64	7	снизу	γεγωνοτέρᾳ	γεγονωτέρᾳ
64	6	»	»	»
64	1	»	»	»
66	13	»	ὁρίου	ὡρείου
66	19	»	γεγωνοτέρᾳ	γεγονωτέρᾳ
68	1	сверху	φυαλίῳ	φιαλίῳ
68	19	»	πτωχῶν	πτωχὸν
69	16	»	ἀμφιβλήστροις	ἀμφιβλήστρῳ
69	22	»	οἶνον	οἴνου
72	19	»	Χριστοῦ γεννῶν	Χριστουγέννων
72	24	»	» »	»
72	9	снизу	πρωταποκρέω	πρωταπόκρεω
79	14	3 столб.	Τοῦτο	Τούτου
82	3	сверху	ψάλλει	ψάλλειν
82	10	снизу	πολυέλαιον	πολυέλεον
86	1	»	Ἀναστήτω	Ἀπεστάλη
87	6	сверху	πολυέλαιον	πολυέλεον
87	2	снизу	ξηρανθήσης	ξηρανθείσης
88	5	»	δεύτερον	δευτέρους
88	12	»	συνιῶν	συνιὼν
91	9	2 столб.	γεγωνοτέρᾳ	γεγονωτέρᾳ
93	1	подсрочн. прим.	ἢ δὲ	εἰ δὲ
94	3	» »	ἐδηλώσθη	ἐδηλώθη

Стр.	строк.		напечатано:	слѣдуетъ читать.
95	4	сверху	τὸν υἱὸν	Τὸν υἱὸν
97	5	»	προηγιασμένων	προηγιασμένην
97	3	подсрочн. прим.	»	»
98	9	сверху	προηγιασμένων	προηγιασμένην
99	7	снизу	ἔνοι	ἔνιοι
105	4	1 столб.	ἔχει τῆς ἀδείας	ἔχει τις ἄδειαν
106	3	3 »	ἐπίχοον	ἐπήκοον
107	11	1 »	οἰκτειρῆσαι	οἰκτειρήσαι
111	14	снизу	τρίψαλμοι	τρίψαλμον
111	11	»	χῦμα	χύμα
115	9	сверху	προηγοῦντα	προηγοῦνται
119	13	»	τοῦδε	(τοῦδε)
121	3	»	δεῖνα	(δεῖνα)
124	5	снизу	τεθέντες	τιθέντες
126	9	»	ἐκτενοῦς	ἐκτενῆς
128	9	сверху	Κανηδίου	Κανδιδίου
132	9	»	Μεγαλύνω	Μεγαλύνων
137	15	»	αὐτῶν	αὐτόν
138	4	снизу	σύντάξεσιν	συνάξεσι·
160	16	сверху	οἶνου	οἶνον
160	16	»	εἰδὲ ἢ μὴ	εἰ δὲ μὴ
165	9	»	πολυέλαιον	πολυέλεον
166	16	»	εὐαγγέλιον	εὐαγγέλια
171	5	снизу	Εἰ μὲν οὖν βούλοι	Εἰ μὲν οὖν βούλοι (sic)
178	3	сверху	πιστευθέντων	πιστευθεισῶν
184	15	снизу	μέλλει	μέλλῃ
186	17	»	τόνδε	(τόνδε)
188	8	сверху	δεῖνος	(δεῖνος)
192	5	снизу	ἐκτενῆν	ἐκτενή
193	2	сверху	κατάπαυσιν	κατάπαυσίν σου
195	9	снизу	διήλειπται	διείληπται
205	15	сверху	τὸν μέσον	τὸ μέσον
213	14	»	εἰς ἄλλου	ἐξ ἄλλου
213	15	»	εἰς ἄλλης	ἐξ ἄλλης
226	6	снизу	ἐν τοῖς	ἐν ταῖς
226	6	«	ἁγίων μονῶν	ἁγίαις μοναῖς
232	15	сверху	λάβωμεν	λέγομεν
235	7	снизу	πιστευθέντων	πιστευθεισῶν
243	11	»	ἀποξενῶσα	ἀποξενῶσαι
253	8	снизу	ἐπιλανθανόντων	ἐπιλαγχανόντων
255	18	сверху	πιστευθέντων	πιστευθεισῶν
281	7	»	ποίε	ποίει
310	6	снизу	πιστευθέντων	πιστευθεισῶν
313	15	сверху	1894	1884
321	1	»	γλυκύσματος	γλυκίσματος
321	10	снизу	πιστευθέντων	πιστευθεισῶν
323	8	сверху	συρᾶς	σειρᾶς
323	12	снизу	συνσταυροῖ	συσταυροῖ
328	1	сверху	ψάλλεται	ψάλλεσθαι
329	13	снизу	πιστευθέντων	πιστευθεισῶν
332	19	сверху	πατρᾶσι	πατράσι
339	15	»	πιστευθέντων	πιστευθεισῶν
350	14	»	τὸ μικρὸν	τὸν μικρὸν

Стр.	строк.		напечатано:	слѣдуетъ читать:
350	19	сверху	ἀνιστάμενος	ἀνιστάμενοι
362	9	снизу	μεσσονυκτικὸν	μεσονυκτικὸν
365	8	сверху	αὐτὸ	αὐτὸν
365	9	»	ἐσαυτοῦ	ἑαυτοῦ
368	13	снизу	καταχλύειν	καταλύειν
337	4	сверху	τὴν πάρησιν	τὴν πάρησιν (?)
375	5	»	Περισφίγγει	περισφίγγειν
380	11	»	γινώσκουσίν σε	γινώσκουσί σε
402	13	снизу	καταλίψαντας	καταλείψαντας
404	13	сверху	τρίψαλμοι	τρίψαλμον
404	14	»	συνήθεις	συνήθως
404	8	снизу	σοι	σε
405	6	сверху	τρίψαλμοι	τρίψαλμον
405	12	снизу	ἐπιλήσοι	ἐπιλήσῃ
406	4	сверху	προσδοκομένης	προσδοκωμένης
406	14	»	στίχος	στίχον
406	15	»	»	»
408	5	»	νιαυτοῦ	ἐνιαυτοῦ
410	4	»	ἴδια	ἰδιόμελα
514	16	снизу	πιστευθέντων	πιστευθεισῶν
551	20	сверху	διορισμένον	διωρισμένος
554	1	снизу	οἶᾳ	οἵᾳ
560	8	»	ὤμοσε	ὤμωσε
564	16	сверху	ἰδιόμελλον	ἰδιόμελον
568	2	»	φαιλόνιον	φελώνιον
568	5	»	τοὺς στίχους, τοὺς δὲ	τοὺς στίχους τούς δε·
568	5	»	στίχους α΄·	στίχος α΄·
573	13	»	ψάλλοντες	ψάλλονται
573	13	»	στίχους	στίχοι
576	6	снизу	τύχουσι	τύχωσι
583	15	»	ο	οἱ
583	12	»	θεμᾶν	θεμὰν
591	6	сверху	ἰδιόμελλον	ἰδιόμελον
622	9	»	σοῦ	σοὶ
635	14	снизу	Σωτήρι	Σωτῆρι
647	21	сверху	ὁνοδον	σύνοδον
647	23	сверху	σδὲ	δὲ
648	14	снизу	κοιναβιαταὶ	κοινοβιάται
651	7	сверху	ἀπολύσαι	ἀπολῦσαι
654	7	снизу	νὲ	ἐν
654	18	»	κατενπιών	κατενώπιον
655	12	сверху	ἐπὶ τὴν	Ἐπὶ τὴν
659	7	снизу	ἄλλον	ἄλλων
669	3	сверху	ἀποθέττοντες	ἀποθέτοντες
679	16	»	Ἐξομολογήσθωσαν σοι	Ἐξομολογησάσθωσάν σοι
679	9	снизу	κήγογμα	κήρυγμα
687	3	»	κατησχυμένη	κατησχυμμένη
687	1	»	καθαρότερα	καθαρώτερα
688	9	»	σκοτινὸν	σκοτεινὸν
699	1	сверху	Μηναία	Μηναῖα
752	15	»	ἐτύπωσεν	ἐτύπωσεν·
764	18	»	πεσῶν	πεσὼν